This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

603.5
C50.1
K3
v.1-2
cop. 2

Andover

Harvard Divinity School

ANDOVER-HARVARD THEOLOGICAL
LIBRARY

MDCCCCX

CAMBRIDGE, MASSACHUSETTS

Frederic D. Allen.

Edward H. Hal
1898.

TITI FLAUI

CLEMENTIS ALEXANDRINI

OPERA OMNIA.

RECOGNOUIT

REINHOLDUS KLOTZ.

VOL. I.

CONTINENS PROTREPTICUM AD GRAECOS ET PAEDAGOGI LIBB. III.

LIPSIAE

SUMPTIBUS E. B. SCHWICKERTI.

1831.

BIBLIOTHECA SACRA

PATRUM ECCLESIAE GRAECORUM.

PARS III.

TITI FLAUI
CLEMENTIS ALEXANDRINI
OPERUM OMNIUM

TOM. I.

LIPSIAE
SUMPTIBUS E. B. SCHWICKERTI.
1831.

ANDOVER-HARVARD
THEOLOGICAL LIBRARY

MAR 28 1912

ANDOVER
THEOLOGICAL SEMINARY

Cc2,922

603.5
C50.1
K3
v.1-2
cop.2

Carolus Ernestus Richterus vir clarissimus, is qui bibliothecam hanc sacram ante paucos hos annos edere coepit, quum qua me est amicitia complexus, a me petisset, vt quem ad modum ipse Iosephi et Philonis Iudaeorum opera edidisset, ita ego Clementis Alexandrini scripta edenda curarem; quanquam me non praeteribat quam operosum hoc esset quamque difficile negotium: non tamen putaui operam meam quantulancunque roganti amico ac pene postulanti recusandam esse ac deprecandam. quam ob caussam si quid cui vires meae haud quaquam pares esse videantur suscepe-rim, id magis facilitate mea, qua amicorum voluntati semper putaui esse inseruiendum, quam alia vlla culpa mea contigit.

Neque vero eae mihi praescriptae erant leges, vt aut nouis libris anquirendis aut aliis adiumentis criticis vndique conquirendis nouam horum scriptorum recensionem instituerem, sed vt quae optima haberetur editio, eam literis mandarem ac si quid aperte peccatum deprehendissem, id corrigerem atque emendarem. qua ego in re si quando plus quam receperam praestare conatus sum et quauis fere pagina ab iis, qui ante me orationem Clementis constituerant, discedendum esse duxi: id vt fieret et res ipsa flagitabat et a multis me spero hoc nomine, quod vltro exsolui, bonam gratiam inituisse. ea enim huic scriptori cecidit sors, vt quum a Friderico Sylburgio discesseris, qui

maiorem et vtiliorem in eo operam ponere aut *posse* aut vellet, editorem inuenerit neminem. namque Ioannes Potterus, qui superiore saeculo ineunte scripta Clementis edidit, etsi ita optime est de eis meritus, quod libros scriptos diligenter accurateque contulit; non proinde tamen ac libri postulabant optimi locos corruptos emendare ausus est atque conformare. itaque saepe accidit, vt scriptura ea, quam et libri *tuerentur* et ipse duceret probandam, in annotatione duntaxat locum obtineret: aperta librariorum menda non tollerentur. Sylburgius contra quanquam praeter editionem P. Victori vno libro Palatino vsus est, multa tamen ab eo sunt emendata vitia et omnis cura atque opera in singulis vniuersisque expoliendis posita.

Quod quum ita sit, non spero futurum, vt quisquam hac de re mecum dissentiat, quod Sylburgi editionem malui quam Potteri sequi, ita vt hanc *cum* illa diligenter conferrem et si quid a recentioribus criticis siue ex libris siue de coniectura rectius constitutum vidissem asciscerem. qua in re quod quantumque vnicuique debeatur, dicetur eo volumine, quod criticam annotationem continebit.

Tum in emendandis his Clementis libris vsus sum scholiis Parisinis nondum editis, quae editioni *nostrae* adiicientur.

Deinde praeter quam quod quae viri docti hic illic de Clementis locis praeceperant, studiose collegi et sicubi vsus iis erat, in meam rem conuerti, etiam ea, quae Villoisonius in *epistolis Vinariensibus* inde a pag. 92 — 97. de locis quibusdam Clementis scripta e bibliotheca Vinariensi foras dedit, excussi. in his vero virorum doctorum annotationibus etsi nonnulla ita erant declarata, vt et assensum meum tulerint nec ego dubitauerim quam proposuerunt scripturam recipere: multa tamen esse cognoui ita comparata, vt qui caute criticum agat, aut in dubitationem vocare ea debeat

aut plane reiicere. itaque quos locos viri docti pro corruptissimis habuerunt multos, eos ego mihi videor aut mutata interpunctione aut faciliore quadam medicina quam quae istorum fuit persanauisse. cuius rei quamuis permulta possim exempla edere, id tamen tum declarabitur, quum id agemus.

Quod ad libros scriptos attinet, antistare ceteris videtur ille liber, qui asseruatur in bibliotheca *nouis* apud Oxonienses *collegi*, qui tamen praeter *cohortationem ad Graecos* duo tantum posteriores *paedagogi* libros continet. eum potissimum his in libris sequendum existimaui. praeter enim quam quod plerumque meliores exhibuit scripturas, deteriores spreuit, interdum singula vel plura etiam suppleuit verba, quae librariorum negligentia in aliis libris videmus esse omissa, vt *protrept.* §. 2. p. 3. ed. Pott. haec verba: *καὶ τῶν δραμάτων οἱ ὑποκριταὶ θυμηδίας θέαματα*, quae quin ab ipso Clemente profecta sint non potest esse dubium. ibid. §. 11. p. 11. ed. Pott. haec verba ex eo adiicienda duxi: *καὶ πλάνης ἀκράτου κυβευτήρια*. est enim boni critici non solum quae merito sunt suspecta reiicere, verum etiam si quid librariorum incuria amissum sit, id quantum in se est reprehendere. hoc a viris doctissimis interdum esse neglectum documento est Aristophanis locus de Acharnensibus, qui legitur versu 219 sqq. ed. G. Dind., vbi si quis Suidae verba et scholiastae annotationem considerauerit, id mihi spero facile concedet numeros poetae et sententiam sic restituenda esse:

κοὐκ ἀνήσω πρὶν ἂν σχοῖνος αὐτοῖσιν ἀντεμπαγῶ
καὶ σκόλοψ ὀξὺς, ὀδυνηρὸς, ἐπίκωπος, ἵνα
μή ποτε πατῶσιν ἔτι τὰς ἐμὰς ἀμπέλους.

Versus quos multos laudat Clemens ita studui constituere, vt exceptis paucis quos aperte viderem esse deprauatos, et metro et sententiae poetae satis facerem, praesertim quum in annotatione critica quae in libris

esset scriptura essem indicaturus. alii sic erant cu
Clementis oratione coniuncti, vt separari et disponi n
possent. ita *paedag.* lib. II. §. 109. p. 235. ed. Po
τί γὰρ φρόνιμον γυναῖκες ἐργάσαιντο intacta reliq
quoniam his Clemens pro suis vsus est, quanqua
paullo post *paedag.* lib. III. §. 7. p. 254. ed. Po
versum eum, quem fecit Aristophanes, recte sic sc
ptum habet:

τί γὰρ γυναῖκες φρόνιμον ἐργασαίμεθα —.

itemque *paedag.* lib. II. §. 25. p. 181 sq. ed. Po
haec verba sicut vulgo legebantur edidi: ὧν ἐστὶ
ζῆν οὐδὲν ἄλλ' ἢ κῶμος, κραιπάλη, βαλανεῖα, ἄκρ
τος, ἀμίδες, ἀργία, πότος., in quibus vt conceda
Clementem ante oculos habuisse comici poetae versu
non tamen quco neque Marklandi probare rationem, q
explicat. vet. auct. p. 247. sic haec verba scribi volui

ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κραιπάλη,
κῶμος, βαλανεῖ', ἄκρατος, ἀμίδες, ἀργία,
πότος,

neque cum Porsono facere, qui *aduersar.* p. 300 s
hos voluit esse versus:

ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κραιπάλη,
βαλανεῖ', ἄκρατος, ἀμίδες, ἀργία, πότος.

ac primum quidem verba ista ὧν ἐστὶ τὸ ζῆν οὐδ
ἄλλ' ἢ — aperte videntur esse Clementis, vt *paeda*
lib. II. §. 1. p. 163. ed. Pott., vbi haec verba legu
tur: οἷς οὐδὲν ἄλλ' ἢ γάστήρ ἐστιν ὁ βίος, quae n
hil habent cum versu commune: tum in Porsoni r
tione, qui verbum κῶμος ab librariis illatum sit i
telligi non potest, nisi forte ex eo exstitisse ais, qu
ascriptum fuerit ὁ κωμικός φησιν.

Quem ad modum igitur his in locis malui librorum
auctoritati morem gerere, quam quum incerta et v
ri similia consectarer, a regula seuerae critices declin
re, ita alibi non dubitaui coniecturis tantum tribuer
vt libris post habitis eas recipere auderem. quod quar

quam pluribus locis factum est, vnum tamen satis habeo afferre, vbi certam quandam coniecturam meam incertae atque haud scio an absurdae omnium librorum scripturae anteferendam esse arbitratus sum. *paedag.* lib. III. §. 49. p. 283. ed. Pott., vbi haec verba sunt in libris: *ἔτι δὲ αὐτουργικῶς προκομίζειν χρὴ ἐκ τοῦ ταμιείου τὰς γυναῖκας ὧν δεοίμεθα, καὶ τῷ μύλῳ προσιλθεῖν οὐκ αἰσχρὸν αὐτάς· οὐδὲ μὴν περὶ τὸ ὕφος ἀσχολεῖσθαι, ὅπως θυμῆρες ᾖ τἀνδρὶ, ὄνειδος οἰκουρῷ γαμετῇ καὶ βοηθῷ.*, vbi quum alius *περὶ τὸ ὄψον* coniecisset esse scribendum, alius *περὶ τὰ ὕφος*, vtrumque Sylburgius recte reprobauit, quod alterum supra commemorari diceret, alterum post esse dictum, in eo tamen falsus, vt opinio mea fert, quod librorum scripturam quodam modo posse explicari ratus est: quod quam parum ei successerit tacendum arbitror. illud dico qui diligenter Homerum lectitauerit cognitumque habeat Clementis studium haec egregia carmina quotiescunque occasio data est in vsum suum transferendi, eum non dubitaturum quin recte haec verba a me sic sint scripta: *οὐδὲ μὴν περὶ τὸ ὕδωρ ἀσχολεῖσθαι, ὅπως θυμῆρες ᾖ τἀνδρὶ, ὄνειδος οἰκουρῷ γαμετῇ καὶ βοηθῷ.* poeta enim praeclare hoc mulieris officium Odyss. κ. v. 358 sqq. his verbis describit:

ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει, καὶ πῦρ ἀνέκαιεν
πολλὰν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
αὐτὰρ ἐπειδὴ ζέσσεν ὕδωρ ἐνὶ ἠνοπι χαλκῷ,
ἐς ῥ' ἀσάμινθον ἔσασα, λό' ἐκ τρίποδος μεγάλοιο,
θυμῆρες κεράσασα, κατὰ κρατός τε καὶ ὤμων,
ὄφρα μοὶ ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων,

vbi quem ad modum hunc versum:

θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων,

rectius quam Fr. A. Wolfius fecit interpunxi, ita Iliad. o. v. 176 sq. videtur esse scribendum:

παυσάμενόν σε κέλευσε μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἠ εἰς ἅλα δῖαν,

pro eo quod idem Wolfius edidit *πανσάμενόν σ' ἐκ* λευσε. cf. Iliad. *β*. v. 28 et 65.

θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιούς, πανσυδίῃ.

et *ω*. 175.

λύσασθαί σε κέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον.

in isto vero Clementis loco vel verbum *θυμῆρες* a tis arguit esse scribenti Homeri versum ante ocul obuersatum. quapropter apud peritos iudices nulla d bebit esse de coniectura mea dubitatio.

Ceterum eandem rationem atque in reliquis hui bibliothecae voluminibus sequuti sumus, vt locos e scriptis sacris laudatos itemque Homeri et Hesiodi ve sus, quam id breuissime fieri posset, in margine a notaremus, aliorum vero scriptorum loci vt in ann tationum volumine quam diligentissime indicentur, st diose operam dabimus.

In tollendis autem librariorum mendis etsi Meut nerus me meus egregie adiuuit, accidit tamen vt m nuta quaedam relinquerentur vitia, quae si scire l ctorum interesset, infra indicaui.

Scripsi Lipsiae d. XVI. m. Nouembr. MDCCCXX

ΚΛΗΜΕΝΤΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ

ΛΟΓΟΣ

ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΠΡΟΣ ΕΛΛΗΝΑΣ.

P. 1 Ed. Sylb.

CLEMENTIS ALEXANDRINI PROTREPTICUS.

P. 1 ra. Ed. Pott.

Argumentum.

Cap. I. Ab orgiis et impiis idolorum mysteriis homines anocans, ad veram inhabitationem *dei verbi* nomine pronocat et ad laudes *dei patris* ob renelatam veritatem celebrandas hortatur (§. 1—10.). C. II. Absurditatem simul atque impietatem *mysteriorum ethnicorum* et *fabularum* de deorum ortu et interitu ostendit (§. 11—37.). C. III. Sacrificiorum diis mactatorum crudelitatem atque impuritatem perstringit (§. 38—41.). C. IV. Simulacra quam absurda et turpia sint, quibus gentes deos suos colant (§. 42—59.). C. V. Philosophorum sententias de *deo* recenset (§. 60—62.). C. VI. Illos aliquando, ipso inspirante, verum hoc in argumento vidisse (§. 63—68.). C. VII. Poetas etiam veritati hac in parte testimonium ferre (§. 69—72.). C. VIII. Veram de deo doctrinam a prophetis esse petendam (§. 73—77.). C. IX. Graviter illos peccare, qui benignam dei vocationem spernant aut negligant (§. 78—84.). C. X. Respondens obiectioni gentilium, qua nefas esse aiunt morem patrium deserere, eo impensius hortatur illas ad veritatem amplectendam, qua ab erroribus istis liberentur (§. 85—106.). C. XI. Quanta sint dei beneficia in homines per Christi aduentum collata (§. 107—113.). C. XII. Hortatur ut missis erroribus et cupiditatibus pristinis se Christo unico veritatis magistro instituendos praebeant (§. 114.—119.).

Cap. I.

§. 1. Ἀμφίων ὁ Θηβαῖος καὶ Ἀρίων ὁ Μηθυμναῖος ἄμφω μὲν ἦστην ᾠδικώ· μῦθος δὲ ἄμφω· καὶ τὸ ᾆσμα εἰσέτι τοῦτο Ἑλλήνων ᾄδεται χορῷ· τέχνῃ τῇ μουσικῇ ὁ μὲν ἴχθυν δελεάσας, ὁ δὲ Θήβας τειχίσας. P. 2 Θρᾴκιος δὲ ἄλλος σοφιστὴς — ἄλλος οὗτος μῦθος Ἑλ- Pott.

λληνικός — ἐκιθάσσενε τὰ θηρία γυμνῇ τῇ ᾠδῇ· κι
τὰ δένδρα, τὰς φηγούς, μετεφύτευε τῇ μουσ
ἔχοιμ' ἂν σοι καὶ ἄλλων τούτοις ἀδελφὸν διηγήσα
μῦθον καὶ ᾠδὸν, Εὔνομον τὸν Λοκρὸν καὶ τέ
τὸν Πυθικόν. πανήγυρις Ἑλληνικὴ ἐπὶ νεκρῷ
κοντι συνεκροτεῖτο Πυθοῖ, ἐπιτάφιον ἔρπετοῦ
τος Εὐνόμου· ὕμνος ἦν θρῆνος ὄφεως ἦν ἡ ᾠδὴ,
ἔχω λέγειν. ἀγὼν δὲ ἦν καὶ ἐκιθάριζεν ὥρᾳ καύμ
Εὔνομος, ὑπηνίκα οἱ τέττιγες ὑπὸ τοῖς πετάλοις
ἀνὰ τὰ ὄρη θερόμενοι ἡλίῳ. ᾔδον δὲ ἄρα οὐ τῷ
κοντι τῷ νεκρῷ, ἀλλὰ τῷ θεῷ τῷ παυσόφῳ αὐ
μον ᾠδὴν, τῶν· Εὐνόμου βελτίονα νόμων· ᾠήγη
χορδῇ τῷ Λοκρῷ· ἐφίπταται ὁ τέττιξ τῷ ζυγῷ· ἑτερε
ὡς ἐπὶ κλάδῳ, τῷ ὀργάνῳ· καὶ τοῦ τέττιγος τῷ ᾄ
τι ἁρμοσάμενος ὁ ᾠδὸς τὴν λείπουσαν ἀνεπλή
χορδήν. οὐκοῦν ᾠδῇ τῇ Εὐνόμου ἄγεται ὁ τέττιξ
ὁ μῦθος βούλεται, χαλκοῦν ἀναστήσας Πυθοῖ τὸν
νομον αὐτῇ τῇ κιθάρᾳ καὶ τὸν συναγωνιστὴν τοῦ
κροῦ· ὁ δὲ ἐκὼν ἐφίπταται καὶ ᾄδει ἑκών. Ἐ
δὲ ἐδόκει ὑποκριτὴς γεγονέναι μουσικῆς.

§. 2. Πῇ δὴ οὖν μύθοις κενοῖς πεπιστεύ
θέλγεσθαι μουσικῇ τὰ ζῶα ὑπολαμβάνοντες· ἀλη
δὲ ὑμῖν τὸ πρόσωπον τὸ φαιδρὸν μόνον, ὡς ἐ
ἐπίπλαστον εἶναι δοκεῖ καὶ τοῖς τῆς ἀπιστίας ὑπ
πτωκεν ὀφθαλμοῖς; Κιθαιρὼν δὲ ἄρα καὶ Ἑλικὼ
τὰ Ὀδρυσῶν ὄρη καὶ Θρᾳκῶν τελεστήρια, τῆς
νης τὰ μυστήρια, τεθείασται καὶ καθύμνηται. ἐ
μὲν, εἰ καὶ μῦθος εἰσὶ, δυσανασχετῶ τοσαύτα
ἐκτραγῳδουμέναις συμφοραῖς· ὑμῖν δὲ καὶ τῶν
ἀναγραφαὶ γεγόνασι δράματα καὶ τῶν δραμάτ
ὑποκριταὶ θυμηδίας θεάματα· ἀλλὰ γὰρ τὰ μὲν
ματα καὶ τοὺς ληναΐζοντας ποιητὰς, τέλεον ἤδη π
νοῦντας, κιττῷ που ἀναδήσαντες, ἀφραίνοντας
πως τελετῇ βακχικῇ, αὐτοῖς σατύροις καὶ θιάσ
ὑλῃ, σὺν καὶ τῷ ἄλλῳ δαιμόνων χορῷ, Ἑλικῶ
Κιθαιρῶνι κατακλείσωμεν γεγηρακόσιν· κατάγω

ἄνωθεν ἐξ οὐρανῶν ἀλήθειαν ἅμα φανοτάτῃ φρονήσει εἰς ὄρος ἅγιον θεοῦ καὶ χορὸν τὸν ἅγιον τὸν προφητικόν, ἥ δὲ ὡς ὅτι μάλιστα τηλαυγὲς ἀποστίλβουσα φῶς, καταυγαζέτω πάντῃ τοὺς ἐν σκότει κυλινδουμένους καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἀπαλλαττέτω, τὴν ὑπερτάτην ὀρέγουσα δεξιὰν, τὴν σύνεσιν, εἰς σωτηρίαν· οἱ δὲ ἀνανεύσαντες καὶ ἀνακύψαντες Ἑλικῶνα μὲν καὶ Κιθαιρῶνα καταλειπόντων, οἰκούντων δὲ Σιών· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἰερουσαλὴμ*), λόγος οὐράνιος, ὁ γνήσιος ἀγωνιστὴς ἐπὶ τῷ παντὸς κόσμου θεάτρῳ στεφανούμενος. ἄδει δέ γε ὁ Εὔνομος ὁ ἐμὸς οὐ τὸν Τερπάνδρου νόμον οὐδὲ τὸν Καπίτωνος, οὐδὲ μὴν Φρύγιον ἢ Λύδιον ἢ Δώριον, ἀλλὰ τῆς καινῆς ἁρμονίας τὸν ἀΐδιον νόμον, τὸν φερώνυμον τοῦ θεοῦ, τὸ ᾆσμα τὸ καινὸν**), τὸ λευιτικὸν,

νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων·***)

γλυκύ τι καὶ ἀληθινὸν φάρμακον πειθοῦς ἐγκέκραται τῷ ᾄσματι.

§. 3. Ἐμοὶ μὲν οὖν δοκοῦσιν ὁ Θρᾴκιος ἐκεῖνος Ὀρφεὺς καὶ ὁ Θηβαῖος καὶ ὁ Μηθυμναῖος, ἄνδρες τινὲς οὐκ ἄνδρες, ἀπατηλοὶ γεγονέναι, προσχήματι μουσικῆς λυμηνόμενοι τὸν βίον, ἐντέχνῳ τινὶ γοητείᾳ δαιμονῶντες εἰς διαφθοράς, ὕβρεις ὀργιάζοντες, πένθη ἐκθειάζοντες, τοὺς ἀνθρώπους ἐπὶ τὰ εἴδωλα χειραγωγῆσαι πρῶτοι· ναὶ μὴν λίθοις καὶ ξύλοις, τουτέστιν ἀγάλμασι καὶ σκιαγραφίαις, ἀνοικοδομῆσαι τὴν σκαιότητα τοῦ ἔθους, τὴν καλὴν ὄντως ἐκείνην ἐλευθερίαν τῶν ὑπ' οὐρανὸν πεπολιτευμένων ᾠδαῖς καὶ ἐπῳδαῖς ἐσχάτῃ δουλείᾳ καταζεύξαντες· ἀλλ' οὐ τοιόσδε ὁ ᾠδὸς ὁ ἐμὸς οὐδ' εἰς μακρὰν καταλύσων ἀφῖκται τὴν δουλείαν τὴν πικρὰν τῶν τυραννούντων

P. 4 Pott.

P. 2 8ylb.

*) Ies. 2, 3. **) Psalm. 96. 1. 98, 1. ***) Hom. Odyss. δ. 221.

δαιμόνων· ὡς δὲ τὸν πρᾶον καὶ φιλάνθρωπον τῆς θεοσεβείας μετάγων ἡμᾶς ζυγὸν, αὖθις εἰς οὐρανοὺς ἀνακαλεῖται τοὺς εἰς γῆν ἐρριμμένους.

§. 4. Μόνος γοῦν τῶν πώποτε τὰ ἀργαλεώτατα θηρία, τοὺς ἀνθρώπους, ἐτιθάσσευεν· πτηνὰ μὲν τοὺς κούφους αὐτῶν· ἑρπετὰ δὲ, τοὺς ἀπατεῶνας, καὶ λέοντας μὲν, τοὺς θυμικούς· σύας δὲ, τοὺς ἡδονικούς· λύκους δὲ, τοὺς ἁρπακτικούς. λίθοι δὲ καὶ ξύλα οἱ ἄφρονες· πρὸς δὲ καὶ λίθων ἀναισθητότερος ἄνθρωπος ἀγνοίᾳ βεβαπτισμένος. μάρτυς ἡμῖν προφητικὴ παρίτω φωνὴ, συνῳδὸς ἀληθείας, τοὺς ἐν ἀγνοίᾳ καὶ ἀνοίᾳ κατατετριμμένους οἰκτείρουσα· δυνατὸς γὰρ ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ*). ὃς κατελεήσας τὴν ἀμαθίαν τὴν πολλὴν καὶ τὴν σκληροκαρδίαν τῶν εἰς τὴν ἀλήθειαν λελιθωμένων, ἤγειρεν θεοσεβείας σπέρμα ἀρετῆς αἰσθόμενον ἐκ λίθων ἐκείνων τῶν λίθοις πεπιστευκότων ἐθνῶν. αὖθις οὖν ἰοβόλους τινὰς καὶ παλιμβόλους ὑποκριτὰς ἐφοδεύοντας δικαιοσύνης γεννήματα ἐχιδνῶν**) κέκληκέ που· ἀλλὰ καὶ τούτων εἴ τις τῶν ὄφεων μετανοήσαι ἐκὼν, ἑπόμενος δὴ τῷ λόγῳ ἄνθρωπος γίνεται θεοῦ***). λύκους δὲ ἄλλους ἀλληγορεῖ προβάτων κωδίοις ἠμφιεσμένους†), τοὺς ἐν ἀνθρώπων μορφαῖς ἁρπακτικοὺς αἰνιττόμενος. καὶ πάντα ἄρα ταῦτα τὰ ἀγριώτατα θηρία καὶ τοὺς τοιούτους λίθους ἡ οὐράνιος ᾠδὴ αὐτὴ μετεμόρφωσεν εἰς ἀνθρώπους ἡμέρους. ἦμεν γὰρ, ἦμέν ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἡδοναῖς καὶ ἐπιθυμίαις ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοὶ, μισοῦντες ἀλλήλους††), Pot ἢ φησὶν ἡ ἀποστολικὴ γραφή· ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς†††). ὅρα τὸ

*) Matth. 3, 9. Luc. 3, 8. **) Matth. 3, 7. Luc. 3, 7. ***) Timoth. 3, 17. †) Matth. 7, 15. ††) Tit. 3, 3. †††) Tit. 3, 4 sq.

ἄσμα τὸ καινὸν ὅσον ἴσχυσεν· ἀνθρώπους ἐκ λίθων καὶ ἀνθρώπους ἐκ θηρίων πεποίηκεν. οἱ δὲ τηνάλλως ὡς νεκροὶ, οἱ τῆς ὄντως οὔσης ἀμέτοχοι ζωῆς, ἀκροαταὶ μόνον γενόμενοι τοῦ ἄσματος, ἀνεβίωσαν.

§. 5. Τοῦτό τοι καὶ τὸ πᾶν ἐκόσμησεν ἐμμελῶς καὶ τῶν στοιχείων τὴν διαφωνίαν εἰς τάξιν ἐνέτεινε συμφωνίας, ἵνα δὴ ὅλος ὁ κόσμος αὐτῷ ἁρμονία γένηται· καὶ θάλασσαν μὲν ἀνῆκε λελυμένην, γῆς δὲ ἐπιβαίνειν κεκώλυπεν, αὐτὴν δὴ γῆν ἔμπαλιν ἐστερέωσε φερομένην καὶ ὄρον αὐτῇ ἔπηξε θάλασσαν· ναὶ μὴν καὶ πυρὸς ὁρμὴν ἐμάλαξεν ἀέρι, οἱονεὶ Δώριον ἁρμονίαν κράσας Λυδίῳ· καὶ τὴν ἀέρος ἀπηνῆ ψυχρότητα τῇ παραπλοκῇ τοῦ πυρὸς ἐτιθάσσευσε, τοὺς νεάτους τῶν ὅλων φθόγγους τούτους κιρνὰς ἐμμελῶς. καὶ δὴ τὸ ἄσμα τὸ ἀκήρατον, ἔρεισμα τῶν ὅλων καὶ ἁρμονία τῶν πάντων, ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα διατιθὲν, ἡρμόσατο τόδε τὸ πᾶν, οὐ κατὰ τὴν Θρᾴκιον μουσικὴν, τὴν παραπλήσιον Τυρβὰλ, κατὰ δὲ τὴν πάτριον τοῦ θεοῦ βούλησιν, ἣν ἐζήλωσε Δαβίδ. ὁ δὲ ἐκ Δαβὶδ καὶ πρὸ αὐτοῦ ὁ τοῦ θεοῦ λόγος λύραν μὲν καὶ κιθάραν, τὰ ἄψυχα ὄργανα, ὑπεριδών, κόσμον δὲ τόνδε καὶ δὴ καὶ τὸν σμικρὸν κόσμον, τὸν ἄνθρωπον, ψυχήν τε καὶ σῶμα αὐτοῦ, ἁγίῳ πνεύματι ἁρμοσάμενος, ψάλλει τῷ θεῷ, διὰ τοῦ πολυφώνου ὀργάνου καὶ προσᾴδει τούτῳ τῷ ὀργάνῳ τῷ ἀνθρώπῳ. σὺ γὰρ εἶ κιθάρα καὶ αὐλὸς καὶ ναὸς ἐμοί· κιθάρα, διὰ τὴν ἁρμονίαν· αὐλὸς, διὰ τὸ πνεῦμα· ναὸς, διὰ τὸν λόγον· ἵν' ἡ μὲν κρέκῃ, τὸ δὲ ἐμπνέῃ, ὁ δὲ χωρήσῃ τὸν κύριον. ναὶ μὴν ὁ Δαβὶδ, ὁ βασιλεὺς, ὁ κιθαριστὴς, οὗ μικρῷ πρόσθεν ἐμνήσθημεν, ὃς προὔτρεπεν ὡς τὴν ἀλήθειαν, ἀπέτρεπε δὲ εἰδώλων, πολλοῦ γε ἔδει ἐμνεῖν αὐτὸν τοὺς δαίμονας, ἀληθεῖ πρὸς αὐτοῦ διωκομένους μουσικῇ, ἢ τῷ Σαοὺλ ἐνεργουμένῳ ἐκεῖνος ᾄδων μόνον, αὐτὸν ἰάσατο. καλὸν

P. 6 Pott.

ὁ κύριος ὄργανον ἔμπνουν τὸν ἄνθρωπον ἐξειργάσατο κατ' εἰκόνα τὴν ἑαυτοῦ· ἀμέλει καὶ αὐτὸς ὄργανόν ἐστι θεοῦ παναρμόνιον, ἐμμελὲς καὶ ἅγιον, σοφίᾳ ὑπερκόσμιος, οὐράνιος λόγος.

§. 6. Τί δὴ οὖν τὸ ὄργανον, ὃ τοῦ θεοῦ λόγος ὁ κύριος καὶ τὸ ᾆσμα τὸ καινὸν βούλεται, ὀφθαλμοὺς ἀναπετάσαι τυφλῶν καὶ ὦτα ἀνοῖξαι κωφῶν καὶ σκάζοντας τῷ πόδε ἢ πλανωμένους εἰς δικαιοσύνην χειραγωγῆσαι, θεὸν ἀνθρώποις ἀφραίνουσιν ἐπιδεῖξαι, παῦσαι φθορὰν, νικῆσαι θάνατον, νίοὺς ἀπειθεῖς διαλλάξαι πατρί. φιλάνθρωπον τὸ ὄργανον τοῦ θεοῦ· ὁ κύριος ἐλεεῖ, παιδεύει, προτρέπει, νουθετεῖ, σώζει, φυλάττει καὶ μισθὸν ἡμῖν τῆς μαθήσεως ἐκ περιουσίας, βασιλείαν οὐρανῶν, ἐπαγγέλλεται, τοῦτο μόνον ἀπολαύων ἡμῶν, ὃ σωζόμεθα. κακία μὲν γὰρ τὴν ἀνθρώπων ἐπιβόσκεται φθοράν, ἡ δὲ ἀλήθεια, ὥσπερ ἡ μέλιττα, λυμαινομένη τῶν ὄντων οὐδέν, ἐπὶ μόνης τῆς ἀνθρώπων ἀγάλλεται σωτηρίας. ἔχεις οὖν τὴν ἐπαγγελίαν, ἔχεις τὴν φιλανθρωπίαν, τῆς χάριτος μεταλάμβανε. καί μου τὸ ᾆσμα τὸ σωτήριον μὴ καινὸν οὕτως ὑπολάβῃς, ὡς σκεῦος ἢ ὡς οἰκίαν· πρὸ ἑωσφόρου γὰρ ἦν"*), καὶ „ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος"**)· παλαιὰ δὲ ἡ πλάνη, καινὸν δὲ ἡ ἀλήθεια φαίνεται. εἴτ' οὖν ἀρχαίους τοὺς Φρύγας διδάσκουσιν αἶγες μυθικαὶ, εἴτε αὖ τοὺς Ἀρκάδας οἱ προσελήνους ἀναγράφοντες ποιηταὶ, εἴτε μὴν αὖ τοὺς Αἰγυπτίους οἱ καὶ πρώτην ταύτην ἀναφῦναι τὴν γῆν θεούς τε καὶ ἀνθρώπους ὀνειρώσσοντες· ἀλλ' οὐ πρό γε τοῦ κόσμου τοῦδε τούτων οὐδὲ εἷς, πρὸ δὲ τῆς τοῦ κόσμου καταβολῆς ἡμεῖς, οἱ τῷ δεῖν ἔσεσθαι ἐν αὐτῷ πρότερον γεγεννημένοι τῷ θεῷ, τοῦ θεοῦ λόγου τὰ λογικὰ πλάσματα ἡμεῖς, δι' ὃν ἀρχαΐζομεν, ὅτι „ἐν ἀρχῇ ὁ λόγος ἦν"***). ἀλλ' ὅτι μὲν ἦν ὁ λόγος ἄνωθεν ἀρχὴ θεία

P. 3 Sylb.

*) Psalm. 110, 3. **) Ioann. 1, 1. ***) l. l.

τῶν πάντων ἦν τε καὶ ἔστιν· ὅτι δὲ νῦν ὄνομα ἔλαβεν, τὸ πάλαι καθωσιωμένον, δυνάμεως ἄξιον, ὁ Χριστὸς, καινὸν ἄσμά μοι κέκληται. P. 7

§. 7. Οὗτος γοῦν ὁ λόγος, ὁ Χριστὸς, καὶ τοῦ Patt. εἶναι πάλαι ἡμᾶς, ἦν γὰρ ἐν Θεῷ, καὶ τοῦ εὖ εἶναι, νῦν δὴ ἐπεφάνη ἀνθρώποις αὐτὸς οὗτος ὁ λόγος, ὁ μόνος ἄμφω, θεός τε καὶ ἄνθρωπος, ἁπάντων ἡμῖν αἴτιος ἀγαθῶν· παρ' οὗ τὸ εὖ ζῆν ἐκδιδασκόμενοι εἰς ἀΐδιον ζωὴν παραπεμπόμεθα. κατὰ γὰρ τὸν θεσπέσιον ἐκεῖνον τοῦ κυρίου ἀπόστολον, „ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις ἐπεφάνη, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ" *). τοῦτό ἐστι τὸ ἄσμα τὸ καινὸν, ἡ ἐπιφάνεια, ἡ νῦν ἐκλάμψασα ἐν ἡμῖν τοῦ ἐν ἀρχῇ ὄντος καὶ προόντος λόγου· ἐπεφάνη δὲ ἔναγχος ὁ προὼν σωτήρ· ἐπεφάνη οὖ ἐν τῷ ὄντι ὤν, ὅτι ὁ λόγος, ὃς ἦν πρὸς τὸν θεὸν, διδάσκαλος ἐπεφάνη, ᾧ τὰ πάντα δεδημιούργηται· λόγος ὁ καὶ τὸ ζῆν ἐν ἀρχῇ μετὰ τοῦ πλάσαι παρασχών, ὡς δημιουργὸς, τὸ εὖ ζῆν ἐδίδαξεν, ἐπιφανεὶς ὡς διδάσκαλος, ἵνα τὸ ἀεὶ ζῆν ὕστερον ὡς θεὸς χορηγήσῃ. ὁ δέ, οὐ νῦν γε πρῶτον ᾤκτειρεν ἡμᾶς τῆς πλάνης, ἀλλ' ἄνωθεν ἀρχῆθεν. νῦν δὲ ἤδη ἀπολλυμένους ἐπιφανεὶς περισέσωκεν. τὸ γὰρ πονηρὸν καὶ ἐρπυστικὸν θηρίον γοητεῦον καταδουλοῦται καὶ αἰκίζεται εἰς ἔτι νῦν τοὺς ἀνθρώπους, ἐμοὶ δοκεῖν, βαρβαρικῶς τιμωρούμενον, οἳ νεκροῖς τοὺς αἰχμαλώτους συνδεῖν λέγονται σώμασιν, ἔστ' ἂν αὐτοῖς καὶ συσσαπῶσιν. ὁ γοῦν πονηρὸς οὑτοσὶ τύραννος καὶ δράκων, οὓς ἂν οἷός τε εἴῃ ἐκ γενετῆς σφετερίσασθαι λίθοις καὶ ξύλοις καὶ ἀγάλμασι καὶ τοιούτοις τισὶν

*) Tit. 2, 11 — 13.

esset scriptura essem indicaturus. alii sic erant cum Clementis oratione coniuncti, vt separari et disponi non possent. ita *paedag.* lib. II. §. 109. p. 235. ed. Pott τί γὰρ φρόνιμον γυναῖκες ἐργάσαιντο intacta reliqui quoniam his Clemens pro suis vsus est, quanquam paullo post *paedag.* lib. III. §. 7. p. 254. ed. Pott versum eum, quem fecit Aristophanes, recte sic scriptum habet:

τί γὰρ γυναῖκες φρόνιμον ἐργασαίμεθα —.

itemque *paedag.* lib. II. §. 26. p. 181 sq. ed. Pott haec verba sicut vulgo legebantur edidi: ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κῶμος, κραιπάλη, βαλανεῖα, ἄκρατος, ἀμίδες, ἀργία, πότος., in quibus vt concedam Clementem ante oculos habuisse comici poetae versum non tamen quco neque Marklandi probare rationem, qui *explicat. vet. auct.* p. 247. sic haec verba scribi voluit

ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κραιπάλη,
κῶμος, βαλανεῖ', ἄκρατος, ἀμίδες, ἀργία,
πότος,

neque cum Porsono facere, qui *aduersar.* p. 300 sq hos voluit esse versus:

ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ κραιπάλη,
βαλανεῖ', ἄκρατος, ἀμίδες, ἀργία, πότος.

an primum quidem verba ista ὧν ἐστὶ τὸ ζῆν οὐδὲν ἄλλ' ἢ — aperte videntur esse Clementis, vt *paedag.* lib. II. §. 1. p. 163. ed. Pott., vbi haec verba leguntur: οἷς οὐδὲν ἄλλ' ἢ γαστὴρ ἐστιν ὁ βίος, quae nihil habent cum versu commune: tum in Porsoni ratione, qui verbum κῶμος ab librariis illatum sit intelligi non potest, nisi forte ex eo exstitisse ais, quod ascriptum fuerit ὁ κωμικός φησιν.

Quem ad modum igitur his in locis malui librorum auctoritati morem gerere, quam quum incerta et veri similia consectarer, a regula seuerae critices declinare, ita alibi non dubitaui coniecturis tantum tribuere, vt libris post habitis eas recipere auderem. quod quan-

quam pluribus locis factum est, vnum tamen satis habeo afferre, vbi certam quandam coniecturam meam incertae atque haud scio an absurdae omnium librorum scripturae anteferendam esse arbitratus sum. *paedag.* lib. III. §. 49. p. 283. ed. Pott., vbi haec verba sunt in libris: ἔτι δὲ αὐτουργικῶς προκομίζειν χρὴ ἐκ τοῦ ταμιείου τὰς γυναῖκας ὧν δεοίμεθα, καὶ τῷ μύλῳ προσελθεῖν οὐκ αἰσχρὸν αὐτάς· οὐδὲ μὴν περὶ τὸ ὕψος ἀσχολεῖσθαι, ὅπως θυμῆρες ᾖ τἀνδρὶ, ὄνειδος οἰκουρῷ γαμετῇ καὶ βοηθῷ., vbi quum alius περὶ τὸ ὄψον coniecisset esse scribendum, alius περὶ τὰ ὕφος, vtrumque Sylburgius recte reprobauit, quod alterum supra commemorari diceret, alterum post esse dictum, in eo tamen falsus, vt opinio mea fert, quod librorum scripturam quodam modo posse explicari ratus est: quod quam parum ei successerit tacendum arbitror. illud dico qui diligenter Homerum lectitauerit cognitumque habeat Clementis studium haec egregia carmina quotiescunque occasio data est in vsum suum transferendi, eum non dubitaturum quin recte haec verba a me sic sint scripta: οὐδὲ μὴν περὶ τὸ ὕδωρ ἀσχολεῖσθαι, ὅπως θυμῆρες ᾖ τἀνδρὶ, ὄνειδος οἰκουρῷ γαμετῇ καὶ βοηθῷ. poeta enim praeclare hoc mulieris officium Odyss. κ. v. 358 sqq. his verbis descripsit:

ἡ δὲ τετάρτη ὕδωρ ἐφόρει, καὶ πῦρ ἀνέκαιεν
πολλὰν ὑπὸ τρίποδι μεγάλῳ· ἰαίνετο δ' ὕδωρ.
αὐτὰρ ἐπειδὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
ἐς ῥ' ἀσάμινθον ἔσασα, λό' ἐκ τρίποδος μεγάλοιο,
θυμῆρες κεράσασα, κατὰ κρατός τε καὶ ὤμων,
ὄφρα μοι ἐκ κάματον θυμοφθόρον εἵλετο γυίων,

vbi quem ad modum hunc versum:

θυμῆρες κεράσασα κατὰ κρατός τε καὶ ὤμων,

rectius quam Fr. A. Wolfius fecit interpunxi, ita Iliad. ο. v. 176 sq. videtur esse scribendum:

παυσάμενόν σε κέλευσε μάχης ἠδὲ πτολέμοιο
ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν,

pro eo quod idem Wolfius edidit *παυσάμενόν σ' ἐκέλευσε.* cf. Iliad. *β.* v. 28 et 65.

θωρῆξαί σε κέλευσε καρηκομόωντας Ἀχαιούς,
πανσυδίῃ.

et *ω.* 175.

λύσασθαί σε κέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον.

in isto vero Clementis loco vel verbum *θυμῆρες* satis arguit esse scribenti Homeri versum ante oculos obuersatum. quapropter apud peritos iudices nulla debebit esse de coniectura mea dubitatio.

Ceterum eandem rationem atque in reliquis huius bibliothecae voluminibus sequuti sumus, vt locos ex scriptis sacris laudatos itemque Homeri et Hesiodi versus, quam id breuissime fieri posset, in margine annotaremus, aliorum vero scriptorum loci vt in annotationum volumine quam diligentissime indicentur, studiose operam dabimus.

In tollendis autem librariorum mendis etsi Meutznerus me meus egregie adiuuit, accidit tamen vt minuta quaedam relinquerentur vitia, quae si scire lectorum interesset, infra indicaui.

Scripsi Lipsiae d. XVI. m. Nouembr. MDCCCXXX.

ΚΛΗΜΕΝΤΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ

ΛΟΓΟΣ

ΠΡΟΤΡΕΠΤΙΚΟΣ ΠΡΟΣ ΕΛΛΗΝΑΣ.

P. 1 Ed. Sylb.

CLEMENTIS ALEXANDRINI PROTREPTICUS.

P. 1 ed. Pott.

Argumentum.

Cap. I. Ab orgiis et impiis idolorum mysteriis homines anocans, ad veram inbilationem *dei verbi* nomine pronocat et ad laudes *dei patris* ob renelatam veritatem celebrandas hortatur (§. 1—10.). C. II. Absurditatem simul atque impietatem *mysteriorum ethnicorum* et *fabularum* de deorum ortu et interitu ostendit (§. 11—37.). C. III. Sacrificiorum diis mactatorum crudelitatem atque impuritatem perstringit (§. 38—41.). C. IV. Simulacra quam absurda et turpia sint, quibus gentes deos suos colant (§. 42—59.). C. V. Philosophorum sententias de *deo* recenset (§. 60—62.). C. VI. Illos aliquando, ipso inspirante, verum hoc in argumento vidisse (§. 63—68.). C. VII. Poetas etiam veritati hac in parte testimonium ferre (§. 69—72.). C. VIII. Veram de deo doctrinam a prophetis esse petendam (§. 73—77.). C. IX. Graniter illos peccare, qui benignam dei vocationem spernant aut negligant (§. 78—84.). C. X. Respondens obiectioni gentilium, qua nefas esse aiunt morem patrium deserere, eo impensius hortatur illas ad veritatem amplectendam, qua ab erroribus istis liberentur (§. 85—106.). C. XI. Quanta sint dei beneficia in homines per Christi aduentum collata (§. 107—113.). C. XII. Hortatur ut missis erroribus et cupiditatibus pristinis se Christo vaice veritatis magistro instituendos praebeant (§. 114.—119.).

Cap. I.

§. 1. *Ἀμφίων ὁ Θηβαῖος καὶ Ἀρίων ὁ Μηθυμναῖος ἄμφω μὲν ἦστην ᾠδικώ· μῦθος δὲ ἄμφω· καὶ τὸ ἄσμα εἰσέτι τοῦτο Ἑλλήνων ἄδεται χορῷ· τέχνῃ τῇ μουσικῇ ὁ μὲν ἰχθὺν δελεάσας, ὁ δὲ Θήβας τειχίσας.* P. 2 *ὁ Θρᾴκιος δὲ ἄλλος σοφιστὴς — ἄλλος οὗτος μῦθος Ἑλ-* Pott.

λληνικός — ἐτιθάσσευε τὰ θηρία γυμνῇ τῇ ᾠδῇ· καὶ δὴ τὰ δένδρα, τὰς φηγούς, μετεφύτευε τῇ μουσικῇ. ἔχοιμ' ἂν σοι καὶ ἄλλων τούτοις ἀδελφὸν διηγήσασθαι μῦθον καὶ ᾠδόν, Εὔνομον τὸν Λοκρὸν καὶ τέττιγα τὸν Πυθικόν. πανήγυρις Ἑλληνικὴ ἐπὶ νεκρῷ Δράκοντι συνεκροτεῖτο Πυθοῖ, ἐπιτάφιον ἕρπετοῦ ᾄδοντος Εὐνόμου· ὕμνος ἦ θρῆνος ὄφεως ἦν ἡ ᾠδή, οὐκ ἔχω λέγειν. ἀγὼν δὲ ἦν καὶ ἐκιθάριζεν ὥρᾳ καύματος Εὔνομος, ὑπηνίκα οἱ τέττιγες ὑπὸ τοῖς πετάλοις ᾖδον ἀνὰ τὰ ὄρη θερόμενοι ἡλίῳ. ᾖδον δὲ ἄρα οὐ τῷ Δράκοντι τῷ νεκρῷ, ἀλλὰ τῷ θεῷ τῷ παντόφρῳ αὐτόνομον ᾠδήν, τῶν· Εὐνόμου βελτίονα νόμων· ῥήγνυται χορδὴ τῷ Λοκρῷ· ἐφίπταται ὁ τέττιξ τῷ ζυγῷ· ἐτερέτιζεν ὡς ἐπὶ κλάδῳ, τῷ ὀργάνῳ· καὶ τοῦ τέττιγος τῷ ἄσματι ἁρμοσάμενος ὁ ᾠδὸς τὴν λείπουσαν ἀνεπλήρωσε χορδήν. οὐκοῦν ᾠδῇ τῇ Εὐνόμου ἄγεται ὁ τέττιξ, ὡς ὁ μῦθος βούλεται, χαλκοῦν ἀναστήσας Πυθοῖ τὸν Εὔνομον αὐτῇ τῇ κιθάρᾳ καὶ τὸν συναγωνιστὴν τοῦ Λοκροῦ· ὁ δὲ ἐκὼν ἐφίπταται καὶ ᾄδει ἑκών. Ἕλλησι δὲ ἐδόκει ὑποκριτὴς γεγονέναι μουσικῆς.

§. 2. Πῇ δὴ οὖν μύθοις κενοῖς πεπιστεύκατε, θέλγεσθαι μουσικῇ τὰ ζῶα ὑπολαμβάνοντες· ἀληθείας δὲ ὑμῖν τὸ πρόσωπον τὸ φαιδρὸν μόνον, ὡς ἔοικεν, ἐπίπλαστον εἶναι δοκεῖ καὶ τοῖς τῆς ἀπιστίας ὑποπέπτωκεν ὀφθαλμοῖς; Κιθαιρὼν δὲ ἄρα καὶ Ἑλικὼν καὶ τὰ Ὀδρυσῶν ὄρη καὶ Θρᾳκῶν τελεστήρια, τῆς πλάνης τὰ μυστήρια, τεθείασται καὶ καθύμνηται. ἐγὼ P. μὲν, εἰ καὶ μῦθος εἰσὶ, δυσανασχετῶ τοσαύταις P ἐκτραγῳδουμέναις συμφοραῖς· ὑμῖν δὲ καὶ τῶν κακῶν ἀναγραφαὶ γεγόνασι δράματα καὶ τῶν δραμάτων οἱ ὑποκριταὶ θυμηδίας θεάματα· ἀλλὰ γὰρ τὰ μὲν δράματα καὶ τοὺς ληναΐζοντας ποιητὰς, τέλεον ἤδη παρωνῳῦντας, κιττῷ που ἀναδήσαντες, ἀφραίνοντας ἐκτόπως τελετῇ βακχικῇ, αὐτοῖς σατύροις καὶ Θιάσῳ μαινάδων ὕλῃ, σὺν καὶ τῷ ἄλλῳ δαιμόνων χορῷ, Ἑλικῶνι καὶ Κιθαιρῶνι κατακλείσωμεν γεγηρακόσιν· κατάγωμεν δὲ

ἄνωθεν ἐξ οὐρανῶν ἀλήθειαν ἅμα φανοτάτῃ φρονήσει εἰς ὄρος ἅγιον θεοῦ καὶ χορὸν τὸν ἅγιον τὸν προφητικόν, ἣ δὲ ὡς ὅτι μάλιστα τηλαυγὲς ἀποστίλβουσα φῶς, καταυγαζέτω πάντῃ τοὺς ἐν σκότει κυλινδουμένους καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἀπαλλαττέτω, τὴν ὑπερτάτην ὀρέγουσα δεξιὰν, τὴν σύνεσιν, εἰς σωτηρίαν· οἱ δὲ ἀνανεύσαντες καὶ ἀνακύψαντες Ἑλικῶνα μὲν καὶ Κιθαιρῶνα καταλειπόντων, οἰκούντων δὲ Σιών· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἱερουσαλὴμ*), λόγος οὐράνιος, ὁ γνήσιος ἀγωνιστὴς ἐπὶ τῷ παντὸς κόσμου θεάτρῳ στεφανούμενος. ἄδει δέ γε ὁ Εὔνομος ὁ ἐμὸς οὐ τὸν Τερπάνδρου νόμον οὐδὲ τὸν Καπίτωνος, οὐδὲ μὴν Φρύγιον ἢ Λύδιον ἢ Δώριον, ἀλλὰ τῆς καινῆς ἁρμονίας τὸν ᾄδιον νόμον, τὸν φερώνυμον τοῦ θεοῦ, τὸ ᾆσμα τὸ καινὸν**), τὸ λευιτικὸν,

νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων·***)

γλυκύ τι καὶ ἀληθινὸν φάρμακον πειθοῦς ἐγκέκραται τῷ ᾄσματι.

§. 3. Ἐμοὶ μὲν οὖν δοκοῦσιν ὁ Θρᾴκιος ἐκεῖνος Ὀρφεὺς καὶ ὁ Θηβαῖος καὶ ὁ Μηθυμναῖος, ἄνδρες τινὲς οὐκ ἄνδρες, ἀπατηλοὶ γεγονέναι, προσχήματι μουσικῆς λυμηνάμενοι τὸν βίον, ἐντέχνῳ τινὶ γοητείᾳ δαιμονῶντες εἰς διαφθορὰς, ὕβρεις ὀργιάζοντες, πένθη ἐκθειάζοντες, τοὺς ἀνθρώπους ἐπὶ τὰ εἴδωλα χειραγωγῆσαι πρῶτοι· ναὶ μὴν λίθοις καὶ ξύλοις, τουτέστιν ἀγάλμασι καὶ σκιαγραφίαις, ἀνοικοδομῆσαι τὴν σκαιότητα τοῦ ἔθους, τὴν καλὴν ὄντως ἐκείνην ἐλευθερίαν τῶν ὑπ' οὐρανὸν πεπολιτευμένων ᾠδαῖς καὶ ᾠδαῖς ἐπᾴδαις ἐσχάτῃ δουλείᾳ καταζεύξαντες· ἀλλ' οὐ τοιόσδε ὁ ᾠδὸς ὁ ἐμὸς οὐδ' εἰς μακρὰν καταλύσων ἁρπᾶται τὴν δουλείαν τὴν πικρὰν τῶν τυραννούντων

*) Ies. 2, 3. **) Psalm. 96. 1. 98, 1. ***) Hom. Odyss. δ. 221.

δαιμόνων· ὡς δὲ τὸν πρᾶον καὶ φιλάνθρωπον τῆς θεοσεβείας μετάγων ἡμᾶς ζυγὸν, αὖθις εἰς οὐρανοὺς ἀνακαλεῖται τοὺς εἰς γῆν ἐρριμμένους.

§. 4. Μόνος γοῦν τῶν πώποτε τὰ ἀργαλεώτατα θηρία, τοὺς ἀνθρώπους, ἐτιθάσσευεν· πτηνὰ μὲν, τοὺς κούφους αὐτῶν· ἑρπετὰ δὲ, τοὺς ἀπατεῶνας, καὶ λέοντας μὲν, τοὺς θυμικούς· σύας δὲ, τοὺς ἡδονικούς· λύκους δὲ, τοὺς ἁρπακτικούς. λίθοι δὲ καὶ ξύλα οἱ ἄφρονες· πρὸς δὲ καὶ λίθων ἀναισθητότερος ἄνθρωπος ἀγνοίᾳ βεβαπτισμένος. μάρτυς ἡμῖν προφητικὴ παρίτω φωνὴ, συνῳδὸς ἀληθείᾳ, τοὺς ἐν ἀγνοίᾳ καὶ ἀνοίᾳ κατατετριμμένους οἰκτείρουσα· δυνατὸς γὰρ ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ*). ὃς κατελεήσας τὴν ἀμαθίαν τὴν πολλὴν καὶ τὴν σκληροκαρδίαν τῶν εἰς τὴν ἀλήθειαν λελιθωμένων, ἤγειρεν θεοσεβείας σπέρμα ἀρετῆς αἰσθόμενον ἐκ λίθων ἐκείνων τῶν λίθοις πεπιστευκότων ἐθνῶν. αὖθις οὖν ἰοβόλους τινὰς καὶ παλιμβόλους ὑποκριτὰς ἐξοδεύοντας δικαιοσύνης γεννήματα ἐχιδνῶν**) κέκληκέ που· ἀλλὰ καὶ τούτων εἴ τις τῶν ὄφεων μετανοήσαι ἐκών, ἐπόμενος δὴ τῷ λόγῳ ἄνθρωπος γίνεται θεοῦ***). λύκους δὲ ἄλλους ἀλληγορεῖ προβάτων κωδίοις ἠμφιεσμένους†), τοὺς ἐν ἀνθρώπων μορφαῖς ἁρπακτικοὺς αἰνιττόμενος. καὶ πάντα ἄρα ταῦτα τὰ ἀγριώτατα θηρία καὶ τοὺς τοιούτους λίθους ἡ οὐράνιος ᾠδὴ αὐτὴ μετεμόρφωσεν εἰς ἀνθρώπους ἡμέρους. ἦμεν γὰρ, ἦμέν ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἡδοναῖς καὶ ἐπιθυμίαις ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες, στυγητοὶ, μισοῦντες ἀλλήλους††), ἢ φησὶν ἡ ἀποστολικὴ γραφή· ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς†††). ὅρα τὸ

*) Matth. 3, 9. Luc. 3, 8. **) Matth. 3, 7. Luc. 3, 7. ***) Timoth. 3, 17. †) Matth. 7, 15. ††) Tit. 3, 3. †††) Tit. 3, 4 sq.

ἆσμα τὸ καινὸν ὅσον ἴσχυσεν· ἀνθρώπους ἐκ λίθων καὶ ἀνθρώπους ἐκ θηρίων πεποίηκεν. οἱ δὲ τηνάλλως ὡς νεκροὶ, οἱ τῆς ὄντως οὔσης ἀμέτοχοι ζωῆς, ἀκροαταὶ μόνον γενόμενοι τοῦ ἄσματος, ἀνεβίωσαν.

§. 5. Τοῦτό τοι καὶ τὸ πᾶν ἐκόσμησεν ἐμμελῶς καὶ τῶν στοιχείων τὴν διαφωνίαν εἰς τάξιν ἐνέτεινε συμφωνίας, ἵνα δὴ ὅλος ὁ κόσμος αὐτῷ ἁρμονία γένηται· καὶ θάλασσαν μὲν ἀνῆκε λελυμένην, γῆς δὲ ἐπιβαίνειν κεκώλυπεν, αὐτὴν δὴ γῆν ἔμπαλιν ἐστερέωσε φερομένην καὶ ὄρον αὐτῇ ἔπηξε θάλασσαν· καὶ μὴν καὶ πυρὸς ὁρμὴν ἐμάλαξεν ἀέρι, οἱονεὶ Δώριον ἁρμονίαν κράσας Λυδίῳ· καὶ τὴν ἀέρος ἀπηνῆ ψυχρότητα τῇ παραπλοκῇ τοῦ πυρὸς ἐτιθάσσευσε, τοὺς νεάτους τῶν ὅλων φθόγγους τούτους κιρνὰς ἐμμελῶς. καὶ δὴ τὸ ἆσμα τὸ ἀκήρατον, ἔρεισμα τῶν ὅλων καὶ ἁρμονία τῶν πάντων, ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα διατείνας, ἡρμόσατο τόδε τὸ πᾶν, οὐ κατὰ τὴν Θρᾴκιον μουσικὴν, τὴν παραπλήσιον Τουβὰλ, κατὰ δὲ τὴν πάτριον τοῦ θεοῦ βούλησιν, ἣν ἐζήλωσε Δαβίδ. ὁ δὲ ἐκ Δαβὶδ καὶ πρὸ αὐτοῦ ὁ τοῦ θεοῦ λόγος λύραν μὲν καὶ κιθάραν, τὰ ἄψυχα ὄργανα, ὑπεριδών, κόσμον δὲ τόνδε καὶ δὴ καὶ τὸν σμικρὸν κόσμον, τὸν ἄνθρωπον, ψυχήν τε καὶ σῶμα αὐτοῦ, ἁγίῳ πνεύματι ἁρμοσάμενος, ψάλλει τῷ θεῷ, διὰ τοῦ πολυφώνου ὀργάνου καὶ προσάδει τούτῳ τῷ ὀργάνῳ τῷ ἀνθρώπῳ. σὺ γὰρ εἶ κιθάρα καὶ αὐλὸς καὶ ναὸς ἐμοί· κιθάρα, διὰ τὴν ἁρμονίαν· αὐλὸς, διὰ τὸ πνεῦμα· ναὸς, διὰ τὸν λόγον· ἵν' ἡ μὲν κρέκῃ, τὸ δὲ ἐμπνέῃ, ὁ δὲ χωρήσῃ τὸν κύριον. καὶ μὴν ὁ Δαβὶδ, ὁ βασιλεὺς, ὁ κιθαριστὴς, οὗ μικρῷ πρόσθεν ἐμνήσθημεν, ὃς προὔτρεπεν ὡς τὴν ἀλήθειαν, ἀπέτρεπε δὲ εἰδώλων, Pott. P. 6
πολλοῦ γε ἔδει ἐμνεῖν αὐτὸν τοὺς δαίμονας, ἀληθεῖ πρὸς αὐτοῦ διωκομένους μουσικῇ, ᾗ τῷ Σαοὺλ ἐνεργουμένῳ ἐκεῖνος ᾄδων μόνον, αὐτὸν ἰάσατο. καλὸν

ὁ κύριος ὄργανον ἔμπνουν τὸν ἄνθρωπον ἐξειργάσατο κατ' εἰκόνα τὴν ἑαυτοῦ· ἀμέλει καὶ αὐτὸς ὄργανόν ἐστι θεοῦ παναρμόνιον, ἐμμελὲς καὶ ἅγιον, σοφίᾳ ὑπερκόσμιος, οὐράνιος λόγος.

§. 6. Τί δὴ οὖν τὸ ὄργανον, ὃ τοῦ θεοῦ λόγος ὁ κύριος καὶ τὸ ᾆσμα τὸ καινὸν βούλεται ὀφθαλμοὺς ἀναπετάσαι τυφλῶν καὶ ὦτα ἀνοῖξαι κωφῶν καὶ σκάζοντας τῷ πόδε ἢ πλανωμένους εἰς δικαιοσύνην χειραγωγῆσαι, θεὸν ἀνθρώποις ἀφραίνουσιν ἐπιδεῖξαι, παῦσαι φθοράν, νικῆσαι θάνατον, υἱοὺς ἀπειθεῖς διαλλάξαι πατρί. φιλάνθρωπον τὸ ὄργανον τοῦ θεοῦ· ὁ κύριος ἐλεεῖ, παιδεύει, προτρέπει, νουθετεῖ, σώζει, φυλάττει καὶ μισθὸν ἡμῖν τῆς μαθήσεως ἐκ περιουσίας, βασιλείαν οὐρανῶν, ἐπαγγέλλεται, τοῦτο μόνον ἀπολαύων ἡμῶν, ὃ σωζόμεθα. κακία μὲν γὰρ τὴν ἀνθρώπων ἐπιβόσκεται φθοράν, ἡ δὲ ἀλήθεια, ὥσπερ ἡ μέλιττα, λυμαινομένη τῶν ὄντων οὐδέν, ἐπὶ μόνης τῆς ἀνθρώπων ἀγάλλεται σωτηρίας. ἔχεις οὖν τὴν ἐπαγγελίαν, ἔχεις τὴν φιλανθρωπίαν, τῆς χάριτος μεταλάμβανε. καί μου τὸ ᾆσμα τὸ σωτήριον μὴ καινὸν οὕτως ὑπολάβῃς, ὡς σκεῦος ἢ ὡς οἰκίαν· „πρὸ ἑωσφόρου γὰρ ἦν"*), καὶ „ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος"**)· παλαιὰ δὲ ἡ πλάνη, καινὸν δὲ ἡ ἀλήθεια φαίνεται. εἴτ' οὖν ἀρχαίους τοὺς Φρύγας διδάσκουσιν αἶγες μυθικαί, εἴτε αὖ τοὺς Ἀρκάδας οἱ προσελήνους ἀναγράφοντες ποιηταί, εἴτε μὴν αὖ τοὺς Αἰγυπτίους οἱ καὶ πρώτην ταύτην ἀναφῦναι τὴν γῆν θεούς τε καὶ ἀνθρώπους ὀνειρώσσοντες· ἀλλ' οὐ πρό γε τοῦ κόσμου τοῦδε τούτων οὐδὲ εἷς, πρὸ δὲ τῆς τοῦ κόσμου καταβολῆς ἡμεῖς, οἱ τῷ δεῖν ἔσεσθαι ἐν αὐτῷ πρότερον γεγεννημένοι τῷ θεῷ, τοῦ θεοῦ λόγου τὰ λογικὰ πλάσματα ἡμεῖς, δι' ὃν ἀρχαΐζομεν, ὅτι „ἐν ἀρχῇ ὁ λόγος ἦν"***). ἀλλ' ὅτι μὲν ἦν ὁ λόγος ἄνωθεν ἀρχὴ θεία

P. 3 Sylb.

*) Psalm. 110, 3. **) Ioann. 1, 1. ***) l. l.

τῶν πάντων ἦν τε καὶ ἔστιν· ὅτι δὲ νῦν ὄνομα ἔλαβεν, τὸ πάλαι καθωσιωμένον, δυνάμεως ἄξιον, ὁ Χριστὸς, καινὸν ἆσμά μοι κέκληται. P. 7

§. 7. Οὗτος γοῦν ὁ λόγος, ὁ Χριστὸς, καὶ τοῦ Pott. εἶναι πάλαι ἡμᾶς, ἦν γὰρ ἐν θεῷ, καὶ τοῦ εὖ εἶναι, νῦν δὴ ἐπεφάνη ἀνθρώποις αὐτὸς οὗτος ὁ λόγος, ὅ μόνος ἄμφω, θεός τε καὶ ἄνθρωπος, ἁπάντων ἡμῖν αἴτιος ἀγαθῶν· παρ' οὗ τὸ εὖ ζῆν ἐκδιδασκόμενοι εἰς ἄϊδιον ζωὴν παραπεμπόμεθα. κατὰ γὰρ τὸν θεσπέσιον ἐκεῖνον τοῦ κυρίου ἀπόστολον, „ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις ἐπεφάνη, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ" *). τοῦτό ἐστι τὸ ἆσμα τὸ καινὸν, ἡ ἐπιφάνεια, ἡ νῦν ἐκλάμψασα ἐν ἡμῖν τοῦ ἐν ἀρχῇ ὄντος καὶ προόντος λόγου· ἐπεφάνη δὲ ἔναγχος ὁ προὼν σωτήρ· ἐπεφάνη ὁ ἐν τῷ ὄντι ὤν, ὅτι ὁ λόγος, ὃς ἦν πρὸς τὸν θεὸν, διδάσκαλος ἐπεφάνη, ᾧ τὰ πάντα δεδημιούργηται· λόγος ὁ καὶ τὸ ζῆν ἐν ἀρχῇ μετὰ τοῦ πλάσαι παρασχὼν, ὡς δημιουργὸς, τὸ εὖ ζῆν ἐδίδαξεν, ἐπιφανεὶς ὡς διδάσκαλος, ἵνα τὸ ἀεὶ ζῆν ὕστερον ὡς θεὸς χορηγήσῃ. ὁ δὲ, οὐ νῦν γε πρῶτον ᾤκτειρεν ἡμᾶς τῆς πλάνης, ἀλλ' ἄνωθεν ἀρχῆθεν. νῦν δὲ ἤδη ἀπολλυμένους ἐπιφανεὶς περισέσωκεν. τὸ γὰρ πονηρὸν καὶ ἐρπυστικὸν θηρίον γοητεῦον καταδουλοῦται καὶ αἰκίζεται εἰς ἔτι νῦν τοὺς ἀνθρώπους, ἐμοὶ δοκεῖν, βαρβαρικῶς τιμωρούμενον, οἳ νεκροῖς τοὺς αἰχμαλώτους συνδεῖν λέγονται σώμασιν, ἔστ' ἂν αὐτοῖς καὶ συσσαπῶσιν. ὁ γοῦν πονηρὸς οὗτος τύραννος καὶ δράκων, οὓς ἂν οἷός τε εἴη ἐκ γενετῆς σφετερίσασθαι λίθοις καὶ ξύλοις καὶ ἀγάλμασι καὶ τοιούτοις τισὶν

*) Tit. 2, 11—13.

εἰδώλοις προσφίλεξας τῷ δεισιδαιμονίας ἀθλίῳ δεσμεῖ τοῦτο δὴ τὸ λεγόμενον· ζῶντας ἐπιφέρων συνέθαψας αὐτοῖς, ἔστ' ἂν καὶ συμφθαρῶσιν. οὐ δὴ χάριν — ἐγὼ γὰρ ὁ ἀπατεὼν ἄνωθεν μὲν τὴν Εὔαν, νῦν δὲ ἤδη καὶ τοὺς ἄλλους ἀνθρώπους εἰς θάνατον ὑποφέρων εἷς καὶ αὐτὸς ἐπίκουρος καὶ βοηθὸς ἡμῖν ὁ κύριος προμηνύων ἀρχῆθεν προφητικῶς· νῦν δὲ ἤδη καὶ ἐναργῶς εἰς σωτηρίαν παρακαλῶν.

§. 8. Φίγωμεν οὖν ἀποστολικῇ πειθόμενοι παραγγελίᾳ „τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τὸ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας" *)· καὶ τῷ σωτῆρι τῷ κυρίῳ προσδράμωμεν, ὃς καὶ νῦν καὶ ἀεὶ προὔτρεπεν εἰς σωτηρίαν, διὰ τεράτων καὶ σημείων ἐν Αἰγύπτῳ καὶ ἐν ἐρήμῳ, διὰ Ρ
τε τῆς βάτου καὶ τῆς ἀκολουθούσης χάριτι φιλαν- 1
θρωπίας θεραπαίνης δίκην Ἑβραίοις νεφέλης. τούτῳ μὲν δὴ τῷ φόβῳ τοὺς σκληροκαρδίους προὔτρεπεν ἤδη δὲ καὶ διὰ Μωϊσέως τοῦ πανσόφου καὶ τοῦ φιλαλήθους Ἡσαΐου καὶ παντὸς τοῦ προφητικοῦ χοροῦ λογικώτερον ἐπὶ τὸν λόγον ἐπιστρέφει τοὺς τὰ ὦτα κεκτημένους· καὶ ἔσθ' ὅπῃ μὲν λοιδορεῖται· ἔστιν δ' οὗ καὶ ἀπειλεῖ· τοὺς δὲ καὶ θρηνεῖ τῶν ἀνθρώπων· ᾄδει δὲ ἄλλοις, καθάπερ ἰατρὸς ἀγαθὸς τῶν νοσούντων σωμάτων τὰ μὲν καταπλάττων, τὰ δὲ καταλειαίνων, τὰ δὲ καταντλῶν, τὰ δὲ καὶ σιδήρῳ διαιρῶν, ἐπικαίων δὲ ἄλλα, ἔστι δ' οὗ καὶ ἀποπρίων, εἴ πως οἷόν τε κἂν παρά μέρος ἢ μέλος τὸν ἄνθρωπον ὑγιᾶναι· πολύφωνός γε ὁ σωτὴρ καὶ πολύτροπος εἰς ἀνθρώπων σωτηρίαν, ἀπειλῶν νουθετεῖ, λοιδορούμενος ἐπιστρέφει, θρηνῶν ἐλεεῖ, ψάλλων παρακαλεῖ, διὰ βάτου λαλεῖ, ὅτι σημείων ἐκεῖνοι καὶ τεράτων ἔχρηζον, καὶ τῷ πυρὶ δεδίττεται τοὺς ἀνθρώπους, ἀνάπτων ἐκ κίονος τὴν φλόγα, θεῖγμα ὁμοῦ χάριτος καὶ φόβου, ἐὰν ὑπακούσῃς, τὸ φῶς, ἐὰν παρακούσῃς, τὸ

*) Ephes. 2, 2.

πῦρ. ἐπειδὴ δὲ καὶ κίονος καὶ βάτου ἡ σαρξ τιμιωτέρα, προφῆται μετ' ἐκεῖνα φθέγγονται, αὐτὸς ἐν Ἡσαΐᾳ ὁ κύριος λαλῶν, αὐτὸς ἐν Ἠλίᾳ, ἐν στόματι προφητῶν αὐτός· σὺ δὲ ἀλλ' εἰ προφήταις μὴ πιστεύεις, μῦθον δὲ ὑπολαμβάνεις καὶ τοὺς ἄνδρας καὶ τὸ πῦρ, αὐτός σοι λαλήσει ὁ κύριος, „ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· ἐκένωσε δὲ ἑαυτὸν" *) ὁ φιλοικτίρμων θεὸς, σῶσαι τὸν ἄνθρωπον γλιχόμενος· καὶ αὐτὸς ἤδη σοὶ ἐναργῶς ὁ λόγος λαλεῖ, δυσωπῶν τὴν ἀπιστίαν. ναί φημι ὁ λόγος ὁ τοῦ θεοῦ ἄνθρωπος γενόμενος, ἵνα δὴ καὶ σὺ παρὰ ἀνθρώπου μάθῃς, πῇ ποτε ἄρα ἄνθρωπος γένηται θεός.

§. 9. *Εἶτ' οὐκ ἄτοπον, ὦ φίλοι, τὸν μὲν θεὸν ἀεὶ προτρέπειν ἡμᾶς ἐπ' ἀρετήν· ἡμᾶς δὲ ἀναβύεσθαι τὴν ὠφέλειαν καὶ ἀναβάλλεσθαι τὴν σωτηρίαν; ἢ γὰρ οὐχὶ καὶ Ἰωάννης ἐπὶ σωτηρίαν παρακαλεῖ καὶ τὸ πᾶν γίνεται φωνὴ προτρεπτική· πυθώμεθα τοίνυν αὐτοῦ, τίς πόθεν εἰς ἀνδρῶν **); Ἠλίας μὲν οὐκ ἐρεῖ, Χριστὸς δὲ εἶναι ἀρνήσεται· φωνὴ δὲ ὁμολογήσει ἐν ἐρήμῳ βοῶσα ***). τίς οὖν ἔστιν Ἰωάννης; ὡς τύπῳ λαβεῖν, ἐξέστω εἰπεῖν, φωνὴ τοῦ λόγου προτρεπτικὴ ἐν ἐρήμῳ βοῶσα. τί βοᾷς, ὦ φωνή; εἰπὲ καὶ ἡμῖν. „Εὐθείας ποιεῖτε τὰς ὁδοὺς κυρίου" †).*

P. 4 *πρόδρομος Ἰωάννης καὶ ἡ φωνὴ πρόδρομος τοῦ*
Sylb. *λόγου, φωνὴ παρακλητική, προετοιμάζουσα εἰς σω-*
τηρίαν, φωνὴ προτρέπουσα εἰς κληρονομίαν οὐρα- P. 9
νῶν· δι' ἣν ἡ στεῖρα καὶ ἔρημος ἄγονος οὐκέτι. ταύ- Ptt.
την μοι τὴν κυοφορίαν προεθέσπισεν ἀγγέλου φωνή·
πρόδρομος ἦν κἀκείνη τοῦ κυρίου, στεῖραν εὐαγγελιζομένη γυναῖκα, ὡς Ἰωάννης τὴν ἔρημον, διὰ ταύτην τοίνυν τοῦ λόγου τὴν φωνὴν ἡ στεῖρα εὐτεκνεῖ καὶ ἡ ἔρημος καρποφορεῖ. αἱ πρόδρομοι τοῦ κυρίου φω-

*) Philipp. 3, 6 sq. **) Hom. Odyss. ε, 105. ***) Ioann. 1, 23. †) Iesai. 40, 3.

P. 1 Ed. Sylb.

CLEMENTIS ALEXANDRINI PROTREPTICUS.

P. 1 ed. Pott.

Argumentum.

Cap. I. Ab orgiis et impiis idolorum mysteriis homines avocans, ad veram inbilationem *dei verbi* nomine pronocat et ad laudes *dei patris* ob renelatam veritatem celebrandas hortatur (§. 1—10.). C. II. Absurditatem simul atque impietatem *mysteriorum ethnicorum* et *fabularum* de deorum ortu et interitu ostendit (§. 11—37.). C. III. Sacrificiorum diis mactatorum crudelitatem atque impuritatem perstringit (§. 38—41.). C. IV. Simulacra quam absurda et turpia sint, quibus gentes deos suos colant (§. 42—59.). C. V. Philosophorum sententias de *deo* recenset (§. 60—62.). C. VI. Illos aliquando, ipso inspirante, verum hoc in argumento vidisse (§. 63—68.). C. VII. Poetas etiam veritati hac in parte testimonium ferre (§. 69—72.). C. VIII. Veram de deo doctrinam a prophetis esse petendam (§. 73—77.). C. IX. Graviter illos peccare, qui benignam dei vocationem spernant aut negligant (§. 78—84.). C. X. Respondens obiectioni gentilium, qua nefas esse aiunt morem patrium deserere, eo impensius hortatur illas ad veritatem amplectendam, qua ab erroribus istis liberentur (§. 85—106.). C. XI. Quanta sint dei beneficia in homines per Christi adventum collata (§. 107—113.). C. XII. Hortatur ut missis erroribus et cupiditatibus pristinis se Christo vnice veritatis magistro instituendos praebeant (§. 114.—119.).

Cap. I.

§. 1. Ἀμφίων ὁ Θηβαῖος καὶ Ἀρίων ὁ Μηθυμναῖος ἄμφω μὲν ἦστην ᾠδικώ· μῦθος δὲ ἄμφω· καὶ τὸ ἆσμα εἰσέτι τοῦτο Ἑλλήνων ἄδεται χορῷ· τέχνῃ τῇ μουσικῇ ὁ μὲν ἰχθὺν δελεάσας, ὁ δὲ Θήβας τειχίσας. P. 2 Θρᾴκιος δὲ ἄλλος σοφιστὴς — ἄλλος οὗτος μῦθος Ἑλ- Pott.

P. 1 Ed. Sylb.

CLEMENTIS ALEXANDRINI PROTREPTICUS.

P. 1 ra. Ed. Pott.

Argumentum.

Cap. I. Ab orgiis et impiis idolorum mysteriis homines anocans, ad veram inbilationem *dei verbi* nomine pronocat et ad laudes *dei patris* ob renelatam veritatem celebrandas hortatur (§. 1—10.). C. II. Absurditatem simul atque impietatem *mysteriorum ethnicorum* et *fabularum* de deorum ortu et interitu ostendit (§. 11—37.). C. III. Sacrificiorum diis mactatorum crudelitatem atque impuritatem perstringit (§. 38—41.). C. IV. Simulacra quam absurda et turpia sint, quibus gentes deos suos colant (§. 42—59.). C. V. Philosophorum sententias de *deo* recenset (§. 60—62.). C. VI. Illos aliquando, ipso inspirante, verum hoc in argumento vidisse (§. 63—68.). C. VII. Poetas etiam veritati hac in parte testimonium ferre (§. 69—72.). C. VIII. Veram de deo doctrinam a prophetis esse petendam (§. 73—77.). C. IX. Graviter illos peccare, qui benignam dei vocationem spernant aut negligant (§. 78—84.). C. X. Respondens obiectioni gentilium, qua nefas esse aiunt morem patrium deserere, eo impensius hortatur illas ad veritatem amplectendam, qua ab erroribus istis liberentur (§. 85—106.). C. XI. Quanta sint dei beneficia in homines per Christi adventum collata (§. 107—113.). C. XII. Hortatur ut missis erroribus et cupiditatibus pristinis se Christo vnice veritatis magistro instituendos praebeant (§. 114.—119.).

Cap. I.

§. 1. *Ἀμφίων ὁ Θηβαῖος καὶ Ἀρίων ὁ Μηθυμναῖος ἄμφω μὲν ἦστην ᾠδικώ· μῦθος δὲ ἄμφω· καὶ τὸ ἆσμα εἰσέτι τοῦτο Ἑλλήνων ἄδεται χορῷ· τέχνῃ τῇ μουσικῇ ὁ μὲν ἰχθὺν δελεάσας, ὁ δὲ Θήβας τειχίσας.* P. 2 *Θρᾴκιος δὲ ἄλλος σοφιστὴς — ἄλλος οὗτος μῦθος Ἑλ-* Pott.

λενικός — ἐτιθάσσευε τὰ θηρία γυμνῇ τῇ ᾠδῇ· καὶ δὴ τὰ δένδρα, τὰς φηγοὺς, μετεφύτευε τῇ μουσικῇ. ἔχοιμ' ἂν σοι καὶ ἄλλυν τούτοις ἀδελφὸν διηγήσασθαι μῦθον καὶ ᾠδὸν, Εὔνομον τὸν Λοκρὸν καὶ τέττιγα τὸν Πυθικόν. πανήγυρις Ἑλληνικὴ ἐπὶ νεκρῷ Δράκοντι συνεκροτεῖτο Πυθοῖ, ἐπιτάφιον ἐρπετοῦ ᾄδοντος Εὐνόμου· ὕμνος ἢ θρῆνος ὄφεως ἦν ἡ ᾠδὴ, οὐκ ἔχω λέγειν. ἀγὼν δὲ ἦν καὶ ἐκιθάριζεν ὥρᾳ καύματος Εὔνομος, ὑπηνίκα οἱ τέττιγες ὑπὸ τοῖς πετάλοις ᾖδον ἀνὰ τὰ ὄρη θερόμενοι ἡλίῳ. ᾖδον δὲ ἄρα οὐ τῷ Δράκοντι τῷ νεκρῷ, ἀλλὰ τῷ θεῷ τῷ παντόφῳ αὐτόνομον ᾠδὴν, τῶν Εὐνόμου βελτίονα νόμων· ῥήγνυται χορδὴ τῷ Λοκρῷ· ἐφίπταται ὁ τέττιξ τῷ ζυγῷ· ἐτερέτιζεν ὡς ἐπὶ κλάδῳ, τῷ ὀργάνῳ· καὶ τοῦ τέττιγος τῷ ἄσματι ἁρμοσάμενος ὁ ᾠδὸς τὴν λείπουσαν ἀνεπλήρωσε χορδήν. οὐκοῦν ᾠδῇ τῇ Εὐνόμου ἄγεται ὁ τέττιξ, ὡς ὁ μῦθος βούλεται, χαλκοῦν ἀναστήσας Πυθοῖ τὸν Εὔνομον αὐτῇ τῇ κιθάρᾳ καὶ τὸν συναγωνιστὴν τοῦ Λοκροῦ· ὁ δὲ ἑκὼν ἐφίπταται καὶ ᾄδει ἑκών. Ἕλλησι δὲ ἐδόκει ὑποκριτὴς γεγονέναι μουσικῆς.

§. 2. Πῇ δὴ οὖν μύθοις κενοῖς πεπιστεύκατε, θέλγεσθαι μουσικῇ τὰ ζῶα ὑπολαμβάνοντες· ἀληθείας δὲ ὑμῖν τὸ πρόσωπον τὸ φαιδρὸν μόνον, ὡς ἔοικεν, ἐπίπλαστον εἶναι δοκεῖ καὶ τοῖς τῆς ἀπιστίας ὑποπέπτωκεν ὀφθαλμοῖς; Κιθαιρὼν δὲ ἄρα καὶ Ἑλικὼν καὶ τὰ Ὀδρυσῶν ὄρη καὶ Θρᾳκῶν τελεστήρια, τῆς πλάνης τὰ μυστήρια, τεθείασται καὶ καθύμνηται. ἐγὼ μὲν, εἰ καὶ μῦθος εἰσὶ, δυσανασχετῶ τοσαύταις ἐκτραγῳδουμέναις συμφοραῖς· ὑμῖν δὲ καὶ τῶν κακῶν ἀναγραφαὶ γεγόνασι δράματα καὶ τῶν δραμάτων οἱ ὑποκριταὶ θυμηδίας θεάματα· ἀλλὰ γὰρ τὰ μὲν δράματα καὶ τοὺς ληναΐζοντας ποιητὰς, τέλεον ἤδη παροινοῦντας, κιττῷ που ἀναδήσαντες, ἀφραίνοντας ἐκτόπως τελετῇ βακχικῇ, αὐτοῖς σατύροις καὶ θιάσῳ μαινόλῃ, σὺν καὶ τῷ ἄλλῳ δαιμόνων χορῷ, Ἑλικῶνι καὶ Κιθαιρῶνι κατακλείσωμεν γεγηρακόσιν· κατάγωμεν δὲ P. 3 Pot

ἄνωθεν ἐξ οὐρανῶν ἀλήθειαν ἅμα φανοτάτῃ φρονήσει εἰς ὄρος ἅγιον Θεοῦ καὶ χορὸν τὸν ἅγιον τὸν προφητικόν, ἣ δὲ ὡς ὅτι μάλιστα τηλαυγὲς ἀποστίλβουσα φῶς, καταυγαζέτω πάντη τοὺς ἐν σκότει κυλινδουμένους καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἀπαλλαττέτω, τὴν ὑπερτάτην ὀρέγουσα δεξιάν, τὴν σύνεσιν, εἰς σωτηρίαν· οἱ δὲ ἀνανεύσαντες καὶ ἀνακύψαντες Ἑλικῶνα μὲν καὶ Κιθαιρῶνα καταλειπόντων, οἰκούντων δὲ Σιών· ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἰερουσαλὴμ *), λόγος οὐράνιος, ὁ γνήσιος ἀγωνιστὴς ἐπὶ τῷ παντὸς κόσμου θεάτρῳ στεφανούμενος. ἄδει δέ γε ὁ Εὔνομος ὁ ἐμὸς οὐ τὸν Τερπάνδρου νόμον οὐδὲ τὸν Καπίτωνος, οὐδὲ μὴν Φρύγιον ἢ Λύδιον ἢ Δώριον, ἀλλὰ τῆς καινῆς ἁρμονίας τὸν ἀΐδιον νόμον, τὸν φερώνυμον τοῦ Θεοῦ, τὸ ᾆσμα τὸ καινὸν **), τὸ λευιτικὸν,

νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθες ἁπάντων· ***)

γλυκύ τι καὶ ἀληθινὸν φάρμακον πειθοῦς ἐγκέκραται τῷ ᾄσματι.

§. 3. Ἐμοὶ μὲν οὖν δοκοῦσιν ὁ Θρᾴκιος ἐκεῖνος Ὀρφεὺς καὶ ὁ Θηβαῖος καὶ ὁ Μηθυμναῖος, ἄνδρες τινὲς οὐκ ἄνδρες, ἀπατηλοὶ γεγονέναι, προσχήματι μουσικῆς λυμηνάμενοι τὸν βίον, ἐντέχνῳ τινὶ γοητείᾳ δαιμονῶντες εἰς διαφθοράς, ὕβρεις ὀργιάζοντες, πένθη ἐκθειάζοντες, τοὺς ἀνθρώπους ἐπὶ τὰ εἴδωλα χειραγωγῆσαι πρῶτοι· ναὶ μὴν λίθοις καὶ ξύλοις, τουτέστιν ἀγάλμασι καὶ σκιαγραφίαις, ἀνοικοδομῆσαι τὴν σκαιότητα τοῦ ἔθους, τὴν καλὴν ὄντως ἐκείνην ἐλευθερίαν τῶν ὑπ' οὐρανὸν πεπολιτευμένων ᾠδαῖς καὶ ᾠδαῖς ἐπῳδαῖς ἐσχάτῃ δουλείᾳ καταζεύξαντες· ἀλλ' οὐ τοιόσδε ὁ ᾠδὸς ὁ ἐμὸς οὐδ' εἰς μακρὰν καταλύσων ἀφῖκται τὴν δουλείαν τὴν πικρὰν τῶν τυραννούντων

P. 4 Pott.

P. 2 Sylb.

*) Ies. 2, 3. **) Psalm. 96. 1. 98, 1. ***) Hom. Odyss. δ. 221.

δαιμόνων· ὡς δὲ τὸν πρᾶον καὶ φιλάνθρωπον τῆς θεοσεβείας μετάγων ἡμᾶς ζυγὸν, αὖθις εἰς οὐρανοὺς ἀνακαλεῖται τοὺς εἰς γῆν ἐρριμμένους.

§. 4. Μόνος γοῦν τῶν πώποτε τὰ ἀργαλεώτατα θηρία, τοὺς ἀνθρώπους, ἐτιθάσσευεν· πτηνὰ μὲν, τοὺς κούφους αὐτῶν· ἑρπετὰ δὲ, τοὺς ἀπατεῶνας, καὶ λέοντας μὲν, τοὺς θυμικούς· σύας δὲ, τοὺς ἡδονικούς· λύκους δὲ, τοὺς ἁρπακτικούς. λίθοι δὲ καὶ ξύλα οἱ ἄφρονες· πρὸς δὲ καὶ λίθων ἀναισθητότερος ἄνθρωπος ἀγνοίᾳ βεβαπτισμένος. μάρτυς ἡμῖν προφητικὴ παρίτω φωνὴ, συνῳδὸς ἀληθείας, τοὺς ἐν ἀγνοίᾳ καὶ ἀνοίᾳ κατατετριμμένους οἰκτείρουσα· δυνατὸς γὰρ ὁ θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ *). ὃς κατελεήσας τὴν ἀμαθίαν τὴν πολλὴν καὶ τὴν σκληροκαρδίαν τῶν εἰς τὴν ἀλήθειαν λελιθωμένων, ἤγειρεν θεοσεβείας σπέρμα ἀρετῆς αἰσθόμενον ἐκ λίθων ἐκείνων τῶν λίθοις πεπιστευκότων ἐθνῶν. αὖθις οὖν ἰοβόλους τινὰς καὶ παλιμβόλους ὑποκριτὰς ἐφοδεύοντας δικαιοσύνης γεννήματα ἐχιδνῶν **) κέκληκέ που· ἀλλὰ καὶ τούτων εἴ τις τῶν ὄφεων μετανοήσαι ἐκὼν, ἑπόμενος δὴ τῷ λόγῳ ἄνθρωπος γίνεται θεοῦ ***). λύκους δὲ ἄλλους ἀλληγορεῖ προβάτων κωδίοις ἠμφιεσμένους †), τοὺς ἐν ἀνθρώπων μορφαῖς ἁρπακτικοὺς αἰνιττόμενος. καὶ πάντα ἄρα ταῦτα τὰ ἀγριώτατα θηρία καὶ τοὺς τοιούτους λίθους ἡ οὐράνιος ᾠδὴ αὐτὴ μετεμόρφωσεν εἰς ἀνθρώπους ἡμέρους. ἦμεν γὰρ, ἦμέν ποτε καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἡδοναῖς καὶ ἐπιθυμίαις ποικίλαις, ἐν κακίᾳ καὶ P. 5 φθόνῳ διάγοντες, στυγητοὶ, μισοῦντες ἀλλήλους ††), Pott. ἧ φησὶν ἡ ἀποστολικὴ γραφή· ὅτε δὲ ἡ χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ σωτῆρος ἡμῶν θεοῦ, οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ, ἃ ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸ αὐτοῦ ἔλεος ἔσωσεν ἡμᾶς †††). ὅρα τὸ

*) Matth. 3, 9. Luc. 3, 8. **) Matth. 3, 7. Luc. 3, 7. ***) Timoth. 3, 17. †) Matth. 7, 15. ††) Tit. 3, 3. †††) Tit. 3, 4 sq.

ἄσμα τὸ καινὸν ὅσον ἴσχυσεν· ἀνθρώπους ἐκ λίθων καὶ ἀνθρώπους ἐκ θηρίων πεποίηκεν. οἱ δὲ τηνάλλως ὡς νεκροὶ, οἱ τῆς ὄντως οὔσης ἀμέτοχοι ζωῆς, ἀκροαταὶ μόνον γενόμενοι τοῦ ᾄσματος, ἀνεβίωσαν.

§. 5. Τοῦτό τοι καὶ τὸ πᾶν ἐκόσμησεν ἐμμελῶς καὶ τῶν στοιχείων τὴν διαφωνίαν εἰς τάξιν ἐνέτεινε συμφωνίας, ἵνα δὴ ὅλος ὁ κόσμος αὐτῷ ἁρμονία γένηται· καὶ θάλασσαν μὲν ἀνῆκε λελυμένην, γῆς δὲ ἐπιβαίνειν κεκώλυκεν, αὐτὴν δὴ γῆν ἔμπαλιν ἐστερέωσε φερομένην καὶ ὄρον αὐτῇ ἔπηξε θάλασσαν· καὶ μὴν καὶ πυρὸς ὁρμὴν ἐμάλαξεν ἀέρι, οἱονεὶ Δώριον ἁρμονίαν κράσας Λυδίῳ· καὶ τὴν ἀέρος ἀπηνῆ ψυχρότητα τῇ παραπλοκῇ τοῦ πυρὸς ἐτιθάσσευσε, τοὺς νεάτους τῶν ὅλων φθόγγους τούτους κιρνὰς ἐμμελῶς. καὶ δὴ τὸ ᾄσμα τὸ ἀκήρατον, ἔρεισμα τῶν ὅλων καὶ ἁρμονία τῶν πάντων, ἀπὸ τῶν μέσων ἐπὶ τὰ πέρατα καὶ ἀπὸ τῶν ἄκρων ἐπὶ τὰ μέσα διατείνας, ἡρμόσατο τόδε τὸ πᾶν, οὐ κατὰ τὴν Θράκιον μουσικὴν, τὴν παραπλήσιον Τουβὰλ, κατὰ δὲ τὴν πάτριον τοῦ θεοῦ βούλησιν, ἣν ἐζήλωσε Δαβίδ. ὁ δὲ ἐκ Δαβὶδ καὶ πρὸ αὐτοῦ ὁ τοῦ θεοῦ λόγος λύραν μὲν καὶ κιθάραν, τὰ ἄψυχα ὄργανα, ὑπεριδών, κόσμον δὲ τόνδε καὶ δὴ καὶ τὸν σμικρὸν κόσμον, τὸν ἄνθρωπον, ψυχήν τε καὶ σῶμα αὐτοῦ, ἁγίῳ πνεύματι ἁρμοσάμενος, ψάλλει τῷ θεῷ, διὰ τοῦ πολυφώνου ὀργάνου καὶ προσάδει τούτῳ τῷ ὀργάνῳ τῷ ἀνθρώπῳ. σὺ γὰρ εἶ κιθάρα καὶ αὐλὸς καὶ ναὸς ἐμοί· κιθάρα, διὰ τὴν ἁρμονίαν· αὐλὸς, διὰ τὸ πνεῦμα· ναὸς, διὰ τὸν λόγον· ἵν' ἡ μὲν κρέκῃ, τὸ δὲ ἐμπνέῃ, ὁ δὲ χωρήσῃ τὸν κύριον. καὶ μὴν ὁ Δαβὶδ, ὁ βασιλεὺς, ὁ κιθαριστὴς, οὗ μικρῷ πρόσθεν ἐμνήσθημεν, ὃς προὔτρεπεν ὡς τὴν ἀλήθειαν, ἀπέτρεπε δὲ εἰδώλων, πολλοῦ γε ἔδει ἐμνεῖν αὐτὸν τοὺς δαίμονας, ἀληθεῖ πρὸς αὐτοῦ διωκομένους μουσικῇ, ἢ τῷ Σαοὺλ ἐνεργουμένῳ ἐκεῖνος ᾄδων μόνον, αὐτὸν ἰάσατο. καλὸν P. 6 Pott.

ὁ κύριος ὄργανον ἔμπνουν τὸν ἄνθρωπον ἐξειργάσατο κατ' εἰκόνα τὴν ἑαυτοῦ· ἀμέλει καὶ αὐτὸς ὄργανόν ἐστι Θεοῦ παναρμόνιον, ἐμμελὲς καὶ ἅγιον, σοφία ὑπερκόσμιος, οὐράνιος λόγος.

§. 6. Τί δὴ οὖν τὸ ὄργανον, ὃ τοῦ Θεοῦ λόγος ὁ κύριος καὶ τὸ ἆσμα τὸ καινὸν βούλεται; ὀφθαλμοὺς ἀναπετάσαι τυφλῶν καὶ ὦτα ἀνοῖξαι κωφῶν καὶ σκάζοντας τῷ πόδε ἢ πλανωμένους εἰς δικαιοσύνην χειραγωγῆσαι, Θεὸν ἀνθρώποις ἀφραίνουσιν ἐπιδεῖξαι, παῦσαι φθορὰν, νικῆσαι θάνατον, υἱοὺς ἀπειθεῖς διαλλάξαι πατρί. φιλάνθρωπον τὸ ὄργανον τοῦ Θεοῦ· ὁ κύριος ἐλεεῖ, παιδεύει, προτρέπει, νουθετεῖ, σώζει, φυλάττει καὶ μισθὸν ἡμῖν τῆς μαθήσεως ἐκ περιουσίας, βασιλείαν οὐρανῶν, ἐπαγγέλλεται, τοῦτο μόνον ἀπολαύων ἡμῶν, ὃ σωζόμεθα. κακία μὲν γὰρ τὴν ἀνθρώπων ἐπιβόσκεται φθορὰν, ἡ δὲ ἀλήθεια, ὥσπερ ἡ μέλιττα, λυμαινομένη τῶν ὄντων οὐδέν, ἐπὶ μόνης τῆς ἀνθρώπων ἀγάλλεται σωτηρίας. ἔχεις οὖν τὴν ἐπαγγελίαν, ἔχεις τὴν φιλανθρωπίαν, τῆς χάριτος μεταλάμβανε. καί μου τὸ ἆσμα τὸ σωτήριον μὴ καινὸν οὕτως ὑπολάβῃς, ὡς σκεῦος ἢ ὡς οἰκίαν· „πρὸ ἑωσφόρου γὰρ ἦν"*), καὶ „ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν καὶ Θεὸς ἦν ὁ λόγος"**)· παλαιὰ δὲ ἡ πλάνη, καινὸν δὲ ἡ ἀλήθεια φαίνεται. εἶτ' οὖν ἀρχαίους τοὺς Φρύγας διδάσκουσιν αἰγες μυθικαὶ, εἴτε αὖ τοὺς Ἀρκάδας οἱ προσελήνους ἀναγράφοντες ποιηταὶ, εἴτε μὴν αὖ τοὺς Αἰγυπτίους P. 3 οἱ καὶ πρώτην ταύτην ἀναφῦναι τὴν γῆν Θεούς τε Sylb. καὶ ἀνθρώπους ὀνειρώσσοντες· ἀλλ' οὐ πρό γε τοῦ κόσμου τοῦδε τούτων οὐδὲ εἷς, πρὸ δὲ τῆς τοῦ κόσμου καταβολῆς ἡμεῖς, οἱ τῷ δεῖν ἔσεσθαι ἐν αὐτῷ πρότερον γεγεννημένοι τῷ Θεῷ, τοῦ Θεοῦ λόγου τὰ λογικὰ πλάσματα ἡμεῖς, δι' ὃν ἀρχαΐζομεν, ὅτι „ἐν ἀρχῇ ὁ λόγος ἦν"***). ἀλλ' ὅτι μὲν ἦν ὁ λόγος ἄνωθεν ἀρχὴ θεία

*) Psalm. 110, 3. **) Ioann. 1, 1. ***) l. l.

τῶν πάντων ἦν τε καὶ ἔστιν· ὅτι δὲ νῦν ὄνομα ἔλαβεν, τὸ πάλαι καθωσιωμένον, δυνάμεως ἄξιον, ὁ Χριστὸς, καινὸν ἄσμά μοι κέκληται. P. 7

§. 7. Οὗτος γοῦν ὁ λόγος, ὁ Χριστὸς, καὶ τοῦ Pott. εἶναι πάλαι ἡμᾶς, ἦν γὰρ ἐν Θεῷ, καὶ τοῦ εὖ εἶναι, νῦν δὴ ἐπεφάνη ἀνθρώποις αὐτὸς οὗτος ὁ λόγος, ὁ μόνος ἄμφω, Θεός τε καὶ ἄνθρωπος, ἁπάντων ἡμῖν αἴτιος ἀγαθῶν· παρ' οὗ τὸ εὖ ζῆν ἐκδιδασκόμενοι εἰς ἀΐδιον ζωὴν παραπεμπόμεθα. κατὰ γὰρ τὸν θεσπέσιον ἐκεῖνον τοῦ κυρίου ἀπόστολον, „ἡ χάρις τοῦ θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις ἐπεφάνη, παιδεύουσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι· προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν, Ἰησοῦ Χριστοῦ" *). τοῦτό ἐστι τὸ ἆσμα τὸ καινὸν, ἡ ἐπιφάνεια, ἣ νῦν ἐκλάμψασα ἐν ἡμῖν τοῦ ἐν ἀρχῇ ὄντος καὶ προόντος λόγου· ἐπεφάνη δὲ ἔναγχος ὁ προὼν σωτήρ· ἐπεφάνη ὁ ἐν τῷ ὄντι ὤν, ὅτι ὁ λόγος, ὃς ἦν πρὸς τὸν θεὸν, διδάσκαλος ἐπεφάνη, ᾧ τὰ πάντα δεδημιούργηται· λόγος ὁ καὶ τὸ ζῆν ἐν ἀρχῇ μετὰ τοῦ πλάσαι παρασχὼν, ὡς δημιουργὸς, τὸ εὖ ζῆν ἐδίδαξεν, ἐπιφανεὶς ὡς διδάσκαλος, ἵνα τὸ ἀεὶ ζῆν ὕστερον ὡς θεὸς χορηγήσῃ. ὃ δὲ, οὐ νῦν γε πρῶτον ᾤκτειρεν ἡμᾶς τῆς πλάνης, ἀλλ' ἄνωθεν ἀρχῆθεν. νῦν δὲ ἤδη ἀπολλυμένους ἐπιφανεὶς περισέσωκεν. τὸ γὰρ πονηρὸν καὶ ἐρπυστικὸν θηρίον γοητεῦον καταδουλοῦται καὶ αἰκίζεται εἰς ἔτι νῦν τοὺς ἀνθρώπους, ἐμοὶ δοκεῖν, βαρβαρικῶς τιμωρούμενον, οἳ νεκροῖς τοὺς αἰχμαλώτους συνδεῖν λέγονται σώμασιν, ἔστ' ἂν αὐτοῖς καὶ συσσαπῶσιν. ὁ γοῦν πονηρὸς οὑτοσὶ τύραννος καὶ δράκων, οὓς ἂν οἷός τε εἴη ἐκ γενετῆς σφετερίσασθαι λίθοις καὶ ξύλοις καὶ ἀγάλμασι καὶ τοιούτοις τισὶν

*) Tit. 2, 11—13.

εἰδώλοις προσφίγξας τῷ δεισιδαιμονίας ἀθλίῳ δεσμιῷ. τοῦτο δὴ τὸ λεγόμενον· ζῶντας ἐπιφέρων συνέθαψεν αὐτοῖς, ἔστ' ἂν καὶ συμφθαρῶσιν. οὐ δὴ χάριν — εἷς γὰρ ὁ ἀπατεὼν ἄνωθεν μὲν τὴν Εὔαν, νῦν δὲ ἤδη καὶ τοὺς ἄλλους ἀνθρώπους εἰς θάνατον ὑποφέρων· εἷς καὶ αὐτὸς ἐπίκουρος καὶ βοηθὸς ἡμῖν ὁ κύριος, προμηνύων ἀρχῆθεν προφητικῶς· νῦν δὲ ἤδη καὶ ἐναργῶς εἰς σωτηρίαν παρακαλῶν.

§. 8. Φίγωμεν οὖν ἀποστολικῇ πειθόμενοι παραγγελίᾳ „τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας“ *)· καὶ τῷ σωτῆρι τῷ κυρίῳ προσδράμωμεν, ὃς καὶ νῦν καὶ ἀεὶ προὔτρεπεν εἰς σωτηρίαν, διὰ τεράτων καὶ σημείων ἐν Αἰγύπτῳ καὶ ἐν ἐρήμῳ, διά P. 8
τε τῆς βάτου καὶ τῆς ἀκολουθούσης χάριτι φιλαν- Pa
θρωπίας θεραπαίνης δίκην Ἑβραίοις νεφέλης. τούτῳ μὲν δὴ τῷ φόβῳ τοὺς σκληροκαρδίους προὔτρεπεν· ἤδη δὲ καὶ διὰ Μωϊσέως τοῦ πανσόφου καὶ τοῦ φιλαλήθους Ἡσαΐου καὶ παντὸς τοῦ προφητικοῦ χοροῦ λογικώτερον ἐπὶ τὸν λόγον ἐπιστρέφει τοὺς τὰ ὦτα κεκτημένους· καὶ ἔσθ' ὅπῃ μὲν λοιδορεῖται· ἔστιν δ' οὗ καὶ ἀπειλεῖ· τοὺς δὲ καὶ θρηνεῖ τῶν ἀνθρώπων· ᾄδει δὲ ἄλλοις, καθάπερ ἰατρὸς ἀγαθὸς τῶν νοσούντων σωμάτων τὰ μὲν καταπλάττων, τὰ δὲ καταλειαίνων, τὰ δὲ καταντλῶν, τὰ δὲ καὶ σιδήρῳ διαιρῶν, ἐπικαίων δὲ ἄλλα, ἔστι δ' οὗ καὶ ἀποπρίων, εἴ πως οἷόν τε κἂν παρὰ μέρος ἢ μέλος τὸν ἄνθρωπον ὑγιᾶναι· πολύφωνός γε ὁ σωτὴρ καὶ πολύτροπος εἰς ἀνθρώπων σωτηρίαν, ἀπειλῶν νουθετεῖ, λοιδορούμενος ἐπιστρέφει, θρηνῶν ἐλεεῖ, ψάλλων παρακαλεῖ, διὰ βάτου λαλεῖ, ὅτι σημείων ἐκεῖνοι καὶ τεράτων ἐχρῆζον, καὶ τῷ πυρὶ δεδίττεται τοὺς ἀνθρώπους, ἀνάπτων ἐκ κίονος τὴν φλόγα, δεῖγμα ὁμοῦ χάριτος καὶ φόβου, ἐὰν ὑπακούσῃς, τὸ φῶς, ἐὰν παρακούσῃς, τὸ

*) Ephes. 2, 2.

πῦρ. ἐπειδὴ δὲ καὶ κίονος καὶ βάτου ἡ σὰρξ τιμιωτέρα, προφῆται μετ' ἐκεῖνα φθέγγονται, αὐτὸς ἐν Ἡσαΐᾳ ὁ κύριος λαλῶν, αὐτὸς ἐν Ἠλίᾳ, ἐν στόματι προφητῶν αὐτός· σὺ δὲ ἀλλ' εἰ προφήταις μὴ πιστεύεις, μῦθον δὲ ὑπολαμβάνεις καὶ τοὺς ἄνδρας καὶ τὸ πῦρ, αὐτός σοι λαλήσει ὁ κύριος, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· ἐκένωσε δὲ ἑαυτὸν" *) ὁ φιλοικτίρμων θεὸς, σῶσαι τὸν ἄνθρωπον γλιχόμενος· καὶ αὐτὸς ἤδη σοὶ ἐναργῶς ὁ λόγος λαλεῖ, δυσωπῶν τὴν ἀπιστίαν. ναί φημι ὁ λόγος ὁ τοῦ θεοῦ ἄνθρωπος γενόμενος, ἵνα δὴ καὶ σὺ παρὰ ἀνθρώπου μάθῃς, πῇ ποτε ἄρα ἄνθρωπος γένηται θεός.

§. 9. Εἶτ' οὐκ ἄτοπον, ὦ φίλοι, τὸν μὲν θεὸν ἀεὶ προτρέπειν ἡμᾶς ἐπ' ἀρετήν· ἡμᾶς δὲ ἀναδύεσθαι τὴν ὠφέλειαν καὶ ἀναβάλλεσθαι τὴν σωτηρίαν; ἢ γὰρ οὐχὶ καὶ Ἰωάννης ἐπὶ σωτηρίαν παρακαλεῖ καὶ τὸ πᾶν γίνεται φωνὴ προτρεπτική; πυθώμεθα τοίνυν αὐτοῦ, τίς πόθεν εἰς ἀνδρῶν **)· Ἠλίας μὲν οὐκ ἐρεῖ, Χριστὸς δὲ εἶναι ἀρνήσεται· φωνὴ δὲ ὁμολογήσει ἐν ἐρήμῳ βοῶσα ***). τίς οὖν ἔστιν Ἰωάννης; ὡς τύπῳ λαβεῖν, ἐξέστω εἰπεῖν, φωνὴ τοῦ λόγου προτρεπτικὴ ἐν ἐρήμῳ βοῶσα. τί βοᾷς, ὦ φωνή; εἰπὲ καὶ ἡμῖν. Εὐθείας ποιεῖτε τὰς ὁδοὺς κυρίου" †).

P. 4 πρόδρομος Ἰωάννης καὶ ἡ φωνὴ πρόδρομος τοῦ 8yb. λόγου, φωνὴ παρακλητικὴ, προετοιμάζουσα εἰς σωτηρίαν, φωνὴ προτρέπουσα εἰς κληρονομίαν οὐρα- P. 9 νῶν· δι' ἣν ἡ στεῖρα καὶ ἔρημος ἄγονος οὐκέτι. ταύ- Patt.
την μοι τὴν κυοφορίαν προεθέσπισεν ἀγγέλου φωνή· πρόδρομος ἦν κἀκείνη τοῦ κυρίου, στεῖραν εὐαγγελιζομένη γυναῖκα, ὡς Ἰωάννης τὴν ἔρημον, διὰ ταύτην τοίνυν τοῦ λόγου τὴν φωνὴν ἡ στεῖρα εὐτεκνεῖ καὶ ἡ ἔρημος καρποφορεῖ. αἱ πρόδρομοι τοῦ κυρίου φω-

*) Philipp. 2, 6 sq. **) Hom. Odyss. τ, 105. ***) Ioann. 1, 23. †) Iesai. 40, 3.

εἰδώλοις προσφίγξας τῷ δεισιδαιμονίας ἀθλίῳ δεσμῷ τοῦτο δὴ τὸ λεγόμενον· ζῶντας ἐπιφέρων συνέθαψε αὐτοῖς, ἔστ' ἂν καὶ συμφθαρῶσιν. οὗ δὴ χάριν — εἰ γὰρ ὁ ἀπατεὼν ἄνωθεν μὲν τὴν Εὔαν, νῦν δὲ ἤδη καὶ τοὺς ἄλλους ἀνθρώπους εἰς θάνατον ὑποφέρων εἷς καὶ αὐτὸς ἐπίκουρος καὶ βοηθὸς ἡμῖν ὁ κύριος προμηνύων ἀρχῆθεν προφητικῶς· νῦν δὲ ἤδη καὶ ἐναργῶς εἰς σωτηρίαν παρακαλῶν.

§. 8. Φίγωμεν οὖν ἀποστολικῇ πειθόμενοι παραγγελίᾳ „τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας“ *)· καὶ τῷ σωτῆρι τῷ κυρίῳ προσδράμωμεν, ὃς καὶ νῦν καὶ ἀεὶ προὔτρεπεν εἰς σωτηρίαν, διὰ τεράτων καὶ σημείων ἐν Αἰγύπτῳ καὶ ἐν ἐρήμῳ, διά P. τε τῆς βάτου καὶ τῆς ἀκολουθούσης χάριτι φιλανθρωπίας θεραπαίνης δίκην Ἑβραίοις νεφέλης. τούτῳ μὲν δὴ τῷ φόβῳ τοὺς σκληροκαρδίους προὔτρεπεν· ἤδη δὲ καὶ διὰ Μωϊσέως τοῦ πανσόφου καὶ τοῦ φιλαλήθους Ἡσαΐου καὶ παντὸς τοῦ προφητικοῦ χοροῦ λογικώτερον ἐπὶ τὸν λόγον ἐπιστρέφει τοὺς τὰ ὦτα κεκτημένους· καὶ ἔσθ' ὅπῃ μὲν λοιδορεῖται· ἔστιν δ' οὗ καὶ ἀπειλεῖ· τοὺς δὲ καὶ θρηνεῖ τῶν ἀνθρώπων· ᾄδει δὲ ἄλλοις, καθάπερ ἰατρὸς ἀγαθὸς τῶν νοσούντων σωμάτων τὰ μὲν καταπλάττων, τὰ δὲ καταλειαίνων, τὰ δὲ καταντλῶν, τὰ δὲ καὶ σιδήρῳ διαιρῶν, ἐπικαίων δὲ ἄλλα, ἔστι δ' οὗ καὶ ἀποπορίων, εἴ πως οἷόν τε κἂν παρά μέρος ἢ μέλος τὸν ἄνθρωπον ὑγιᾶναι· πολίφωνός γε ὁ σωτὴρ καὶ πολύτροπος εἰς ἀνθρώπων σωτηρίαν, ἀπειλῶν νουθετεῖ, λοιδορούμενος ἐπιστρέφει, θρηνῶν ἐλεεῖ, ψάλλων παρακαλεῖ, διὰ βάτου λαλεῖ, ὅτι σημείων ἐκεῖνοι καὶ τεράτων ἐχρῆζον, καὶ τῷ πυρὶ δεδίττεται τοὺς ἀνθρώπους, ἀνάπτων ἐκ κίονος τὴν φλόγα, δεῖγμα ὁμοῦ χάριτος καὶ φόβου, ἐὰν ὑπακούσῃς, τὸ φῶς, ἐὰν παρακούσῃς, τὸ

*) Ephes. 2, 2.

πῦρ. ἐπειδὴ δὲ καὶ κίονος καὶ βάτου ἡ φωνὴ τιμιωτέρα, προφῆται μετ' ἐκεῖνα φθέγγονται, αὐτὸς ἐν Ἡσαΐᾳ ὁ κύριος λαλῶν, αὐτὸς ἐν Ἠλίᾳ, ἐν στόματι προφητῶν αὐτός· σὺ δὲ ἀλλ' εἰ προφήταις μὴ πιστεύεις, μῦθον δὲ ὑπολαμβάνεις καὶ τοὺς ἄνδρας καὶ τὸ πῦρ, αὐτός σοι λαλήσει ὁ κύριος, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· ἐκένωσε δὲ ἑαυτὸν" *) ὁ φιλοικτίρμων θεὸς, σῶσαι τὸν ἄνθρωπον γλιχόμενος· καὶ αὐτὸς ἤδη σοὶ ἐναργῶς ὁ λόγος λαλεῖ, δυσωπῶν τὴν ἀπιστίαν. ναί φημι ὁ λόγος ὁ τοῦ θεοῦ ἄνθρωπος γενόμενος, ἵνα δὴ καὶ σὺ παρὰ ἀνθρώπου μάθῃς, πῇ ποτε ἄρα ἄνθρωπος γένηται θεός.

§. 9. Εἶτ' οὐκ ἄτοπον, ὦ φίλοι, τὸν μὲν θεὸν ἀεὶ προτρέπειν ἡμᾶς ἐπ' ἀρετήν· ἡμᾶς δὲ ἀναδύεσθαι τὴν ὠφέλειαν καὶ ἀναβάλλεσθαι τὴν σωτηρίαν; ἢ γὰρ οὐχὶ καὶ Ἰωάννης ἐπὶ σωτηρίαν παρακαλεῖ καὶ τὸ πᾶν γίνεται φωνὴ προτρεπτική; πυθώμεθα τοίνυν αὐτοῦ, τίς πόθεν εἰς ἀνδρῶν **); Ἠλίας μὲν οὐκ ἐρεῖ, Χριστὸς δὲ εἶναι ἀρνήσεται· φωνὴ δὲ ὁμολογήσει ἐν ἐρήμῳ βοῶσα ***). τίς οὖν ἔστιν Ἰωάννης; ὡς τύπῳ λαβεῖν, ἐξέστω εἰπεῖν, φωνὴ τοῦ λόγου προτρεπτικὴ ἐν ἐρήμῳ βοῶσα. τί βοᾷς, ὦ φωνή; εἰπὲ καὶ ἡμῖν. „Εὐθείας ποιεῖτε τὰς ὁδοὺς κυρίου" †).

P. 4 Sylb. πρόδρομος Ἰωάννης καὶ ἡ φωνὴ πρόδρομος τοῦ λόγου, φωνὴ παρακλητικὴ, προετοιμάζουσα εἰς σωτηρίαν, φωνὴ προτρέπουσα εἰς κληρονομίαν οὐρανῶν· δι' ἣν ἡ στεῖρα καὶ ἔρημος ἄγονος οὐκέτι. ταύτην μοι τὴν κυοφορίαν προεθέσπισεν ἀγγέλου φωνή· πρόδρομος ἦν κἀκείνη τοῦ κυρίου, στεῖραν εὐαγγελιζομένη γυναῖκα, ὡς Ἰωάννης τὴν ἔρημον. διὰ ταύτην τοίνυν τοῦ λόγου τὴν φωνὴν ἡ στεῖρα εὐτεκνεῖ καὶ ἡ ἔρημος καρποφορεῖ. αἱ πρόδρομοι τοῦ κυρίου φω-

P. 9 Patt.

*) Philipp. 2, 6 sq. **) Hom. Odyss. ξ, 105. ***) Ioann. 1, 23. †) Iesai. 40, 3.

ναὶ δύο, ἀγγέλου καὶ Ἰωάννου, αἰνίττονταί μοι τὴν ἐναποκειμένην σωτηρίαν, ὡς ἐπιφανέντος τοῦ λόγου τοῦδε εὐτεκνίας ἡμᾶς καρπὸν ἀπενέγκασθαι, ζωὴν ἀΐδιον. ἄμφω γοῦν ἐς ταὐτὸν ἀγαγοῦσα τὰ φωνὰ ἡ γραφὴ σαφηνίζει τὸ πᾶν· „ἀκουσάτω ἡ οὐ τίκτουσα· ῥηξάτω φωνὴν ἡ οὐκ ὠδίνουσα, ὅτι πλείονα τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα·" *) ἄνδρα ἡμῖν εὐηγγελίζετο ἄγγελος, ἡμᾶς προὔτρεπεν Ἰωάννης νοῆσαι τὸν γεωργὸν, ζητῆσαι τὸν ἄνδρα. εἷς γὰρ καὶ ὁ αὐτὸς οὗτος, ὁ τῆς στείρας ἀνὴρ, ὁ τῆς ἐρήμου γεωργὸς, ὁ τῆς Θείας ἐμπλήσας δυνάμεως καὶ τὴν στεῖραν καὶ τὴν ἔρημον. ἐπεὶ γὰρ πολλὰ τὰ τέκνα τῆς εὐγενοῦς, ἄπαις δὲ ἦν δι' ἀπείθειαν, ἡ πολύπαις ἀνέκαθεν Ἑβραία γυνή· ἡ στεῖρα τὸν ἄνδρα λαμβάνει καὶ ἡ ἔρημος τὸν γεωργόν· εἶτα ἡ μὲν καρπῶν, ἡ δὲ πιστῶν, ἄμφω δὲ μητέρες διὰ τὸν λόγον· ἀπίστοις δὲ εἰς ἔτι νῦν καὶ στεῖρα καὶ ἔρημος περιλείπεται.

§. 10. Ὁ μὲν Ἰωάννης, ὁ κήρυξ τοῦ λόγου, ταύτῃ πῃ παρεκάλει **) ἑτοίμους γίνεσθαι εἰς Θεοῦ τοῦ Χριστοῦ παρουσίαν, καὶ τοῦτο ἦν, ὃ ἠνίττετο ἡ Ζαχαρίου σιωπὴ, ἀναμένουσα τὸν πρόδρομον τοῦ Χριστοῦ καρπὸν, ἵνα τῆς ἀληθείας τὸ φῶς, ὁ λόγος τῶν προφητικῶν αἰνιγμάτων, τὴν μυστικὴν ἀπολύσηται σιωπὴν, εὐαγγέλιον γενόμενος. σὺ δὲ εἰ ποθεῖς ἰδεῖν ὡς ἀληθῶς τὸν Θεὸν, καθαρσίων μεταλάμβανε θεοπρεπῶν, οὐ δάφνης πετάλων καὶ ταινιῶν τινῶν ἐρίῳ καὶ πορφύρᾳ πεποικιλμένων· δικαιοσύνην δὲ ἀναδησάμενος καὶ τῆς ἐγκρατείας τὰ πέταλα περιθέμενος πολυπραγμόνει Χριστόν· „ἐγὼ γάρ εἰμι ἡ θύρα" ***), φησί που· ἣν ἐκμαθεῖν δεῖ νοῆσαι θελήσασι τὸν Θεὸν, ὅπως ἡμῖν ἀθρόας τῶν οὐρανῶν ἀναπετάσῃ πύλας· λογικαὶ γὰρ αἱ τοῦ λόγου πύλαι, πίστεως ἀνοιγνύ-

*) Iesai. 54, 1. **) Matth. 3, 3. ***) Ioann. 10, 9.

μεναι κλειδί· „Θεὸν οὐδεὶς ἔγνω, εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ·“ *) θύραν δὲ εὖ οἶδ' ὅτι P. 10
τὴν ἀποκεκλεισμένην τέως ὁ ἀνοιγνὺς, ὕστερον ἀπο- Pott.
καλύπτει τάνδον καὶ δείκνυσιν ἃ μηδὲ γνῶναι οἷόν τε
ἦν πρότερον, εἰ μὴ διὰ Χριστοῦ πεπορευμένοις, δι'
οὗ μάνου θεὸς ἐποπτεύεται.

Cap. II.

§. 11. Ἄδυτα τοίνυν ἄθεα μὴ πολυπραγμονεῖτε μηδὲ βαράθρων στόματα, τερατείας ἔμπλεα ἢ λέβητα Θεσπρωταῖον ἢ τρίποδα Κιρραῖον ἢ Δωδωναῖον χαλκεῖον· γεράνδρυον δὲ ψάμμοις ἐρήμαις τετιμημένον καὶ τὸ αὐτόθι μαντεῖον αὐτῇ δρυῒ μεμαρασμένον μύθοις γεγηρακόσι καταλείψατε. σεσίγηται γοῦν ἡ Κασταλίας πηγὴ καὶ Κολοφῶνος ἄλλη πηγὴ καὶ τὰ ἄλλα ὁμοίως τέθνηκε νάματα μαντικά· καὶ δὴ τοῦ τύφου κενὰ ὀψὲ μέν, ὅμως δ' οὖν διελήλεγκται τοῖς ἰδίοις συνεκρεύσαντα μύθοις. διήγησαι ἡμῖν καὶ τῆς ἄλλης μαντικῆς, μᾶλλον δὲ μανικῆς, τὰ ἄχρηστα χρηστήρια· τὸν Κλάριον, τὸν Πύθιον, τὸν Διδυμέα, τὸν Ἀμφιάρεω, τὸν Ἀπόλλω, τὸν Ἀμφίλοχον· εἰ δὲ βούλει, καὶ τερασκόπους καὶ οἰωνοσκόπους καὶ τοὺς ὀνείρων κριτὰς ἀνίερου σὺν αὐτοῖς· στῆσον δὲ ὁμοῦ παρὰ τὸν Πύθιον τοὺς ἀλευρο- P. 11
μάντεις ἄγων καὶ κριθομάντεις καὶ τοὺς εἰσέτι παρὰ Pott.
τοῖς πολλοῖς τετιμημένους ἐγγαστριμύθους· ναὶ μὴν ἄδυτα Αἰγυπτίων καὶ Τυρρηνῶν νεκυομαντεῖα σκότῳ παραδιδόσθων. μανικὰ ταῦτα ὡς ἀληθῶς ἀνθρώπων ἀπίστων σοφιστήρια καὶ πλάνης ἀκράτου κυβευτήρια· συνέμποροι τῆσδε τῆς γοητείας αἰγες, αἱ ἐπὶ μαντικὴν ἠσκημέναι καὶ κόρακες ἀνθρώποις χρᾶν ὑπὸ ἀνθρώπων διδασκόμενοι.

*) Matth. 11, 27.

§. 12. *Τί δ' εἴ σοι καταλέγοιμι τὰ μυστήρια; οὐκ ἐξορχήσομαι μέν, ὥσπερ Ἀλκιβιάδην λέγουσιν, ἀπογυμνώσω δὲ εὖ μάλα ἀνὰ τὸν τῆς ἀληθείας λόγον τὴν γοητείαν τὴν ἐγκεκρυμμένην αὐτοῖς καὶ αὐτούς γε τοὺς κυλουμένους ὑμῶν θεούς, ὧν αἱ τελεταὶ μυστικαὶ, οἷον ἐπὶ σκηνῆς τοῦ βίου τοῖς τῆς ἀληθείας ἐκκυκλήσω θεαταῖς. Διόνυσον μαινόλην ὀργιάζουσι Βάκχοι ὠμοφαγίᾳ τὴν ἱερομανίαν ἄγοντες καὶ τελίσκουσι τὰς κρεανομίας τῶν φόνων, ἀνεστεμμένοι τοῖς ὄφεσιν, ἐπολολύζοντες Εὐάν· Εὔαν ἐκείνην, δι' ἣν ἡ πλάνη παρηκολούθησε. καὶ σημεῖον ὀργίων βακχικῶν ὄφις ἐστὶ τετελεσμένος. αὐτίκα γοῦν κατὰ τὴν ἀκριβῆ τῶν Ἑβραίων φωνὴν τὸ ὄνομα τὸ Εὔϊα δασυνόμενον ἑρμηνεύεται ὄφις ἡ Θήλεια. Δηὼ* P. 1
δὲ καὶ Κόρη δρᾶμα ἦδη ἐγενέσθην μυστικόν· καὶ τὴν Pot
πλάνην καὶ τὴν ἁρπαγὴν καὶ τὸ πένθος αὐταῖν Ἐλευσὶς δαδουχεῖ.

§. 13. *Καί μοι δοκεῖ τὰ ὄργια καὶ τὰ μυστήρια δεῖν ἐτυμολογεῖν, τὰ μὲν ἀπὸ τῆς ὀργῆς τῆς Δηοῦς, τῆς πρὸς Δία γεγενημένης, τὰ δὲ ἀπὸ τοῦ μύσους τοῦ συμβεβηκότος περὶ τὸν Διόνυσον· εἰ δὲ καὶ ἀπὸ Μυοῦντός τινος Ἀττικοῦ, ὃν ἐν κυνηγίῳ διαφθαρῆναι Ἀπολλόδωρος λέγει, οὐ φθόνος ὑμῶν δεδεῦχθαι τὰ μυστήρια ἐπιτυμβίῳ τιμῇ. πάρεστι δὲ καὶ ἄλλως μυθήριά σοι νοεῖν, ἀντιστοίχούντων τῶν γραμμάτων, τὰ μυστήρια· θηρεύουσι γὰρ εἰ καὶ ἄλλοι τινές, ἀτὰρ δὴ καὶ οἱ μῦθοι οἱ τοιοίδε Θρᾳκῶν τοὺς βαρβαρικω-* P. 5
τάτους, Φρυγῶν τοὺς ἀνοητοτάτους, Ἑλλήνων Sylb.
τοὺς δεισιδαίμονας. ὅλοιτο οὖν ὁ τῆσδε ἄρξας τῆς ἀπάτης ἀνθρώποις, εἴτε ὁ Δάρδανος, ὁ μητρὸς θεῶν καταδείξας τὰ μυστήρια, εἴτε Ἠετίων, ὁ τὰ Σαμοθρᾳκῶν ὄργια καὶ τελετὰς ὑποστησάμενος, εἴτε ὁ Φρὺξ ἐκεῖνος ὁ Μίδας, ὃ παρὰ τοῦ Ὀδρύσου μαθών, ἔπειτα διαδοὺς τοῖς ὑποτεταγμένοις ἔντεχνον ἀπάτην· οὐ γάρ με ὁ Κύπριος ὁ νησιώτης Κινύρας παραπείσαι πότ' ἄν, τὰ περὶ τὴν Ἀφροδίτην μαχλῶντα

ὄργια ἐκ νυκτὸς ἡμέρᾳ παραδοῦναι τολμήσας, φιλοτιμούμενος θειάσαι πόρνην πολίτιδα. Μελάμποδα δὲ τὸν Ἀμυθάονος ἄλλοι φασὶν ἐξ Αἰγύπτου μετακομίσαι τῇ Ἑλλάδι τὰς Δηοῦς ἑορτὰς, πένθος ὑμνούμενον· τούτους ἐγωγ' ἂν ἀρχεκάκους φήσαιμι μύ- P. 13
θων ἀθέων καὶ δεισιδαιμονίας ὀλεθρίου πατέρας, Pott.
σπέρμα κακίας καὶ φθορᾶς ἐγκαταφυτεύσαντας τῷ βίῳ τὰ μυστήρια.

§. 14. Ἤδη δὲ, καὶ γὰρ καιρὸς, αὐτὰ ὑμῶν τὰ ὄργια ἐξελέγξω, ἀπάτης καὶ τερατείας ἔμπλεα. καὶ εἰ μεμύησθε, ἐπιγελάσεσθε μᾶλλον τοῖς μύθοις ὑμῶν τούτοις τοῖς τιμωμένοις. ἀγορεύω δὲ ἀναφανδὸν τὰ κεκρυμμένα, οὐκ αἰδούμενος λέγειν, ἃ προσκυνεῖν οὐκ αἰσχύνεσθε. ἡ μὲν οὖν ἀφρογενὴς τε καὶ κυπρογενὴς, ἡ Κινύρα φίλη, τὴν Ἀφροδίτην λέγω, τὴν φιλομηδέα, ὅτι μηδέων ἐξεφαάνθη*), μηδέων ἐκείνων τῶν ἀποκεκομμένων οὐρανοῦ, τῶν λάγνων, τῶν μετὰ τὴν τομὴν τὸ κῦμα βεβιασμένων· ὡς ἀσελγῶν ἐμῖν μορίων ἄξιος Ἀφροδίτη γίνεται καρπός. ἐν ταῖς τελεταῖς ταύτης τῆς πελαγίας ἡδονῆς τεκμήριον τῆς γονῆς ἁλῶν χόνδρος καὶ φαλλὸς τοῖς μυουμένοις τὴν τέχνην τὴν μοιχικὴν ἐπιδίδοται· νόμισμα δὲ εἰσφέρουσιν αὐτῇ οἱ μυούμενοι, ὡς ἑταίρας ἐρασταί.

§. 15. Δηοῦς δὲ μυστήρια καὶ Διὸς πρὸς μητέρα Δήμητραν ἀφροδίσιοι συμπλοκαὶ καὶ μῆνις, οὐκ οἶδ' ὅτι φῶ λοιπὸν, μητρὸς ἢ γυναικὸς, τῆς Δηοῦς, ἧς δὴ χάριν Βριμὼ προσαγορευθῆναι λέγεται, ἱκετηρίαι Διὸς καὶ πόμια χολῆς καὶ καρδιουλκίαι καὶ ἀρρητουργίαι· ταῦτα οἱ Φρύγες τελίσκουσιν Ἄττιδι καὶ Κυβέλῃ καὶ Κορύβασιν. τεθρυλήκασιν δὲ, ὡς ἄρα ἀποσπάσας ὁ Ζεὺς τοῦ κριοῦ τοὺς διδύμους, φέρων ἐν μέσοις ἔρριψε τοῖς κόλποις τῆς Δηοῦς, τιμωρίαν ψευδῆ τῆς βιαίας συμπλοκῆς ἐκτινύων, ὡς ἑαυτὸν δῆθεν ἐκτεμών. τὰ σύμβολα τῆς μυήσεως ταύτης ἐκ

*) Hesiod. Theog. 200.

περιουσίας παρατεθέντα, οἶδ' ὅτι κινήσει γέλωτα, κἂν μὴ γελασείουσιν ὑμῖν διὰ τοὺς ἐλέγχους· ἐκ τυμπάνου ἔφαγον, ἐκ κυμβάλου ἔπιον· ἐκερνοφόρησα· ὑπὸ τὸν παστὸν ὑπέδυον. ταῦτα οὐχ ὕβρις τὰ σύμβολα; οὐ χλεύη τὰ μυστήρια; P. 14 Pott

§. 16. Τί δ' εἰ καὶ τὰ ἐπίλοιπα προσθείην; κύει μὲν ἡ Δημήτηρ· ἀνατρέφεται δὲ ἡ Κόρη· μίγνυται δ' αὖθις ὁ γεννήσας οὗτοσὶ Ζεὺς τῇ Φερεφάττῃ, τῇ ἰδίᾳ θυγατρὶ, μετὰ τὴν μητέρα τὴν Δηὼ, ἐκλαθόμενος τοῦ προτέρου μύσους· πατὴρ καὶ φθορεὺς κόρης ὁ Ζεὺς καὶ μίγνυται δράκων γενόμενος, ὃς ἦν, ἐλεγχθείς. Σαβαζίων γοῦν μυστηρίων σύμβολον τοῖς μυουμένοις ὁ διὰ κόλπου θεός· δράκων δέ ἐστιν οὗτος, διελκόμενος τοῦ κόλπου τῶν τελουμένων, ἔλεγχος ἀκρασίας Διός. κύει καὶ ἡ Φερεφάττα παῖδα ταυρόμορφον· ἀμέλει, φησί τις ποιητὴς εἰδωλικὸς, ταῦρος [πατὴρ] δράκοντος καὶ πατὴρ ταύρου δράκων ἐν ὄρει τὸ κρύφιον βουκόλος τὸ κέντρον, βουκολικὸν οἶμαι τὸ κέντρον τὸν νάρθηκα ἐπικαλῶν, ὃν δὴ [κάλον] ἀναστρέφουσιν οἱ βάκχοι.

§. 17. Βούλει καὶ τὰ Φερεφάττης ἀνθολόγια διηγήσωμαί σοι καὶ τὸν κάλαθον καὶ τὴν ἅρπαγὴν τὴν ὑπὸ Ἀϊδωνέως καὶ τὸ σχίσμα τῆς γῆς καὶ τὰς ἓξ τὰς Εὐβουλέως τὰς συγκαταποθείσας ταῖν θεαῖν· δι' ἣν αἰτίαν ἐν τοῖς θεσμοφορίοις μεγαρίζοντες χοίρους ἐκβάλλουσιν; ταύτην τὴν μυθολογίαν αἱ γυναῖκες ποικίλως κατὰ πόλιν ἑορτάζουσιν, Θεσμοφόρια, σκιροφόρια, ἀρρητοφόρια, πολυτρόπως τὴν Φερεφάττης ἐκτραγῳδοῦσαι ἁρπαγήν. τὰ γὰρ Διονύσου μυστήρια τέλεον ἀπάνθρωπα· ὃν εἰσέτι παῖδα ὄντα ἐνόπλῳ κινήσει περιχορευόντων Κουρήτων, δόλῳ δὲ ὑποδύντων Τιτάνων, ἀπατήσαντες παιδαριώδεσιν ἀθύρμασιν οὗτοι δὴ οἱ Τιτᾶνες διέσπασαν, ἔτι νηπίαχον ὄντα, ὡς ὁ τῆς τελετῆς ποιητὴς Ὀρφεύς φησιν ὁ Θρᾴκιος· P. 15 Pott

κῶνος καὶ ῥόμβος καὶ παίγνια καμπεσίγυια,
μῆλά τε χρύσεα καλὰ παρ' Ἑσπερίδων λιγυφώνων.

§. 18. Καὶ τῇσδε ὑμῖν τῆς τελετῆς τὰ ἀχρεῖα σύμβολα οὐκ ἀχρεῖον εἰς κατύγνωσιν παραθέσθαι· ἀστράγαλος, σφαῖρα, στρόβιλος, μῆλα, ῥόμβος, ἔσοπτρον, πόκος. Ἀθηνᾶ μὲν οὖν τὴν καρδίαν τοῦ Διονύσου ὑφελομένη, Παλλὰς ἐκ τοῦ πάλλειν τὴν καρδίαν προσηγορεύθη· οἱ δὲ Τιτᾶνες, οἱ καὶ διασπάσαντες αὐτὸν, λέβητά τινα τρίποδι ἐπιθέντες καὶ τοῦ Διονύσου ἐμβαλόντες τὰ μέλη, καθῆψουν πρότερον· ἔπειτα ὀβελίσκοις περιπείραντες ὑπείρεχον Ἡφαίστοιο*). Ζεὺς δὲ ὕστερον ἐπιφανεὶς, εἰ θεὸς ἦν, τάχα που τῆς κνίσης τῶν ὀπτωμένων κρεῶν μεταλαβών, ἧς δὴ τὸ γέρας λαχεῖν **) ὁμολογοῦσιν ὑμῶν οἱ θεοὶ, κεραυνῷ τοὺς Τιτᾶνας αἰκίζεται καὶ τὰ μέλη τοῦ Διονύσου Ἀπόλλωνι τῷ παιδὶ παρακατατίθεται καταθάψαι. ὁ δὲ, οὐ γὰρ ἠπείθησε Διὶ, εἰς τὸν Παρνασσὸν φέρων κατατίθεται διεσπασμένον τὸν νεκρόν. §. 19. Εἰ θέλεις δ' ἐποπτεῦσαι καὶ τὰ Κορυβάντων ὄργια, τὸν τρίτον ἀδελφὸν ἀποκτείναντες οὗτοι, τὴν κεφαλὴν τοῦ νεκροῦ φοινικίδι ἐπεκάλυψάν τε καὶ καταστέψαντε ἐθαψάτην, φέροντες ἐπὶ χαλκῆς ἀσπίδος ὑπὸ τὰς ὑπωρείας τοῦ Ὀλύμπου. καὶ ταῦτ' ἔστι τὰ μυστήρια, συνελόντι φάναι, φάνοι καὶ τάχοι· οἱ δὲ ἱερεῖς οἱ τῶνδε, οὓς ἀνακτοτελέστας, οἷς μέλον καλεῖν, καλοῦσι, προσεπιτερατεύονται τῇ συμφορᾷ, ὁλόριζον ἀπαγορεύοντες σέλινον ἐπὶ τραπέζης τιθέναι· οἴονται γὰρ δὴ ἐκ τοῦ αἵματος τοῦ ἀπορρυέντος τοῦ Κορυβαντικοῦ τὸ σέλινον ἐκπεφυκέναι· ὥσπερ ἀμέλει καὶ αἱ θεσμοφοριάζουσαι τῆς ῥοιᾶς τοὺς κόκκους παραφυλάττουσιν ἐνθεῖν· τοὺς ἀποπεπτωκότας χαμαὶ ἐκ τῶν τοῦ Διονύσου αἵματος σταγόνων βεβλαστηκέναι νομίζουσι τὰς ῥοιάς. Καβείρους δὲ τοὺς Κορύβαντας καλοῦντες καὶ τελετὴν Καβειρικὴν

Pott. P. 6 Sylb. P. 16 Pott.

*) Cf. Homer. Iliad. β. 426 sqq. **) Cf. Ibid. δ. 49.

καταγγέλλουσιν· αὐτὼ γὰρ δὴ τούτω τὼ ἀδελφοκτόνω, τὴν κίστην ἀνελομένω, ἐν ᾗ τὸ τοῦ Διονύσου αἰδοῖον ἀπέκειτο, εἰς Τυρρηνίαν κατήγαγον, εὐκλεοῦς ἔμπορα φορτίου· κἀνταῦθα διετριβέτην, φυγάδε ὄντε, τὴν πολυτίμητον εὐσεβείας διδασκαλίαν, αἰδοῖα καὶ κίστην, θρησκεύειν παραθεμένω Τυρρηνοῖς. δι' ἣν αἰτίαν οὐκ ἀπεικότως τὸν Διόνυσόν τινες Ἄττιν προσαγορεύεσθαι θέλουσιν, αἰδοίων ἐστερημένον.

§. 20. Καὶ τί θαυμαστὸν εἰ Τυρρηνοὶ οἱ βάρβαροι αἰσχροῖς οὕτω τελίσκονται παθήμασιν, ὅπου γε Ἀθηναίοις καὶ τῇ ἄλλῃ Ἑλλάδι, αἰδοῦμαι καὶ λέγειν, αἰσχύνης ἔμπλεως ἡ περὶ τὴν Δηὼ μυθολογία; ἀλωμένη γὰρ ἡ Δηὼ κατὰ ζήτησιν τῆς θυγατρὸς τῆς Κόρης περὶ τὴν Ἐλευσῖνα — τῆς Ἀττικῆς δέ ἐστι τοῦτο τὸ χωρίον — ἀποκάμνει καὶ φρέατι ἐπικαθίζει λυπουμένη. τοῦτο, τοῖς μυουμένοις ἀπαγορεύεται εἰς ἔτι νῦν, ἵνα μὴ δοκοῖεν οἱ τετελεσμένοι μιμεῖσθαι τὴν ὀδυρομένην. ὤκουν δὲ τηνικάδε τὴν Ἐλευσῖνα οἱ γηγενεῖς· ὀνόματα αὐτοῖς Βαυβὼ καὶ Δυσαύλης καὶ Τριπτόλεμος, ἔτι δὲ Εὔμολπός τε καὶ Εὐβουλεύς· βουκόλος ὁ Τριπτόλεμος ἦν, ποιμὴν δὲ ὁ Εὔμολπος, συβώτης δὲ ὁ Εὐβουλεύς· ἀφ' ὧν τὸ Εὐμολπιδῶν καὶ τὸ κηρύκων τὸ ἱεροφαντικὸν δὴ τοῦτο Ἀθήνησι γένος ἤνθησεν. καὶ δή — οὐ γὰρ ἀνήσω μὴ οὐχὶ εἰπεῖν — ξενίσασα ἡ Βαυβὼ τὴν Δηὼ, ὀργέει κυκεῶνα αὐτῇ. τῆς δὲ ἀναινομένης λαβεῖν καὶ πιεῖν οὐκ ἐθελούσης — πενθήρης γὰρ ἦν — περιαλγὴς ἡ Βαυβὼ γενομένη, ὡς ὑπεροραθεῖσα δῆθεν, ἀναστέλλεται τὰ αἰδοῖα καὶ ἐπιδεικνύει τῇ θεᾷ. ἡ δὲ τέρπεται τῇ ὄψει ἡ Δηὼ καὶ μόλις ποτὲ δέχεται τὸ ποτὸν, ἡσθεῖσα τῷ θεάματι.

§. 21. Ταῦτ' ἔστι τὰ κρύφια τῶν Ἀθηναίων μυστήρια. ταῦτά τοι καὶ Ὀρφεὺς ἀναγράφει. παραθήσομαι δέ σοι αὐτὰ τοῦ Ὀρφέως τὰ ἔπη, ἵν' ἔχῃς μάρτυρα τῆς ἀναισχυντίας τὸν μυσταγωγόν·

ὡς εἰποῦσα πέπλους ἀνεσύρατο, δεῖξε δὲ πάντα
σώματος οὐδὲ πρέποντα τύπον· παῖς δ' ἦεν Ἴακχος,

P. 1
Pou

χειρί τέ μιν ῥίπτασκε γελῶν Βαυβοῦς ὑπὸ κόλποις· P. 18
τὸ δ' ἐπεὶ οὖν ἐνόησε θεὰ, μείδησε' ἐνὶ θυμῷ, Pott.
δέξατο δ' αἰόλον ἄγγος, ἐν ᾧ κυκεὼν ἐνέκειτο.

Κάστι τὸ σύνθημα Ἐλευσινίων μυστηρίων· ἐνήστευσα, ἔπιον τὸν κυκεῶνα, ἔλαβον ἐκ κίστης, ἐργευσάμενος ἀπεθέμην εἰς κάλαθον καὶ ἐκ καλάθου εἰς κίστην. καλά γε τὰ θεάματα καὶ θεᾷ πρέποντα.

§. 22. Ἄξια μὲν οὖν νυκτὸς τὰ τελέσματα καὶ πυρὸς καὶ τοῦ μεγαλήτορος, μᾶλλον δὲ ματαιόφρονος Ἐρεχθειδῶν δήμου· πρὸς δὲ καὶ τῶν ἄλλων Ἑλλήνων, οὕστινας μένει τελευτήσαντας, ἅσσα οὐδὲ ἔλπονται. τίσι δὴ μαντεύεται Ἡράκλειτος ὁ P. 19
Ἐφέσιος; νυκτιπόλοις, μάγοις, βάκχοις, λήναις, μύ- Pott.
σταις· τούτοις ἀπειλεῖ τὰ μετὰ θάνατον, τούτοις μαντεύεται τὸ πῦρ· τὰ γὰρ νομιζόμενα κατ' ἀνθρώπους μυστήρια ἀνιερωστὶ μυοῦνται. νόμος οὖν καὶ ὑπόληψις κενὴ καὶ τοῦ δράκοντος τὰ μυστήρια ἀπάτη τίς ἐστι, θρησκευομένη τὰς ἀμυήτους ὄντως μυήσεις καὶ τὰς ἀνοργιάστους τελετὰς εὐσεβείᾳ νόθῳ προστρεπομένων. οἷαι δὲ καὶ αἱ κίσται αἱ μυστικαί· δεῖ γὰρ ἀπογυμνῶσαι τὰ ἅγια αὐτῶν καὶ τὰ ἄρρητα ἐξειπεῖν· οὐ σησαμαῖ ταῦτα καὶ πυραμίδες καὶ τολύπαι καὶ πόπανα πολυόμφαλα, χόνδροι τε ἁλῶν καὶ δράκων, ὄργιον Διονύσου Βασσάρου; οὐχὶ δὲ ῥοιαὶ πρὸς τοῖσδε καὶ κραδίαι, νάρθηκές τε καὶ κιττοί; πρὸς δὲ καὶ φθοῖς καὶ μήκωνες; ταῦτ' ἔστιν αὐτῶν τὰ ἅγια· καὶ προσέτι τῆς Θέμιδος τὰ ἀπόρρητα σύμβολα, ὀρίγανον, λύχνος, ξίφος, κτεὶς γυναικεῖος, ὅ ἐστιν, εὐφήμως καὶ μυστικῶς εἰπεῖν, μόριον γυναικεῖον. ὦ τῆς ἐμφανοῦς ἀναισχυντίας. πάλαι μὲν ἀνθρώποις σωφρονοῦσιν ἐπικάλυμμα ἡδονῆς νὺξ ἦν σιωπωμένη· νυνὶ δὲ τοῖς μυουμένοις ἡ ἱερὰ τῆς ἀκρασίας νὺξ ἐστι λαλουμένη, καὶ τὸ πῦρ ἐλέγχει τὰ πάθη δαδουχούμενον. ἀπόσβεσον, ὦ ἱεροφάντα, τὸ πῦρ· αἰδέσθητι, δαδοῦχε, τὰς λαμπάδας· ἐλέγχει σοὺ τὸν Ἴακχον τὸ φῶς· ἐπίτρεψον ἐπικρύψαι τῇ νυκτὶ τὰ μυστήρια· σκότει

τετιμήσθω τὰ ὄργια· τὸ πῦρ οὐχ ὑποκρίνεται ἐλέγχειν καὶ κολάζειν ἃ κελεύεται.

§. 23. Ταῦτα τῶν ἀθέων τὰ μυστήρια· ἀθέους P. 7 δὲ εἰκότως ἀποκαλῶ τούτους, οἳ τὸν μὲν ὄντως Sylb. ὄντα θεὸν ἠγνοήκασιν, παιδίον δὲ ὑπὸ Τιτάνων διασπώμενον καὶ γύνιον πενθοῦν καὶ μόρια ἄρρητα ὡς ἀληθῶς ὑπ' αἰσχύνης ἀναισχύντως σέβουσιν· P. διττῇ ἐνεσχημένοι τῇ ἀθεότητι· προτέρᾳ μὲν, καθ' P. ἣν ἀγνοοῦσι τὸν θεὸν, τὸν ὄντως ὄντα μὴ γνωρί- ζοντες θεὸν, ἑτέρᾳ δὲ καὶ δευτέρᾳ δὴ ταύτῃ, πλάνῃ τοὺς οὐκ ὄντας ὡς ὄντας νομίζοντες καὶ θεοὺς τούτους ὀνομάζοντες τοὺς οὐκ ὄντως ὄντας· μᾶλλον δὲ οὐδὲ ὄντας, μόνου δὲ τοῦ ὀνόματος τετυχηκότας. διὰ τοῦτό τοι καὶ ὁ ἀπόστολος διελέγχει ἡμᾶς· „καὶ ἦτε ξένοι", λέγων, „διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες καὶ ἄθεοι ἐν τῷ κόσμῳ." *)

§. 24. Πολλὰ κἀγαθὰ γένοιτο τῷ τῶν Σκυθῶν βασιλεῖ, ὅστις ποτὲ ἦν Ἀνάχαρσις. οὗτος τὸν πολί- την τὸν ἑαυτοῦ, τὴν παρὰ Κυζικηνοῖς μητρὸς τῶν θεῶν τελετὴν ἀπομιμούμενον παρὰ Σκύθαις, τύμπα- νόν τε ἐπικτυποῦντα καὶ κύμβαλον ἐπηχοῦντα οἷα τοῦ τραχήλου τινὰ Μηναγύρτην ἐξηρτημένον κατετόξευ- σεν, ὡς ἄνανδρον αὐτόν τε παρὰ Ἕλλησι γεγενημέ- νον καὶ τῆς θηλείας τοῖς ἄλλοις Σκυθῶν διδάσκαλον νόσου. ὧν δὴ χάριν — οὐ γὰρ οὐδαμῶς ἀποκρυπτέον — θαυμάζειν ἔπεισί μοι, ὅτῳ τρόπῳ Εὐήμερον τὸν Ἀκρα- γαντῖνον καὶ Νικάνορα τὸν Κύπριον καὶ Διαγόραν καὶ Ἵππωνα τὸν Μήλιον, τόν τε Κυρηναῖον ἐπὶ τούτοις ἐκεῖνον — ὁ Θεόδωρος ὄνομα αὐτῷ — καί τινας P. 2 ἄλλους συχνοὺς, σωφρόνως βεβιωκότας καὶ καθεω- Por ρακότας ὀξύτερόν που τῶν λοιπῶν ἀνθρώπων τὴν ἀμφὶ τοὺς θεοὺς τούτους πλάνην ἀθέους ἐπικεκλή- κασιν, εἰ καὶ τὴν ἀλήθειαν αὐτὴν μὴ νενοηκότας, ἀλλὰ τὴν πλάνην γε ὑπωπτευκότας· ὅπερ οὐ σμικρὸν

*) Ephes. 2, 12.

εἰς ἀληθείας φρόνήσεως ζώπυρον ἀναφύεται σπέρμα· ὧν ὁ μέν τις παρεγγυᾷ τοῖς Αἰγυπτίοις· εἰ θεοὺς νομίζετε, μὴ θρηνεῖτε αὐτοὺς μηδὲ κόπτεσθε· εἰ δὲ πενθεῖτε αὐτούς, μηκέτι τούτους ἡγεῖσθε εἶναι θεούς. ὁ δ' Ἡρακλέα ἐκ ξύλου λαβὼν κατεσκευασμένον — ἔτυχε δὲ ἔψων τι οἴκοι, οἷα εἰκός — εἶα δή, ὦ Ἡράκλεις, εἶπεν· νῦν σοὶ ἤδη καιρὸς, ὥσπερ Εὐρυσθεῖ, ἀτὰρ δὴ καὶ ἡμῖν ὑπαυργῆσαι τὸν τρισκαιδέκατον τοῦτον ἆθλον καὶ Διαγόρᾳ τοῦτον παρασκευάσαι, καὶτ' αὐτὸν εἰς τὸ πῦρ ἐνέθηκεν ὡς ξύλον.

§. 25. Ἀκρότητες ἄρα ἀμαθίας ἀθεότης καὶ δεισιδαιμονία, ὧν ἐκτὸς μένειν σπουδαστέον. οὐχ ὁρᾷς τὸν ἱεροφάντην τῆς ἀληθείας Μωϋσέα προστάττοντα, „θλασίαν καὶ ἀποκεκομμένον μὴ ἐκκλησιάζειν" · καὶ προσέτι „τὸν ἐκ πόρνης" *); αἰνίττεται δὲ διὰ μὲν τῶν προτέρων τὸν ἄθεον τρόπον τὸν τῆς θείας καὶ γονίμου δυνάμεως ἐστερημένον· διὰ δὲ τοῦ λοιποῦ τοῦ τρίτου τὸν πολλοὺς ἐπιγραφόμενον ψευδωνύμους θεοὺς ἀντὶ τοῦ μόνου ὄντος θεοῦ, ὥσπερ ὁ ἐκ τῆς πόρνης τοὺς πολλοὺς ἐπιγράφεται πατέρας, ἀγνοίᾳ τοῦ πρὸς ἀλήθειαν πατρός. ἦν δέ τις ἔμφυτος ἀρχαία πρὸς οὐρανὸν ἀνθρώποις κοινωνία, ἀγνοίᾳ μὲν ἐσκοτισμένη, ἄφνω δέ που διεκθρώσκουσα τοῦ σκότους καὶ ἀναλάμπουσα. οἷον δὴ ἐκεῖνο λέλεκταί τι·

τὸ
ὁρᾷς τὸν ὑψοῦ τόνδ' ἄπειρον αἰθέρα,
καὶ γῆν περίξ ἔχονθ' ὑγραῖς ἐν ἀγκάλαις.

καὶ τὸ
ὦ γῆς ὄχημα κἀπὶ γῆς ἔχων ἕδραν,
ὅστις πότ' εἶ σὺ δυστόπαστος εἰσιδεῖν·

καὶ ὅσα ἄλλα τοιαῦτα ποιητῶν ᾄδουσι παῖδες. ἔννοιαι δὲ ἡμαρτημέναι καὶ παρηγμέναι τῆς εὐθείας, P. 22 ὀλέθριαι ὡς ἀληθῶς, τὸ οὐράνιον φυτὸν, τὸν ἄν- Pott. θρωπον, οὐρανίου ἐξέτρεψαν διαίτης καὶ ἐξετάνυσαν

*) Deut. 23, 1. 2.

ἐπὶ γῆς *), γηΐνοις προσανέχειν ἀναπείσασαι πλάσμασιν.

§. 26. Οἱ μὲν γὰρ εὐθέως ἀμφὶ τὴν οὐρανοῦ θέαν ἀπατώμενοι καὶ ὄψει μόνῃ πεπιστευκότες τῶν ἀστέρων τὰς κινήσεις ἐπιθεώμενοι, ἐθαύμασάν τε καὶ ἐξεθείασαν θεοὺς ἐκ τοῦ θεῖν ὀνομάσαντες τοὺς ἀστέρας καὶ προσεκύνησαν ἥλιον, ὡς Ἰνδοὶ, καὶ σελήνην, ὡς Φρύγες· οἱ δὲ τῶν ἐκ γῆς φυομένων τοὺς ἡμέρους δρεπόμενοι καρποὺς, Δηὼ τὸν σῖτον, ὡς Ἀθηναῖοι, καὶ Διόνυσον τὴν ἄμπελον, ὡς Θηβαῖοι, προσηγόρευσαν. ἄλλοι τὰς ἀμοιβὰς τῆς κακίας ἐπισκοπήσαντες θεοποιοῦσι τὰς ἀντιδόσεις προσκυνοῦντες καὶ τὰς συμφοράς. ἐντεῦθεν τὰς Ἐρινύας καὶ τὰς Εὐμενίδας, παλαμναίους τε καὶ προστροπαίους, ἔτι δὲ ἀλάστορας ἀναπεπλάκασιν οἱ ἀμφὶ τὴν σκηνὴν ποιηταί. φιλοσόφων δὲ ἤδη τινὲς καὶ αὐτοὶ μετὰ τοὺς ποιητικοὺς τῶν ἐν ἡμῖν παθῶν ἀνειδωλοποιοῦσι τύπους, τὸν φόβον καὶ τὸν ἔρωτα καὶ τὴν χαρὰν καὶ τὴν ἐλπίδα· ὥσπερ ἀμέλει καὶ Ἐπιμενίδης ὁ παλαιὸς, Ὕβρεως καὶ Ἀναιδείας Ἀθήνησιν ἀναστήσας βωμούς· οἱ δὲ ἐξ αὐτῶν ὁρμώμενοι τῶν πραγμάτων ἐκθεοῦνται τοῖς ἀνθρώποις καὶ σωματικῶς ἀναπλάττονται· Λίκητις καὶ Κλωθὼ καὶ Λάχεσις καὶ Ἄτροπος καὶ Εἱμαρμένη, Αὐξώ τε καὶ Θαλλὼ, αἱ Ἀττικαί. ἔκτος ἐστὶν εἰσηγητικὸς τρόπος ἀπάτης, θεῶν περιποιητικὸς, καθ' ὃν ἀριθμοῦσι θεοὺς τοὺς δώδεκα· ὧν καὶ θεογονίαν Ἡσίοδος ᾄδει τὴν αὐτοῦ, καὶ ὅσα θεολογεῖ Ὅμηρος. τελευταῖος δὲ ὑπολείπεται· ἑπτὰ γὰρ οἱ ἅπαντες οὗτοι τρόποι· ὁ ἀπὸ τῆς θείας εὐεργεσίας τῆς εἰς τοὺς ἀνθρώπους καταγινομένης ὁρμώμενος. τὸν γὰρ εὐεργετοῦντα μὴ συνιέντες θεὸν ἀνέπλασάν τινας σωτῆρας Διοσκούρους καὶ Ἥρα- P. 8 Sylb. κλέα ἀλεξίκακον καὶ Ἀσκληπιὸν ἰατρόν. P. 23 Pott.

*) Cf. Homer. Iliad. ϕ. 58.

§. 27. Αὗται μὲν αἱ ὀλισθηραί τε καὶ ἐπιβλαβεῖς παρεκβάσεις τῆς ἀληθείας, καθέλκουσαι οὐρανόθεν τὸν ἄνθρωπον καὶ εἰς βάραθρον περιτρέπουσαι· ἐθέλω δὲ ὑμῖν ἐν χρῷ τοὺς θεοὺς αὐτοὺς ἐπιδεῖξαι, ὁποῖοί καὶ τίνες εἰσὶν, ἵν' ἤδη ποτὲ τῆς πλάνης λήξητε, αὖθις δὲ παλινδρομήσητε εἰς οὐρανόν. „ἡμεν γάρ που καὶ ἡμεῖς τέκνα ὀργῆς, ὡς καὶ οἱ λοιποί, ὁ δὲ θεὸς πλούσιος ὢν ἐν ἐλέει διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς ὄντας ἤδη νεκροὺς τοῖς παραπτώμασιν, συνεζωοποίησεν τῷ Χριστῷ" *). ζῶν γὰρ ὁ λόγος καὶ συνταφεὶς Χριστῷ συνυψοῦται θεῷ. οἱ δὲ ἔτι ἄπιστοι τέκνα ὀργῆς ὀνομάζονται, τρεφόμενα ὀργῇ· ἡμεῖς δὲ οὐκ ὀργῆς θρέμματα ἔτι, οἱ τῆς πλάνης ἀπεσπασμένοι, ἄσσοντες δὲ ἐπὶ τὴν ἀλήθειαν. ταύτῃ τοι ἡμεῖς οἱ τῆς ἀνομίας υἱοὶ ποτε διὰ τὴν φιλανθρωπίαν τοῦ λόγου νῦν υἱοὶ γεγόναμεν τοῦ θεοῦ· ὑμῖν δὲ καὶ ὁ ὑμέτερος ὑποδύεται ποιητὴς ὁ Ἀκραγαντῖνος Ἐμπεδοκλῆς·

τοιγάρτοι χαλεπῇσιν ἀλύοντες κακότησιν
οὔ ποτε δειλαίων ἀχέων λωφήσετε θυμόν.

τὰ μὲν δὴ πλεῖστα μεμύθευται καὶ πέπλασται περὶ θεῶν ὑμῖν· τὰ δὲ καὶ ὅσα γεγενῆσθαι ὑπείληπται, ταῦτα δὲ περὶ ἀνθρώπων αἰσχρῶν καὶ ἀσελγῶς βεβιωκότων ἀναγέγραπται·

τύφῳ καὶ μανίῃ δὲ βαδίζετε καὶ τρίβον ὀρθὴν εὐθεῖαν προλιπόντες ἀπήλθετε τὴν δι' ἀκανθῶν καὶ σκολόπων, τί πλανᾶσθε βροτοί; παύσασθε μάταιοι,
καλλίπετε σκοτίην νυκτὸς, φωτὸς δὲ λάβεσθε. P. 24
ταῦτα ἡμῖν ἡ προφητικὴ παρεγγυᾷ καὶ ποιητικὴ Pott.
Σίβυλλα, παρεγγυᾷ δὲ καὶ ἡ ἀλήθεια, γυμνοῦσα τῶν καταπληκτικῶν τουτωνὶ καὶ ἐκπληκτικῶν προσωπείων τὸν ὄχλον τῶν θεῶν, συνωνυμίαις τισὶ τὰς δοξοποιίας διελέγχουσα.

*) Ephes. 2, 3—5.

§. 28. Αὐτίκα γοῦν εἰσιν, οἱ τρεῖς τοὺς Ζῆνας ἀναγράφουσιν, τὸν μὲν Αἰθέρος, ἐν Ἀρκαδίᾳ· τῷ δὲ λοιπῷ τοῦ Κρόνου παῖδε. τούτοιν τὸν μὲν ἐν Κρήτῃ· θάτερον δὲ ἐν Ἀρκαδίᾳ πάλιν. εἰσὶ δέ, οἳ πέντε Ἀθηνᾶς ὑποτίθενται, τὴν μὲν Ἡφαίστου, τὴν Ἀθηναίαν, τὴν δὲ Νείλου, τὴν Αἰγυπτίαν, τρίτην τὴν Κρόνου τὴν πολέμιον εὑρέτιν, τετάρτην τὴν Διός, ἣν Μεσσήνιοι Κορυφασίαν ἀπὸ τῆς μητρὸς ἐπικεκλήκασιν· ἐπὶ πᾶσι τὴν Πάλλαντος καὶ Τιτανίδος τῆς Ὠκεανοῦ· ἣ τὸν πατέρα ὑνσσεβῶς καταθύσασα, τῷ πατρῴῳ κεκόσμηται δέρματι, ὥσπερ κωδίῳ. ναὶ μὴν Ἀπόλλωνα ὁ μὲν Ἀριστοτέλης πρῶτον Ἡφαίστου καὶ Ἀθηνᾶς — ἐνταῦθα δὴ οὐκέτι παρθένος ἡ Ἀθηνᾶ — δεύτερον ἐν Κρήτῃ, τὸν Κορύβαντος, τρίτον τὸν Διὸς καὶ τέταρτον τὸν Ἀρκάδα, τὸν Σιληνοῦ· νόμιος οὗτος κέκληται παρ' Ἀρκάσιν. ἐπὶ τούτοις τὸν Λίβυν καταλέγει τὸν Ἄμμωνος· ὁ δὲ Δίδυμος ὁ γραμματικὸς τούτοις ἕκτον ἐπιφέρει, τὸν Μάγνητος. πόσοι δὲ καὶ νῦν Ἀπόλλωνες; ἀναρίθμητοι θνητοὶ καὶ ἐπίκουροί τινες ἄνθρωποι εἰσιν οἱ παραπλησίως τοῖς προειρημένοις ἐκείνοις κεκλημένοι.

§. 29. Τί δ' εἴ σοι τοὺς πολλοὺς εἴποιμι Ἀσκληπιοὺς ἢ τοὺς Ἑρμᾶς τοὺς ἀριθμουμένους ἢ τοὺς Ἡφαίστους τοὺς μυθολογουμένους; μὴ καὶ περιττὸς εἶναι δόξω τὰς ἀκοὰς ὑμῶν τοῖς πολλοῖς τούτοις ἐπικλύζων ὀνόμασιν; ἀλλ' αἵ γε πατρίδες αὐτοὺς καὶ αἱ τέχναι καὶ οἱ βίοι, πρὸς δέ γε καὶ οἱ τάφοι ἀνθρώπους γεγονότας διελέγχουσιν. Ἄρης γοῦν ὁ καὶ παρὰ τοῖς ποιηταῖς, ὡς οἷόν τε, τετιμημένος·

Ἄρες, Ἄρες, βροτολοιγέ, μιαιφόνε, τειχεσιπλῆτα·*)

ὁ ἀλλοπρόσαλλος οὗτος καὶ ἀνάρσιος, ὡς μὲν Ἐπίχαρμός φησι, Σπαρτιάτης ἦν· Σοφοκλῆς δὲ P. 2 Θρᾷκα οἶδεν αὐτόν· ἄλλοι δὲ Ἀρκάδα. τοῦτον δὲ Pot Ὅμηρος δεδέσθαι φησὶν ἐπὶ μῆνας τρισκαίδεκα·

*) Hom. Iliad. ε, 31.

τλῆ μὲν Ἄρης, ὅτε μιν Ὦτος κρατερός τ' Ἐφιάλτης,
παῖδες Ἀλωῆος, δῆσαν κρατερῷ ἐνὶ δεσμῷ·
χαλκέῳ δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας *).
πολλὰ κἀγαθὰ Κῦρες σχοῖεν, οἳ καταθύουσιν αὐτῷ τοὺς κύνας. Σκύθαι δὲ τοὺς ὄνους ἱερεύοντες μὴ πανέσθων, ὡς Ἀπολλόδωρός φησι καὶ Καλλίμαχος,
Φοῖβος Ὑπερβορέοισιν ὄνων ἐπιτέλλεται ἱροῖς.
ὁ αὐτὸς δὲ ἀλλαχοῦ·
τέρπουσιν λιπαραὶ Φοῖβον ὀνοσφαγίαι.
Ἥφαιστος δέ, ὃν ἔρριψεν ἐξ Ὀλύμπου Ζεὺς βηλοῦ ἀπὸ θεσπεσίοιο, **) ἐν Λήμνῳ καταπεσὼν ἐχάλκευε, πηρωθεὶς τὼ πόδε·
— ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί. ***)

§. 30. Ἔχεις καὶ ἰατρὸν, οὐχὶ χαλκέα μόνον ἐν θεοῖς. ὁ δὲ ἰατρὸς φιλάργυρος ἦν, Ἀσκληπιὸς ὄνομα αὐτῷ. καί σοι τὸν σὸν παραθήσομαι ποιητὴν, τὸν Βοιώτιον Πίνδαρον·
ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶν φανείς
[ἄνδρ' ἐκ θανάτου κομίσαι
ἤδη ἁλωκότα]. χερσὶ δ' ἄρα Κρονίων
ῥίψαις δι' ἀμφοῖν, ἀμπνοὰς στέρνων καθέλεν
ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον. P. 26 Pott.
Καὶ Εὐριπίδης·
Ζεὺς γὰρ κατακτὰς παῖδα τὸν ἐμὸν αἴτιος
Ἀσκληπιὸν, στέρνοισιν ἐμβαλὼν φλόγα.
P. 9 Hyb. οὗτος μὲν οὖν κεῖται κεραυνωθεὶς ἐν τοῖς Κυνοσούριδος ὄρεσιν. Φιλόχορος δὲ ἐν Τήνῳ Ποσειδῶνά φησι τιμᾶσθαι ἰατρόν· Κρόνῳ δὲ ἐπικεῖσθαι

*) Ibid. ε. 385 sqq. **) Cf. Hom. Iliad. α. 591.
***) Ibid. σ, 410.

Σικελίαν καὶ ἐνταῦθα αὐτὸν τεθάφθαι. Πατροκλῆς τε ὁ Θούριος καὶ Σοφοκλῆς ὁ νεώτερος ἐν τρισὶ τραγῳδίαις, ἱστορεῖτον τῶν Διοσκούρων πέρι· ἀνθρώπωτινὲ τούτω τῷ Διοσκούρῳ ἐπικήρῳ γενέσθην, εἴ τῳ ἱκανὸς πιστώσασθαι Ὅμηρος τὸ λελεγμένον·

——τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα
ἐν Λακεδαίμονι αὖθι, φίλῃ ἐν πατρίδι γαίῃ *).

Προσίτω δὲ καὶ ὁ τὰ Κυπριακὰ ποιήματα γράψας·

Κάστωρ μὲν θνητὸς, θανάτου δέ οἱ αἶσα πέπρωται·
αὐτὰρ ὅ γ' ἀθάνατος Πολυδεύκης, ὄζος Ἄρηος.

τοῦτο μὲν ποιητικῶς ἐψεύσατο· Ὅμηρος δὲ ἀξιοπιστότερος αὐτοῦ εἰπὼν περὶ ἀμφοῖν τοῖν Διοσκούροιν, πρὸς δὲ καὶ τὸν Ἡρακλέα εἴδωλον ἐλέγξας· φῶτα γὰρ Ἡρακλῆα μεγάλων ἐπίστορα ἔργων **). Ἡρακλέα οὖν καὶ αὐτὸς Ὅμηρος θνητὸν οἶδεν ἄνθρωπον. Ἱερώνυμος δὲ ὁ φιλόσοφος καὶ τὴν σχέσιν αὐτοῦ ὑφηγεῖται τοῦ σώματος, μακρὸν, φριξότριχα, ῥωστικόν· Δικαίαρχος δὲ σχιζίαν, νευρώδη, μέλανα, γρυπὸν, ὑποχαροπὸν, τετανότριχα. οὗτος οὖν ὁ Ἡρακλῆς δύο πρὸς τοῖς πεντήκοντα ἔτη βεβιωκὼς κατέστρεψε τὸν βίον διὰ τῆς ἐν Οἴτῃ πυρᾶς κεκηδευμένος. P.

§. 31. Τὰς δὲ Μούσας, ἃς Ἄλκμανος Διὸς Po καὶ Μνημοσύνης γενεαλογεῖ καὶ οἱ λοιποὶ ποιηταὶ καὶ συγγραφεῖς ἐκθειάζουσι καὶ σέβουσιν, ἤδη δὲ καὶ ὅλαι πόλεις μουσεῖα τεμενίζουσιν αὐταῖς, Μούσας οὔσας θεραπαινίδας ταύτας ἐώνηται Μεγακλὼ ἡ θυγάτηρ Μάκαρος. ὁ δὲ Μάκαρ Λεσβίων μὲν ἐβασίλευεν, διεφέρετο δὲ ἀεὶ πρὸς τὴν γυναῖκα, ἠγανάκτει δὲ ἡ Μεγακλὼ ὑπὲρ τῆς μητρός· τί δ' οὐκ ἐμελλε; καὶ Μοίσας θεραπαινίδας ταύτας τοσαύτας τὸν ἀριθμὸν ὠνεῖται καὶ καλεῖ Μύσας κατὰ τὴν διάλεκτον τὴν Αἰολέων. ταύτας ἐδιδάξατο ᾄδειν καὶ κιθαρίζειν τὰς πράξεις τὰς παλαιὰς ἐμμελῶς. αἱ δὲ συνεχῶς κιθαρίζουσαι καὶ καλῶς κατεπᾴδουσαι τὸν Μάκαρα ἔθελγον καὶ κα-

*) Iliad. γ. 243. **) Odyss. φ. 26.

τέπανον τῆς ὀργῆς. οὗ δὴ χάριν ἡ Μεγακλὼ χαριστήριον αὐταῖς ὑπὲρ τῆς μητρὸς ἀνέθηκε στήλας χαλκᾶς καὶ ἀνὰ πάντα ἐκέλευσε τιμᾶσθαι τὰ ἱερά. καὶ αἱ μὲν Μοῦσαι τοιαίδε· ἡ δὲ ἱστορία παρὰ Μυρσίλῳ τῷ Λεσβίῳ.

§. 32. Ἀκούετε δὴ οὖν τῶν παρ' ὑμῖν θεῶν τοὺς ἔρωτας καὶ τὰς παραδόξους τῆς ἀκρασίας μυθολογίας καὶ τραύματα αὐτῶν καὶ δεσμὰ καὶ γέλωτας καὶ μάχας, δουλείας τε ἔτι καὶ συμπόσια, συμπλοκάς τ' αὖ καὶ δάκρυα καὶ πάθη καὶ μαχλώσας ἡδονάς. κάλει μοι τὸν Ποσειδῶ καὶ τὸν χορὸν τῶν διεφθαρμένων ὑπ' αὐτοῦ, τὴν Ἀμφιτρίτην, τὴν Ἀμυμώνην, τὴν Ἀλόπην, τὴν Μελανίππην, τὴν Ἀλκυόνην, τὴν Ἱπποθόην, τὴν Χιόνην, τὰς ἄλλας τὰς μυρίας· ἐν αἷς δὴ καὶ τοσαύταις οὔσαις ἔτι τοῦ Ποσειδῶνος ὑμῶν ἐσπενοχωρεῖτο τὰ πάθη. κάλει μοι καὶ τὸν Ἀπόλλω· Φοῖβός ἐστιν οὗτος καὶ μάντις ἁγνὸς καὶ σύμβουλος ἀγαθός· ἀλλ' οὐ ταῦτα ἡ Στερόπη λέγει οὐδὲ ἡ Αἴθουσα οὐδὲ ἡ Ἀρσινόη οὐδὲ ἡ Ζευξίππη οὐδὲ ἡ Προθόη οὐδὲ ἡ Μάρπισσα οὐδὲ ἡ Ὑψιπύλη· Δάφνη γὰρ ἐξέφυγε μόνη καὶ τὸν μάντιν καὶ τὴν φθοράν. αὐτός τε ὁ Ζεὺς ἐπὶ πᾶσιν ἠκέτω, ὁ πατὴρ καθ' ὑμᾶς ἀνδρῶν τε θεῶν τε· ὃς τοσοῦτος περὶ τὰ ἀφροδίσια ἐξεχύθη, ὡς ἐπιθυμεῖν μὲν πασῶν, ἐκπληροῦν δὲ εἰς πάσας τὴν ἐπιθυμίαν. ἐνεπίμπλατο γοῦν γυναικῶν, οὐχ ἧττον ἢ αἰγῶν ὁ Θυμοιτῶν τράγος.

§. 33. Καὶ σοῦ, ὦ Ὅμηρε, τεθαύμακα τὰ ποιήματα· P. 28

ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων· Pott.
ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος,
κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον *).

σεμνὸν ἀναπλάττεις, Ὅμηρε, τὸν Δία καὶ νεῦμα πε-

*) Iliad. α. 528 sqq.

ριάπτες αὐτῷ τετιμημένον. ἀλλ' ἐὰν ἐπιδείξῃς μό
νον, ἄνθρωπε, τὸν κεστὸν, ἐξελέγχεται καὶ ὁ Ζεὺ
καὶ ἡ κύμη καταισχύνεται εἰς ὅσον διελήλακεν ἀσελ
γείας. ὁ Ζεὺς ἐκεῖνος ὁ μετ' Ἀλκμήνης τοσαύτα
ἡδυπαθήσας νύκτας; οὐδὲ γὰρ αἱ νύκτες αἱ ἐννέα τ
ἀκολάστῳ μακραὶ, ἅπας δὲ ἐμπαλιν ὁ βίας ἀκρασί
βραχὺς ἦν, ἵνα δὴ ἡμῖν τὸν ἀλεξίκακον σπείρῃ θεό
Διὸς υἱὸς Ἡρακλῆς, Διὸς ὡς ἀληθῶς, ὁ ἐκ μακρὸ
γεννώμενος νυκτὸς, τοὺς μὲν ἄθλους τοὺς δώδεκ
πολλῷ ταλαιπωρησάμενος χρόνῳ, τὰς δὲ πεντήκοντ
Θεστίου θυγατέρας νυκτὶ διαφθείρας μιᾷ, μοιχὶ
ὁμοῦ καὶ νυμφίος τοσούτων γενόμενος παρθένω
οὔκουν ἀπεικότως οἱ ποιηταὶ σχέτλιον τοῦτον κ
αἰσυλοεργὸν ἀποκαλοῦσιν *). μακρὸν δ' ἂν εἴη μο
χείας αὐτοῦ παντοδαπὰς καὶ παίδων διηγεῖσθαι φθ
ρᾶς. οὐδὲ γὰρ οὐδὲ παίδων ἀπέσχοντο οἱ παρ' ὑμ
θεοὶ, ὁ μέν τις Ὕλα, ὁ δὲ Ὑακίνθου, ὁ δὲ Πέλοπο
ὁ δὲ Χρυσίππου, ὁ δὲ Γανυμήδους ἐρῶντες. τοι
τοὺς ὑμῶν αἱ γυναῖκες προσκυνούντων τοὺς θεούς, το
ούτους δὲ εὐχέσθων εἶναι τοὺς ἄνδρας τοὺς ἑαυτῶ
οὕτω σώφρονας, ἵνα ὦσιν ὅμοιοι τοῖς θεοῖς τὰ ἴ
ἐζηλωκότες· τοιούτους ἐθιζόντων οἱ παῖδες ὑμῶν ὑ
βειν, ἵνα καὶ ἄνδρες γένωνται εἰκόνα πορνείας ἐν
P. 10 γῇ τοὺς θεοὺς παραλαμβάνοντες. ἀλλ' οἱ μ
Sylb. ἄρρενες αὐτοῖς τῶν θεῶν ἴσως μόνοι ἄττουσι π
τὰ ἀφροδίσια·

θηλύτεραι δὲ θεαὶ μένον αἰδοῖ οἴκοι ἑκάστη,
φησὶν Ὅμηρος· αἰδούμεναι αἱ θεαὶ διὰ σεμνότη
Ἀφροδίτην ἰδεῖν μεμοιχευμένην. αἱ δὲ ἀκολαστ
νουσιν ἐμπαθέστερον ἐν τῇ μοιχείᾳ δεδεμέναι· Ἡ
ἐπὶ Τιθωνῷ, Σελήνη [ἐπὶ] Ἐνδυμίωνι, Νηρηὶς ἐπὶ
Αἰακῷ καὶ ἐπὶ Πηλεῖ Θέτις, ἐπὶ δὲ Ἰάσιωνι Δημή
τηρ καὶ ἐπὶ Ἀδώνιδι Φερεφάττα. Ἀφροδίτη δὲ
Ἄρεϊ κατῃσχυμμένη μετῆλθεν ἐπὶ Κινύραν καὶ Ἀγ

*) Cf. Hom. Il. ε. 403.

σην ἔγημεν, καὶ Φάωνα ἐλόχα καὶ ἥρα Ἀδώνιδος, ἐφιλονείκει δὲ τῇ βοώπιδι καὶ ἀποδυσάμεναι διὰ μῆλον αἱ θεαὶ γυμναὶ προσεῖχον τῷ ποιμένι, εἴ τις αὐτῶν δόξει καλή.

§. 34. Ἴθι δὴ καὶ τοὺς ἀγῶνας ἐν βραχεῖ περιοδεύσωμεν καὶ τὰς ἐπιτυμβίους ταυτασὶ πανηγύρεις καταλύσωμεν, Ἴσθμιά τε καὶ Νέμεα καὶ Πύθια καὶ τὰ ἐπὶ τούτοις Ὀλύμπια. Πυθοῖ μὲν οὖν ὁ δράκων ὁ Πύθιος θρηνεῖται καὶ τοῦ ὄφεως ἡ πανήγυρις κατηγγέλλεται Πύθια, Ἰσθμοῖ δὲ σκύβαλον προσέπτυσεν ἐλαιηνὸν ἡ θάλασσα, καὶ Μελικέρτην ὀδύρεται τὰ Ἴσθμια, Νεμέαισι δὲ ἄλλο παιδίον Ἀρχέμορος κεκήδευται καὶ τοῦ παιδίου ὁ ἐπιτάφιος προσαγορεύεται Νέμεα. Πίσα δὲ ὑμῖν τάφος ἐστὶν, ὦ πανέλληνες, ἡνιόχου Φρυγὸς, καὶ τοῦ Πέλοπος τὰς χοὰς τὰ Ὀλύμπια ὁ Φειδίου σφετερίζεται Ζεύς. μυστήρια ἦσαν ἄρα, ὡς ἔοικεν, οἱ ἀγῶνες ἐπὶ κεφαλῆς διαθρυπτόμενοι, ὥσπερ καὶ τὰ λόγια, καὶ δεδήμευνται ἄμφω. ἀλλὰ τὰ μὲν ἐπὶ Σάγρᾳ μυστήρια καὶ τὰ ἐν Ἀλιμοῦντι τῆς Ἀττικῆς Ἀθήνησιν περιώρισται· αἰσχρὸς δὲ δὴ κοσμικὸν οἵ τε ἀγῶνες καὶ οἱ φαλλοὶ οἱ Διονύσῳ ἐπιτελούμενοι, κακῶς ἐπινενεμημένοι τὸν βίον. Διόνυσος γὰρ κατελθεῖν εἰς Ἅιδου γλιχόμενος ἠγνόει τὴν ὁδὸν, ὑπισχνεῖται δ' αὐτῷ φράσειν Πρόσυμνος τοῦνομα, οὐκ ἀμισθεί· ὁ δὲ μισθὸς οὐ καλὸς, ἀλλὰ Διονύσῳ καλὸς· καὶ ἀφροδίσιος ἦν ἡ χάρις ὁ μισθὸς, ὃν ᾐτεῖτο Διόνυσος· βουλομένῳ δὲ τῷ θεῷ γέγονεν ἡ αἴτησις, καὶ δὴ ὑπισχνεῖται παρέξειν αὐτῷ, εἰ ἀναζεύξοι, ὅρκῳ πιστωσάμενος τὴν ὑπόσχεσιν. μαθὼν ἀπῆρεν, ἐπανῆλθεν αὖθις, οὐ καταλαμβάνει τὸν Πρόσυμνον — ἐτεθνήκει γάρ —, ἀφοσιούμενος τῷ ἐραστῇ ὃ Διόνυσος ἐπὶ τὸ μνημεῖον ὁρμᾷ καὶ πασχητιᾷ. κλάδον οὖν συκῆς, ὡς ἔτυχεν, ἐκτεμὼν ἀνδρείου μορίου σκευάζεται τρόπον, ἐφέζεταί τε τῷ κλάδῳ τὴν ὑπόσχεσιν ἐκτελῶν τῷ νεκρῷ. ὑπόμνημα τοῦ πάθους τούτου μυστικὸν φαλλοὶ κατὰ πόλεις ἀνί-

P. 30 Pott.

στανται Διονύσῳ· εἰ μὴ γὰρ Διονύσῳ πομπὴν ἐποιοῦντο, καὶ ὕμνων ἄσμα, αἰδοίοισιν ἀναιδέστατα εἴργασται, φησὶν Ἡράκλειτος, ὡυτὸς δὲ Ἅιδης καὶ Διόνυσος, ὅτεῳ μαίνονται καὶ ληναΐζουσιν· οὐ διὰ τὴν μέθην τοῦ σώματος, ὡς ἐγὼ οἶμαι, τοσαῦτον, ὅσον διὰ τὴν ἐπονειδιστον τῆς ἀσελγείας ἱεροφαντίαν.

§. 35. Εἰκότως ἄρα οἱ τοιοῦδε ὑμῶν θεοὶ δοῦλοι παθῶν γεγονότες, ἀλλὰ καὶ πρὸς τῶν Εἱλώτων καλουμένων τῶν παρὰ Λακεδαιμονίοις δούλειον ὑπεισῆλθεν ζυγὸν Ἀπόλλων Ἀδμήτῳ ἐν Θεραπναίοις, Ἡρακλῆς ἐν Σάρδεσιν Ὀμφάλῃ, Λαομέδοντι δ' ἐθήτευε Ποσειδῶν καὶ Ἀπόλλων, καθάπερ ἄχρεῖος οἰκέτης, μηδὲ ἐλευθερίας δήπουθεν δυνηθεὶς τυχεῖν παρὰ τοῦ προτέρου δεσπότου. τότε καὶ τὰ Ἰλίου τείχη ἀνῳκοδομησάτην τῷ Φρυγί. Ὅμηρος δὲ τὴν Ἀθηνᾶν οὐκ αἰσχύνεται παραφαίνειν λέγων τῷ Ὀδυσσεῖ χρύσεον λύχνον ἔχουσαν ἐν χερσῖν· τὴν δὲ Ἀφροδίτην ἀνέγνωμεν, οἷον ἀκόλαστόν τι θεραπαινίδιον, παραθεῖναι φέρουσαν τῇ Ἑλένῃ τὸν δίφρον τοῦ μοιχοῦ καὶ τὰ πρόσωπον, ὅπως αὐτὸν εἰς συνουσίαν ὑπαγάγηται *). Πανύασσις γὰρ πρὸς τούτοις καὶ ἄλλους παμπόλλους ἀνθρώποις λατρεῦσαι θεοὺς ἱστορεῖ, ὧδέ πως γράφων·

τὴν μὲν Δημήτηρ, τὴν δὲ κλυτὸς Ἀμφιγυήεις,
τὴν δὲ Ποσειδάων, τὴν δ' ἀργυρότοξος Ἀπόλλων,
ἄνδρὶ παρὰ θνητῷ θητευσάμεν εἰς ἐνιαυτόν·
τὴν δὲ καὶ ὁβριμόθυμος Ἄρης ὑπὸ πατρὸς ἀνάγκης·

καὶ τὰ ἐπὶ τούτοις.

§. 36. Τούτοις οὖν εἰκότως ἕπεται τοὺς ἐρωτικοὺς ὑμῶν καὶ παθητικοὺς τούτους θεοὺς ἀνθρωποπαθεῖς ἐκ παντὸς εἰσάγειν τρόπου. καὶ γὰρ ἦν P. 31 κείνοις θνητὸς χρώς. τεκμηριοῖ δὲ Ὅμηρος μάλα ἀκριβῶς Ἀφροδίτην ἐπὶ τῷ τραύματι πωρωσά- Pott

*) Hom. Il. γ. 424 sqq.

γων ὀξὺ καὶ μέγα ἰάχουσαν*), αὐτόν τε τὸν πολεμικώτατον Ἄρη ὑπὸ τοῦ Διομήδους κατὰ τοῦ κενεῶνος**) οὐτασμένον διηγούμενος· Πολέμων δὲ καὶ τὴν Ἀθηνᾶν ὑπὸ Ὀρνύτου τρωθῆναι λέγει· ναὶ μὴν καὶ τὸν Ἀϊδωνέα ὑπὸ Ἡρακλέους τοξευθῆναι Ὅμηρός λέγει***), καὶ τὸν Ἡλεῖον Αὐγέαν Πανύασσις ἱστορεῖ. ἤδη δὲ καὶ τὴν Ἥραν τὴν ζυγίαν ἱστορεῖ ὑπὸ τοῦ αὐτοῦ Ἡρακλέους ὁ αὐτὸς οὗτος Πανύασσις ἐν Πύλῳ ἡμαθόεντι· Σωσίβιος δὲ καὶ τὸν Ἡρακλέα πρὸς τῶν Ἱπποκοωντιδῶν κατὰ τῆς χειρὸς οὐτασθῆναι λέγει. εἰ δὴ τραύματα καὶ αἵματα — οἱ γὰρ ἰχῶρες οἱ ποιητικοὶ εἰδεχθέστεροι καὶ τῶν αἱμάτων· σῆψις γὰρ αἵματος ἰχὼρ νοεῖται — ἀνάγκη τοίνυν θεραπείας καὶ τροφὰς παρεισάγειν αὐτοῖς, ὧν εἰσὶν ἐνδεεῖς. διὸ τράπεζαι καὶ μέθαι καὶ γέλωτες καὶ συνουσίαι οὐκ ἂν ἀφροδισίοις χρωμένων ἀνθρώποις οὐδὲ παιδοποιουμένων οὐδὲ μὴν ὑπνωσσόντων, εἰ ἀθάνατοι καὶ ἀνενδεεῖς καὶ ἀγήρως ὑπῆρχον. μετέλαβε δὲ καὶ τραπέζης ἀνθρωπίνης παρὰ τοῖς
P. 11 Αἰθίοψιν, ἀπανθρώπου δὲ καὶ ἀθέσμου αὐτὸς
Sylb. ὁ Ζεὺς παρὰ Λυκάονι τῷ Ἀρκάδι ἑστιώμενος. ἀνθρωπείων γοῦν ἐνεφορεῖτο σαρκῶν οὐχ ἑκών· ἠγνόει γὰρ ὁ θεὸς, ὡς ἄρα Λυκάων ὁ Ἀρκὰς ὁ ἑστιάτωρ αὐτοῦ τὸν παῖδα κατασφάξας τὸν αὐτοῦ — Νύκτιμος ὄνομα αὐτοῦ — παραθείη ὄψον τῷ Διΐ.

§. 37. Καλός γε ὁ Ζεὺς ὁ μαντικὸς, ὁ ξένιος, ὁ ἱκέσιος, ὁ μειλίχιος, ὁ πανομφαῖος, ὁ προστροπαῖος· μᾶλλον δὲ ὁ ἄδικος, ὁ ἄθεσμος, ὁ ἄνομος, ὁ ἀνόσιος, ὁ ἀπάνθρωπος, ὁ βίαιος, ὁ φθορεὺς, ὁ μοιχὸς, ὁ ἐρωτικός. ἀλλὰ τότε μὲν ἦν ὅτε τοιοῦτος ἦν, ὅτε δὴ ἄνθρωπος ἦν, νῦν δὲ ἤδη μοι δοκοῦσι καὶ οἱ μῦθοι ὑμῖν γεγηρακέναι. δράκων ὁ Ζεὺς οὐκέτι, οὐ κύκνος ἐστὶν, οὐκ ἀετὸς, οὐκ ἄνθροπος ἐρωτικός· οὐχ ἵπταται Ζεὺς, οὐ παιδεραστεῖ, οὐ φιλεῖ, οὐ βιάζεται,

*) Il. ε. 330—343. **) Ibid. 855sqq. ***) Ibid. ν. 395 sqq.

καίτοι πολλαὶ καὶ καλαὶ καὶ νῦν ἔτι γυναῖκες κα
Λήδας εὐπρεπέστεραι καὶ Σεμέλης ἀκμαιότεραι· μει
ράκια δὲ ὡραιότερα καὶ πολιτικώτερα τοῦ Φρυγίο
βουκόλου. ποῦ νῦν ἐκεῖνος ὁ ἀετός; ποῦ δὲ ὁ Φ
κύκνος; ποῦ δὲ αὐτὰς ὁ Ζεύς; γεγήρακε μετὰ τοῦ
πτεροῦ. οὐ γὰρ δήπου μετανοεῖ τοῖς ἐρωτικοῖς οἷ
δὲ παιδεύεται σωφρονεῖν· γυμνοῦται δὲ ὑμῖν ὁ μῦ
θος· ἀπέθανεν ἡ Λήδα, ἀπέθανεν ὁ κύκνος, ἀπέθα
νεν ὁ ἀετός. ζήτει σοὶ τὸν Δία· μὴ τὸν οὐρανὸ
ἀλλὰ τὴν γῆν πολυπραγμόνει. ὁ Κρὴς σοι διηγήσε
ται, παρ' ᾧ καὶ τέθαπται, Καλλίμαχος ἐν ὕμνοις·

——καὶ γὰρ τάφον, ὦ ἄνα, σεῖο
Κρῆτες ἐτεκτήναντο.

τέθνηκε γὰρ ὁ Ζεὺς, μὴ δυσφόρει, ὡς Λήδα, ὁ
κύκνος, ὡς ἀετὸς, ὡς ἄνθρωπος ἐρωτικὸς, ὡς δρό
κων.

§. 38. Ἤδη δὲ καὶ αὐτοὶ φαίνονται οἱ δεισι
δαίμονες, ἄκοντες μέν, ὅμως δ' οὖν συνιέντες τὴ
πλάνην τὴν περὶ τοὺς θεούς. οὐ γὰρ ἀπὸ δρυὸ
εἰσὶ παλαιφάτου οὐδ' ἀπὸ πέτρης *), ἀλλ' ἀ
δρῶν γένος εἰσί. μικρὸν δὲ ὕστερον καὶ δρύ
ὄντες εὑρεθήσονται καὶ πέτραι. Ἀγαμέμνονα γοῦ
τινὰ Δία ἐν Σπάρτῃ τιμᾶσθαι Στάφυλος ἱστορε
Φανοκλῆς δὲ ἐν Ἔρωσιν ἢ Καλοῖς Ἀγαμέμνον
τὸν Ἑλλήνων βασιλέα Ἀργύννου νεὼν Ἀφροδίτη
ἱστασθαι ἐπ' Ἀργύννῳ τῷ ἐρωμένῳ. Ἄρτεμιν δ
Ἀρκάδες Ἀπαγχομένην καλουμένην προστρέποντα
ὡς φησι Καλλίμαχος ἐν Αἰτίοις· καὶ Κονδυλῖτις ἑ
Μηθύμνη ἑτέρα τετίμηται Ἄρτεμις. ἔστι δὲ καὶ Πο
δάγρας ἄλλης Ἀρτέμιδος ἐν τῇ Λακωνικῇ ἱερὸν, ἃ
φησι Σωσίβιος. Πολέμων δὲ κεχηνότος Ἀπόλλωνο
οἶδεν ἄγαλμα· καὶ ὀψοφάγου πάλιν Ἀπόλλωνος Ἕ
ἄλλο ἐν Ἤλιδι τιμώμενον. ἐνταῦθα Ἀπομυίῳ

*) Cf. Hom. Odyss. τ. 163.

Διὰ θύουσιν Ἠλεῖοι· Ῥωμαῖοι δὲ Ἀπομυίῳ Ἡρακλεῖ καὶ Πυρετῷ δὲ καὶ Φόβῳ θύουσιν, οὓς καὶ αὐτοὺς μετὰ τῶν ἀμφὶ τὸν Ἡρακλέα ἐγγράφουσιν. ἐῶ δὲ Ἀργείους, οἳ Ἀφροδίτην τυμβωρύχον θρησκεύουσιν, Ἀργεῖοι καὶ Λάκωνες, καὶ Χελύτιδα δὲ Ἄρτεμιν Σπαρτιᾶται σέβουσιν· ἐπεὶ τὸ βήττειν „χελύττειν" καλοῦσιν.

§. 39. Οἴει πόθεν παραγέγραπται ταῦτά σοι κομίζεσθαι τὰ ὑφ' ἡμῶν παρατιθέμενα; οὐδὲ τοὺς νοὺς γνωρίζειν ἔοικας συγγραφεῖς, οὓς ἐγὼ μάρτυρας ἐπὶ τὴν σὴν ἀπιστίαν καλῶ· ἀθέου χλεύης, ὦ δείλαιοι, τὸν πάντα ὑμῶν ἄβιωτον ὄντως βίον ἐμπεπληκότες. οὐχὶ μέντοι Ζεὺς φαλακρὸς ἐν Ἄργει, τιμωρὸς δὲ ἄλλος ἐν Κύπρῳ τετίμηται; οὐχὶ δὲ Ἀφροδίτη περιβασίη μὲν Ἀργεῖοι, ἑταίρα δὲ Ἀθηναῖοι καὶ καλλιπύγῳ θύουσιν Συρακούσιοι; ἦν Νίκανδρος ὁ ποιητὴς καλλίγλουτόν που κεκλῆκεν. Διόνυσον δὲ ἤδη αἰωπῷ τὸν χοιροψάλαν· Σικυώνιοι τοῦτον προσκυνοῦσιν ἐπὶ τῶν γυναικείων τάξαντες τὸν Διόνυσον μορίων, ἔφορον αἴσχους καὶ τῆς ὕβρεως σεβάζοντες ἀρχηγόν. τοιοῖδε μὲν αὐτοῖς οἱ θεοὶ, τοιοῖδε καὶ αὐτοὶ παίζοντες ἐν θεοῖς, μᾶλλον δὲ ἐμπαίζοντες καὶ ἐνυβρίζοντες σφίσιν αὐτοῖς. καὶ πόσῳ βελτίους Αἰγύπτιοι κωμηδὸν καὶ κατὰ πόλεις τὰ ἄλογα τῶν ζώων ἐκτετιμηκότες, ἧπερ Ἕλληνες τοιούτους προσκυνοῦντες θεούς; τὰ μὲν γὰρ εἰ καὶ θηρία, ἀλλ' οὐ μοιχεκὰ, ἀλλ' οὐ μάγλα, παρὰ φύσιν δὲ θηρεύει ἡδονὴν οὐδὲ ἕν. οἱ δὲ ὁποῖοι; τί καὶ χρὴ λέγειν ἔτι, ἀποχρώντως αὐτῶν διελεγμένων; ἀλλ' οὖν γε Αἰγύπτιοι, ὧν νῦν δὴ ἐμνήσθην, κατὰ τὰς θρησκείας τὰς σφῶν ἐσκέδανται· σέβουσι δὲ αὐτῶν Συήνιται φάγρον τὸν ἰχθὺν, μαινίδην δὲ, ὃς ἄλλος αὖτος ἰχθὺς, οἱ τὴν Ἐλεφαντίνην οἰκοῦντες, Ὀξυρυγχῖται τὸν φερώνυμον τῆς χώρας αὐτῶν, ὁμοίως ἰχθὺν, ἔτι γε μὴν Ἡρακλεοπολῖται ἰχνεύμονα, Σαΐται δὲ καὶ Θηβαῖοι πρόβατον, Λυκοπολῖται δὲ λύκον, Κυνο-

P. 34 Pott.

κολῖται δὲ κύνα, τὸν Ἄπιν Μεμφῖται, Μενδήσιοι τὸ τράγον. ὑμεῖς δὲ οἱ πάντ' ἀμείνους Αἰγυπτίων — ὀκνῶ δὲ εἰπεῖν χείρους —, οἱ τοὺς Αἰγυπτίους δσημέρα γελῶντες οὐ παύεσθε, ὁποῖοί τινες καὶ περὶ τὰ ἄλογα ζῶα; Θεσσαλοὶ μὲν ὑμῶν τοὺς πελάργους τετιμήκασι διὰ τὴν συνήθειαν, Θηβαῖοι δὲ τὰς γαλᾶς διὰ τὴν Ἡρακλέους γένεσιν. τί δαὶ πάλιν οἱ Θετταλοί; μύρμηκας ἱστοροῦνται σέβειν, ἐπεὶ τὸν Δία μεμαθήκασιν ὁμοιωθέντα μύρμηκι τῇ Κλήτορος θυγατρὶ Εὐρυμεδούσῃ μιγῆναι καὶ Μυρμηδόνα γεννῆσαι, Πολέμωνα δὲ τοὺς ἀμφὶ τὴν Τρωάδα κατοικοῦντας ἱστορεῖ τοὺς ἐπιχωρίους μῦς, οὓς σμινθοὺς καλοῦσιν, ὅτι τοὺς νευρὰς τῶν πολεμίων διέτραγον τῶν τόξων· καὶ Σμινθίου Ἀπόλλωνα ἀπὸ τῶν μυῶν ἐκείνων ἐπεφήμισαν. Ἡρακλείδης δὲ ἐν κτίσεσιν ἱερῶν περὶ τὴν Ἀκαρνανίαν φησὶν, ἔνθα τὸ Ἄκτιόν ἐστιν ἀκρωτήριον καὶ τοῦ Ἀπόλλωνος τοῦ Ἀκτίου τὸ ἱερὸν, ταῖς μυίαις προθύεσθαι βοῦν. οὐδὲ μὴν Σαμίων ἐκλήσομεν P. 12 πρόβατον, ὡς φησιν Εὐφορίων, σέβουσι Σάμιοι Sylb. οὐδὲ γε τῶν τὴν Φοινίκην Σύρων κατοικούντων, ὧν οἱ μὲν τὰς περιστερὰς, οἱ δὲ τοὺς ἰχθῦς οὕτω σέβουσι περιττῶς, ὡς Ἡλεῖοι τὸν Δία.

§. 40. Εἶεν δή· ἐπειδὴ οὐ θεοί, οὓς θρησκεύετε, αὖθις ἐπισκέψασθαί μοι δοκεῖ, εἰ ὄντως εἶεν δαίμονες, δευτέρᾳ ταύτῃ, ὡς ὑμεῖς φητέ, ἐγκαταλεγμένοι τάξει. εἰ γὰρ οὖν δαίμονες λίθοι τε καὶ μύρα, ἔστι μὲν ἐφευρεῖν καὶ ἀνωφελῆ οὕτω κατὰ πόλεις δαίμονας ἐπιχωρίους, τιμὴν ἐπιδρεπομένους· παρὰ Κυθνίοις Μενέδημον, παρὰ Τηνίοις Καλλίστρατον, παρὰ Δηλίοις Ἄνιον, παρὰ Λάκωσιν Ἀστραβακον. τιμᾶται δέ τις καὶ Φαληροῖ κατὰ πρύμνην ἥρως· καὶ ἡ Πυθία συνέταξε θύειν Πλαταιεῦσιν Ἀρτεμιδι χράτει καὶ Δημοκράτει καὶ Κυκλαίῳ καὶ Λευκίππῳ τῶν Μηδικῶν ἀκμαζόντων ἀγώνων.

§. 41. Ἔστι καὶ ἄλλους παμπόλλους συνιδεῖν δαίμονας τῷ γε καὶ σμικρὸν διαθρεῖν δυναμένῳ·

τρὶς γὰρ μύριοί εἰσιν ἐπὶ χθονὶ πουλυβοτείρῃ
δαίμονες ἀθάνατοι, φύλακες μερόπων ἀνθρώπων *).
τίνες εἰσὶν οἱ φύλακες, ὦ Βοιώτιε, μὴ φθονήσῃς λέγειν. ἢ δῆλον ὡς οὗτοι καὶ οἱ τούτων ἐπιτιμότεροι, οἱ μεγάλοι δαίμονες, ὁ Ἀπόλλων, ἡ Ἄρτεμις, ἡ Λητὼ, ἡ Δημήτηρ, ἡ Κόρη, ὁ Πλούτων, ὁ Ἡρακλῆς, αὐτὸς ὁ Ζεύς· ἀλλ' οὐκ ἀποδρᾶναι ἡμᾶς φυλάττουσιν, Ἀσκραῖε· μὴ ἁμαρτάνειν δὲ ἴσως, οἷ ἁμαρτιῶν δῆτα οὐ πεπειραμένοι. ἐνταῦθα δὴ τὸ παρομοιῶδες ἐπιφθέγξασθαι ἁρμόττει· πατὴρ ἀνουθέτητος παῖδα νουθετεῖ. εἰ δ' ἄρα καὶ εἰσὶ φύλακες οὗτοι, οὐκ εὐνοίᾳ τῇ πρὸς ἡμᾶς περιπαθεῖς, τῆς δὲ ὑμεδαπῆς ἀπωλείας ἐχόμενοι, κολάκων δίκην ἐγχρίμπτονται τῷ βίῳ, δελεαζόμενοι καπνῷ. αὐτοὶ που ἐξομολογοῦνται οἱ δαίμονες τὴν γαστριμαργίαν τὴν αὐτῶν,

λοιβῆς τε κνίσσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς **) P. 39

λέγοντες. τίνα δ' ἂν φωνὴν ἄλλην, εἰ φωνὴν λάβοιεν Αἰγυπτίων θεοὶ, οἷα αἴλουροι καὶ γαλαῖ, προήσονται, ἢ τὴν Ὁμηρικήν τε καὶ ποιητικὴν, τῆς κνίσης τε καὶ ὀψαρτυτικῆς φίλην; τοιοῖδε μέντοι παρ' ὑμῖν οἵ τε δαίμονες καὶ οἱ θεοὶ καὶ εἴ τινες ἡμίθεοι, ὥσπερ ἡμίονοι, κέκληνται· οὐδὲ γὰρ οὐδὲ ἀνομάτων ὑμῖν πενία πρὸς τὰς τῆς ἀσεβείας συνθέσεις.

Cap. III.

§. 42. Φέρε δὴ οὖν καὶ τοῦτο προσθῶμεν, ὡς ἀπάνθρωποι καὶ μισάνθρωποι δαίμονες εἶεν ὑμῶν οἱ θεοὶ καὶ οὐχὶ μόνον ἐπιχαίροντες τῇ φρενοβλαβείᾳ τῶν ἀνθρώπων, πρὸς δὲ καὶ ἀνθρωποκτονίας ἀποκαλούντες· νυνὶ μὲν τὰς ἐν σταδίοις ἐνόπλους φιλονει-

*) Hesiod. Ἔργ. καὶ ἡμ. 250 sqq. **) Hom. Il. δ. 49.

κίας, νυνὶ δὲ τὰς ἐν πολέμοις ἀναρίθμους φιλοτιμ
ας, ἀφορμὰς σφίσιν ἡδονῆς ποριζόμενοι, ὅπως ὅ
μάλιστα ἔχοιεν ἀνθρωπείων ἀνέδην ἐμφορεῖσθαι φ
ων· ἤδη δὲ κατὰ πόλεις καὶ ἔθνη, οἷονεὶ λοιμ
ἐπισκήψαντες, σπονδὰς ἀπήτησαν ἀνημέρους. Ἀρ
στομένης γοῦν ὁ Μεσσήνιος τῷ Ἰθωμήτῃ Διὶ τρι
κοσίους ἀπέσφαξε, τοσαύτας ὁμοῦ καὶ τοιαύτας κα
λιερεῖν οἰόμενος ἑκατόμβας· ἐν οἷς καὶ Θεόπομπ
ἦν Λακεδαιμονίων βασιλεὺς, ἱερεῖον εὐγενές. Ταῦρ
δὲ τὸ ἔθνος, οἱ περὶ τὴν Ταυρικὴν χερρόνησον κ
τοικοῦντες, οὓς ἂν τῶν ξένων παρ' αὐτοῖς ἕλω
τούτων δὴ τῶν κατὰ θάλασσαν ἐπταικότων, αὐτὶ
μάλα τῇ Ταυρικῇ καταθύουσιν Ἀρτέμιδι· ταύτας σ
τὰς θυσίας Εὐριπίδης ἐπὶ σκηνῆς τραγῳδεῖ. Μόνιμος
ἱστορεῖ ἐν τῇ τῶν θαυμασίων συναγωγῇ, ἐν Πέλ
τῆς Θετταλίας Ἀχαιὸν ἄνθρωπον Πηλεῖ καὶ Χείρ
νι καταθύεσθαι· Λυκτίους γὰρ — Κρητῶν δὲ ἔθν
εἰσιν οὗτοι — Ἀντικλείδης ἐν νόστοις ἀποφαίνετ
ἀνθρώπους ἀποσφάττειν τῷ Διὶ, καὶ Λεσβίους Δι
νύσῳ τὴν ὁμοίαν προσάγειν θυσίαν Δωσίδας λέγ
Φωκαεῖς δὲ — οὐδὲ γὰρ αὐτοὺς παραπέμψομαι το
τους — Πυθοκλῆς ἐν τρίτῳ περὶ ὁμονοίας τῇ Τα
ροπόλῳ Ἀρτέμιδι ἄνθρωπον ὁλοκαεῖν ἱστορεῖ. Ἕρε-
χθεὺς δὲ ὁ Ἀττικὸς καὶ Μάριος ὁ Ῥωμαῖος τὰς
αὐτῶν ἐθυσάτην θυγατέρας· ὧν ὁ μὲν τῇ Φερεφά
τῃ, ὡς Δημάρατος ἐν πρώτῃ τραγῳδουμένων, ὁ
τοῖς ἀποτροπαίοις, ὁ Μάριος, ὡς Δωρόθεος ἐν
τετάρτῃ Ἰταλικῶν ἱστορεῖ. φιλάνθρωποί γε ἐκ το
των καταφαίνονται οἱ δαίμονες· πῶς δὲ οὐχ ὅσ
ἀνάλογως οἱ δεισιδαίμονες; οἱ μὲν σωτῆρες εὑφημιο
μενοι, οἱ δὲ σωτηρίαν αἰτούμενοι παρὰ τῶν ἐπιβο
λων σωτηρίας. καλλιερεῖν γοῦν τοπάζοντες αὐτ
σφᾶς αὐτοὺς λελήθασιν ἀποσφάττοντες ἀνθρώπο
οὐ γὰρ οὖν παρὰ τὸν τόπον ἱερεῖον γίνεται ὁ φόν
οὐδ' εἰ Ἀρτέμιδί τις καὶ Διὶ ἐν ἱερῷ δῆθεν χωρ
μᾶλλον ἢ ὀργῇ καὶ φιλαργυρίᾳ, ἄλλοις ὁμοίοις δ

μοσιν ἐπὶ βωμοῖς ἢ ἐν ὁδοῖς ἀποσφάττοι τὸν ἄνθρωπον, ἱερὸν ἱερεῖον ἐπιφημίσας· ἀλλὰ φόνος ἐστὶ καὶ ἀνδροκτασία ἡ τοιαύτη θυσία.

§. 43. Τί δὴ οὖν, ὦ σοφώτατοι τῶν ἄλλων ζώων ἄνθρωποι, τὰ μὲν θηρία περιφεύγομεν τὰ ἀνήμερα, κἂν που περιτύχωμεν ἄρκτῳ ἢ λέοντι, ἐκτρεπόμεθα,

ὡς δ' ὅτε τίς τε δράκοντα ἰδὼν παλίνορσος ἀπέστη οὔρεος ἐν βήσσῃς, ὑπό τε τρόμος ἔλλαβε γυῖα, ἄψ τ' ἀνεχώρησεν *)·

δαίμονας δὲ ὀλεθρίους καὶ ἀλιτηρίους, ἐπιβούλους τε καὶ μισανθρώπους καὶ λυμεῶνας ὄντας προαισθόμενοι καὶ συνιέντες οὐκ ἐκτρέπεσθε οὐδὲ ἀποστρέφεσθε; τί δ' ἂν καὶ ἀληθεύσαιεν οἱ κακοὶ, ἢ τινὰ ὠφελήσαιεν; αὐτίκα γοῦν ἔχω σοὶ βελτίονα τῶν ὑμεδαπῶν τούτων θεῶν, τῶν δαιμόνων, ἐπιδεῖξαι τὸν ἄνθρωπον τοῦ Ἀπόλλωνος τοῦ μαντικοῦ τὸν Κύρον καὶ τὸν Σόλωνα. φιλόδωρος ὑμῶν ὁ Φοῖβος; ἀλλ' οὐ φιλάνθρωπος. προὔδωκε τὸν Κροῖσον τὸν φίλον καὶ τοῦ μισθοῦ ἐκλαθόμενος — οὕτω φιλόδοξος ἦν — ἀνήγαγε τὸν Κροῖσον διὰ τοῦ Ἅλυος ἐπὶ τὴν πυράν. οὕτω φιλοῦντες οἱ δαίμονες ὁδηγοῦσιν εἰς τὸ πῦρ. ἀλλ' ὦ φιλανθρωπότερε καὶ ἀληθέστερε τοῦ Ἀπόλλωνος ἄνθρωπε, τὸν ἐπὶ τῆς πυρᾶς οἰκτειρον δεδεμένον, καὶ σὺ μὲν, ὦ Σόλων, μάντευσαι τὴν ἀλήθειαν, σὺ δὲ, ὦ Κύρε, κέλευσον ἀποσβεσθῆναι τὴν πυρὰν, σωφρόνησον ὕστατον γοῦν, ὦ Κροῖσε, τῷ πάθει μεταμαθών· ἀχάριστός ἐστιν ὃν προσκυνεῖς· λαμβάνει τὸν μισθὸν καὶ μετὰ τὸ χρυσίον ψεύδεται. [ὦ Σόλων,] ὅρα πάλιν τέλος· ἆρα οὐχ ὁ δαίμων, ἀλλὰ ὁ ἄνθρωπός σοι λέγει. οὐ λοξὰ μαντεύεται Σόλων· τοῦτον εὖ θήσεις. ἀληθῆ μόνον, ὦ βάρβαρε, τὸν χρησμὸν τοῦτον ἐπὶ τῆς πυρᾶς δοκιμάσεις.

*) Hom. Il. γ. 33 sqq.

§. 44. Ὅθεν ἔπεισί μοι θαυμάζειν, τίσι ποτ
φαντασίαις ἀπαχθέντες οἱ πρῶτοι πεπλανημένοι δει
σιδαιμονίαν ἀνθρώποις κατηγγείλαν, δαίμονας ἀλι
τηρίους νομοθετοῦντες σέβειν· εἴτε Φορωνεὺς ἐκεῖνο
ἦν εἴτε Μέροψ εἴτε ἄλλος τις, οἳ νεὼς καὶ βωμοὺ
ἀνέστησαν αὐτοῖς, πρὸς δὲ καὶ θυσίας παραστῆσα
μόνοι μεμύθευνται. καὶ γὰρ δὴ καὶ κατὰ χρόνου
ὕστερον ἀνέπλαττον θεοὺς, οἷς προσκυνοῖεν. ἀμέλ
τὸν Ἔρωτα τοῦτον ἐν τοῖς πρεσβυτάτοις τῶν θεῶ
εἶναι λεγόμενον ἔτιμα πρότερον οὐδ' εἷς, πρὶν
Χάρμον μειράκιόν τι ἐλεῖν καὶ βωμὸν ἱδρύσασθαι ἐ
Ἀκαδημίᾳ χαριστήριον ἐπιτελοῦς γενομένης ἐπιθυμίας
καὶ τῆς νόσου τὴν ἀσέλγειαν Ἔρωτα κεκλήκασι, θεο
ποιοῦντες ἀκόλαστον ἐπιθυμίαν. Ἀθηναῖοι δὲ οὐδ
τὸν Πᾶνα ᾔδεσαν ὅστις ἦν, πρὶν ἢ Φιλιππίδην Ρ
εἰπεῖν αὐτοῖς. εἰκότως ἄρα ἀρχὴν ποθεν ἡ δεισι-
δαιμονία λαβοῦσα κακίας ἀνοήτου γέγονε πηγή· εἶτ
δὲ μὴ ἀνακοπεῖσα, ἀλλ' εἰς ἐπίδοσιν ἐλθοῦσα κα
πολλὴ δὴ οὖσα, δημιουργὸς πολλῶν καθίσταται δαι
μόνων, ἑκατόμβας θύουσα καὶ πανηγύρεις ἐπιτελοῦ
σα καὶ ἀγάλματα ἀνιστᾶσα καὶ νεὼς ἀνοικοδομοῦσα
οὓς δὴ, οὐδὲ γὰρ οὐδὲ τούτους σιωπήσομαι, πρὸ
δὲ καὶ αὐτοὺς ἐξελέγξω, νεὼς μὲν εὐφήμως ὀνομα-
ζομένους, τάφους δὲ γενομένους, τουτέστι τοὺς τά-
φους νεὼς ἐπικεκλημένους. ὑμεῖς δὲ ἀλλὰ κἂν νῦ
δεισιδαιμονίας ἐκλάθεσθε, τοὺς τάφους τιμᾶν αἰσχυ-
νόμενοι.

§. 45. Ἐν τῷ νεῷ τῆς Ἀθηνᾶς ἐν Λαρίσσῃ ἐν τῇ
ἀκροπόλει τάφος ἐστὶν Ἀκρισίου, Ἀθήνησι δὲ ἐν ἀκροπό-
λει Κέκροπος, ὡς φησιν Ἀντίοχος ἐν τῷ ἐννάτῳ τῶν
ἱστοριῶν. τί δὲ Ἐριχθόνιος; οὐχὶ ἐν τῷ νεῷ τῆς
Πολιάδος κεκῆδευται; Ἴμμαρος δὲ ὁ Εὐμόλπου κα
Δαείρας οὐχὶ ἐν τῷ περιβόλῳ τοῦ Ἐλευσινίου τοῖ
ὑπὸ τῇ ἀκροπόλει; αἱ δὲ Κελεοῦ θυγατέρες οὐχὶ ἐ
Ἐλευσῖνι τετάφαται; τί σοι καταλέγω τὰς Ὑπερβο-
ρέων γυναῖκας; Ὑπερόχη καὶ Λαοδίκη κέκλησθον

ἐν τῷ Ἀρτεμισίῳ ἐν Δήλῳ κεκήδευσθαι, τὸ δὲ ἐν τῷ Ἀπόλλωνος τοῦ Δηλίου ἐστὶν ἱερῷ. Λεάνδριος δὲ Κλέαρχον ἐν Μιλήτῳ τεθάφθαι ἐν τῷ Διδυμαίῳ φησίν. ἐνταῦθα τῆς Λευκοφρύνης τὸ μνημεῖον οὐκ ἄξιον παρελθεῖν ἑπομένους Ζήνωνι τῷ Μανδίῳ, ἢ P. 40 Rott.
ἐν πᾷ ἱερῷ τῆς Ἀρτέμιδος ἐν Μαγνησίᾳ κεκήδευται, οὐδὲ μὴν τὸν ἐν Τελμισσῷ βωμὸν τοῦ Ἀπόλλωνος, [ὃν] μνῆμα εἶναι καὶ τοῦτον Τελμίσσεως τοῦ μάντεως ἱστοροῦσιν. Πτολεμαῖος δὲ ὁ τοῦ Ἀγησάρχου ἐν τῷ πρώτῳ τῶν περὶ τὸν Φιλοπάτορα ἐν Πάφῳ λέγει ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ Κινύραν τε καὶ τοὺς Κινύρου ἀπογόνους κεκηδεῦσθαι. ἀλλὰ γὰρ ἐπιόντι μοι τοὺς προσκυνουμένους ὑμῖν τάφους, ἐμοὶ μὲν οὐδ' ὁ πᾶς ἂν ἀρκέσαι χρόνος· ὑμᾶς δὲ εἰ μὴ ὑπεισέρχεταί τις αἰσχύνη τῶν τολμωμένων νεκροὶ ἄρα τέλεον ὄντες, νεκροῖς ὄντως πεπιστευκότες περιέρχεσθε·

ἆ δείλοι, τί κακὸν τόδε πάσχετε; νυκτὶ μὲν ὑμέων
εἰλύαται κεφαλαί*).

Cap. IV.

§. 46. Εἰ δ' ἔτι πρὸς τούτοις φέρων ὑμῖν τὰ ἀγάλματα αὐτὰ ἐπισκοπεῖν παραθείην, ἐπιόντες ὡς ἀληθῶς λῆρον εὑρήσετε τὴν συνήθειαν, ἔργα χειρῶν ἀνθρώπων ἀκαίσθητα προστρεπόμενοι. πάλαι μὲν οὖν οἱ Σκύθαι τὸν ἀκινάκην, οἱ Ἄραβες τὸν λίθον, οἱ Πέρσαι τὸν ποταμὸν προσεκύνουν, καὶ τῶν ἄλλων ἀνθρώπων οἱ ἔτι παλαιότεροι ξύλα ἱδρύοντο περιφανῆ καὶ κίονας ἵστων ἐκ λίθων· ἃ δὴ καὶ ξόανα προσηγορεύετο διὰ τὸ ἀπεξέσθαι τῆς ὕλης. ἀμέλει ἐν Ἰκάρῳ τῆς Ἀρτέμιδος τὸ ἄγαλμα ξύλον ἦν οὐκ

*) Hom. Od. v. 351 sqq.

εἰργασμένον· καὶ τῆς Κιθαιρωνίας Ἥρας ἐν Θεσπι
πρέμνον ἐκκεκομμένον· καὶ τὸ τῆς Σαμίας Ἥρα
ὡς φησιν Ἀέθλιος, πρότερον μὲν ἦν σανὶς, ὕστερο
δὲ ἐπὶ Προκλέους ἄρχοντος ἀνδριαντοειδὲς ἐγένετ
ἐπεὶ δὲ ἀνθρώπους ἀπεικονίζεσθαι τὰ ξόανα ἤρξαν· Ε
το, βρέτη τὴν ἐκ βροτῶν ἐπωνυμίαν ἐκαρπώσατο.
ἐν Ῥώμῃ δὲ τὸ παλαιὸν δόρυ φησὶν γεγονέναι το
Ἄρεως τὸ ξόανον Οὐάρρων ὁ συγγραφεὺς, οὐδέπ
τῶν τεχνιτῶν ἐπὶ τὴν εὐπρόσωπον ταύτην κακοτ
χνίαν ὡρμηκότων. ἐπειδὴ δὲ ἤνθησεν ἡ τέχνη, ηὔξη
σεν ἡ πλάνη.

§. 47. Ὡς μὲν οὖν τοὺς λίθους καὶ τὰ ξύλ
καὶ συνελόντι φάναι τὴν ὕλην ἀγάλματα ἀνδρίκελ
ἐποιήσατε, οἷς ἐπιμορφάζετε εὐσέβειαν συκοφαντοῦν
τες τὴν ἀλήθειαν, ἤδη μὲν αὐτόθεν δῆλον· οὐ μὴ
ἀλλὰ καὶ ἀποδείξεως ποσῆς ἐπιδεομένου τοῦ τόπο
οὐ παραιτητέον. τὸν μὲν οὖν Ὀλυμπιάσι Δία κ
τὴν Ἀθήνησιν Πολιάδα ἐκ χρυσοῦ καὶ ἐλέφαντος κα
τασκευάσαι Φειδίαν παντί που σαφές· τὸ δὲ ἐν Σά
μῳ τῆς Ἥρας ξόανον σμίλῃ τῇ Εὐκλείδου πεποιῆ
σθαι Ὀλύμπιχος ἐν Σαμιακοῖς ἱστορεῖ. μὴ οὖν ἀμ
φιβάλλετε, εἰ τῶν σεμνῶν Ἀθήνησιν καλουμένω
P. 14 θεῶν τὰς μὲν δύο Σκοπᾶς ἐποίησεν ἐκ τοῦ κα
Sylb. λουμένου λυχνέως λίθου, Κάλως δὲ, ἣν μέσην αἱ
ταῖν ἱστοροῦνται ἔχουσαι, Πολέμωνα δεικνύναι ἐν τ
τετάρτῃ τῶν πρὸς Τίμαιον, μηδὲ τὰ ἐν Πατρῶ
τῆς Λυκίας ἀγάλματα Διὸς καὶ Ἀπόλλωνος, ἃ Φε
δίας πάλιν ἐκεῖνα τὰ ἀγάλματα καθάπερ τοὺς λέο
τας τοὺς σὺν αὐτοῖς ἀνακειμένους εἴργασται· εἰ δ
ὥς φασί τινες, Βρυάξιος ἦν τέχνη, οὐ διαφέρομα
ἔχεις καὶ τοῦτον ἀγαλματουργόν· ὁπότερον αὐτο
βούλει, ἐπίγραφε. καὶ μὴν Τελεσίου τοῦ Ἀθηναίο
ὡς φησι Φιλόχορος, ἔργον εἰσὶν ἀγάλματα ἐννεαπή
χη Ποσειδῶνος καὶ Ἀμφιτρίτης ἐν Τήνῳ προσκυνού
μενα. Δημήτριος γὰρ ἐν δευτέρῳ τῶν Ἀργολικῶ
τοῦ ἐν Τίρυνθι τῆς Ἥρας ξοάνου καὶ τὴν ὕλη

ὄγχνην καὶ τὸν ποιητὴν Ἄργον ἀναγράφει. πολλοὶ δ' ἂν τάχα ποὺ θαυμάσειαν, εἰ μάθοιεν τὸ Παλ- P. 42
λάδιον τὸ διοπετὲς καλούμενον, ὃ Διομήδης καὶ Rott.
Ὀδυσσεὺς ἱστοροῦνται μὲν ὑφελέσθαι ἀπὸ Ἰλίου, πα-
ραλαθέσθαι δὲ Δημοφῶντε, ἐκ τῶν Πέλοπος ὀστῶν
κατεσκευάσθαι, καθάπερ τὸν Ὀλύμπιον ἐξ ἄλλων
ὀστῶν Ἰνδικοῦ θηρίου. καὶ δὴ τὸν ἱστοροῦντα Διό-
νύσιον ἐν τῷ πέμπτῳ μέρει τοῦ κύκλου παρίστηαι.
Ἀπελλᾶς δὲ ἐν τοῖς Δελφικοῖς δύο φησὶ γεγονέναι τὰ
Παλλάδια, ἄμφω δ' ὑπ' ἀνθρώπων δεδημιουργῆ-
σθαι. ἀλλ' ὅπως μηδεὶς ὑπολάβῃ καὶ ταῦτά με
ἀγνοίᾳ παρεικέναι, παραθήσομαι τοῦ Μορύχου Διο-
νύσου τὸ ἄγαλμα Ἀθήνῃσι γεγονέναι μὲν ἐκ τοῦ φελ-
λάτα καλουμένου λίθου, ἔργον δὲ εἶναι Σίμωνος τοῦ
Εὐπαλάμου, ὥς φησι Πολέμων ἔν τινι ἐπιστολῇ. ἐγε-
νέσθην δὲ καὶ ἄλλῳ τινὲ δύω Κρητικῷ οἶμαι ἀν-
δριαντοποιῷ — Σκύλης καὶ Δίποινος ὠνομαζέσθην —,
τούτω δὲ τὰ ἐν Ἄργει τοῖν Διοσκούροιν ἀγάλματα
κατεσκευασάτην καὶ τὸν ἐν Τίρυνθι Ἡρακλέους ἀν-
δριάντα καὶ τὸ τῆς Μουνυχίας Ἀρτέμιδος ξόανον ἐν
Σικυῶνι.

§. 48. Καὶ τί περὶ ταῦτα διατρίβω, ἐξὸν αὐ-
τὸν τὸν μεγαλοδαίμονα ὑμῖν ἐπιδεῖξαι ὅστις ἦν; ὃν
δὴ κατ' ἐξοχὴν πρὸς πάντων σεβασμοῦ κατηξιωμέ-
νον ἀκούομεν, τοῦτον ἀχειροποίητον εἰπεῖν τετολμή-
κασιν, τὸν Αἰγύπτιον Σάραπιν. οἱ μὲν γὰρ αὐτὸν
ἱστοροῦσι χαριστήριον ὑπὸ Σινωπέων Πτολεμαίῳ τῷ
Φιλαδέλφῳ τῷ Αἰγυπτίων πεμφθῆναι βασιλεῖ, ὃς
λιμῷ τρυχομένους αὐτοὺς, ἀπ' Αἰγύπτου μεταπεμψά-
μενος σῖτον ὁ Πτολεμαῖος, ἀνεκτήσατο· εἶναι δὲ τὸ
ξόανον τοῦτο ἄγαλμα Πλούτωνος, ὃς δεξάμενος τὸν
ἀνδριάντα καθίδρυσεν ἐπὶ τῆς ἄκρας, ἣν νῦν Ῥακῶ-
τιν καλοῦσιν, ἔνθα καὶ τὸ ἱερὸν τετίμηται τοῦ Σα-
ράπιδος, γειτνιᾷ δὲ τοῖς τόποις τὸ χωρίον. Βλίστι-
χιν δὲ τὴν παλλακίδα τελευτήσασαν ἐν Κανώβῳ με-
ταγαγὼν ὁ Πτολεμαῖος ἔθαψεν ὑπὸ τὸν προδεδη-

λωμένον σηκόν. ἄλλοι δέ φασιν Ποντικὸν εἶναι βρ
τας τὸν Σάραπιν, μετῆχθαι δὲ εἰς Ἀλεξάνδρειαν μ
τὰ τιμῆς πανηγυρικῆς. Ἰαίδωρος μόνος παρὰ Σελε
κέων τῶν πρὸς Ἀντιόχειαν τὸ ἄγαλμα μεταχθῆν
5 λέγει, ἐν σιτοδείᾳ καὶ αὐτῶν γενομένων καὶ ὑπὸ Ι
Πτολεμαίου διατραφέντων. ἀλλ' ὅ γε Ἀθηνόδω-
ρος ὁ τοῦ Σάνδωνος ἀρχαΐζειν τὸν Σάραπιν βουλη
θεὶς οὐκ οἶδ' ὅπως περιέπεσεν, ἐλέγξας αὐτὸν ἄγαλ
μα εἶναι γενητόν· Σέσωστριν φησὶ τὸν Αἰγύπτιον βα
10σιλέα τὰ πλεῖστα τῶν παρ' Ἕλλησι παραστησάμεν
ἐθνῶν, ἐπανελθόντα εἰς Αἴγυπτον ἐπαγαγέσθαι τεχν
τας ἱκανούς· τὸν οὖν Ὄσιριν τὸν προπάτορα τὸν α
τοῦ δαιμονισθῆναι ἐκέλευσεν· αὐτὸς πολυτελῶς, κατ
σκευάζει δὲ αὐτὸν Βρύαξις ὁ δημιουργός, οὐχ ὁ Ἀθη
15ναῖος, ἄλλος δέ τις ὁμώνυμος ἐκείνῳ τῷ Βρυάξι
ὃς ὕλῃ κατακέχρηται εἰς δημιουργίαν μικτῇ καὶ πο
κίλῃ. ῥίνημα γὰρ χρυσοῦ ἦν αὐτῷ καὶ ἀργύρου, χα
κοῦ τε καὶ σιδήρου καὶ μολύβδου, πρὸς δὲ καὶ κα
σιτέρου, λίθων δὲ Αἰγυπτίων ἐνέδει οὐδὲ εἷς, σαπφε
20ρου καὶ αἱματίτου θραύσματα σμαράγδου τε, ἀλλ
καὶ τοπαζίου. λεάνας οὖν τὰ πάντα καὶ ἀναμίξ
ἔχρωσε κνάνῳ, οὗ δὴ χάριν μελάντερον τὸ χρῶμ
τοῦ ἀγάλματος, καὶ τῷ ἐκ τῆς Ὀσιριδος καὶ τ
Ἄπιος κηδείας ὑπολελειμμένῳ φαρμάκῳ φυράσας τ
25πάντα διέπλασεν τὸν Σάραπιν· οὗ καὶ τοὔνομα α
αἴττεται τὴν κοινωνίαν τῆς κηδείας καὶ τὴν ἐκ τ
ταφῆς δημιουργίαν, σύνθετον ἀπό τε Ὀσιριδος κ
Ἄπιος γενόμενον Ὀσίραπις.

§. 49. Καινὸν δὲ ἄλλον ἐν Αἰγύπτῳ, ὀλίγ
30δεῖν καὶ παρ' Ἕλλησι, σεβασμίως τεθείακε θεὸν
βασιλεὺς ὁ Ῥωμαίων τὸν ἐρώμενον ὡραιότατον τ
σφόδρα γενόμενον Ἀντίνοον, ὃν ἀνέρωσεν οὕτως, ὁ
Γανυμήδην ὁ Ζεύς· οὐ γὰρ κωλύεται ῥᾳδίως ἐπιθ
μίαν φόβον οὐκ ἔχουσα· καὶ νῦν τὰς ἱερὰς τὰς Ἀντ
35νόου προσκυνοῦσιν ἄνθρωποι νῦν, ὡς ἀλαχρὰς ἠπίστα
ὁ συναχρυπνήσας ἐραστής. τί μοι θεὸν καταλέγεις τ

πορνείᾳ τετιμημένον; τί δὲ καὶ ὡς νέον θρηνεῖσθαι προσέταξας; τί δὲ καὶ τὸ κάλλος αὐτοῦ ἀπηγῇ; αἰσχρόν ἐστι τὸ κάλλος ὕβρει μεμαραμμένον. μὴ τυραννήσῃς, ἄνθρωπε, νοῦ κάλλους μηδὲ ἐνυβρίσῃς ἀνθοῦντι τῷ νέῳ· τήρησον αὐτὸ καθαρὸν, ἵνα ᾖ καλόν. βασιλεὺς τοῦ κάλλους γενοῦ, μὴ τύραννος· ἐλεύθερος μενάτω· τότε σοὺ γνωρίσω τὸ κάλλος, ὅτι καθαρὰν τετήρηκας τὴν εἰκόνα· τότε προσκυνήσω τὸ κάλ- P. 44
λος τὸ ἀληθινὸν, ᾧ ἀρχέτυπόν ἐστι τῶν καλῶν. Pott.

ἤδη δὲ ὁ τάφος τοῦ ἐρωμένου νεώς ἐστιν Ἀντινόου καὶ πάλις· καθάπερ γάρ οἶμαι οἱ νεοὶ, οὕτω δὲ καὶ οἱ τάφοι θαυμάζονται, πυραμίδες καὶ μανσώλια καὶ λαβύρινθοι· ἄλλοι νεοὶ τῶν νεκρῶν, ὡς ἐκεῖνοι τάφοι τῶν θεῶν.

§. 50. Ἀνδάσκαλον δὲ ὑμῖν παραθήσομαι τὴν προφῆτιν Σίβυλλαν,

P. 15 οὐ ψευδὸς Φοίβου χρησμηγόρον, ὃν τε μάσαιοι
8yl b. ἄνθρωποι θεὸν εἶπον, ἐπεψεύσαντο δὲ μάντιν·
ἀλλὰ θεοῦ μεγάλοιο, τὸν οὐ χέρες ἔπλασαν ἀνδρῶν,
εἰδώλοις ἀλάλοισι λιθοξέστοισιν ὅμοιον.

αὕτη μέντοι ἐρείπια τοὺς νεὼς προσαγορεύει, τὸν μὲν τῆς Ἐφεσίας Ἀρτέμιδος χάσμασι καὶ σεισμοῖς καταποντίσεσθαι προμηνύουσα οὕτως,

ὕστια δ' οἰμώξει Ἔφεσος κλαίουσα παρ' ὄχθαις
καὶ νηὸν ζητοῦσα τὸν οὐκέτι ναιετάουσα·

τὸν δὲ Ἴσιδος καὶ Σαράπιδος ἐν Αἰγύπτῳ κατενεχθήσεσθαί φησι καὶ ἐμπρησθήσεσθαι·

Ἶσι, θεὰ τριτάλαινα, μενεῖς ἐπὶ χεύμασι Νείλου
μούνη, μαινὰς, ἄνανδος ἐπὶ ψαμάθοις Ἀχέροντος,
εἶτα ὑποβᾶσα·

καὶ σὺ, Σάραπι, λίθους ἀργοὺς ἐπικείμενε πολλοὺς,
κεῖσαι πτῶμα μέγιστον ἐν Αἰγύπτῳ τριταλαίνῃ.

σὺ δὲ ἄλλ' εἰ μὴ προφήτιδος ἐπακούεις, τοῦ γε σοῦ ἄκουσον φιλοσόφου, τοῦ Ἐφεσίου Ἡρακλείτου, τὴν ἀναισθησίαν ὀνειδίζοντος τοῖς ἀγάλμασι· καὶ τοῖς

ἀγάλμασι τουτέοισι εὔχονται, ὁκοῖον εἴ τις τοῖσι δόμοι
σι λεσχηνεύοιτο. ἢ γὰρ οὐχὶ τερατώδεις οἱ λίθοι
προστρεπόμενοι· εἶτα μέντοι καὶ πρὸ τῶν πυλῶν ἱστάτ
τις αὐτοὺς, ὡς ἐνεργεῖς, Ἑρμῆν προσκυνοῦσιν ὡ
5 θεὸν καὶ τὸν Ἀγυιέα θυρωρὸν ἱστάντες; εἰ γὰρ ὡ
ἀναισθήτους ἐρωτῶσιν, τί προσκυνοῦσιν ὡς θεούς
εἰ δὲ αἰσθήσεως αὐτοὺς μετέχειν οἴονται, τί τούτοι
ἱστᾶσι θυρωρούς;

10 §. 51. Ῥωμαῖοι δὲ τὰ μέγιστα κατορθώματ
τῇ τύχῃ ἀνατιθέντες καὶ ταύτην μεγίστην ἡγεμε
νοι θεὸν, φέροντες εἰς τὸν κοπρῶνα ἀνέθηκαν αὐ-
τὴν, ἄξιον νεὼν τὸν ἀφεδρῶνα νείμαντες τῇ θεῷ
ἀλλὰ γὰρ ἀναισθήτῳ λίθῳ καὶ ξύλῳ καὶ χρυσί
15πλουσίῳ οὐδ' ὁτιοῦν μέλει οὐ κνίσης, οὐχ αἵματος
οὐ καπνοῦ, ᾧ δὴ τιμώμενοι καὶ τυφόμενοι ἐκμελαί
νονται· ἀλλ' οὐδὲ τιμῆς, οὐχ ὕβρεως· τὰ δὲ καὶ παν-
τός ἐστιν ἀτμότερα ζώου τὰ ἀγάλματα. καὶ ὅπως
μὲ τεθέλαστωσι τὸ ἀναίσθητα, ἀπορῶ· ἔπεισί μοι κα
20κατελεεῖν τοὺς πλανωμένους τῆς ἀκοίας, ὡς δειλαί
ους· εἰ γὰρ καί τινα τῶν ζώων οὐχὶ πάσας ἔχει τὰ
αἰσθήσεις, ὥσπερ ὐλαὶ καὶ κάμπαι καὶ ὅσα διὰ τῆ
πρώτης γενέσεως εὐθὺς ἀνάπηρα φαίνεται, καθάπερ
οἱ ἀσπάλακες καὶ ἡ μυγαλῆ, ἣν φησὶν ὁ Νίκανδρος
25τυφλὴν τε σμερδνήν τε· ἀλλά γε ἀμείνους εἰσὶ τῶν
ξοάνων τούτων καὶ τῶν ἀγαλμάτων, τέλεον ὄντων
κωφῶν· ἔχουσιν γὰρ αἴσθησιν μίαν γέ τινα, φέρε εἰ-
πεῖν ἀκουστικὴν ἢ ἁπτικὴν ἢ τὴν ἀναλογοῦσαν τῇ
ὀσφρήσει ἢ τῇ γεύσει· τὰ δὲ οὐδὲ μιᾶς αἰσθήσεως
30μετέχει, τὰ ἀγάλματα· πολλὰ δέ ἐστι τῶν ζώων, ὅσα
οὐδὲ ὄρασιν ἔχει οὔτε ἀκοὴν οὔτε μὴν φωνήν, οἷον
καὶ τὸ τῶν ὀστρέων γένος· ἀλλὰ ζῇ γε καὶ αὔξεται,
πρὸς δὲ καὶ τῇ σελήνῃ συμπάσχει· τὰ δὲ ἀγάλματα,
ἀργά, ἄπρακτα, ἀναίσθητα, προσδεῖται καὶ προσκα-
35θηλοῦται καὶ προσπήγνυται, χωνεύεται, ὀπᾶται,
πρίεται, περιξέεται, γλύφεται. κωφὴν μὲν δὴ γαῖαν

ἀεικίζουσιν*) οἱ ἀγαλματοποιοὶ, τῆς οἰκείας ἐξιστάντες φύσεως, ὑπὸ τῆς τέχνης προσκυνεῖν ἀναπείθοντες· προσκυνοῦσι δὲ οἱ θεοποιοὶ οὐ θεοὺς καὶ δαίμονας κατά γε αἴσθησιν τὴν ἐμὴν, γῆν δὲ καὶ τέχνην, τὰ ἀγάλματα ὅπερ ἐστίν. ἔστιν γὰρ ὡς ἀληθῶς τὸ ἄγαλμα ὕλη νεκρὰ, τεχνίτου χειρὶ μεμορφωμένη· ἡμῖν δὲ οὐχ ὕλης αἰσθητῆς αἰσθητόν, νοητὸν δὲ τὸ ἄγαλμά ἐστιν [νοητὸν, οὐκ αἰσθητόν ἐστι τὸ ἄγαλμα] ὁ θεὸς, ὁ μόνος ὄντως θεός.

§. 52. Καὶ δὴ ἔμπαλιν ἐν αὐταῖς ποὺ ταῖς περιστάσεσιν οἱ δεισιδαίμονες, οἱ τῶν λίθων προσκυνηταὶ, ἔργῳ μαθόντες ἀναίσθητον ὕλην μὴ σέβειν, αὐτῆς ἡττώμενοι τῆς χρείας, ἀπόλλυνται ὑπὸ δεισιδαιμονίας· καταφρονοῦντες δ' ὅμως τῶν ἀγαλμάτων, φαίνεσθαι δὲ μὴ βουλόμενοι αὐτῶν ὅλως περιφρονοῦντες, ἐλέγχονται ὑπ' αὐτῶν τῶν θεῶν, οἷς δὴ τὰ ἀγάλματα ἐπιπεφήμισται. Διονύσιος μὲν γὰρ ὁ τύραννος ὁ νεώτερος θοιμάτιον τὸ χρύσεον περιελόμενος τοῦ Διὸς ἐν Σικελίᾳ, προσέταξεν αὐτῷ ἐρεοῦν περιτιθέναι, χαριέντως φήσας τοῦτο ἄμεινον εἶναι τοῦ χρυσίου, καὶ θέρους κουφότερον καὶ κρύους ἀλεεινότερον. Ἀντίοχος δὲ ὁ Κυζικηνὸς ἀποροῦμενος χρημάτων τοῦ Διὸς τὸ ἄγαλμα τὸ χρυσοῦν, πεντεκαίδεκα πηχῶν τὸ μέγεθος ὂν, προσέταξε χωνεῦσαι καὶ τῆς ἄλλης τῆς ἀτιμοτέρας ὕλης ἄγαλμα παραπλήσιον ἐκείνῳ πετάλοις κεχρυσωμένον ἀναθεῖναι πάλιν. αἱ δὲ χελιδόνες καὶ τῶν ὀρνέων τὰ πλεῖστα κατεξερῶσιν αὐτῶν τῶν ἀγαλμάτων εἰσπετόμενα, οὐδὲν φροντίσαντα οὔτε Ὀλυμπίου Διὸς οὔτε Ἐπιδαυρίου Ἀσκληπιοῦ οὐδὲ μὴν Ἀθηνᾶς Πολιάδος ἢ Σαράπιδος Αἰγυπτίου· παρ' ὧν οὐδὲ αὐτῶν τὴν ἀναισθησίαν τῶν ἀγαλμάτων ἐκμανθάνετε. ἀλλ' εἰσὶ μὲν κακοῦργοί τινες ἢ πολέμιοι ἐπιθέμενοι, οἳ δι' αἰσχροκέρδειαν ἐδῄωσαν τὰ ἱερὰ καὶ τὰ ἀναθήματα ἐσύλη-

P. 46 Pott.

*) Cf. Hom. Iliad. ω. 54.

σαν ἢ καὶ αὐτὰ ἐχώνευσαν τὰ ἀγάλματα· καὶ
Καμβύσης τις ἢ Δαρεῖος ἢ ἄλλος μανόμενος τοιαῦ
P. 16 τα ἄττα ἐπεχείρησεν καὶ εἰ τὸν Αἰγύπτιόν τις ἀπ
Byl. κτεινεν Ἆπιν, γελῶ μὲν ὅτι τὸν θεὸν ἀπέκτειν
5 αὐτῶν, ἀγανακτῶ δὲ εἰ κέρδους χάριν ἐπλημμέλει.

§. 53. Ἐκὼν οὖν ἐκλήσομαί σῆσδε τῆς κακουρ
γίας, πλεονεξίας ἔργα, οὐχὶ δὲ ἀθρανείας τῶν εἰδω
λων ἔλεγχον νομίζων. ἀλλ' οὔτε γε τὸ πῦρ καὶ
σεισμοὶ κεραύλεοι οὐδὲ μὴν φοβοῦνται ἢ δυσωποῦν
10ται οὐ τοὺς δαίμονας, οὐ τὰ ἀγάλματα, οὐ μᾶλλο
ἢ τὰς ψηφίδας τὰς παρὰ τοῖς αἰγιαλοῖς σεσωρευμέ
νας τὰ κύματα. οἶδα ἐγὼ κῦρ ἐλεγκτικὸν καὶ Ι
δεισιδαιμονίας ἰατρικόν· εἰ βούλεσθαι σαυσθαι τῆς ἀνοί-
ας, φωταγωγήσει σὲ τὸ πῦρ. τοῦτο τὸ πῦρ καὶ τὸ
15ἐν Ἄργει νεὼν σὺν καὶ τῇ ἱερείᾳ κατέφλεξεν Χρυσίδ
καὶ τὸν ἐν Ἐφέσῳ τῆς Ἀρτέμιδος δεύτερον μετ
Ἀμαζόνας καὶ τὸ ἐν Ῥώμῃ Καπιτώλιον ἐπινενέμηται
πολλάκις· οὐκ ἀπέσχετο δὲ οὐδὲ τοῦ ἐν Ἀλεξανδρεία
πόλει Σαράπιδος ἱεροῦ. Ἀθήνησι γὰρ τοῦ Διονύσο
20τοῦ Ἐλευθερέως κατήρειψε τὸν νεών καὶ τὸν ἐν Δελ
φοῖς τοῦ Ἀπόλλωνος πρότερον ἥρπασεν θυέλλα, ἔπει
τα ἠφάνισε κῦρ σωφρονοῦν. τοιγαροῦν σοι προοίμιο
ἐπιδείκνυται ὧν ὑπισχνεῖται τὸ πῦρ· οἱ δὲ τῶν ἀγαλ
μάτων δημιουργοὶ οὐ δυσωποῦσιν ὑμῶν τοὺς ἐμφρο
25νας τῆς ὕλης καταφρονεῖν· ὁ μὲν Ἀθηναῖος Φειδίο
ἐπὶ τῷ δακτύλῳ τοῦ Διὸς τοῦ Ὀλυμπίου ἐπιγράψο
ΠΑΝΤΑΡΚΗΣ ΚΑΛΟΣ, οὐ γὰρ καλὸς αὐτῷ
Ζεὺς, ἀλλ' ὃ ἐρώμενος ἦν· ὁ Πραξιτέλης δέ, ὡ
Ποσείδιππος ἐν τῷ περὶ Κνίδου διασαφεῖ, τὸ τῆς Ἀφρο
30δίτης ἄγαλμα τῆς Κνιδίας κατασκευάζων, τῷ Κρα
τίνης τῆς ἐρωμένης εἶδει παραπλήσιον πεποίηκεν αὐ
τὴν, ἵν' ἔχοιεν οἱ δειλαιοι τὴν Πραξιτέλους ἐρωμέ
νην προσκυνεῖν. Φρύνη δὲ ὀπηνίκα ἦνθει ἡ ἑταίρ
ἡ Θεσπιακὴ, οἱ ζωγράφοι πάντες τὰς Ἀφροδίτη
35εἰκόνας πρὸς τὸ κάλλος ἀπεμιμοῦντο Φρύνης, ὥσπε
αἵ καὶ οἱ λιθοξόοι τοὺς Ἑρμᾶς Ἀθηναῖσιν πρὸς Ἀλ

χιβιάδην ἀπείκαζον. ὑπολείπεται τῆς σῆς κρίσεως τὸ ἔργον ἐπάξαι, εἰ βούλει, καὶ τὰς ἑταίρας προσκυνεῖν.

§. 54. Ἐντεῦθεν οἶμαι κινηθέντες οἱ βασιλεῖς οἱ παλαιοὶ, καταφρονοῦντες τῶν μύθων τούτων, ἀνέδην διὰ τὸ ἐξ ἀνθρώπων ἀκίνδυνον σφᾶς αὐτοὺς θεοὺς ἀνηγόρευον, ταύτῃ κἀκείνους διὰ τὴν δόξαν ἀπηθανατίσθαι διδάσκοντες· Κήυξ μὲν ὁ Αἰόλου Ζεὺς ὑπὸ τῆς Ἀλκυόνης τῆς γυναικὸς, Ἀλκυόνη δὲ αὖθις ὑπὸ τοῦ ἀνδρὸς Ἥρα προσαγορευομένη. Πτολεμαῖος δὲ ὁ τέταρτος Διόνυσος ἐκαλεῖτο· καὶ Μιθριδάτης ὁ Ποντικὸς Διόνυσος καὶ αὐτός· ἐβούλετο δὲ καὶ Ἀλέξανδρος Ἄμμωνος υἱὸς εἶναι δοκεῖν καὶ κερασφόρος ἀναπλάττεσθαι πρὸς τῶν ἀγαλματοποιῶν, τὸ καλὸν ἀνθρώπου ὕβρισαι σπεύδων κέρατι. καὶ οὔτι γε βασιλεῖς μόνον, ἀλλὰ καὶ ἰδιῶται θείαις προσηγορίαις σφᾶς αὐτοὺς ἐσέμνυνον, ὡς Μενεκράτης ὁ ἰατρὸς, Ζεὺς οὗτος ἐπικεκλημένος. τί με δεῖ καταλέγειν Ἀλέξαρχον; γραμματικὸς οὗτος τὴν ἐπιστήμην γεγονὼς, ὡς ἱστορεῖ Ἄριστος ὁ Σαλαμίνιος, αὐτὸν κατεσχημάτιζεν εἰς Ἥλιον. τί δεῖ καὶ Νικαγόρου μεμνῆσθαι — Ζελείτης τὸ γένος ἦν κατὰ τοὺς Ἀλεξάνδρου γεγονὼς χρόνους — Ἑρμῆς προσηγορεύετο ὁ Νικαγόρας καὶ τῇ στολῇ τοῦ Ἑρμοῦ ἐκέχρητο, ὡς αὐτὸς μαρτυρεῖ· ὅπου γε καὶ ὅλα ἔθνη καὶ πόλεις ἄνανδροι, κολακείαν ὑποδυόμεναι, ἐξευτελίζουσι τοὺς μύθους τοὺς περὶ τῶν θεῶν, ἰσοθέους ἄνθρωποι κατασχηματίζοντες ἑαυτοὺς, ὑπὸ δόξης πεφυσημένοι, ἐπιψηφιζόμενοι τιμὰς ἑαυτοῖς ὑπερόγκους· νῦν μὲν τὸν Μακεδόνα τὸν ἐκ Πέλλης τὸν Ἀμύντορος Φίλιππον ἐν Κυνοσάργει νομοθετοῦντες προσκυνεῖν, τὸν τὴν κλεῖν κατεαγότα καὶ τὸ σκέλος πεπηρωμένον, ὃς ἐξεκόπη τὸν ὀφθαλμόν· αὖθις δὲ τὸν Δημήτριον θεὸν καὶ αὐτὸν ἀναγορεύοντες· καὶ ἔνθα μὲν ἀπέβη τοῦ ἵππου Ἀθήναζε εἰσιὼν, Καταβάτου ἱερὸν ἐστι Δημητρίου· βωμοὶ δὲ πανταχοῦ καὶ γάμος ὑπὸ Ἀθηναίων αὐτῷ ὁ τῆς Ἀθηνᾶς ἠτρεπίζετο· ὁ δὲ τὴν

P. 48 Pott.

μὲν θεὸν ὑπερηφάνει, τὸ ἄγαλμα γῆμαι μὴ δυνάμ
νος· Λάμιαν δὲ τὴν ἑταίραν ἔχων εἰς ἀκρόπολ
ἀνήει καὶ τῷ τῆς Ἀθηνᾶς ἐνεφυρᾶτο παστῷ, τῇ π
λαιᾷ παρθένῳ τὰ τῆς νέας ἐπιδεικνὺς ἑταίρας σχ
5 ματα.

§. 55. Οὐ νέμεσις τοίνυν οὐδὲ Ἵππωνι ἀπαθ
νατίζοντι τὸν θάνατον τὸν ἑαυτοῦ· ὁ Ἵππων γ
οὗτος ἐπιγραφῆναι ἐκέλευσεν τῷ μνήματι τῷ ἑαυτ
τόδε τὸ ἐλεγεῖον·

10 Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἶσον ἐποίησεν μοῖρα καταφθίμενον.

εὖγε, Ἵππων, ἐπιδεικνύεις ἡμῖν τὴν ἀνθρωπίνην πλ
νην. εἰ γὰρ καὶ λαλοῦντί σοι μὴ πεπιστεύκασι, ν
κροῦ γενέσθωσαν μαθηταί. χρησμὸς οὗτός ἐστιν Ἵ
15 πωνος· νοήσωμεν αὐτόν. οἱ προσκυνούμενοι παρ' ὑ
ὑμῖν, ἄνθρωποι γενόμενοί ποτε, εἶτα μέντοι τεθνᾶ-
σιν· τετίμηκε δὲ αὐτοὺς ὁ μῦθος καὶ ὁ χρόνος. φ
λεῖ γάρ πως τὰ μὲν παρόντα συνηθείᾳ καταφρ
νεῖσθαι, τὰ δὲ παρῳχηκότα τοῦ παραυτίκα ἐλέγχ
20 κεχωρισμένα χρόνων ἀδηλείᾳ τετιμῆσθαι τῷ πλάσμα
καὶ τὰ μὲν ἀπιστεῖσθαι, τὰ δὲ καὶ θαυμάζεσθα
αὐτίκα γοῦν οἱ παλαιοὶ νεκροὶ τῷ πολλῷ τῆς πλάνη
χρόνῳ σεμνυνόμενοι τοῖς ἔπειτα νομίζονται θεοί. π
στις ὑμῖν τῶνδε αὐτὰ ὑμῶν τὰ μυστήρια, αἱ πανη
25 γύρεις, δεσμὰ καὶ τραύματα καὶ δακρύοντες θεοί.

ὤ μοι ἐγών, ὅτε μοὶ Σαρπηδόνα, φίλτατον ἀ
δρῶν,
μοῖρ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι*).

κεκράτηται τὸ θέλημα τοῦ Διὸς καὶ ὁ Ζεὺς ὑμ
30 διὰ Σαρπηδόνα οἰμῴζει νενικημένος· εἴδωλα γοῦν εἰ
P. 17 κότως αὐτοὺς καὶ δαίμονας ὑμεῖς αὐτοὶ κεκλή
Sylb. κατε· ἐπεὶ καὶ τὴν Ἀθηνᾶν αὐτὴν καὶ τοὺς ἄλ
λους θεοὺς κακίᾳ τιμήσας Ὅμηρος δαίμονας προση
γόρευσεν·

---

*) Hom. Il. π. 433 sqq.

ἢ δ' Οὔλυμπόνδε βεβήκει,
δώματ' ἐς αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους *).
πῶς οἶν ἔτι θεοὶ τὰ εἴδωλα καὶ οἱ δαίμονες, βδελυρὰ ὄντως καὶ πνεύματα ἀκάθαρτα, πρὸς πάντων ὁμολογούμενα γήϊνα καὶ δεισαλέα, κάτω βριθοντα, περὶ τοὺς τάφους καὶ τὰ μνημεῖα καλινδούμενα; περὶ ἃ δὴ καὶ ὑποφαίνονται ἀμυδρῶς σκιοειδῆ φαντάσματα.

§. 56. Ταῦθ' ὑμῶν οἱ θεοὶ τὰ εἴδωλα, αἱ σκιαὶ καὶ πρὸς τούτοις χωλαὶ ἐκεῖναι καὶ ῥυσαὶ, παραβλῶπες ὀφθαλμιῶ **), αἱ Λιταὶ αἱ Θερσίτου μᾶλλον ἢ Διὸς θυγατέρες. ὥστε μοὶ δοκεῖν χαριέντως φάναι τὸν Βίωνα· πῶς ἂν ἐνδίκως οἱ ἄνθρωποι παρὰ τοῦ Διὸς αἰτήσωνται τὴν εὐτεκνίαν, ἣν οὐδ' P. 50 αὐτῷ παρασχεῖν ἴσχυσεν; οἰμοι τῆς ἀθεότητος· τὴν Pott. ἀκήρατον οὐσίαν, τὸ ὄσον ἐφ' ὑμῖν, κατορύττετε καὶ τὸ ἄχραντον ἐκεῖνο καὶ τὸ ἅγιον τοῖς τάφοις ἐπικεχώκατε, τῆς ἀληθῶς ὄντως οὐσίας συλήσαντες τὸ θεῖον. τί δὴ οὖν τὰ τοῦ θεοῦ τοῖς οὐ θεοῖς προσείματε γέρα; τί δαὶ καταλιπόντες τὸν οὐρανὸν τὴν γῆν τετιμήκατε; τί δ' ἄλλο χρυσὸς ἢ ἄργυρος ἢ ἀδάμας ἢ σίδηρος ἢ χαλκὸς ἢ ἐλέφας ἢ λίθος τίμιος, οὐχὶ γῆ τε καὶ ἐκ γῆς; οὐχὶ δὲ μιᾶς μητρὸς ἔκγονα, τῆς γῆς, τὰ πάντα ταῦτα, ὅσα ὁρᾷς; τί δὴ οὖν, ὦ μιάταιοι καὶ κενόφρονες, — πάλιν γὰρ δὴ ἐπαναλήψομαι — τὸν ὑπερουράνιον βλασφημήσαντες τόπον εἰς τοὔδαφος κατεσύρατε τὴν εὐσέβειαν, χθονίους ὑμῖν ἀναπλάττοντες θεοὺς καὶ τὰ γεννητὰ ταῦτα πρὸ τοῦ ἀγεννήτου μετιόντες θεοῦ βαθυτέρῳ περιπεπτώκατε ὄφῳ; καλὸς ὁ Πάριος λίθος, ἀλλ' οὐδέπω Ποσειδῶν· καλὸς ὁ ἐλέφας, ἀλλ' οὐδέπω Ὀλύμπιος· ἐνδεὴς ἀεί ποτε ἡ ὕλη τῆς τέχνης, ὁ θεὸς δὲ ἀνενδεής. προῆλθεν ἡ τέχνη, περιβέβληται τὸ σχῆμα, ἡ ὕλη, καὶ τὸ πλούσιον τῆς οὐσίας πρὸς μὲν τὸ κέρδος ἀγω-

*) Il. ά. 221 sqq. **) Cf. Hom. Π. ι. 502 sqq.

γιμον, μόνῳ δὲ τῷ σχήματι γίνεται σεβάσμιον. χρ
σός ἐστι τὸ ἄγαλμά σου, ξύλον ἐστὶ, λίθος ἐστὶ,
ἐστὶν, ἐὰν ἄνωθεν νοήσῃς, μορφὴν παρὰ τοῦ τεχ
του προσλαβοῦσα, γῆν δὲ ἐγὼ πατεῖν, οὐ προσκ
νεῖν μεμελέτηκα, οὐ γάρ μοι θέμις ἐμπιστεῦσαί τι
τοῖς ἀψύχοις τὰς τῆς ψυχῆς ἐλπίδας.

§. 57. Ἰτέον οὖν ὡς ἔνι μάλιστα ἐγγυτά
τῶν ἀγαλμάτων· ὡς οἰκεία ἡ πλάνη κἀκ τῆς προ
όψεως ἐλέγχεται, ἐναπομέμακται γὰρ πάνυ δὴ σ
φῶς τὰ εἴδη τῶν ἀγαλμάτων τὴν διάθεσιν τῶν δ
νόνων. εἰ γοῦν τις τὰς γραφὰς καὶ τὰ ἀγάλμα
περινοστῶν θεῷτο, γνωριεῖ ὑμῶν παραυτίκα τ
θεοὺς ἐκ τῶν ἐπονειδίστων σχημάτων, τὸν Διόνυσ
ἀπὸ τῆς στολῆς, τὸν Ἥφαιστον ἀπὸ τῆς τέχνης, τ
Δηὼ ἀπὸ τῆς συμφορᾶς, ἀπὸ τοῦ κρηδέμνου τ
Ἰνὼ, ἀπὸ τῆς τριαίνης τὸν Ποσειδῶ, ἀπὸ τοῦ κύκ
τὸν Δία· τὸν δὲ Ἡρακλέα δείκνυσιν ἡ πυρὰ, κἂν
γυμνὴν ἴδῃ τις ἀνάγραπτον γυναῖκα, τὴν χρυσῆν
Ἀφροδίτην νοεῖ. οὕτως ὁ Κύπριος ὁ Πυγμαλί
ἐκεῖνος ἐλεφαντίνου ἠράσθη ἀγάλματος — τὸ ἄγαλ
Ἀφροδίτης ἦν καὶ γυμνὴ ἦν —, νικᾶται ὁ Κύπριος
σχήματι καὶ συνέρχεται τῷ ἀγάλματι, καὶ τοῦτο Φ
λοστέφανος ἱστορεῖ. Ἀφροδίτη δὲ ἄλλη ἐν Κνί
λίθος ἦν καὶ καλὴ ἦν, ἕτερος ἠράσθη ταύτης
μίγνυται τῇ λίθῳ, Ποσίδιππος ἱστορεῖ, ὁ μὲν π
τερος ἐν τῷ περὶ Κύπρου, ὁ δὲ ἕτερος ἐν τῷ π
Κνίδου. τοσοῦτον ἴσχυσεν ἀπατῆσαι τέχνη προαγ
γὸς ἀνθρώποις ἐρωτικοῖς εἰς βάραθρον γενομένη. δρ
στήριος μὲν ἡ δημιουργικὴ, ἀλλ' οὐχ οἵα τε ἀπατ
σαι λογικὸν οὐδὲ μὴν οὐδὲ τοὺς κατὰ λόγον βεβι
κότας· ζωγραφίᾳ μὲν γὰρ δι' ὁμοιότητα σκιαγρ
φίας περιστεραῖς προσέπτησαν πελειάδες καὶ ἵππ
καλῶς γεγραμμέναις προσεχρεμέτισαν ἵπποι. ἐρ
σθῆναι κόρην εἰκόνος λέγουσιν καὶ νέον καλὸν Κ
δίου ἀγάλματος, ἀλλ' ἦσαν τῶν θεατῶν αἱ ὄψ
ἠπατημέναι ὑπὸ τῆς τέχνης. οὐδὲ γὰρ ἂν θεᾷ

συνεπλάκη οὐδ' ἂν νεκρῷ τις συνετάφη οὐδ' ἂν ἠράσθη δαίμονος καὶ λίθου ἄνθρωπος σωφρονῶν. ὑμᾶς δὲ ἄλλῃ γοητείᾳ ἀπατᾷ ἡ τέχνη, εἰ καὶ μὴ ἐπὶ τὸ ἐρᾶν προσάγουσα, ἀλλὰ ἐπὶ τὸ τιμᾶν καὶ προσκυνεῖν τά τε ἀγάλματα καὶ τὰς γραφὰς, ὁμοία γε ἡ γραφή. ἐπαινείσθω μὲν ἡ τέχνη, μὴ ἀπατάτω δὲ τὸν ἄνθρωπον, ὡς ἀληθείᾳ ἕστηκεν ὁ ἵππος ἡσυχῆ, ἡ πελειὰς ἀτρεμὴς, ἀργὸν τὸ πτερόν· ἡ δὲ βοῦς ἡ Δαιδάλου ἡ ἐκ τοῦ ξύλου πεποιημένη ταῦρον εἷλεν ἄγριον καὶ κατηνάγκασε τὸ θηρίον ἡ τέχνη πλανήσασα ἐρώσης ἐπιβῆναι γυναικός.

§. 58. Τοσοῦτον οἶστρον αἱ τέχναι κακοτεχνοῦσαι τοῖς ἀνοήτοις ἐνεποίησαν. ἀλλὰ τοὺς μὲν πιθήκους οἱ τούτων τροφεῖς καὶ μελεδωνοὶ τεθαυμάκασιν, ὅτι τῶν κηρίνων ἢ πηλίνων ὁμοιωμάτων καὶ κοροκοσμίων ἀπατᾷ τούτους οὐδὲν, ὑμεῖς δὲ ἄρα καὶ πιθήκων χείρους γενήσεσθε λιθίνοις καὶ ξυλίνοις καὶ χρυσέοις καὶ ἐλεφαντίνοις ἀγαλματίοις καὶ γραφαῖς προσανέχοντες; τοσούτων ὑμῖν οἱ δημιουργοὶ ἀθυρ- P. 52
μάτων ὀλεθρίων, οἱ λιθοξόοι καὶ οἱ ἀνδριαντοποιοὶ, Pott.
γραφεῖς τε αὖ καὶ τέκτονες καὶ ποιηταὶ, πολύν τινα καὶ τοιοῦτον ὄχλον παρεισάγοντες, κατ' ἀγροὺς μὲν Σατύρους καὶ Πᾶνας, ἀνὰ δὲ τὰς ὕλας Νύμφας τὰς ὀρειάδας καὶ τὰς ἁμαδρυάδας, ναὶ μὴν ἀλλὰ καὶ περὶ τὰ ὕδατα καὶ περὶ τοὺς ποταμοὺς καὶ τὰς πηγὰς τὰς Ναΐδας καὶ περὶ τὴν θάλασσαν τὰς Νηρεΐδας. μάγοι δὲ ἤδη ἀσεβείας τῆς σφῶν αὐτῶν ὑπηρέτας δαίμονας αὐχοῦσιν, οἰκέτας αὐτοὺς ἑαυτοῖς
P. 18 καταγράψαντες, τοὺς κατηναγκασμένους δούλους
Sylb. ταῖς ἐπαοιδαῖς πεποιηκότες· γάμοι τε οὖν ἔτι καὶ παιδοποιίαι καὶ λοχεῖαι θεῶν μνημονευόμεναι καὶ μοιχεῖαι ᾀδόμεναι καὶ εὐωχίαι κωμῳδούμεναι καὶ γέλωτες παρὰ πότον εἰσαγόμενοι, προτρέπουσι δέ με ἀνακραγεῖν, κἂν σιωπῆσαι θέλω· οἴ μοι τῆς ἀθεότητος· σκηνὴν πεποιήκατε τὸν οὐρανὸν καὶ τὸ θεῖον ὑμῖν δρᾶμα γεγένηται καὶ τὸ ἅγιον προσωπείοις

δαιμονίων κεκωμῳδήκατε, τὴν ἀληθῆ θεοσέβειαν σιδαιμονίᾳ σατυρίσαντες.

§. 59. Αὐτὰρ ὅ φορμίζων ἀνεβάλλετο κι ἀείδειν*).

ἆσον ἡμῖν, Ὅμηρε, τὴν φωνὴν τὴν καλήν· ἀμφ' Ἄρεος φιλότητος ἐϋστεφάνου τ' Ἀφροδίτ ὡς τὰ πρῶτα μίγησαν ἐν Ἡφαίστοιο δόμοισι, λάθρῃ· πολλὰ δ' ἔδωκε, λέχος δ' ἤσχυνε καὶ εἰ Ἡφαίστοιο ἄνακτος.

κατάπαυσον Ὅμηρε τὴν ᾠδήν· οὐκ ἔστι καλὴ, χείαν διδάσκει· πορνεύειν δὲ ἡμεῖς καὶ τὰ ὦτα πα τήμεθα· ἡμεῖς γὰρ, ἡμεῖς ἐσμὲν οἱ τὴν εἰκόνα τοῦ θ περιφέροντες ἐν τῷ ζῶντι καὶ κινουμένῳ τούτῳ ἀγ ματι, τῷ ἀνθρώπῳ, σύνοικον εἰκόνα, σύμβου συνόμιλον, συνέστιον, συμπαθῆ, ὑπερπαθῆ· ἀνά μα γεγόναμεν τῷ θεῷ ὑπὲρ Χριστοῦ· „ἡμεῖς τὸ γε τὸ ἐκλεκτὸν, τὸ βασίλειον ἱεράτευμα, ἔθνος ἅγ λαὸς περιούσιος· ὅ ποτε οὐ λαὸς, νῦν δὲ λαὸς Θεοῦ" **)· οἱ κατὰ τὸν Ἰωάννην οὐκ ὄντες „ἐκ κάτω" ***), „παρὰ δὲ τοῦ ἄνωθεν ἐλθόντος†) τὸ μεμαθηκότες††), οἱ τὴν οἰκονομίαν τοῦ θεοῦ κα νενοηκότες, οἱ ἐν καινότητι ζωῆς περιπατεῖν" †††) μελετηκότες.

§. 60. Ἀλλ' οὐ ταῦτα φρονοῦσιν οἱ πολ ἀπορρίψαντες δὲ τὴν αἰδῶ καὶ τὸν φόβον οἵκοι τ τῶν δαιμόνων ἐγγράφονται πασχητιασμούς. πιν οις γοῦν τισὶ καταγράφοις μετεωρότερον ἀνακειμέ νοις προσεσχηκότες ἀσελγείᾳ τοὺς θαλάμους κε σμήκασι, τὴν ἀκολασίαν εὐσέβειαν νομίζοντες· τοῦ σκίμποδος κατακείμενοι παρ' αὐτὰς ἔτι τὰς ριπλοκὰς ἀφορῶσιν εἰς τὴν Ἀφροδίτην ἐκείνην γυμνὴν, τὴν ἐπὶ τῇ συμπλοκῇ δεδεμένην· κα Λήδᾳ περιποτώμενον τὸν ὄρνιν τὸν ἐρωτικὸν,

*) Hom. Od. Φ. 266 — 270. **) Cf. 1 Petr. 10. ***) Ioann. 8, 23. †) Ibid. 3, 31. ††) Ibid. 4 †††) Ep. ad Rom. 6, 4.

θηλύτητος ἀποδεχόμενοι τὴν γραφὴν ἀποτυποῦσι ταῖς σφενδόναις, σφραγῖδι χρώμενοι κατωλλήλῳ τῇ Διὸς ἀκολασίᾳ.

§. 61. Ταῦτα ὑμῶν τῆς ἡδυπαθείας τὰ ἀρχέτυπα, αὗται τῆς ὕβρεως αἱ θεολογίαι, αὗται τῶν συμπορνευόντων ὑμῖν θεῶν αἱ διδασκαλίαι· ὃ γὰρ βούλεται, τοῦθ' ἕκαστος καὶ οἴεται κατὰ τὸν Ἀθηναῖον ῥήτορα. οἷαι δὲ αὖ καὶ ἄλλαι ὑμῶν εἰκόνες; πανίσκοι τινὲς καὶ γυμναὶ κόραι καὶ σάτυροι μεθύοντες καὶ μορίων ἐντάσεις, ταῖς γραφαῖς ἀπογυμνούμεναι, ἀπὸ τῆς ἀκρασίας ἐλεγχόμεναι. ἤδη δὲ ἀναφανδὸν τῆς ἀκολασίας ὅλης τὰ σχήματα ἀνάγραπτα πανδημεὶ θεώμενοι οὐκ αἰσχύνεσθε, φυλάττετε δὲ ἔτι μᾶλλον ἀνακείμενα, ὥσπερ ἀμέλει τῶν θεῶν ὑμῶν τὰς εἰκόνας στήλας ἀναισχυντίας καθιερώσαντες οἵκοι, ἐπ' ἴσης ἐγγραφόμενοι τὰ Φιλαινίδος σχήματα, ὡς τὰ Ἡρακλέους ἆθλήματα. τούτων οὐ μόνον τῆς χρήσεως, πρὸς δὲ καὶ τῆς ὄψεως καὶ τῆς ἀκοῆς αὐτῆς ἀμνηστείαν καταγγέλλομεν. ἡταίρηκεν ὑμῖν τὰ ὦτα, πεπορνεύκασιν οἱ ὀφθαλμοὶ καὶ τὸ καινότερον πρὸ τῆς συμπλοκῆς αἱ ὄψεις ὑμῖν μεμοιχεύκασιν. ὦ βιασάμενοι τὸν ἄνθρωπον καὶ τὸ ἔνθεον τοῦ πλάσματος ἐλέγχει ἀπάρξωντες, πάντα ἀπιστεῖτε, ἵνα ἐκπαθαίνησθε καὶ πιστεύητε μὲν τοῖς εἰδώλοις, ζηλοῦντες αὐτῶν τὴν ἀκρασίαν· ἀπιστεῖτε δὲ τῷ θεῷ σωφροσύνην μὴ φέροντες καὶ τὰ μὲν κρείττω μεμισήκατε, τὰ δὲ ἧττω τετιμήκατε, ἀρετῆς μὲν θεαταὶ, κακίας δὲ ἐγωνισταὶ γεγενημένοι. P. 54

§. 62. Ὄλβιοι μόνοι τοίνυν, ὡς ἔπος εἰπεῖν, Pott. ὁμοθυμαδὸν ἐκεῖνοι πάντες κατὰ τὴν Σίβυλλαν·

οἳ ναοὺς μὲν πάντας ἀπαρνήσονται ἰδόντες
καὶ βωμοὺς, εἰκαῖα λίθων ἱδρύματα κωφῶν,
καὶ λίθινα ξόανα καὶ ἀγάλματα χειροποίητα,
αἵματι ἐμψύχῳ μεμιασμένα καὶ θυσίαισι
τετραπόδων, διπόδων, πτηνῶν θηρῶν τε φόνοισι.

καὶ γὰρ δὴ καὶ ἀπηγόρευται ὑμῖν ἀναφανδὸν ἀπα-

τηλὸν ἐργάξεσθαι τέχνην. „οὐ γὰρ ποιήσεις", φη
ὁ προφήτης, „παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρα
καὶ ὅσα ἐν τῇ γῇ κάτω"*). ἢ πού γ' ἂν ἔτι
Πραξιτέλους Δήμητραν καὶ Κόρην καὶ τὸν Ἴακχ
τὸν μυστικὸν θεοὺς ὑπολάβοιμεν ἢ τὰς Λυσίπ
τέχνας ἢ τὰς χεῖρας τὰς Ἀπελλικὰς, αἳ δὴ τῆς θε
δοξίας τὸ σχῆμα τῇ ὕλῃ περιτεθείκασιν, ἀλλ' ὑμ
μὲν ὅπως ποτὲ ὁ ἀνδριὰς ὅτι μάλιστα ὡραιόται
τεκταίνηται, προσκαρτερεῖτε, ὅπως δὲ αὐτοὶ μὴ ὅμο
δι' ἀναισθησίαν τοῖς ἀνδριάσιν ἀποτελεσθῆτε,
φροντίζετε; πάνυ γοῦν ἐμφανῶς καὶ συντόμως ὁ πρ
φητικὸς ἐλέγχει τὴν συνήθειαν λόγος, ὅτι „πάντες
θεοὶ τῶν ἐθνῶν δαιμονίων εἰσὶν εἴδωλα· ὁ δὲ θ
τοὺς οὐρανοὺς ἐποίησεν"**) καὶ τὰ ἐν τῷ οὐρανῷ.

§. 63. Πλανώμενοι γοῦν τινες ἐντεῦθεν οὐκ ο
ὅπως θείαν μὲν τέχνην, πλὴν ἀλλ' οὐ θεὸν προσ
νοῦσιν, ἥλιόν τε καὶ σελήνην καὶ τὸν ἄλλον τῶν ἀσ
ρων χορὸν, παραλόγως τούτους θεοὺς ὑπολαμβάν
P. 19 τες, τὰ ὄργανα τοῦ χρόνου***). „τῷ γὰρ λό
Sylb. αὐτοῦ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόμ
τος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν"†)· ἀλλ' ἡ μ
ἀνθρωπεία τέχνη οἰκίας τε καὶ ναῦς καὶ πόλεις
γραφὰς δημιουργεῖ· θεὸς δὲ πῶς ἂν εἴποιμι ὅσα π
εῖ; ὅλον ἴδε τὸν κόσμον, ἐκείνου ἔργον ἐστίν,
οὐρανὸς καὶ ἥλιος καὶ ἄγγελοι καὶ ἄνθρωποι „ἔργα
τῶν δακτύλων αὐτοῦ"††). ὅση γε ἡ δύναμις τοῦ
θεοῦ; μόνον αὐτοῦ τὸ βούλημα κοσμοποιία· μό
γὰρ ὁ θεὸς ἐποίησεν, ἐπεὶ καὶ μόνος ὄντως ἐστὶ
ὁς· ψιλῷ τῷ βούλεσθαι δημιουργεῖ καὶ τῷ μό
ἐθελῆσαι αὐτὸν ἔπεται τὸ γεγενῆσθαι. ἐνταῦθα
λοσόφων παρατρέπεται χορὸς πρὸς μὲν τὴν οὐρα
θέαν παγκάλως γεγονέναι τὸν ἀνθρωπὸν ὁμολογο
των, τὰ δὲ ἐν οὐρανῷ φαινόμενα καὶ ὄψει καταλαμβ

*) Exod. 20, 4. **) Psalm. 96, 5. ***) Cf. Ge
1, 14. †) Psalm. 33, 6. ††) Psalm. 102, 26.

νόμενα προσκυνούντων. εἰ γὰρ καὶ μὴ ἀνθρώπινα τὰ ἔργα τὰ ἐν οὐρανῷ, ἀλλὰ γοῦν ἀνθρώποις δεδημιούργηται. καὶ μὴ τὸν ἥλιόν τις ὑμῶν προσκυνείτω, ἀλλὰ τὸν ἡλίου ποιητὴν ἐπιποθείτω, μηδὲ τὸν κόσμον ἐκθειαζέτω, ἀλλὰ τὸν κόσμου δημιουργὸν ἐπιζητησάτω. μόνη ἄρα, ὡς ἔοικεν, καταφυγὴ τῷ μέλλοντι ἐπὶ τὰς σωτηρίους ἀφικνεῖσθαι θύρας ὑπολείπεται, σοφία θεϊκή· ἐντεῦθεν ὥσπερ ἐξ ἱεροῦ τινὸς ἀσύλου οὐδενὶ οὐκέτι ἀγώγιμος τῶν δαιμόνων ὁ ἄνθρωπος γίνεται σπεύδων εἰς σωτηρίαν.

Cap. V.

§. 64. Ἐπιδράμωμεν δὲ, εἰ βούλει, καὶ τῶν φιλοσόφων τὰς δόξας, ὅσας αὐχοῦσι περὶ τῶν θεῶν, εἴ πως καὶ φιλοσοφίαν αὐτὴν κενοδοξίας ἕνεκεν ἀνειδωλοποιοῦσαν τὴν ὕλην ἐφεύρωμεν, εἰ καὶ δαιμόνια ἄττα ἐκθειάζουσαν κατὰ παραδρομὴν παραστῆσαι δυνηθῶμεν ὀνειρώττουσαν τὴν ἀλήθειαν. στοιχεῖα μὲν οὖν ἀρχὰς ἀπέλειπον ἑξυμνήσαντες, Θαλῆς ὁ Μιλήσιος τὸ ὕδωρ καὶ Ἀναξιμένης ὁ καὶ αὐτὸς Μιλήσιος τὸν ἀέρα, ᾧ Διογένης ὕστερον ὁ Ἀπολλωνιάτης κατηκολούθησεν. Παρμενίδης δὲ ὁ Ἐλεάτης θεοὺς εἰσηγήσατο πῦρ καὶ γῆν, θάτερον δὲ αὐτοῖν μόνον, τὸ πῦρ, θεὸν ὑπειλήφατον Ἵππασός τε ὁ Μεταποντῖνος καὶ ὁ Ἐφέσιος Ἡράκλειτος· Ἐμπεδοκλῆς γὰρ ὁ Ἀκραγαντῖνος εἰς πλῆθος ἐμπεσὼν πρὸς τοῖς τέτταρσι στοιχείοις τούτοις νεῖκος καὶ φιλίαν καταριθμεῖται. ἄθεοι μὲν δὴ καὶ οὗτοι σοφίᾳ τινὶ ἀσόφῳ τὴν ὕλην προσκυνήσαντες καὶ λίθους μὲν ἢ ξύλα οὐ τιμήσαντες, γῆν δὲ τὴν τούτων μητέρα ἐκθειάσαντες καὶ Ποσειδῶνα μὲν οὐκ ἀναπλάττοντες, ὕδωρ δὲ αὐτὸ προστρεπόμενοι. τί γάρ ἐστι πρότερον Ποσειδῶν ἢ ὑγρά τις οὐσία ἐκ τῆς πόσεως ὀνο-

P. 56 Pott.

ματοποιουμένη; ὥσπερ ἀμέλει ὁ πολέμιος. Ἄρης ἀπὸ τῆς ἅρσεως καὶ ἀναιρέσεως κεκλημένος. ἢ καὶ δοκοῦσί μοι πολλοὶ μάλιστα τὸ ξίφος μόνον πήξαντες ἐπιθύειν ὡς Ἄρεϊ· ἔστι δὲ Σκυθῶν τὸ τοιοῦτον, καθάπερ Εὔδοξος ἐν δευτέρᾳ τῆς περιόδου λέγει. Σκυθῶν δὲ οἱ Σαυρομάται, ὡς φησιν Ἱκέσιος ἐν τῷ περὶ μυστηρίων, ἀκινάκην σέβουσιν. τοῦτό τοι καὶ οἱ ἀμφὶ τὸν Ἡράκλειτον τὸ πῦρ ὡς ἀρχέγονον σέβοντες πεπόνθασιν· τὸ γὰρ πῦρ τοῦτο ἕτεροι Ἥφαιστον ὠνόμασαν.

§. 65. Περσῶν δὲ οἱ μάγοι τὸ πῦρ τετιμήκασι καὶ τῶν τὴν Ἀσίαν κατοικούντων πολλοί, πρὸς δὲ καὶ Μακεδόνες, ὡς φησι Διογένης ἐν πρώτῳ Περσικῶν. τί μοι Σαυρομάτας καταλέγειν, οὓς Νυμφόδωρος ἐν νομίμοις βαρβαρικοῖς τὸ πῦρ σέβειν ἱστορεῖ, ἢ τοὺς Πέρσας καὶ τοὺς Μήδους καὶ τοὺς μάγους; θύειν ἐν ὑπαίθρῳ τούτους ὁ Δίνων λέγει, θεῶν ἀγάλματα μόνα τὸ πῦρ καὶ ὕδωρ νομίζοντας, οὐκ ἀπεκρυψάμην οὐδὲ τὴν τούτων ἄγνοιαν. εἰ γὰρ Ρ. καὶ τὰ μάλιστα ἀποφεύγειν οἴονται τῆς πλάνης, Ε ἀλλ' εἰς ἑτέραν κατολισθαίνουσιν ἀπάτην· ἀγάλματα μὲν θεῶν οὐ ξύλα καὶ λίθους ὑπειλήφασιν ὥσπερ Ἕλληνες, οὐδὲ μὴν ἴβιδας καὶ ἰχνεύμονας καθάπερ Αἰγύπτιοι, ἀλλὰ πῦρ τε καὶ ὕδωρ ὡς φιλόσοφοι. μετὰ πολλὰς μέντοι ὕστερον περιόδους ἐτῶν ἀνθρωποειδῆ ἀγάλματα σέβειν αὐτοὺς Βήρωσσος ἐν τρίτῃ Χαλδαϊκῶν παρίστησι, τοῦτο Ἀρταξέρξου τοῦ Δαρείου τοῦ Ὤχου εἰσηγησαμένου, ὃς πρῶτος τῆς Ἀφροδίτης Ταναΐδος τὸ ἄγαλμα ἀναστήσας ἐν Βαβυλῶνι καὶ Σούσοις καὶ Ἐκβατάνοις Πέρσαις καὶ Βάκτροις καὶ Δαμασκῷ καὶ Σάρδεσιν ὑπέδειξε σέβειν. ὁμολογούντων τοίνυν οἱ φιλόσοφοι τοὺς διδασκάλους τοὺς σφῶν Πέρσας ἢ Σαυρομάτας ἢ μάγους, παρ' ὧν τὴν ἀθεότητα τῶν σεβασμίων αὐτοῖς μεμαθήκασιν ἀρχῶν, ἄρχοντα τὸν πάντων ποιητὴν καὶ τῶν ἀρχῶν αὐτῶν δημιουργὸν ἀγνοοῦντες, τὸν ἄναρχον θεόν· τὰ

δὲ „πτωχὰ" ταῦτα καὶ „ἀσθενῆ", ἧ φησὶν ὁ ἀπόστολος*), τὰ εἰς τὴν ἀνθρώπων ὑπηρεσίαν πεποιημένα στοιχεῖα προστρεπόμενοι.

§. 66. Τῶν δὲ ἄλλων φιλοσόφων ὅσοι τὰ στοιχεῖα ὑπερβάντες ἐπολυπραγμόνησάν τι ὑψηλότερον καὶ περιττότερον, οἱ μὲν αὐτῶν τὸ ἄπειρον καθύμνησαν, ὧν Ἀναξίμανδρος ὁ Μιλήσιος ἦν καὶ Ἀναξαγόρας ὁ Κλαζομένιος καὶ ὁ Ἀθηναῖος Ἀρχέλαος· τούτω μέν γε ἄμφω τὸν νοῦν ἐπεστησάτην τῇ ἀπειρίᾳ· ὁ δὲ Μιλήσιος Λεύκιππος καὶ ὁ Χῖος Μητρόδωρος διττὰς, ὡς ἔοικεν, καὶ αὐτὼ ἀρχὰς ἀπελειπέτην τὸ πλῆρες καὶ τὸ κενόν. προσέθηκε δὲ λαβὼν τούτοιν τοῖν δυεῖν τὰ εἴδωλα ὁ Ἀβδηρίτης P. 58 Δημόκριτος· ὁ γάρτοι Κροτωνιάτης Ἀλκμαίων Pott. θεοὺς ᾤετο τοὺς ἀστέρας εἶναι ἐμψύχους ὄντας. οὐσιωπήσομαι οὐδὲ τὴν τούτων ἀναισχυντίαν· Ξενοκράτης Καρχηδόνιος οὗτος ἑπτὰ μὲν θεοὺς τοὺς πλανήτας, ὄγδοον δὲ τὸν ἐκ πάντων αὐτῶν συνεστῶ- P. 20 τα κόσμον αἰνίττεται. οὐδὲ μὴν τοὺς ἀπὸ τῆς Στοᾶς 5yb. παρελεύσομαι διὰ πάσης ὕλης καὶ διὰ τῆς ἀτιμοτάτης τὸ θεῖον διήκειν λέγοντας, οἳ καταισχύνουσιν ἀτεχνῶς τὴν φιλοσοφίαν. οὐδὲν δὲ οἶμαι χαλεπὸν ἐνταῦθα γενόμενος καὶ τῶν ἐκ τοῦ Περιπάτου μνησθῆναι· καὶ ὅ γε τῆς αἱρέσεως πατὴρ τῶν ὅλων οὐ νοήσας τὸν πατέρα τὸν καλούμενον ὕπατον ψυχὴν εἶναι τοῦ παντὸς οἴεται· τοντέστι τοῦ κόσμου τὴν ψυχὴν θεὸν ὑπολαμβάνων, αὐτὸς αὐτῷ περιπείρεται. ὁ γάρτοι μέχρι τῆς σελήνης αὐτῆς διορίζων τὴν πρόνοιαν, ἔπειτα τὸν κόσμον θεὸν ἡγούμενος περιτρέπεται, τὸν μοῖραν τοῦ θεοῦ θεὸν δογματίζων. ὁ δὲ Ἐρέσιος ἐκεῖνος Θεόφραστος ὁ Ἀριστοτέλους γνώριμος πῇ μὲν οὐρανὸν, πῇ δὲ πνεῦμα τὸν θεὸν ὑπονοεῖ. Ἐπικούρου μὲν γὰρ μόνου καὶ ἑκὼν ἐκλήσομαι, ὃς οὐδὲν μέλειν οἴεται τῷ θεῷ, διὰ πάντων ἀσεβῶν. τί γὰρ

*) Ep. ad. Galat. 4, 9.

Ἡρακλείδης ὁ Ποντικός; οὐκ ἔσθ' ὅπη οὐκ ἐπὶ τ Δημοκρίτου καὶ αὐτὸς κατασύρεται εἴδωλα.

Cap. VI.

§. 67. *Καὶ πολύς μοι ἐπιρρεῖ τοιοῦτος ὄχλος οἷονεὶ μορμώ τινα, δαιμονίων παρεισάγων ξένω ἄτοπον σκιαγραφίαν μυθολόγων ὕθλῳ γραϊκῷ· πολλο γε δεῖ ἀνδράσιν ἐπιτρέπειν ἀκροᾶσθαι τοιούτων λόγων οἳ μηδὲ τοὺς παῖδας τοὺς ἑαυτῶν, τοῦτο δὴ τὸ λε γόμενον, κλαυθμυριζομένους ἐθίζομεν παρηγορεῖσθα μυθίζοντες, ὀρρωδοῦντες συνανατρέφειν αὐτοῖς ἀθεό τητα τὴν πρὸς τῶν δοκησισόφων δὴ τούτων καταγ γελλομένην, μηδέν τι νηπίων μᾶλλον τἀληθὲς εἰδό των. τί γὰρ, ὦ πρὸς τῆς ἀληθείας, τοὺς σοὶ πεπι στευκότας δεικνύεις ῥᾴστα καὶ φθορᾷ δεναῖς τε κα ἀτάκτοις ὑποβεβλημένους; τί δαί μοι εἰδώλων ἀνα πίμπλης τὸν βίον, ἀνέμους τε ἢ ἀέρα ἢ γῆν ἢ λέ θους ἢ ξύλα ἢ αἴδηρον ἢ κόσμον τόνδε θεοὺς ἀνα πλάττουσα, θεοὺς δὲ καὶ τοὺς ἀστέρας τοὺς πλανή τας τοῖς ὄντως πεπλανημένοις τῶν ἀνθρώπων διὰ τῆς πολυθρυλήτου ταύτης ἀστρολογίας, οὐκ ἀστρο νομίας, μετεωρολογοῦσα καὶ ἀδολεσχοῦσα; τὸν κύ- P ριον τῶν πνευμάτων προθῶ, τὸν κύριον τοῦ πυρὸς, P τὸν κόσμου δημιουργὸν, τὸν ἡλίου φωταγωγόν· θεὸν ἐπιζητῶ, οὐ τὰ ἔργα τοῦ θεοῦ.*

§. 68. *Τίνα δὴ λάβω παρὰ σοῦ συνεργὸν τῆς ζητήσεως; οὐ γὰρ παντάπασιν ἀπεγνώκαμέν σε, εἰ βούλει, τὸν Πλάτωνα. πῇ δὴ οὖν ἐξιχνευτέον τὸν θεὸν, ὦ Πλάτων; τὸν γὰρ πατέρα καὶ ποιητὴν τοῦδε τοῦ παντὸς εὑρεῖν τε ἔργον καὶ εὑρόντα εἰς ἅπαντας ἐξειπεῖν ἀδύνατον. διὰ τί δῆτα; ὦ πρὸς αὐ τοῦ· ῥητέος γὰρ οὐδαμῶς ἐστίν. εὖ γε, ὦ Πλάτων, ἐπαφᾶσαι τῆς ἀληθείας· ἀλλὰ μὴ ἀποκάμῃς· ξύν μοι λαβοῦ τῆς ζητήσεως τἀγαθοῦ πέρι· πᾶσιν γὰρ ἁπαξ-*

απλῶς ἀνθρώποις, μάλιστα δὲ τοῖς περὶ λόγους ἐν-
διατρίβουσιν ἐνέστακταί τις ἀπόρροια θεϊκή. οὗ δὴ
χάριν καὶ ἄκοντες μὲν ὁμολογοῦσιν ἕνα τε εἶναι θε-
ὸν, ἀνώλεθρον καὶ ἀγέννητον τοῦτον, ἄνω ποὺ περὶ
τὰ νῶτα τοῦ οὐρανοῦ ἐν τῇ ἰδίᾳ καὶ οἰκείᾳ περιωπῇ
ὄντως ὄντα ἀεί·

Θεὸν δὲ ποῖον εἰπέ μοι νοητέον;
τὸν πάνθ' ὁρῶντα καὐτὸν οὐχ ὁρώμενον,

Εὐριπίδης λέγει. πεπλανῆσθαι γοῦν ὁ Μένανδρός μοι
δοκεῖ, ἔνθα φησίν·

ἥλιε, σὲ γὰρ δεῖ προσκυνεῖν πρῶτον θεῶν,
δι' ὃν θεωρεῖν ἔστι τοὺς ἄλλους θεούς·

οὐδὲ γὰρ ἥλιος ἐπιδείξειέ ποτ' ἂν τὸν θεὸν τὸν ἀλη-
θῆ, ὁ δὲ λόγος ὁ ὑγιὴς, ὃς ἐστιν ἥλιος ψυχῆς, δι'
οὗ μόνου ἔνδον ἀνατείλαντος ἐν τῷ βάθει τοῦ νοῦ
καὶ τοῦ νοὸς αὐτοῦ κατανγάζεται τὸ ὄμμα· ὅθεν οὐκ
ἀπεικότως ὁ Δημόκριτος τῶν λογίων ἀνθρώπων ὀλί-
γους φησὶν ἀνατείναντας τὰς χεῖρας ἐνταῦθα, ὃν
νῦν ἠέρα καλέομεν οἱ Ἕλληνες, πάντα Δία μυθεῖ-
σθαι· καὶ πάντα οὗτος οἶδε καὶ διδοῖ καὶ ἀφαιρέεται
καὶ βασιλεὺς οὗτος τῶν πάντων. ταύτῃ πῃ καὶ P. 60
Πλάτων διανοούμενος τὸν θεὸν αἰνίττεται· περὶ Pott.
τὸν πάντων βασιλέα πάντ' ἐστὶ, κἀκεῖνος αἴτιον ἁπάν-
των καλῶν.

§. 69. *Τίς οὖν ὁ βασιλεὺς τῶν πάντων; θεὸς*
τῆς τῶν ὄντων ἀληθείας τὸ μέτρον. ὥσπερ οὖν τῷ
μέτρῳ καταληπτὰ τὰ μετρούμενα, οὕτωσὶ δὲ καὶ τῷ
νοῆσαι τὸν θεὸν μετρεῖται καὶ καταλαμβάνεται ἡ ἀλή-
θεια; ὁ δὲ ἱερὸς ὄντως Μωϋσῆς, „οὐκ ἔσται", φησὶν,
„ἐν τῷ μαρσίππῳ σοὺ στάθμιον καὶ στάθμιον, μέ-
γα ἢ μικρὸν οὐδὲ ἔσται ἐν τῇ οἰκίᾳ σοὺ μέτρον καὶ
μέτρον, μέγα ἢ μικρὸν, ἀλλ' ἢ στάθμιον ἀληθινὸν
καὶ δίκαιον ἔσται σοὶ"), *στάθμιον καὶ μέτρον καὶ*

*) Deuteron. 25, 13—15.

ἀριθμὸν τῶν ὅλων ὑπολαμβάνων τὸν Θεόν· τὰ μὲ
γὰρ ἄδικα καὶ ἄνισα εἰδωλα οἵκοι ἐν τῷ μαρσίππι
καὶ ἐν τῇ ὡς ἔπος εἰπεῖν ῥυπώσῃ ψυχῇ κατακέκρι
πται· τὸ δὲ μόνον δίκαιον μέτρον, ὁ μόνος ὄντω
Θεὸς, ἴσος ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχων
μετρεῖται πάντα καὶ σταθμᾶται, οἱονεὶ τρυτάνῃ, τῇ δ
ναιοσύνῃ τὴν τῶν ὅλων ἀρρεπῶς περιλαμβάνων κ
ἀνέχων φύσιν. ὁ μὲν δὴ Θεὸς, ὥσπερ καὶ ὁ παλαιὸ
λόγος, ἀρχήν τε καὶ τελευτὴν καὶ μέσα τῶν ὄντω
ἁπάντων ἔχων εὐθεία περαίνει κατὰ φύσιν περιπο
ρευόμενος· τῷ δ' ἀεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομ
νων τοῦ θείου νόμου τιμωρός.

§. 70. Πόθεν, ὦ Πλάτων, ἀλήθειαν αἰνίττη
πόθεν ἡ τῶν λόγων ἄφθονος χορηγία τὴν Θεοσέβεια
μαντεύεται; σοφώτερα, φησὶν, τούτων βαρβάρω
τὰ γένη. οἶδά σου τοὺς διδασκάλους κἂν ἀποκρύ
πτειν ἐθέλῃς· γεωμετρίαν παρ' Αἰγυπτίων μανθάνει
ἀστρονομίαν παρὰ Βαβυλωνίων, ἐπῳδὰς τὰς ὑγιε
παρὰ Θρᾳκῶν λαμβάνεις, πολλά σε καὶ Ἀσσύρι
πεπαιδεύκασι, νόμους δὲ τοὺς ὅσοι ἀληθεῖς καὶ δε
ξαν τὴν τοῦ Θεοῦ παρ' αὐτῶν ὠφέλησαι τῶν Ἑβραίω

οἵτινες οὐκ ἀπάτησι κεναῖς, οὐδ' ἔργ' ἀνθρώπων
P. 21 χρύσεα καὶ χάλκεια καὶ ἀργύρου ἠδ' ἐλέφαντος
Sylb. καὶ ξυλίνων λιθίνων τε βροτῶν εἴδωλα θανόντων
τιμῶσιν, ὅσα πέρ τε βροτοὶ κενεόφρονι βουλῇ·
ἀλλὰ γὰρ ἐξαίρουσι πρὸς οὐρανὸν ὠλένας ἁγνὰς
ὄρθριοι ἐξ εὐνῆς, αἰεὶ χρόα ἁγνίζοντες
ὕδασι, καὶ τιμῶσι μόνον τὸν ἀεὶ μεδέοντα
ἄθάνατον.

§. 71. Καί μοι μὴ μόνον, ὦ φιλοσοφία, ἔ
τοῦτον Πλάτωνα, πολλοὺς δὲ καὶ ἄλλους παραστ
σαι σπούδασον, τὸν ἕνα ὄντως μόνον Θεὸν ἀναφθε
γομένους Θεὸν κατ' ἐπίπνοιαν αὐτοῦ, εἴ που τῆς ἀλ
θείας ἐπιδράξαιντο. Ἀντισθένης μὲν γὰρ οὐ Κυνι

δὴ τοῦτο ἐνενόησεν, Σωκράτους δὲ ἅτε γνώριμος θεὸν οὐδενὶ ἐοικέναι φησίν· διόπερ αὐτὸν οὐδεὶς ἐκμαθεῖν ἐξ εἰκόνος δύναται. Ξενοφῶν δὲ ὁ Ἀθηναῖος διαρρήδην ἂν καὶ αὐτὸς περὶ τῆς ἀληθείας ἀναγράφει τι μαρτυρῶν ὡς Σωκράτης, εἰ μὴ τὸ Σωκράτους ἐδεδίει φάρμακον· οὐδὲν δὲ ἧττον αἰνίττεται. ὁ γοῦν τὰ πάντα, φησὶ, σείων καὶ ἀτρεμίζων ὡς μὲν μέγας τις καὶ δυνατὸς φανερός· ὁποῖος δέ τις μορφὴν, ἀφανὴς, οὐδὲ μὴν ὁ παμφανὴς δοκῶν εἶναι ἥλιος οὐδ' αὐτὸς ἔοικεν ὁρᾶν αὐτὸν ἐπιτρέπειν, ἀλλ' ἤν τις ἀναιδῶς αὐτὸν θεάσηται, τὴν ὄψιν ἀφαιρεῖται. πόθεν ἄρα ὁ τοῦ Γρύλλου σοφίζεται ἢ δηλαδὴ παρὰ τῆς προφήτιδος τῆς Ἑβραίων Θεσπιζούσης ὧδέ πως;

Τίς γὰρ σὰρξ δύναται τὸν ἐπουράνιον καὶ ἀληθῆ
ὀφθαλμοῖσιν ἰδεῖν θεὸν ἄμβροτον, ὃς πόλον οἰκεῖ;
ἀλλ' οὐδ' ἀκτίνων κατεναντίον ἠελίοιο
ἄνθρωποι στῆναι δυνατοὶ, θνητοὶ γεγαῶτες.

§. 72. Κλεάνθης δὲ ὁ Ἱσαδεὺς, ὁ ἀπὸ τῆς Στοᾶς φιλόσοφος, ὃς οὐ θεογονίαν ποιητικὴν, θεολογίαν δὲ ἀληθινὴν ἐνδείκνυται, οὐκ ἀπεκρύψατο τοῦ θεοῦ πέρι ὅτι περ εἶχεν φρονῶν·

τἀγαθὸν ἐρωτᾷς μ' οἷόν ἐστ'· ἄκουε δή.
τεταγμένον, δίκαιον, ὅσιον, εὐσεβές,
κρατοῦν ἑαυτοῦ, χρήσιμον, καλὸν, δέον,
αὐστηρὸν, αὐθέκαστον, αἰεὶ συμφέρον, P. 62
ἄφοβον, ἄλυπον, λυσιτελὲς, ἀνώδυνον, Pott.
ὠφέλιμον, εὐάρεστον, ἀσφαλὲς, φίλον,
ἔντιμον, ὁμολογούμενον, *** ***
εὐκλεὲς, ἄτυφον, ἐπιμελὲς, πρᾶον, σφοδρὸν,
χρονιζόμενον, ἄμεμπτον, αἰεὶ διαμένον.
ἀνελεύθερος πᾶς ὅστις εἰς δόξαν βλέπει,
ὡς δὴ παρ' ἐκείνης τευξόμενος καλοῦ τινός.

Ἐνταῦθα δὴ σαφῶς, οἶμαι, διδάσκει ὁποῖός ἐστιν ὁ θεός· καὶ ὡς ἡ δόξα ἡ κοινὴ καὶ ἡ συνήθεια τοὺς ἑπομένους αὐταῖν, ἀλλὰ μὴ τὸν θεὸν ἐπιζητοῦντας,

ἐξανδραποδιζέσθην. οὐκ ἀποκρυπτέον οὐδὲ τοὺς ἀμφὶ τὸν Πυθαγόραν, οἳ φασιν, ὁ μὲν θεὸς εἷς, χοὗτος δὲ οὐχ ὥς τινες ὑπονοοῦσιν, ἐκτὸς τῆς διακοσμήσιος, ἀλλ' ἐν αὐτῇ, ὅλος ἐν ὅλῳ τῷ κύκλῳ ἐπίσκοπος πάσας γενέσιος, κρᾶσις τῶν ὅλων, ἀεὶ ὢν καὶ ἐργάτας τῶν αὐτοῦ δυνάμιων καὶ ἔργων ἁπάντων, ἐν οὐρανῷ φωστὴρ καὶ πάντων πατὴρ, νοῦς καὶ ψύχωσις τῷ ὅλῳ κύκλῳ, πάντων κίνασις. ἀπόχρη καὶ τάδε εἰς ἐπίγνωσιν θεοῦ ἐπιπνοία θεοῦ πρὸς αὐτῶν μὲν ἀναγεγραμμένα, πρὸς δὲ ἡμῶν ἐξειλεγμένα τῷ γε καὶ σμικρὸν διαθρεῖν ἀλήθειαν δυναμένῳ.

Cap. VII.

§. 73. Ἴτω δὲ ἡμῖν — οὐ γὰρ αὐτάρκεῖ μόνον ἡ φιλοσοφία — ἀλλὰ καὶ αὐτὴ ποιητικὴ ἡ περὶ τὸ ψεῦδος τὰ πάντα ἠσχολημένη· μόλις ποτὲ ἤδη ἀλήθειαν μαρτυρήσουσα, μᾶλλον δὲ ἐξομολογουμένη τῷ θεῷ τὴν μυθῴδη παρέκβασιν· παρίτω δὴ ὅστις καὶ βούλεται ποιητὴς πρῶτος. Ἄρατος μὲν οὖν διὰ πάντων τὴν δύναμιν τοῦ θεοῦ διήκειν νοεῖ,

Ζεῦ· ἔμπεδα πάντα φύωνται,
τῷ μιν ἀεὶ πρῶτόν τε καὶ ὕστατον ἱλάσκονται·
χαῖρε, πάτερ, μέγα θαῦμα, μέγ' ἀνθρώποισιν ὄνειαρ *).

ταύτῃ τοὶ καὶ ὁ Ἀσκραῖος αἰνίττεται Ἡσίοδος τὸν Ρ. θεόν· Ρ

αὐτὸς γὰρ πάντων βασιλεὺς καὶ κοίρανός ἐστιν,
ἀθανάτων τέ οἱ οὔτις ἐρήρισται κράτος ἄλλος **).

§. 74. Ἤδη δὲ καὶ ἐπὶ τῆς σκηνῆς παραγυμνοῦσι τὴν ἀλήθειαν· ὁ μὲν καὶ εἰς τὸν αἰθέρα καὶ εἰς

*) Arati Phaenom. v. 13—15. **) Hesiod. Fragm. CIII. p. 90. ed. L. Dind.

τὸν οὐρανὸν ἀναβλέψας τόνδε ἡγοῦ Θεόν, φησὶν Εὐριπίδης. ὁ δὲ τοῦ Σοφίλλου Σοφοκλῆς,

εἷς ταῖς ἀληθείαισιν, εἷς ἐστὶν Θεὸς,
ὃς οὐρανόν τ' ἔτευξε καὶ γαῖαν μακρὰν
πόντου τε χαροπὸν οἶδμα κἀνέμων βίας·
θνητοὶ δὲ πολλοὶ καρδίᾳ πλανώμενοι
ἱδρυσάμεσθα πημάτων παραψυχὴν,
θεῶν ἀγάλματ' ἐκ λίθων ἢ χαλκέων,
ἢ χρυσοτεύκτων ἢ 'λεφαντίνων τύπους·
θυσίας τε τούτοις καὶ κενὰς πανηγύρεις
νέμοντες, οὕτως εὐσεβεῖν νομίζομεν.

οὗτοσὶ μὲν ἤδη καὶ παρακεκινδυνευμένως ἐπὶ τῆς σκηνῆς τὴν ἀλήθειαν τοῖς θεαταῖς παρεισήγαγεν· ὁ δὲ Θρᾴκιος ἱεροφάντης καὶ ποιητὴς ἅμα, ὁ τοῦ Οἰάγρου Ὀρφεὺς, μετὰ τὴν τῶν ὀργίων ἱεροφαντίαν καὶ τῶν εἰδώλων τὴν θεολογίαν, παλινῳδίαν ἀληθείας εἰσάγει, τὸν ἱερὸν ὄντως ὀψέ ποτε, ὅμως δ' οὖν ᾄδων λόγον·

φθέγξομαι οἷς θέμις ἐστί· θύρας δ' ἐπίθεσθε βεβήλοις
πάντες ὁμῶς· σὺ δ' ἄκουε, φαεσφόρου ἔκγονα μήνης,
Μουσαῖ', ἐξερέω γὰρ ἀληθέα, μηδέ σε τὰ πρὶν
ἐν στήθεσσι φανέντα φίλης αἰῶνος ἀμέρσῃ.
εἷς δὲ λόγον θεῖον βλέψας τούτῳ προσέδρευε,
ἰθύνων κραδίης νοερὸν κύτος, εὖ δ' ἐπίβαινε
ἀτραπιτοῦ, μοῦνον δ' ἐσόρα κόσμοιο ἄνακτα
ἀθάνατον.

εἶτα ὑποβὰς διαρρήδην ἐπιφέρει·

εἷς ἔστ', αὐτοτελὴς, ἑνὸς ἔκγονα πάντα τέτυκται· P. 64
ἐν δ' αὐτοῖς αὐτὸς περινίσσεται· οὐ δέ τις Pott.
αὐτὸν
εἰσοράᾳ θνητῶν· αὐτὸς δέ γε πάντας ὁρᾶται.

οὕτως μὲν δὴ Ὀρφεὺς χρόνῳ τέ ποτε συνῆκεν πεπλανημένος.

ἀλλὰ σὺ μὴ μέλλων, βροτὲ ποικιλόμητι, βράδυνε·
ἀλλὰ παλίμπλαγκτος στρέψας, θεὸν ἱλάσκοιο.

εἰ γὰρ καὶ τὰ μάλιστα ἐναίσιμά τινα τοῦ λόγου τοῦ θείου λαβόντες Ἕλληνες, ὀλίγα ἄττα τῆς ἀληθείας ἐφθέγξαντο, προσμαρτυροῦσι μὲν τὴν δύναμιν αὐτῆς οὐκ ἀποκεκρυμμένην· σφᾶς δὲ αὐτοὺς ἐλέγχουσιν, ἀσθενεῖς, οὐκ ἐφικόμενοι τοῦ τέλους.

§. 75. Ἤδη γὰρ οἶμαι παντί τῳ δῆλον γεγονέναι, ὡς τῶν χωρὶς τοῦ λόγου τῆς ἀληθείας ἐνεγούντων τι ἢ καὶ φθεγγομένων, ὁμοίων ὄντων τοῖς χωρὶς βάσεως βαδίζειν βιαζομένοις· δυσωπούντων σε εἰς σωτηρίαν καὶ οἱ περὶ τοὺς θεοὺς ὑμῶν ἐλέγχοι, οὓς διὰ τὴν ἀλήθειαν ἐκβιαζόμενοι κωμῳδοῦποιηταί. Μένανδρος γοῦν ὁ κωμικὸς ἐν Ἡνιόχῳ, ὑποβολιμαίῳ τῷ δράματι·

οὐδείς μ' ἀρέσκει, φησὶ, περιπατῶν ἔξω θεὸς
μετὰ γραὸς, οὐδ' εἰς οἰκίας παρεισιὼν
ἐπὶ τοῦ σανιδίου μητραγύρτης.

τοιοῦτοι γὰρ οἱ μητραγύρται. ὅθεν εἰκότως ὁ Ἀτισθένης ἔλεγεν αὐτοῖς μεταιτοῦσιν, οὐ τρέφω τὴμητέρα τῶν θεῶν, ἣν οἱ θεοὶ τρέφουσιν. πάλιν ὁ αὐτὸς κωμῳδοποιὸς ἐν Ἱερείᾳ τῷ δράματι χαλεπήνων πρὸς τὴν συνήθειαν, διελέγχειν πειρᾶται τὸἄθεον τῆς πλάνης τῦφον, ἐπιφθεγγόμενος ἐμφρόνως·

εἰ γὰρ ἔλκει τὸν θεὸν
τοῖς κυμβάλοις ἄνθρωπος, εἰς ὃ βούλεται,
ὃ τοῦτο ποιῶν ἐστὶ μείζων τοῦ θεοῦ·
ἀλλ' ἔστι τόλμης καὶ βίου ταῦτ' ὄργανα
εὑρημέν', ἀνθρώποισιν.

§. 76. Καὶ οὐχὶ μόνος ὁ Μένανδρος, ἀλλὰ καὶ Ὅμηρος καὶ Εὐριπίδης καὶ ἄλλοι συχνοὶ ποιηταὶ ἐλέγχουσιν ὑμῶν τοὺς θεοὺς καὶ λοιδορεῖσθαι οὐ δεδίασιν οὐδὲ καθ' ὁπόσον αὐτοῖς. αὐτίκα τὴν Ἀθηνᾶν νόμιναν· καὶ τὸν Ἥφαιστον ἀμφιγύηνκαλοῦσιν, τὴν Ἀφροδίτην ἡ Ἑλένη φησὶ,

μηκέτι σοῖσι πόδεσσιν ὑποστρέψειας Ὄλυμπον *).
ἐπὶ δὲ τοῦ Διονύσου ἀναφανδὸν Ὅμηρος γράφει·
ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
σεῦε κατ' ἠγάθεον Νυσήιον· αἱ δ' ἅμα πᾶσαι
θύσθλα χαμαὶ κατέχευαν, ὑπ' ἀνδροφόνοιο Λυκούργου **).
ἄξιος ὡς ἀληθῶς Σωκρατικῆς διατριβῆς ὁ Εὐριπίδης εἰς τὴν ἀλήθειαν ἀπιδὼν καὶ τοὺς θεατὰς ὑπεριδών· ποτὲ μὲν τὸν Ἀπόλλωνα,

ὃς μεσομφάλους ἕδρας
ναίει βροτοῖσι στόμα νέμων σαφέστατα,
διελέγχων·
κείνῳ πιθόμενος, τὴν τεκοῦσαν ἔκτανον,
ἐκεῖνον ἡγεῖσθ' ἀνόσιον καὶ κτείνετε·
ἐκεῖνος ἥμαρτ', οὐκ ἐγώ,
ἀμαθέστερός γ' ὢν τοῦ καλοῦ καὶ τῆς δίκης.

τοτὲ δ' ἐμμανῆ εἰσάγων Ἡρακλέα καὶ μεθύοντα, ἀλλαχόθι καὶ ἄπληστον· πῶς γὰρ οὐχί; ὃς ἑστιώμενος τοῖς κρέασι

χλωρὰ σὺν' ἐπήσθιεν
ἄμους' ὑλακτῶν ὥστε βαρβάρῳ μαθεῖν.
ἤδη δὲ ἐν Ἴωνι τῷ δράματι γυμνῇ τῇ κεφαλῇ ἐκκυκλεῖ τῷ θεάτρῳ τοὺς θεούς·
πῶς οὖν δίκαιον τοὺς νόμους ὑμᾶς βροτοῖς
γράψαντας αὐτοὺς ἀδικίας ὀφλισκάνειν;
εἰ δ', οὐ γὰρ ἔσται, τῷ λόγῳ δὲ χρήσομαι,
δίκας βιαίων δώσετ' ἀνθρώποις γάμων,
σὺ καὶ Ποσειδῶν Ζεύς θ', ὃς οὐρανοῦ κρατεῖ,
ναοὺς τίνοντες ἀδικίας κενώσετε.

Cap. VIII.

§. 77. Ὥρα τοίνυν τῶν ἄλλων ἡμῖν τῇ τάξει προδιηνυσμένων ἐπὶ τὰς προφητικὰς ἰέναι γραφάς·

*) Il. γ. 405. **) Il. ζ. 132 sqq.

καὶ γὰρ οἱ χρησμοὶ τὰς εἰς τὴν θεοσέβειαν ἡμῖν
ἀφορμὰς ἐναργέστατα προτείνοντες θεμελιοῦσι τὴν
ἀλήθειαν, γραφαὶ δὲ αἱ θεῖαι καὶ πολιτεῖαι σώφρ
νες σύντομοι σωτηρίας ὁδοί· γυμναὶ κομμωτικῆς κ
τῆς ἐκτὸς καλλιφωνίας καὶ στωμυλίας καὶ κολακεί
ὑπάρχουσαι ἀνιστῶσιν ἀγχόμενον ὑπὸ κακίας τὸν ἄ
θρωπον, ὑπεριδοῦσαι τὸν ὄλισθον τὸν βιωτικὸν, μ
καὶ τῇ αὐτῇ φωνῇ πολλὰ θεραπεύουσαι, ἀποτρέπο
σαι μὲν ἡμᾶς τῆς ἐπιζημίου ἀπάτης, προτρέπουσ
δὲ ἐμφανῶς εἰς προὔπτον σωτηρίαν. αὐτίκα γ
ἡ προφῆτις ἡμῖν ᾄσάτω πρώτη Σίβυλλα τὸ ᾆσμα
σωτήριον·

P. 23 οὗτος ἰδοὺ πάντεσσι σαφὴς, ἁπλάνητος ὑπάρχ
Sylb. ἔλθετε, μὴ σκοτίην δὲ διώκετε καὶ ζόφον αἰεί,
ἠελίου γλυκυδερκὲς, ἰδοὺ, φάος ἔξοχα λάμπει.
γνῶτε δὲ κατθέμενοι σοφίην ἐν στήθεσιν ὑμῶν.
εἷς θεός ἐστι, βροχὰς, ἀνέμους, σεισμούς τ' ἐ
πέμπων,
ἀστερόπας, λιμοὺς, λοιμοὺς καὶ κήδεα λυγρὰ
καὶ νιφετοὺς, κρύσταλλά τε· τἰ καθ' ἓν ἐξαγορεύ
οὐρανοῦ ἡγεῖται, γαίης κρατεῖ, αὐτὸς ὑπάρχει.
ἐνθέως σφρόδρα τὴν μὲν ἀπάτην ἀπεικάζουσα
σκότει, τὴν δὲ γνῶσιν ἡλίῳ καὶ φωτὶ τοῦ θεοῦ·
φῳ δὲ παραθεμένη τῇ συγκρίσει τὴν ἐκλογὴν δι
σκει, τὸ γὰρ ψεῦδος οὐ ψιλῇ τῇ παραθέσει τάληθ
διασκεδάννυται, τῇ δὲ χρήσει τῆς ἀληθείας ἐκβι
μενον φυγαδεύεται.

§. 78. Ἱερεμίας δὲ ὁ προφήτης ὁ πάνσο
μᾶλλον δὲ ἐν Ἱερεμίᾳ τὸ ἅγιον πνεῦμα ἐπιδείκ
τὸν θεόν. „Θεὸς ἐγγίζων ἐγώ εἰμι", φησὶ, „καὶ
Θεὸς πόρρωθεν. εἰ ποιήσει τι ἄνθρωπος ἐν κρυφα
καὶ ἐγὼ οὐκ ὄψομαι αὐτόν; ἢ οὐχὶ τοὺς οὐρα
καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει κύριος"*). πάλι
αὖ διὰ Ἡσαΐου, „τίς μετρήσει", φησὶ, „τὸν οὐρ

*) Ierem. 23, 23. 24.

σπιθαμῇ καὶ πᾶσαν τὴν γῆν δρακί" *); ὅρα τὸ μέγεθος τοῦ θεοῦ καὶ καταπλάγηθι. τοῦτον προσκυνήσωμεν, ἐφ᾽ οὗ φησὶν ὁ προφήτης, „ἀπὸ προσώπου σου ὄρη τακήσονται, ὡς ἀπὸ προσώπου πυρὸς τήκεται κηρός" **). „οὗτος, φησὶν, ἐστὶν ὁ θεὸς, οὗ θρόνος μέν ἐστιν ὁ οὐρανὸς, ὑποπόδιον δὲ ἡ γῆ, ὃς ἐὰν ἀνοίξῃ τὸν οὐρανὸν, τρόμος σὲ λήψεται" ***). βούλει καὶ περὶ τῶν εἰδώλων ἀκοῦσαι τί φησὶν προφήτης οὗτος; „παραδειγματισθήσονται ἔμπροσθεν τοῦ P. 67 ἡλίου καὶ ἔσται τὰ ὑπομνήματα αὐτῶν βρώματα τοῖς Pott. πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ σαπήσεται ὑπὸ τοῦ ἡλίου καὶ τῆς σελήνης, ἃ αὐτοὶ ἠγάπησαν καὶ οἷς αὐτοὶ ἐδούλευσαν καὶ ἐμπρησθήσεται ἡ πόλις αὐτῶν" †). φθαρήσεσθαι δὲ καὶ τὰ στοιχεῖα καὶ τὸν κόσμον σὺν καὶ αὐτοῖς λέγει· „ἡ γῆ", φησὶ, „παλαιωθήσεται καὶ ὁ οὐρανὸς παρελεύσεται, τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα" ††).

§. 79. Τί δαὶ ὅταν πάλιν ἑαυτὸν δεικνύναι ὁ θεὸς βουληθῇ διὰ Μωϋσέως· „ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι καὶ οὐκ ἔστι θεὸς ἕτερος πλὴν ἐμοῦ. ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω· πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου" †††). ἀλλὰ καὶ ἑτέρου ἐπακοῦσαι θέλεις χρησμῳδοῦ; ἔχεις τὸν χορὸν πάντα τὸν προφητικὸν, τοὺς συνθιασώτας τοῦ Μωϋσέως. τί φησὶν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον διὰ Ὡσηέ, οὐκ ὀκνήσω λέγειν· „ἰδοὺ ἐγὼ στερεῶν βροντὴν καὶ κτίζων πνεῦμα, οὗ αἱ χεῖρες καὶ τὴν στρατιὰν τοῦ οὐρανοῦ ἐθεμελίωσαν" ††††). ἔτι δὲ καὶ διὰ Ἡσαΐου καὶ ταύτην ἀπομνημονεύσω σοὶ τὴν φωνήν· „ἐγώ εἰμι [, ἐγώ εἰμι]", φησὶν, „ὁ] κύριος ὁ λαλῶν δικαιοσύνην καὶ ἀναγγέλλων ἀλήθειαν· συνάχθητε καὶ ἥκετε· βουλεύσασθε ἅμα, οἱ σωζόμενοι ἀπὸ τῶν ἐθνῶν. οὐκ ἔγνωσαν οἱ

*) Ies. 40, 12. **) Ibid. 64, 1. 2. ***) Ibid. 66, 1. cl. 64, 1. †) Ierem. 8, 2. 34, 20. 4, 26. ††) Ies. 40, 8. 51, 6. †††) Deuteron. 32, 39. ††††) Amos 4, 13. cl. Psalm, 8, 3.

αἴροντες τὸ ξύλον, γλύμμα αὐτῶν· καὶ προσευχόμ
νοι θεοῖς, οἳ οὐ σώσουσιν αὐτούς" *). εἶθ' ὑποβὰ
„ἐγώ", φησὶν, „ὁ θεὸς, καὶ οὐκ ἔστι πλὴν ἐμοῦ δ
καιος· καὶ σωτὴρ· οὐκ ἔστι παρὲξ ἐμοῦ· ἐπιστράφη
πρός με καὶ σωθήσεσθε οἱ ἀπ' ἐσχάτου τῆς γῆς. ἐγ
εἰμι ὁ θεὸς καὶ οὐκ ἔστιν ἄλλος· κατ' ἐμοῦ ὀμνύω" **
τοῖς δὲ εἰδωλολάτραις δυσχεραίνει λέγων, „τίνι ὡμοι
σατε κύριον; ἢ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτό
μὴ εἰκόνα ἐποίησεν τέκτων; ἢ χρυσοχόος χωνεύσ
χρυσίον, περιεχρύσωσεν αὐτόν"***); καὶ τὰ ἐπὶ το
τοις. μὴ οὖν ἔτι ὑμεῖς εἰδωλολάτραι· ἀλλὰ κἂν ν
φυλάξασθε τὰς ἀπειλάς· „ὀλολύξει γὰρ τὰ γλυπ
καὶ τὰ χειροποίητα" †), μᾶλλον δὲ οἱ ἐπ' αὐτοῖς π
ποιηθότες, ἀναίσθητος γὰρ ἡ ὕλη. ἔτι, φησὶν,
κύριος σείσει πόλεις κατοικουμένας καὶ τὴν οἰκο
μένην ὅλην καταλήψεται τῇ χειρὶ, ὡς νοσσιάν" ††

§. 80. *Τί σοι σοφίας ἀναγγέλλω μυστήρια*
ῥήσεις ἐκ παιδὸς Ἑβραίου σεσοφισμένου; „κύρ
ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ" †††),
„κύριος δίδωσι σοφίαν καὶ ἀπὸ προσώπου αὐτοῦ γν
σις καὶ σύνεσις" *). „ἕως πότε, ὀκνηρὲ, κατάκεισ
πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; ἐὰν δὲ ἄοκνος ᾖς, ἰ
σοὶ ὥσπερ πηγὴ ὁ ἄμεμπτός σου, ὁ λόγος ὁ πατρικος,
ὁ ἀγαθὸς λύχνος, ὁ κύριος ἐπάγων τὸ φῶς, τὴν πίστ
πᾶσι καὶ σωτηρίαν" **). „κύριος" γὰρ „ὁ ποιήσας
γῆν ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὡς φησιν Ἱερεμίας, ἀνώρ
σεν τὴν οἰκουμένην ἐν τῇ σοφίᾳ αὐτοῦ" ***). προ
σόντας γὰρ ἡμᾶς ἐπὶ τὰ εἴδωλα ἡ σοφία, ἥ ἐστ
λόγος αὐτοῦ, ἀνορθοῖ ἐπὶ τὴν ἀλήθειαν. καὶ α
πρώτη τοῦ παραπτώματος ἀνάστασις· ὅθεν ἀπο
πων εἰδωλολατρείας ἁπάσης ὁ θεσπέσιος παγκό
ἀνακέκραγε Μωϋσῆς· „ἄκουε Ἰσραήλ· κύριος ὁ

*) Ies. 45, 19. 20. **) Ibid. 21, 22. 23. ***)
40, 18. 19. †) Ibid. 10, 10. ††) Ibid. v. 14. †††)
verb. 8, 22. *) Ibid. 2, 6. **) Ibid. 6, 9. 10. 20. 2
***) Ierem. 10, 12.

σου, κύριος εἷς ἐστίν" *)· καὶ „κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις" **), νῦν δὴ οὖν σεύετε, ὦ ἄνθρωποι, κατὰ τὸν μακάριον ψαλμῳδὸν ἐκεῖνον τὸν Δαβίδ· „δράξασθε παιδείας, μή ποτε ὀργισθῇ κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας, ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ. μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ" ***).

§. 81. Ἤδη δὲ ὑπεροικτείρων ἡμᾶς ὁ κύριος τὸ σωτήριον ἐνδίδωσι μέλος, οἷον ἐμβατήριον ὀρ-
P. 24 θμόν· „υἱοὶ ἀνθρώπων, ἕως πότε βαρυκάρδιοι; ἵνα
Sylb. τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος †); τίς οὖν ἡ ματαιότης καὶ τί τὸ ψεῦδος; ὁ ἅγιος ἀπόστολος τοῦ κυρίου τοὺς Ἕλληνας αἰτιώμενος ἐξηγήσεταί σοι, „ὅτι γνόντες τὸν Θεὸν οὐχ ὡς Θεὸν ἐδόξασαν ἢ ηὐχαρίστησαν, ἀλλ' ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἤλλαξαν τὴν δόξαν τοῦ Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα" ††). καὶ μὴν ὅ γε θεὸς οὗτος, ὃς „ἐν ἀρχῇ ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν"· σὺ δὲ τὸν μὲν Θεὸν οὐ νοεῖς, τὸν δὲ οὐρανὸν προσκυνεῖς καὶ πῶς οὐκ ἀσεβεῖς; ἄκουε πάλιν προφήτου λέγοντος· „ἐκλείψει μὲν ὁ ἥλιος καὶ ὁ οὐρανὸς σκοτισθήσεται, λάμψει δὲ ὁ παντοκράτωρ εἰς τὸν αἰῶνα καὶ αἱ δυνάμεις τῶν οὐρανῶν σαλευθήσονται καὶ οἱ οὐρανοὶ εἰλιγήσονται, ὡς δέρρις, ἐκτεινόμενοι καὶ συστελλόμενοι" — αὗται γὰρ αἱ προφητικαὶ φωναί — „καὶ ἡ γῆ φεύξεται ἀπὸ προσώπου κυρίου" †††).

---

*) Deuterm. 6, 4. **) Ibid. 6, 13. 10, 20. ***) Psalm. 2, 12. †) Psalm. 4, 2. ††) Ep. ad Rom. 1, 21. 23. 25. †††) *His similia leguntur Psalm.* 102, 26. Ies. 13, 10. *Ezech.* 33, 7. *Ioel.* 2, 10. 31. 3, 15. *Ipsa verba, quae habet Clemens, nondum inueni.* Pott.

Cap. IX.

§. 82. Καὶ μυρίας ἂν ἔχοιμί σοι γραφὰς παραφέρειν, ὧν οὐδὲ κεραία παρελεύσεται μία" *), οὐχὶ ἐπιτελὴς γενομένη· τὸ γὰρ στόμα κυρίου, ἅγιον πνεῦμα, ἐλάλησεν ταῦτα. „μὴ τοίνυν μηκέτι φησὶν, „υἱέμου, ὀλιγώρει παιδείας κυρίου, μηδ' ἐκλου ὑπ' αὐτοῦ ἐλεγχόμενος" **). ὦ τῆς ὑπερβαλλούσης φιλανθρωπίας· οὐδ' ὡς μαθηταῖς ὁ διδάσκαλος οὐδ' ὡς οἰκέταις ὁ κύριος οὐδ' ὡς θεὸς ἀνθρώποις, „πατὴρ δὲ ὡς ἥπιος" νουθετεῖ υἱούς· εἶτα Μωϋσῆς μὲν ὁμολογεῖ „ἔμφοβος εἶναι καὶ ἔντρομος" ***), ἀκούων περὶ τοῦ λόγου, σὺ δὲ τοῦ λόγου ἀκροώμενος τοῦ θείου οὐ δέδιας; οὐκ ἀγωνιᾷς; οὐχὶ ἅμα τε εὐλαβὴς καὶ σπεύδεις ἐκμαθεῖν, τουτέστιν σπεύδεις εἰς σωτηρίαν, φοβούμενος τὴν ὀργὴν, ἀγαπήσας τὴν χάριν ζηλώσας τὴν ἐλπίδα, ἵνα ἐκκλίνῃς τὴν κρίσιν; ἥκετε, ἥκετε, ὦ νεολαία ἡ ἐμή· „ἦν γὰρ μὴ αὖθις ὡς τὰ παιδία γένησθε καὶ ἀναγεννηθῆτε" †), ὡς φησὶ ἡ γραφὴ, τὸν ὄντως ὄντα πατέρα οὐ μὴ ἀπολάβητε „οὐδ' οὐ μὴ εἰσελεύσησθέ ποτε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν". πῶς γὰρ εἰσελθεῖν ἐπιτέτραπταί τινι ξένῳ; ἀλλ' ὅταν, οἶμαι, ἐγγραφῇ καὶ πολιτευθῇ καὶ τὸν πατέρα ἀπολάβῃ, τότε ἐν τοῖς τοῦ πατρὸς γενήσεται, τότε κληρονομήσει καταξιωθήσεται, τότε τῆς βασιλείας τῆς πατρῴας κοινωνήσει τῷ γνησίῳ, „τῷ ἠγαπημένῳ" ††). αὕτη γὰρ „ἡ πρωτότοκος ἐκκλησία" †††, ἡ ἐκ πολλῶν ἀγαθῶν συγκειμένη „παιδίων" ταῦτ' ἔστι „τὰ πρωτότοκα τὰ ἐναπογεγραμμένα ἐν οὐρανοῖς καὶ τοσαύταις μυριάσιν ἀγγέλων συμπανηγυρίζοντα·" πρωτότοκοι δὲ παῖδες ἡμεῖς οἱ τρόφιμοι τοῦ θεοῦ, οἱ τοῦ πρωτοτόκου γνήσιοι φίλοι, οἱ πρῶτοι τῶν ἄλλων ἀν-

*) Evang. Matth. 5, 18. Luc. 16, 17. **) Proverb. 3, 13. Ep. ad Hebr. 12, 5. ***) Ep. ad Hebr. 12, 21. †) Matth. 18, 3. Luc. 18, 17. Ioann. 3, 5. ††) Matth. 3, 17. †††) Hebr. 12, 22. 23.

θρώπων τὸν θεὸν νενοηκότες, οἱ πρῶτοι τῶν ἁμαρτιῶν ἀπεσπασμένοι, οἱ πρῶτοι τοῦ διαβόλου κεχωρισμένοι.

§. 83. Νυνὶ δὲ τοσούτῳ τινὲς εἰσιν ἀθεώτεροι, ὅσῳ φιλανθρωπότερος ὁ θεός· ὁ μὲν γὰρ ἐκ δούλων υἱοὺς ἡμᾶς γενέσθαι βούλεται, οἱ δὲ καὶ υἱοὶ γενέσθαι ὑπερηφανήκασιν. ὦ τῆς ἀπονοίας τῆς πολλῆς· τὸν κύριον ἀπαισχύνεσθε; ἐλευθερίαν ἐπαγγέλλεται, ὑμεῖς δὲ εἰς δουλείαν ἀποδιδράσκετε; σωτηρίαν χαρίζεται, ὑμεῖς δὲ εἰς ἄνθρωπον ὑποφέρεσθε; ζωὴν δωρεῖται αἰώνιον, ὑμεῖς δὲ „τὴν κόλασιν" ἀναμένετε καὶ „τὸ πῦρ δὲ προσκοπεῖτε, ὃ ἡτοίμασεν ὁ κύριος τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ"*); διὰ τοῦτο ὁ μακάριος ἀπόστολος, „μαρτύρομαι ἐν κυρίῳ", φησὶν, „μηκέτι ὑμᾶς περιπατεῖν, καθὼς καὶ τὰ ἔθνη περιπατεῖ ἐν ματαιότητι τοῦ νοὸς αὐτῶν, ἐσκοτισμένοι τῇ διανοίᾳ ὄντες καὶ ἀπηλλοτριωμένοι τῆς ζωῆς τοῦ θεοῦ διὰ τὴν ἄγνοιαν τὴν οὖσαν ἐν αὐτοῖς, διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν· οἵτινες ἑαυτοὺς παρέδωκαν ἀπηλγηκότες τῇ ἀσελγείᾳ εἰς ἐργασίαν ἀκαθαρσίας πάσης καὶ πλεονεξίας" **). P. 70 Pott.

§. 84. Τοιούτου μάρτυρος ἐλέγχοντος τὴν τῶν ἀνθρώπων ἄνοιαν, τὸν θεὸν ἐπιβοωμένου, τί δὴ ἕτερον ὑπολείπεται τοῖς ἀπίστοις, ἢ κρίσις καὶ καταδίκη; οὐκ ἀμέλει δὲ ὁ κύριος παραινῶν, ἐκφοβῶν, προτρέπων, διεγείρων, νουθετῶν· ἀφυπνίζει γέ τοι καὶ τοῦ σκότους αὐτοῦ τοὺς πεπλανημένους διανίστησιν· „ἔγειραι", φησὶν, „ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν· καὶ ἐπιφαύσει σοὶ ὁ Χριστὸς κύριος" ***), ὁ τῆς ἀναστάσεως ἥλιος, „ὁ πρὸ ἑωσφόρου γεννώμενος" †), ὁ ζωὴν χαρισάμενος ἀκτῖσιν ἰδίαις. μὴ οὖν περιφρονείτω τις τοῦ λόγου, μὴ λάθῃ κατιφρονῶν ἑαυτοῦ. λέγει γάρ που ἡ γραφή· „Σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκού-

*) Matth. 25, 41. 46. **) Ephes. 4, 17. 18. 19. ***) Ephes. 5, 14. †) Psalm. 109, 4.

σητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τ
παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ
τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν ἐν δο
μασίᾳ"*). ἡ δὲ δοκιμασία τίς ἐστιν εἰ θέλεις μαθε
τὸ ἅγιόν σοι πνεῦμα ἐξηγήσεται· „καὶ εἶδον τὰ ἔρ
μου", φησὶ, „τεσσαράκοντα ἔτη· διὸ προσώχθισα
γενεᾷ ταύτῃ καὶ εἶπον, „„ἀεὶ πλανῶνται τῇ καρδι
αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου", „„ὡς ὤμοσα
τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν ἀνάπαυσ
μου"**). ὁρᾶτε τὴν ἀπειλήν· ὁρᾶτε τὴν προτροπή
ὁρᾶτε τὴν τιμήν· τί δὴ οὖν ἔτι τὴν χάριν εἰς ὀργ
μεταλλάσσομεν καὶ οὐχὶ ἀναπεπταμέναις ταῖς ἀκοι
καταδεχόμενοι τὸν λόγον, ἐν ἁγναῖς ξενοδοχοῦμ
ψυχαῖς τὸν θεόν· μεγάλη γὰρ τῆς ἐπαγγελίας αὐτ
ἡ χάρις, „„ἐὰν σήμερον τῆς φωνῆς αὐτοῦ ἀκούσωμεν
τὸ δὲ σήμερον καθ' ἑκάστην αὐτοῦ αὔξεται τὴν ἡμ
ραν, ἔστ' ἂν ἡ σήμερον ὀνομάζηται. μέχρι δὲ συ
τελείας καὶ ἡ σήμερον καὶ ἡ μάθησις διαμένει· κ
τότε ἡ ὄντως σήμερον ἡ ἀνελλειπὴς τοῦ θεοῦ ἡμέ
τοῖς αἰῶσι συνεκτείνεται. ἀεὶ οὖν τῆς φωνῆς ὑπακού
μεν τοῦ θείου λόγου· ἡ σήμερον γὰρ ἀΐδιος αἰών ἐσ
P. 25 εἰκών, σύμβολον δὲ τοῦ φωτός, ἡ ἡμέρα, φῶς
8ylb. ὁ λόγος ἀνθρώποις***), δι' οὗ καταυγαζόμεθα τ
θεόν.

§. 85. Εἰκότως ἄρα πιστεύσασι μὲν καὶ ὑπ
κούουσιν „ἡ χάρις ὑπερπλεονάσει"†), ἀπειθήσασι
καὶ „πλανωμένοις κατὰ καρδίαν, ὁδούς τε τὰς κ
ριακὰς μὴ ἐγνωκόσιν"††), ἃς εὐθείας ποιεῖν καὶ ε
τρεπίζειν παρήγγειλεν Ἰωάννης, τούτοις δὲ προσώχθ
σεν ὁ θεὸς καὶ ἀπειλεῖ· καὶ δὴ καὶ τὸ τέλος τῆς ἀπ
λῆς αἰνιγματωδῶς ἀπειλήφασιν οἱ παλαιοὶ τῶν Ἑ-
βραίων πλανῆται· οὐ γὰρ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν

*) Psalm. 95, 7—9. **) Ibid. v. 9—11. ***) I
Ioann. 1, 9. †) Ep. ad. Timoth. I, 1, 14. ††) Psal
95, 10.

λέγονται διὰ τὴν ἀπιστίαν*), πρὶν ἢ σφᾶς αὐτοὺς καταλουθήσαντας τῷ Μωϋσέως διαδόχῳ ὑφέ ποτε ἔργῳ μαθεῖν, οὐκ ἂν ἄλλως σωθῆναι, μὴ οὐχὶ ὡς Ἰησοῦ πεπιστευκότας. φιλάνθρωπος δὲ ὢν ὁ κύριος πάντας ἀνθρώπους εἰς ἐπίγνωσιν τῆς ἀληθείας παρακαλεῖ, ὁ τὸν παράκλητον ἀποστέλλων. τίς οὖν ἡ ἐπίγνωσις; θεοσέβεια· „θεοσέβεια δὲ πρὸς πάντα ὠφέλιμος" κατὰ τὸν Παῦλον**), „ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς νῦν καὶ τῆς μελλούσης"***). πόσου ὁμολογήσατε, ὦ ἄνθρωποι, εἰ ἐπιπράσκετο σωτηρία ἄϊδιος, ὠνήσασθαι ἄν; οὐδὲ εἰ τὸν Πάκτωλόν τις ὅλον τοῦ χρυσίου τὸ ῥεῦμα τὸ μυθικὸν ἀπομετρήσαι, ἀντάξιον σωτηρίας μισθὸν ἀριθμήσει.

§. 86. Μὴ οὖν ἀποκάμητε· ἔξεστιν ὑμῖν, ἣν ἐθέλητε, ἐξωνήσασθαι τὴν πολυτίμητον σωτηρίαν οἰκείῳ θησαυρῷ, ἀγάπῃ καὶ πίστει ζωῆς, ὅς ἐστιν ἀξιόλογος μισθός. ταύτην ἡδέως τὴν τιμὴν ὁ θεὸς λαμβάνει· „ἠλπίκαμεν γὰρ ἐπὶ θεῷ ζῶντι, ὅς ἐστι σωτὴρ πάντων ἀνθρώπων, μάλιστα πιστῶν"†). οἱ δὲ ἄλλοι περιπεφυκότες τῷ κόσμῳ, οἷα φυκιά τινα ἐνάλιοις πέτραις, ἀθανασίας ὀλιγωροῦσιν· καθάπερ ὁ Ἰθακήσιος γέρων οὐ τῆς ἀληθείας καὶ τῆς ἐν οὐρανῷ πατρίδος, πρὸς δὲ καὶ τοῦ ὄντως ὄντος ἱμειρόμενος φωτὸς, ἀλλὰ τοῦ καπνοῦ††). θεοσέβεια δὲ ἐξομοιοῦσα τῷ θεῷ κατὰ τὸ δυνατὸν τὸν ἄνθρωπον, κατάλληλον ἐπιγράφεται διδάσκαλον θεὸν τὸν καὶ μόνον ἀπεικάσαι κατ' ἀξίαν δυνάμενον ἄνθρωπον θεῷ.

§. 87. Ταύτην ὁ ἀπόστολος τὴν διδασκαλίαν θείαν ὄντως ἐπιστάμενος „σὺ δέ, ὦ Τιμόθεε", φησὶν, „ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως ἐν Χριστῷ"†††). ἱερὰ γὰρ ὡς ἀληθῶς τὰ ἱεροποιοῦντα καὶ

*) Ep. ad Hebr. 3, 18. 19. **) Ep. ad Timoth. I, 2, 4. ***) Ibid. 4, 8. †) Ibid. v. 10. ††) Cf. Hom. Odyss. α. 57 sqq. †††) Ep. ad Timoth. II, 14, 15.

θεοποιοῦντα γράμματα. ἐξ ὧν γραμμάτων καὶ
λαβῶν τῶν ἱερῶν τὰς συγκειμένας γραφὰς, τὰ
τάγματα, ὁ αὐτὸς ἀκολούθως ἀπόστολος „θεοπ
στου" καλεῖ, „ὠφελίμους οὔσας πρὸς διδασκαλίαν,
ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τ
δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ θεοῦ ἄνθρωπος
πᾶν ἔργον ἀγαθὸν ἐξηρτημένος"*). οὐκ ἄν τις
τως ἐκπλαγείη τῶν ἄλλων ἁγίων τὰς προτροπὰς
αὐτὸν τὸν κύριον τὸν φιλάνθρωπον· οὐδὲν γὰρ ἀλλ
ἢ τοῦτο ἔργον μόνον ἐστὶν αὐτῷ σώζεσθαι τὸν ἄ
θρωπον. βοᾷ γοῦν ἐπείγων εἰς σωτηρίαν αὐτὸς
γικεν ἡ βασιλεία τῶν οὐρανῶν"**)· ἐπιστρέφει
ἀνθρώπους πλησιάζοντας τῷ φόβῳ. ταύτῃ κα
ἀπόστολος τοῦ κυρίου παρακαλῶν τοὺς Μακεδ
ἑρμηνεὺς γίνεται τῆς θείας φωνῆς· „ὁ κύριος ἡ
κεν", λέγων, „εὐλαβεῖσθε μὴ καταληφθῶμεν κενοί"
ὑμεῖς δὲ ἐς τοσοῦτον ἀδεεῖς, μᾶλλον δὲ ἄπιστοι,
τε αὐτῷ πειθόμενοι τῷ κυρίῳ μήτε τῷ Παύλῳ
ταῦτα ὑπὲρ Χριστοῦ δεομένῳ†) γεύσασθε καὶ
τε, ὅτι Χριστὸς ὁ θεός††).

§. 88. Ἡ πίστις εἰσάξει, ἡ πεῖρα διδάξε
γραφὴ παιδαγωγήσει „δεῦτε, ὦ τέκνα", λέγο
„ἀκούσατέ μου, φόβον κυρίου διδάξω ὑμᾶς"†††).
ὡς ἤδη πεπιστευκόσι συντόμως ἐπιλέγει, „τίς
ἄνθρωπος ὁ θέλων ζωὴν, ἀγαπῶν ἡμέρας ἰδεῖν
θάς"*); ἡμεῖς ἐσμὲν, φήσομεν, οἱ ταγαθοῦ π
κυνηταί, οἱ τῶν ἀγαθῶν ζηλωταί. ἀκούσατε
„οἱ μακρὰν"**), ἀκούσατε „οἱ ἐγγύς" οὐκ ἀπε
βη τινὰς ὁ λόγος· φῶς ἐστὶ κοινὸν, ἐπιλάμπει π
ἀνθρώποις***)· οὐδεὶς Κιμμέριος ἐν λόγῳ· σπεύσ
εἰς σωτηρίαν, ἐπὶ τὴν παλιγγενεσίαν, εἰς μίαν
πην συναχθῆναι οἱ πολλοὶ, κατὰ τὴν τῆς μονα

*) Ep. ad Timoth. II, 16, 17. **) Matth. 4, 17. ***
lipp. 4, 5. †) Ep. ad Cor. II, 5, 20. ††) Psalm
8. †††) Ibid. v. 11. *) Ibid. v. 12. **) Es
20. Dan. 9, 7. Ephes. 2, 17. ***) Ioann. 1, 9.

οὐσίας ἕνωσιν σπεύσωμεν ἀγαθοεργούμενοι, ἀναλόγως ἑνότητα διώκωμεν τὴν ἀγαθὴν ἐκζητοῦντες μονάδα. ἡ δὲ ἐκ πολλῶν ἕνωσις ἐκ πολυφωνίας καὶ διασπορᾶς ἁρμονίαν λαβοῦσα θεϊκὴν μία γίνεται συμφωνία, ἑνὶ χορευτῇ καὶ διδασκάλῳ τῷ λόγῳ ἑπομένη, ἐπ᾽ αὐτὴν τὴν ἀλήθειαν ἀναπαυομένη, „Ἀββᾶ" λέγουσα „ὁ πατήρ"*)· ταύτην ὁ θεὸς τὴν φωνὴν τὴν ἀληθινὴν ἀσπάζεται παρὰ τῶν αὐτοῦ παίδων πρώτην καρπούμενος.

Cap. X.

§. 89. Ἀλλ᾽ ἐκ πατέρων, φατέ, παραδεδομένον ἡμῖν ἔθος ἀνατρέπειν οὐκ εὔλογον. καὶ τί δὴ οὐχὶ τῇ πρώτῃ τροφῇ τῷ γάλακτι χρώμεθα, ᾧ δήπουθεν συνείθισαν ἡμᾶς ἐκ γενετῆς αἱ τίτθαι; τί δαὶ αὐξάνομεν ἢ μειοῦμεν τὴν πατρῴαν οὐσίαν, καὶ οὐχὶ τὴν ἴσην, ὡς παρειλήφαμεν, διαφυλάττομεν; τί δαὶ οὐκέτι τοῖς κόλποις τοῖς πατρῴοις ἐναποβλύζομεν ἢ καὶ τὰ ἄλλα, ἃ νηπιάζοντες ὑπὸ μητράσιν τε ἐκτρεφόμενοι γέλωτα ὄφλομεν, ἐπιτελοῦμεν ἔτι, ἀλλὰ σφᾶς αὐτοὺς καὶ εἰ μὴ παιδαγωγῶν ἐτύχομεν ἀγαθῶν, ἐπανορθώσαμεν; εἶτα ἐπὶ τῶν παθῶν αἱ παρεκβάσεις καίτοι ἐπιζήμιοι καὶ ἐπισφαλεῖς οὖσαι, ὅμως γλυκεῖαί πως προσπίπτουσιν, ἐπὶ δὲ τοῦ βίου οὐχὶ τὸ ἔθος καταλείποντες τὸ πονηρὸν καὶ ἐμπαθὲς καὶ ἄθεον, κἂν οἱ πατέρες χαλεπαίνωσιν, οὐκ ἐπὶ τὴν ἀλήθειαν ἐκκλινοῦμεν, καὶ τὸν ὄντως ὄντα πατέρα ἐπιζητήσομεν, οἷον δηλητήριον φάρμακον τὴν συνήθειαν ἀπωσάμενοι; τοῦτ᾽ αὐτὸ γάρτοι τὸ κάλλιστον τῶν ἐγχειρουμένων ἐστὶν ὑποδεῖξαι ὑμῖν, ὡς ἀπὸ μανίας καὶ τοῦ τρισαθλίου τούτου ἔθους ἐμισή-

*) Marc. 14, 36. Rom. 8, 15.

θη ἡ θεοσέβεια· οὐ γὰρ ἂν ἐμισήθη ποτὲ ἢ ἀπ
ρεύθη ἀγαθὸν τοσοῦτον, οὗ μεῖζον οὐδὲν ἐκ
δεδώρηται πω τῇ τῶν ἀνθρώπων γενέσει, εἰ μὴ
αρπάζομενοι τῷ ἔθει, εἶτα μέντοι ἀποβύσαντες
ὦτα ἡμῖν, οἷον ἵπποι σκληραύχενες ἀφηνιάζοι
τοὺς χαλινοὺς ἐνδακόντες, ἀποφεύγετε τοὺς λόγ
ἀποσείασθαι μέντοι τοὺς ἡνιόχους ὑμῶν τοῦ
ἡμᾶς ἐπιποθοῦντες, ἐπὶ δὲ τοὺς κρημνοὺς τῆς ἀ
λείας ὑπὸ τῆς ἀνοίας φερόμενοι ἐναγῆ τὸν ἀ
ὑπολαμβάνετε τοῦ θεοῦ λόγον.

§. 90. Ἔπεται τοιγαροῦν ὑμῖν κατὰ τὸν Σ
κλέα τὰ ἐπίχειρα τῆς ἐκλογῆς,

Νοῦς φροῦδος, ὥτ᾽ ἀχρεῖα, φροντίδες κεναὶ,

καὶ οὐκ ἴστε ὡς παντὸς μᾶλλον τοῦτο ἀληθὲς,
ἄρα οἱ μὲν ἀγαθοὶ καὶ θεοσεβεῖς ἀγαθῆς τῆς ἀ
βῆς τεύξονται τἀγαθὸν τετιμηκότες, οἱ δὲ ἐκ
ἐναντίων πονηροὶ τῆς καταλλήλου τιμωρίας, καὶ
ἄρχοντι τῆς κακίας ἐπήρτηται κόλασις. ἀπειλεῖ
αὐτῷ ὁ προφήτης Ζαχαρίας· „ἐπιτιμήσαι ἐν
ἐκλεξάμενος τὴν Ἱερουσαλήμ· οὐκ ἰδοὺ τοῦτο
δαλὸς ἐξεσπασμένος ἐκ πυρός“ *); τίς οὖν ἔτι τ
ἀνθρώποις ὄρεξις ἔγκειται θανάτου ἑκουσίου;
δαὶ τῷ δαλῷ τῷ θανατηφόρῳ τούτῳ προσφεύ
μεθ᾽ οὗ καταφλεγήσονται, ἐξὸν βιῶναι καλῶς
τὸν θεὸν, οὐ κατὰ τὸ ἔθος; θεὸς μὲν γὰρ ζωὴ
ρίζεται, ἔθος δὲ πονηρὸν κατὰ τὴν ἐνθένδε ἀπι
γὴν μετάνοιαν κενὴν ἅμα τιμωρίᾳ προστρίβεται

παθὼν δέ τε νήπιος ἔγνω **),

ὡς ἀπολλύει δεισιδαιμονία καὶ σώζει θεοσέβεια.

§. 91. Ἰδέτω τις ὑμῶν τοὺς παρὰ τοῖς εἰδ
λατρεύοντας, κόμῃ ῥυπῶντας, ἐσθῆτι πιναρᾷ κ
τερρωγυίᾳ καθυβρισμένους, λουτρῶν μὲν παντά
ἀπειράτους, ταῖς δὲ τῶν ὀνύχων ἀκμαῖς ἐκτεθ
μένους, πολλοὺς δὲ καὶ τῶν αἰδοίων ἀφῃρημ
ἔργῳ δεικνύντας τῶν εἰδώλων τὰ τεμένη, τάφρ

*) Zachar. 3, 2. **) Hesiod. ἔργ. v. 216.

νὰς ἢ δεσμωτήρια· οὗτοί μοι δοκοῦσι πενθεῖν, οὐ θρησκεύειν τοὺς θεούς, ἐλέου μᾶλλον ἢ θεοσεβείας ἄξια πεπονθότες. καὶ ταῦτα ὁρῶντες ἔτι τυφλώττετε καὶ οὐχὶ πρὸς τὸν δεσπότην τῶν πάντων καὶ κύριον τῶν ὅλων ἀναβλέψετε; οὐχὶ δὲ καταφεύξεσθε ἐκ τῶν ἐνταῦθα δεσμωτηρίων, ἐκφεύγοντες ἐπὶ τὸν ἔλεον τὸν ἐξ οὐρανῶν; ὁ γὰρ θεὸς ἐκ πολλῆς τῆς φιλανθρωπίας ἀντέχεται τοῦ ἀνθρώπου, ὥσπερ ἐκ καλιᾶς ἐκπίπτοντος νεοττοῦ ἡ μήτηρ ὄρνις ἐφίπταται· εἰ δέ που καὶ θηρίον ἑρπυστικὸν περιχάνοι τῷ νεοττῷ,

μήτηρ δ' ἀμφεποτᾶτο ὀδυρομένη φίλα τέκνα *)·

ὁ δὲ θεὸς πατὴρ καὶ ζητεῖ τὸ πλάσμα καὶ ἰᾶται τὸ παράπτωμα καὶ διώκει τὸ θηρίον καὶ τὸν νεοττὸν αὖθις ἀναλαμβάνει ἐπὶ τὴν καλιὰν ἀναπτῆναι παρορμῶν.

§. 92. Εἶτα κύνες μὲν ἤδη πεπλανημένοι, ὀδμαῖς ῥινηλατοῦντες ἐξίχνευσαν τὸν δεσπότην καὶ ὑπὸι τὸν ἀναβάτην ἀποσεισάμενοι ἑνί που συρίγματι ὑπήκουσαν τῷ δεσπότῃ· „ἔγνω δὲ", φησὶ, „βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω" **). τί οὖν ὁ κύριος; οὐ μνησικακεῖ, ἔτι ἐλεεῖ, ἔτι τὴν μετάνοιαν ἀπαιτεῖ. ἐρέσθαι δὲ ὑμᾶς βούλομαι, εἰ οὐκ ἄτοπον ὑμῖν δοκεῖ πλάσμα ὑμᾶς τοὺς ἀνθρώπους ἐπιγεγονότας τοῦ θεοῦ καὶ παρ' αὐτοῦ τὴν ψυχὴν εἰληφότας καὶ ὄντας ὅλως τοῦ θεοῦ ἑτέρῳ δουλεύειν δεσπότῃ, πρὸς δὲ καὶ θεραπεύειν ἀντὶ μὲν τοῦ βασιλέως τὸν τύραννον, ἀντὶ δὲ τοῦ ἀγαθοῦ τὸν πονηρόν. τίς γὰρ, ὦ πρὸς τῆς ἀληθείας, σωφρονῶν γε τἀγαθὸν καταλείπων κακίᾳ σύνεστιν; τίς δαὶ, ὅστις τὸν θεὸν ἀποφεύγων δαιμονίοις συμβιοῖ; τίς δαὶ υἱὸς εἶναι δυνάμενος τοῦ θεοῦ δουλεύειν ἤδεται; ἢ τίς οὐρανοῦ P. 75
πολίτης εἶναι δυνάμενος ἔρεβος διώκει, ἐξὸν πα- Pott.
ράδεισον γεωργεῖν καὶ οὐρανὸν περιπολεῖν καὶ τῆς

*) Hom. Iliad. β, 315. **) Ies. 1, 3.

ζωτικῆς καὶ ἀκηράτου μεταλαμβάνειν πηγῆς, ἴχνος ἐκείνης τῆς φωτεινῆς ἀεροβατοῦντα νεφέλη ὥσπερ ὁ Ἠλίας, θεωροῦντα τὸν ὑετὸν τὸν σωτήρ οἱ δὲ σκωλήκων δίκην περὶ τέλματα καὶ βορβό τὰ ἡδονῆς ῥεύματα καλινδούμενοι ἀνονήτους καὶ ήτους ἐκβύσκονται τρυφὰς, ὑῶδες τινὲς ἄνθρω ὗες γὰρ, φησὶν, ἥδονται βορβόρῳ μᾶλλον ἢ κ ρῷ ὕδατι καὶ ἐπὶ φορυτῷ μαργαίνουσιν κατὰ μόκριτον. μὴ δῆτα οὖν, μὴ δῆτα ἐξανδραποδισ μεν μηδὲ ὑῶδες γενώμεθα, ἀλλ' ὡς τέκνα φωτ γνήσια, ἀναθρήσωμεν καὶ ἀναβλέψωμεν εἰς τὸ μὴ νόθους ἡμᾶς ἐξελέγξῃ ὁ κύριος, ὥσπερ ὁ τοὺς ἀετούς.

§. 93. Μετανοήσωμεν οὖν καὶ μεταστῶμ ἀμαθίας εἰς ἐπιστήμην, ἐξ ἀφροσύνης εἰς φρόν ἐξ ἀκρασίας εἰς ἐγκράτειαν, ἐξ ἀδικίας εἰς δικα νην, ἐξ ἀθεότητος εἰς θεόν. καλὸς ὁ κίνδυνος τομολεῖν πρὸς θεὸν, πολλῶν δὲ καὶ ἄλλων ἔστιν λαῦσαι ἀγαθῶν τοὺς δικαιοσύνης ἐραστὰς, οἱ ἀΐδιον διώκομεν σωτηρίαν, ἀτὰρ δὴ καὶ ὧν αἰνίττεται ὁ θεὸς διὰ Ἡσαΐου λαλῶν, „ἔστι κ νομία τοῖς θεραπεύουσι κύριον" ***), καλή γ ἐράσμιος ἡ κληρονομία, οὐ χρυσίον, οὐκ ἄργυρο ἐσθῆς, ἐνθα ποὺ σὴς καὶ τὰ τῆς γῆς, λῃστ που καταδύεται περὶ τὸν χαμαίζηλον πλοῦτον ὀρ μιῶν, ἀλλ' ἐκεῖνος ὁ θησαυρὸς τῆς σωτηρίας, ὃν γε †πείγεσθαι χρὴ φιλολόγους γενομένους. παίρει δὲ ἡμῖν ἐνθένδε τὰ ἔργα τὰ ἀστεῖα καὶ πταται τῷ τῆς ἀληθείας πτερῷ.

§. 94. Ταύτην ἡμῖν τὴν κληρονομίαν ἐπ ζει ἡ ἀΐδιος διαθήκη τοῦ θεοῦ τὴν ἀΐδιον δ χορηγοῦσα· ὁ δὲ φιλόστοργος οὗτος ἡμῶν πατ ὄντως πατὴρ, οὐ παύεται προτρέπων, νουθ

*) Cf. Reg. III, 18, 44. 45. et Matth. 17, 5. **) 5, 8. ***) Ies. 54, 17. †) Matth. 6, 19. 20.

P. 27 παιδεύων, φιλῶν· οὐδὲ γὰρ σώζων παύεται, συμ-
Sylb. βουλεύει δὲ τὰ ἄριστα· „δίκαιοι γένεσθε, λέγει κύ-
ριος· οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ, καὶ ὅσοι μὴ
ἔχετε ἀργύριον, βαδίσατε καὶ ἀγοράσατε καὶ πίετε
ἄνευ ἀργυρίου" *). ἐπὶ τὸ λουτρὸν, ἐπὶ τὴν σωτη-
ρίαν, ἐπὶ τὸν φωτισμὸν παρακαλεῖ μονονουχὶ βοῶν P. 76
καὶ λέγων· γῆν σοὶ δίδωμι καὶ θάλασσαν, παι- Pott.
δίον, οὐρανόν τε καὶ τὰ ἐν αὐτοῖς πάντα ζῶά σοι
χαρίζομαι· μόνον, ὦ παιδίον, „δίψησον" τοῦ πατρὸς,
ἀμισθεί σοι δειχθήσεται ὁ θεός· οὐ „καπηλεύεται" **)
ἡ ἀλήθεια, δίδωσί σοι καὶ τὰ πτηνὰ καὶ τὰ νηκτὰ
καὶ τὰ ἐπὶ τῆς γῆς· ταῦτά σου ταῖς εὐχαρίστοις τρυ-
φαῖς δεδημιούργηκεν ὁ πατήρ· ἅπερ ἀργυρίῳ μὲν
ὠήσεται ὁ νόθος, ὃς ἀπωλείας ἐστὶ παιδίον ***), ὃς
μαμωνᾷ δουλεύειν †) προῄρηται, σοὶ δὲ τὰ σὰ ἐπιτρέ-
πει, τῷ γνησίῳ λέγει, τῷ φιλοῦντι τὸν πατέρα, δι'
ὃν ἔτι ἐργάζεται ††), ᾧ μόνῳ καὶ ὑπισχνεῖται λέγων·
„καὶ ἡ γῆ οὐ πραθήσεται εἰς βεβαίωσιν" †††)· οὐ
γὰρ κυροῦται τῇ φθορᾷ· ἐμὴ γάρ ἐστιν πᾶσα ἡ γῆ
ἔστι δὲ καὶ σὴ, ἐὰν ἀπολάβῃς τὸν θεόν. ὅθεν ἡ γρα-
φὴ εἰκότως εὐαγγελίζεται τοῖς πεπιστευκόσιν· οἱ δὲ
ἅγιοι κυρίου κληρονομήσουσι τὴν δόξαν τοῦ θεοῦ καὶ
τὴν δύναμιν αὐτοῦ. ποίαν, ὦ μακάριε, δόξαν; εἰπέ
μοι· „ἣν ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσεν οὐδὲ
ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη· καὶ χαρήσονται ἐπὶ τῇ
βασιλείᾳ τοῦ κυρίου αὐτῶν εἰς τοὺς αἰῶνας, ἀμήν" *).

§. 95. Ἔχετε, ὦ ἄνθρωποι, τὴν θείαν τῆς χά-
ριτος ἐπαγγελίαν, ἀκηκόατε καὶ τὴν ἄλλην τῆς κο-
λάσεως ἀπειλήν, δι' ὧν ὁ κύριος σώζει, φόβῳ καὶ
χάριτι παιδαγωγῶν τὸν ἄνθρωπον· τί μέλλομεν; τί
οὐκ ἐκκλίνομεν τὴν κόλασιν; τί οὐ καταδεχόμεθα
τὴν δωρεάν; τί δαὶ οὐχ αἱρούμεθα τὰ βελτίονα, θεὸν

*) Ies. 54, 17. 55, 1. **) Cor. II, 2, 17. ***) Ioann. 17, 12. Thess. II, 2, 3. †) Matth. 6, 24. Luc. 16, 13. ††) Ioann. 5, 17. †††) Leuit. 25, 23. *) Cor. I, 2, 9.

ἀντὶ τοῦ πονηροῦ καὶ σοφίαν εἰδωλολατρίας προκ
νομεν καὶ ζωὴν ἀντικαταλλασσόμεθα θανάτῳ; „ἰδ
τέθεικα πρὸ προσώπου ὑμῶν", φησὶ, „τὸν θάνατ
καὶ τὴν ζωήν"*). πειράζει σε ὁ κύριος ἐκλέξασ
τὴν ζωὴν, συμβουλεύει σοὶ ὡς πατὴρ πείθεσθαι
θεῷ. „ἐὰν γὰρ ἀκούσητέ μου", φησὶ, „καὶ θε
σητε, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ὑπακοῆς ἡ χά
ἐὰν δὲ μὴ ὑπακούσητέ μου μηδὲ θελήσητε, μάχα
ὑμᾶς καὶ πῦρ κατέδεται"**), παρακοῆς ἡ κρίσις.
γὰρ στόμα κυρίου ἐλάλησεν ταῦτα"***)· νόμος ἀλ
θείας λόγος κυρίου· βούλεσθε ὑμῖν ἀγαθὸς γένωμαι
σύμβουλος; ἀλλ' ἡμεῖς μὲν ἀκούσατε· ἐγὼ δὲ, εἰ
δυνατὸν, ἐνδείξομαι· ἐχρῆν μὲν ὑμᾶς, ὦ ἄνθρωπ
αὐτοῦ πέρι ἐννοουμένους τοῦ ἀγαθοῦ ἔμφυτον ἐπά
σθαι μάρτυρα ἀξιόχρεων, πίστιν αὐτόθεν οἰκοθεν
ριφανῶς αἱρουμένην τὸ βέλτιστον, μηδὲ ζητεῖν εἰ μει
διωκτέον ἐκπονεῖν. καὶ γὰρ εἴ τῳ μεθυστέον, φέρε εἰπ
ἀμφιβάλλειν χρή· ἡμεῖς δὲ πρὶν ἢ ἐπισκέψασθε, μεθ
ετε· καὶ εἰ ὑβριστέον, οὐ πολυπραγμονεῖτε, ἀλλ' ἧ
χος ὑβρίζετε. μόνον δ' ἄρα εἰ θεοσεβητέον, ζητε
καὶ εἰ τῷ σοφῷ τούτῳ δὴ τῷ θεῷ καὶ τῷ Χρι
κατακολουθητέον, τοῦτο δὲ βουλῆς καὶ σκέψεως ἀξι
τε, οὐδ' ὃ πρέπει θεῷ, ὅ τί ποτέ ἐστι, νενοηκότι

§. 96. Πιστεύσατε ἡμῖν κἂν ὡς μέθῃ, ἵνα
φρονήσητε· πιστεύσατε κἂν ὡς ὕβρει, ἵνα ζήσητε
δὲ καὶ πείθεσθαι βούλεσθε τὴν ἐναργῆ τῶν ἀρε
ὑποπτεύσαντες πίστιν, φέρε ὑμῖν ἐκ περιουσίας
περὶ τοῦ λόγου παραθήσομαι πειθώ. ὑμεῖς δὲ, οὐ
τὰ πάτρια ὑμᾶς ἔτι τῆς ἀληθείας ἀπασχολεῖ
προκατεσχημένους, ἀκούοιτ' ἂν ἤδη τὸ μετὰ το
ὅπως ἔχει· καὶ δὴ μή τις ὑμᾶς τοῦδε τοῦ ὀνόμα
αἰσχύνῃ προκαταλαμβανέτω, ἢτ' ἄνδρας μέγα
νεται †), παρατρέπουσα σωτηρίας. ἀποδυσάμενο

*) Deuteron. 30, 15, 19. **) Ies. 1, 19. ***)
1, 20. 33, 11. †) Hesiod. ἔργ. 316.

οὖν περιφανῶς ἐν τῷ τῆς ἀληθείας σταδίῳ γνησίως ἀγωνιζώμεθα, βραβεύοντος μὲν τοῦ λόγου τοῦ ἁγίου, ἀγωνοθετοῦντος δὲ τοῦ δεσπότου τῶν ὅλων. οὐ γὰρ σμικρὸν ἡμῖν τὸ ἆθλον ἀθανασία πρόκειται. μὴ οὖν ἔτι φροντίζετε μηδὲ εἰ ὀλίγον τι ὑμᾶς ἀγορεύουσι σύρφακές τινες ἀγοραῖοι, δεισιδαιμονίας ἄθεοι χορευταὶ, ἀνοίᾳ καὶ παρανοίᾳ ἐπ' αὐτὸ ὠθοῦμενοι τὸ βάραθρον, εἰδώλων ποιηταὶ καὶ λίθων προσκυνηταί· οἵδε γὰρ ἀνθρώπους ἀποθεοῦν τετολμήκασι, τρισκαιδέκατον Ἀλέξανδρον τὸν Μακεδόνα ἀναγράφοντες θεόν, ὃν Βαβυλὼν ἤλεγξε νεκρόν.

§. 97. Ἄγαμαι τοίνυν τὸν θεῖον σοφιστὴν, Θεόκριτος ὄνομα αὐτῷ· μετὰ τὴν Ἀλεξάνδρου τελευτὴν ἐπισκώπτων ὁ Θεόκριτος τὰς δόξας τὰς κενὰς τῶν ἀνθρώπων ἃς εἶχον περὶ θεῶν, πρὸς τοὺς πολίτας, P. 78 ἄνδρες, εἶπεν, θαρρεῖτε ἄχρις ἂν ὁρᾶτε τοὺς Pott. θεοὺς πρότερον τῶν ἀνθρώπων ἀποθνήσκοντας. θεοὺς δὲ δὴ τοὺς ὁρατοὺς καὶ τὸν σύγκλυδα τῶν γενητῶν τούτων ὄχλον ὁ προσκυνῶν καὶ προσεταιριζόμενος, αὐτῶν ἐκείνων τῶν δαιμόνων ἀθλιώτερος μακρῷ. θεὸς γὰρ οὐδαμῇ οὐδαμῶς ἄδικος, ὥσπερ οἱ δαίμονες, ἀλλ' ὡς οἷόν τε δικαιότατος καὶ οὐκ ἔστιν αὐτῷ ὁμοιότερον οὐδὲν, ἢ ὅστ' ἂν ἡμῶν γένηται ὅτι δικαιότατος.

βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρώναξ λεὼς,
οἳ τὴν Διὸς γοργῶπιν ἐργάνην στατοῖς
λίκνοισι προστρέπεσθε,
ἠλίθιοι τῶν λίθων δημιουργοί τε καὶ προσκυνηταί.

§. 98. Ὁ Φειδίας ἡμῶν καὶ ὁ Πολύκλειτος ἡκόντων, Πραξιτέλης τε αὖ καὶ Ἀπελλῆς καὶ ὅσοι τὰς βαναύσους μετέρχονται τέχνας, γήϊνοι γῆς ὄντες ἐργάται. τότε γάρ φησί τις προφητεία δυστυχήσειν τὰ τῇδε πράγματα, ὅταν ἀνδριάσι πιστεύσωσιν. ἡκόντων οὖν αὖθις, οὐ γὰρ ἀνήσω καλῶν, οἱ μικροτέχναι. οὐδεὶς που τούτων ἔμπνουν εἰκόνα δεδημιούργηκεν οὐδὲ μὴν ἐκ γῆς μαλθακὴν ἐμάλαξε σάρκα. τίς

ἔτηξε μυελὸν; ἢ τίς ἔπηξεν ὀστέα; τίς νεῦρα δι
νεν; τίς φλέβας ἐφύσησεν; τίς αἷμα ἐνέχεεν ἐν
P. 28 ταῖς; ἢ τίς δέρμα περιέτεινεν; ποῦ δ' ἂν τις
8ylb. τῶν ὀφθαλμοὺς ποιήσαι βλέποντας; τίς ἐνεφύ
5 ψυχήν; τίς δικαιοσύνην ἐδωρήσατο; τίς ἀθανα
ὑπέσχηται; μόνος ὁ τῶν ὅλων δημιουργὸς, ὁ ἀρι
τέχνας πατὴρ, τοιοῦτον ἄγαλμα ἔμψυχον ἡμᾶς
ἄνθρωπον ἔπλασεν· ὁ δὲ Ὀλύμπιος ὑμῶν, εἰκ
εἰκὼν, πολύ τι τῆς ἀληθείας ἀπάδων, ἔργον ἐστὶ
10φὸν χειρῶν Ἀττικῶν. εἰκὼν μὲν γὰρ τοῦ θεοῦ ὁ λ
αὐτοῦ, καὶ υἱὸς τοῦ νοῦ γνήσιος ὁ θεῖος λόγος, φ
ἀρχέτυπον φῶς· εἰκὼν δὲ τοῦ λόγου ὁ ἄνθρωπος
ἀληθινὸς ὁ νοῦς ὁ ἐν ἀνθρώπῳ ὁ κατ' εἰκόνα
θεοῦ καὶ καθ' ὁμοίωσιν διὰ τοῦτο γεγενῆσθαι*)
15γόμενος, τῇ κατὰ καρδίαν φρονήσει τῷ θείῳ πο
καζόμενος λόγῳ καὶ ταύτῃ λογικός. ἀνθρώποι
τοῦ ὁρωμένου τοῦ γηγενοῦς γήϊνος εἰκὼν τὰ ἀγάλ
τα τὰ ἀνδροείκελα πόρρω τῆς ἀληθείας ἐπίκα
ἐκμαγεῖον καταφαίνεται.

20 §. 99. Οὐδὲν οὖν ἀλλ' ἢ μανίας ἔμπλεα
βίος ἔδοξέ μοι γεγονέναι, τοσαύτῃ σπουδῇ περὶ
ὕλην καταγινόμενος. ἐπιτέτραπται δὲ ὑπὸ κενῆς
ξης ἡ συνήθεια δουλείας μὲν γεύσασα ὑμᾶς καὶ
γου περιεργασίας, νομίμων δὲ ἀνόμων καὶ ἀπατη
25ὑποκρίσεων ἄγνοια αἰτία ἤδη κατασκευασθεῖσα
τῶν ἀνθρώπων γένει κηρῶν ὀλεθρίων καὶ εἰδω
ἐπιστυγῶν, πολλὰς τῶν δαιμόνων ἐπινοήσασα
φὰς, κηλίδα τοῖς ἑπομένοις αὐτῇ ἐναπεμάξατο
νάτου μακροῦ. λάβετε οὖν ὕδωρ λογικὸν, λούσα
30οἱ μεμολυσμένοι, περιρράνατε αὐτοὺς ἀπὸ τῆς σ
θείας ταῖς ἀληθιναῖς σταγόσιν· καθαροὺς εἰς ο
νοὺς ἀναβῆναι δεῖ. ἄνθρωπος εἶ, τὸ κοινότα
ἐπιζήτησον τὸν δημιουργήσαντά σε· υἱὸς εἶ, τὸ ἰ
τατον, ἀναγνώρισον τὸν πατέρα. σὺ δὲ ἔτι ταῖς ἁ

*) Genes. 1, 26.

τίαις παραμένεις, προστετηκὼς ἡδοναῖς; τίνι λαλήσει κύριος „ὑμῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν"*), ὑμῶν ἐστὶν, ἐὰν θελήσητε, τῶν πρὸς τὸν θεὸν τὴν προαίρεσιν ἐσχηκότων ὑμῶν, ἐὰν θελήσητε πιστεῦσαι μόνον καὶ τῇ συντομίᾳ τοῦ κηρύγματος ἕπεσθαι, ἢ ὑπακούσαντες οἱ Νινευῖται τῆς προσδοκηθείσης ἁλώσεως μετανοίᾳ γνησίῳ τὴν καλὴν ἀντικατηλλάξαντο σωτηρίαν.

§. 100. *Πῶς οὖν ἀνέλθω, φησὶν, εἰς οὐρανούς;* „ὁδὸς" **) ἐστιν ὁ κύριος, „στενὴ"***) μέν, ἀλλ' „ἐξ οὐρανῶν" †), στενὴ μέν, ἀλλ' εἰς οὐρανοὺς ἀναπέμπουσα· στενὴ ἐπὶ γῆς ὑπερορωμένη, πλατεῖα ἐν οὐρανοῖς προσκυνουμένη. εἶθ' ὁ μὲν ἄπυστος τοῦ λόγου συγγνώμην τῆς πλάνης ἔχει τὴν ἄγνοιαν, ὁ δὲ εἰς ὥτα βαλλόμενος καὶ τῇ ψυχῇ παρὰ τῆς γνώμης φέρει τὴν ἀπείθειαν καὶ ὅσῳ γε φρονιμώτερος εἶναι δόξει, πρὸς κακοῦ ἡ σύνεσις αὐτῷ, ὅτι τῇ φρονή- P. 80
σει κέχρηται κατηγόρῳ τὸ βέλτιστον οὐχ ἑλόμενος· Pott.
πέφυκε γὰρ ἄλλως ὁ ἄνθρωπος οἰκείως ἔχειν πρὸς θεόν. ὥσπερ οὖν τὸν ἵππον ἀροῦν οὐ βιαζόμεθα οὐδὲ τὸν ταῦρον κυνηγετεῖν, πρὸς ὃ πέφυκε δὲ ἕκαστον τῶν ζώων περιέλκομεν, οὕτως ἀμέλει καὶ τὸν ἄνθρωπον ἐπὶ τὴν οὐρανοῦ γενόμενον θέαν, φυτὸν οὐράνιον ὡς ἀληθῶς, ἐπὶ τὴν γνῶσιν παρακαλοῦμεν τοῦ θεοῦ, τὸ οἰκεῖον αὐτοῦ καὶ ἐξαίρετον καὶ ἰδιωματικὸν παρὰ τὰ ἄλλα ζῶα κατειλημμένοι αὐτάρκες ἐφόδιον αἰώνων, θεοσέβειαν, παρασκευάζεσθαι συμβουλεύοντες. γεώργει, φαμὲν, εἰ γεωργὸς εἶ, ἀλλὰ γνῶθι τὸν θεὸν γεωργῶν, καὶ πλῆθι ὁ τῆς ναυτιλίας ἐρῶν, ἀλλὰ τὸν οὐράνιον κυβερνήτην παρακαλῶν· στρατευόμενόν σε κατείληφεν ἡ γνῶσις, τοῦ δίκαια σημαίνοντος ἄκουε στρατηγοῦ.

§. 101. *Καθάπερ οὖν κάρῳ καὶ μέθῃ βεβαρη-*

*) Matth. 5, 3. 10. **) Ioann. 14, 6. ***) Matth. 7, 13. 14. †) Ioann. 3, 13. 31.

μένοι ἀνανήψατε καὶ διαβλέψαντες ὀλίγον ἐννοήσ
τε, τί θέλουσιν ὑμῖν οἱ προσκυνούμενοι λίθοι καὶ
περὶ τὴν ὕλην κενοσπούδως δαπανᾶτε· εἰς ἄγνο
καὶ τὰ χρήματα καὶ τὸν βίον, ὡς τὸ ζῆν ὑμῶν
5 θάνατον καταναλίσκετε, τοῦτο μόνον τῆς ματα
ὑμῶν ἐλπίδος εὑράμενοι τὸ πέρας, οὐδὲ αὐτοὺς οἷο
ὄντες οἰκτεῖραι, ἀλλ' οὐδὲ τοῖς κατελεοῦσιν ὑμᾶς
πλάνης ἐπιτήδειοι πείθεσθαι γίνεσθε, συνηθείᾳ κ
κῇ δεδουλωμένοι, ἧς ἀπηρτημένοι αὐθαίρετοι μέ
10τῆς ἐσχάτης ἀναπνοῆς εἰς ἀπώλειαν ὑποφέρεσθε· „
τὸ φῶς ἐλήλυθεν εἰς τὸν κόσμον καὶ ἠγάπησαν
ἄνθρωποι μᾶλλον τὸ σκότος ἢ τὸ φῶς"*), ἐξ
ἀπομάξασθαι τὰ ἐμποδὼν τῇ σωτηρίᾳ καὶ τὸν τῦφ
καὶ τὸν πλοῦτον καὶ τὸν φόβον ἐπιφθεγγομένους
15ποιητικὸν δὴ τοῦτο·

πῇ δὴ χρήματα πολλὰ φέρω τάδε; πῇ δὲ καὶ αὐτ
πλάζομαι**);

εἰ βούλεσθε οὖν τὰς φαντασίας ταύτας τὰς κεν
ἀπορρίψαντες τῇ συνηθείᾳ αὐτῇ ἀποτάξασθαι, κεν
20δοξίᾳ ἐπιλέγετε,

ψευδεῖς ὄνειροι χαίρετ', οὐδὲν ἦτ' ἄρα.

§. 102. Τί γὰρ ἡγεῖσθε, ὦ ἄνθρωποι, τὸν
Τυφῶνα Ἑρμῆν καὶ τὸν Ἀνδοκίδην καὶ τὸν Ἀμι
τον; ἢ παντὶ τῷ δῆλον ὅτι λίθους, ὥσπερ καὶ τ
25Ἑρμῆν; ὃς δὲ οὐκ ἔστι θεὸς ἢ ἅλως καὶ ὡς
ἔστι θεὸς ἢ Ἶρις, ἀλλὰ πάθη ἀέρων καὶ νεφῶν,
ὃν τρόπον οὐκ ἔστιν ἡμέρα θεός, οὐδὲ μὴν οὐδὲ
αὐτὸς οὐδὲ χρόνος ὁ ἐκ τούτων συμπληρούμενος·
τως οὐδὲ ἥλιος οὐδὲ σελήνη, οἷς ἕκαστον τῶν π
30ειρημένων διορίζεται. τίς ἂν οὖν τὴν εὐθυναν
τὴν κόλασιν καὶ τὴν δίκην καὶ τὴν νέμεσιν εὖ φ
νῶν ὑπολάβοι θεούς; οὐδὲ γὰρ οὐδ' ἐρινῦς ο
μοῖραι οὐδὲ εἱμαρμένη, ἐπεὶ μηδὲ πολιτεία μηδὲ
ξα μηδὲ πλοῦτος θεοί, ὃν καὶ ζωγράφοι τυφλὸν ἐ

*) Ioann. 3, 19. **) Hom. Odyss. ν. 203 sqq.

δεικνύουσιν· εἰ δὲ αἰδῶ καὶ ἔρωτα καὶ ἀφροδίτην ἐκθειάζετε, ἀκολουθούντων αὐτοῖς αἰσχύνη καὶ ὁρμὴ καὶ κάλλος καὶ συνουσία. οὔκουν ἔτ' ἂν εἰκότως ὕπνος καὶ θάνατος θεὼ διδυμάονε παρ' ὑμῖν νομίζοιντο, πάθη ταῦτα περὶ τὰ ζῶα συμβαίνοντα φυσικῶς· οὐδὲ μὴν κῆρα οὐδὲ εἱμαρμένην οὐδὲ μοίρας θεὰς ἐνδίκως ἐρεῖτε. εἰ δὲ ἔρις καὶ μάχη οὐ θεοί, b. οὐδὲ Ἄρης οὐδὲ Ἐνυώ. ἔτι τε εἰ αἱ ἀστραπαὶ καὶ οἱ κεραυνοὶ καὶ οἱ ὄμβροι οὐ θεοί, πῶς τὸ πῦρ καὶ τὸ ὕδωρ θεοί; πῶς δαὶ καὶ οἱ διαΐσσοντες καὶ οἱ κομῆται διὰ πάθος ἀέρος γεγενημένοι; ὁ δὲ τὴν τύχην θεὸν λέγων καὶ τὴν πρᾶξιν λεγέτω θεόν.

§. 103. Εἰ δὴ οὖν τούτων οὐδὲ ἓν θεὸς εἶναι νομίζεται, οὐδὲ μὴν ἐκείνων τῶν χειροκμήτων καὶ ἀναισθήτων πλασμάτων· πρόνοια δέ τις περὶ ἡμᾶς καταφαίνεται δυνάμεως θειχῆς· λείπεται οὐδὲν ἄλλο ἢ τοῦτο ὁμολογεῖν, ὅτι ἄρα μόνος ὄντως ἔστι τε καὶ ὑφέστηκεν ὁ μόνος ὄντως ὑπάρχων θεός. ἀλλὰ γὰρ μανδραγόραν ἤ τι ἄλλο φάρμακον πεπωκόσιν ἀνθρώποις ἐοίκασιν ἀνόητοι· θεὸς δὲ ὑμῖν ἀνανῆψαι δοίη ποτὲ τοῦδε τοῦ ὕπνου καὶ συνιέναι θεὸν μηδὲ χρυσὸν ἢ λίθον ἢ δένδρον ἢ πρᾶξιν ἢ πάθος ἢ νόσον ἢ φόβον ἐνδάλλεσθαι ὡς θεόν. τρὶς γὰρ μύριοί εἰσιν, ὡς ἀληθῶς, ἐπὶ χθονὶ πουλυβοτείρῃ δαίμονες *) 25οὐκ ἀθάνατοι οὐδὲ μὴν ὑητοί — οὐδὲ γὰρ αἰσθήσεως, ἵνα καὶ θανάτου μετειλήφασιν — λίθινοι δὲ καὶ ξύλινοι δεσπόται ἀνθρώπων, ὑβρίζοντες καὶ παρασπονδοῦντες τὸν βίον διὰ τῆς συνηθείας. „ἡ γῆ P. 81 δὲ τοῦ κυρίου", φησὶ, „καὶ τὸ πλήρωμα αὐτῆς" **). Pott. 30εἶτα τί τολμᾷς ἐν τοῖς τοῦ κυρίου τρυφῶν ἀγνοεῖν τὸν δεσπότην; κατάλειπε τὴν γῆν τὴν ἐμὴν, ἐρεῖ σοι ὁ κύριος, μὴ ἅψῃς τοῦ ὕδατος, ὃ ἐγὼ ἀναδίδωμι, τῶν καρπῶν ὧν ἐγὼ γεωργῶ μηδὲ μεταλάμβανε· ἀπόδος, ἄνθρωπε, τὰ τροφεῖα τῷ θεῷ, ἐπίγνωθί σου

*) Hesiod. Ἔργ. 250 sqq. **) Psalm. 24, 1. Cor. I, 10, 26.

τὸν δεσπότην, ἴδιον εἶ πλάσμα τοῦ θεοῦ· τὸ δὲ κεῖον αὐτοῦ πῶς ἂν ἐνδίκως ἀλλότριον γένοιτο; γὰρ ἀπηλλοτριωμένον, στερόμενον τῆς οἰκειότη στέρεται τῆς ἀληθείας. ἢ γὰρ οὐχὶ Νιόβης τρό τινὰ, μᾶλλον δὲ ἵνα μυστικώτερον πρὸς ὑμᾶς φθέγξωμαι, γυναικὸς τῆς Ἑβραίας δίκην — Λώτ λουν αὐτὴν οἱ παλαιοὶ — εἰς ἀναισθησίαν μετατρ σθε; λελιθωμένην ταύτην παρειλήφαμεν τὴν γυ κα διὰ τὸ Σοδόμων ἐρᾶν· Σοδομῖται δὲ οἱ ἄθεοι οἱ πρὸς τὴν ἀσέβειαν ἐπιστρεφόμενοι σκληροκάρ τε καὶ ἠλίθιοι.

§. 104. Ταύτας οἷον θεόθεν ἐπιλέγεσθαί τὰς φωνάς· μὴ γὰρ οἷον λίθους μὲν εἶναι ἱερὰ ξύλα καὶ ὄρνεα καὶ ὄφεις, ἀνθρώπους δὲ μή· π δὲ τοὐναντίον ἱεροὺς μὲν ὄντως τοὺς ἀνθρώπ ὑπολαμβάνετε, τὰ δὲ θηρία καὶ τοὺς λίθους ἐ εἰσίν. οἱ γάρτοι δείλαιοι τῶν ἀνθρώπων καὶ ἄθ διὰ μὲν κόρακος καὶ κολοιοῦ νομίζουσι τὸν θεὸν βοᾶν, διὰ δὲ ἀνθρώπου σιωπᾶν, καὶ τὸν μὲν κό κα τετιμήκασιν ὡς ἄγγελον θεοῦ, τὸν δὲ ἄνθρω τοῦ θεοῦ διώκουσιν, οὐ κρώζοντα, οὐ κλώζοντα, φθ γόμενον δέ· οἵ μοι, λογικῶς καὶ φιλανθρώπως κα χοῦντα ἀποσφάττειν ἀπανθρώπως ἐπιχειροῦσιν, τὴν δικαιοσύνην καλοῦντα οὔτε τὴν χάριν τὴν ἄ θεν ἀπεκδεχόμενοι οὔτε τὴν κόλασιν ἐκτρεπόμε οὐ γὰρ πιστεύουσι τῷ θεῷ οὐδὲ ἐκμανθάνουσι τὴν νομιν αὐτοῦ· οὗ δὲ ἄρρητος ἡ φιλανθρωπία, τοῦ ἀχάρητος ἡ μισοπονηρία. τρέφει δὲ ὁ μὲν θυ τὴν κόλασιν ἐπὶ ἁμαρτίᾳ, εὖ ποιεῖ δὲ ἐπὶ μεταν ἡ φιλανθρωπία. οἰκτρότατον δὲ τὸ στέρεσθαι παρὰ τοῦ θεοῦ ἐπικουρίας. ὀμμάτων μὲν οὖν ἡ ρωσις καὶ τῆς ἀκοῆς ἡ κώφωσις ἀλγεινοτέρα πι τὰς λοιπὰς τοῦ πονηροῦ πλεονεξίας· ἡ μὲν γὰρ τῶν ἀφήρηται τῆς οὐρανίου προσόψεως, ἡ δὲ θείας μαθήσεως ἐστέρηται.

§. 105. Ὑμεῖς δὲ πρὸς τὴν ἀλήθειαν ἀνάπη

καὶ τυφλοὶ μὲν τὸν νοῦν, κωφοὶ δὲ τὴν σύνεσιν ὄντες οὐκ ἀλγεῖτε, οὐκ ἀγανακτεῖτε, οὐ τὸν οὐρανὸν ἰδεῖν καὶ τὸν τοῦ οὐρανοῦ ποιητὴν ἐπεθυμήσατε, οὐ- P. 83
δὲ τὸν τῶν πάντων δημιουργὸν καὶ πατέρα ἀκοῦσαι Pou.
καὶ μαθεῖν ἐξεζητήσατε, τὴν προαίρεσιν τῇ σωτηρίᾳ συνάψαντες· ἐμποδὼν γὰρ ἵσταται οὐδὲν τῷ σπεύδοντι πρὸς γνῶσιν Θεοῦ, οὐκ ἀπαιδία, οὐ πενία, οὐκ ἀδοξία, οὐκ ἀκτημοσύνη· οὐδέ τις τὴν ὄντως ἀληθῆ σοφίαν χαλκῷ δηώσας μεταλλάξαι εὔχεται οὐδὲ σιδήρῳ· εὖ γάρτοι παντὸς μᾶλλον τοῦτο εἴρηται· ὁ Χριστός ἐστι πανταχοῦ σωτήριος· ὁ γὰρ τοῦ δικαίου ζηλωτὴς, ὡς ἂν τοῦ ἀνενδεοῦς ἐραστὴς, ὀλιγοδεὴς, οὐκ ἐν ἄλλῳ τινὶ ἢ ἐν αὐτῷ καὶ τῷ Θεῷ τὸ μακάριον θησαυρίσας*), ἔνθα οὐ σὴς, οὐ λῃστὴς, οὐ πειρατὴς, ἀλλ' ὁ τῶν ἀγαθῶν ἀΐδιος δοτήρ. ἆρα οὖν εἰκότως ὁμοίωσθε τοῖς ὄφεσιν ἐκείνοις, οἷς τὰ ὦτα πρὸς τοὺς κατεπᾴδοντας ἀποκέκλεισται; „θυμὸς γὰρ αὐτοῖς", φησὶν ἡ γραφὴ, „κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, ὡσεὶ ἀσπίδος κωφῆς καὶ βυούσης τὰ ὦτα αὐτῆς, ἥτις οὐκ εἰσακούσεται φωνῆς ἐπᾳδόντων" **).

§. 106. Ἀλλ' ὑμεῖς γε κατεπάσθητε τὴν ἁγιότητα καὶ παραδέξασθε τὸν ἥμερον καὶ ἡμέτερον λόγον καὶ τὸν ἰὸν ἀποπτύσατε τὸν δηλητήριον, ὅπως ὅτι μάλιστα ὑμῖν τὴν φθορὰν, ὡς ἐκείνοις τὸ γῆρας, ἀποδύσασθαι δοθῇ. ἀκούσατέ μου καὶ μὴ τὰ ὦτα ἀποβύσητε μηδὲ τὰς ἀκοὰς ἀποφράξητε, ἀλλ' εἰς νοῦν βάλεσθε τὰ λεγόμενα. καλόν ἐστι τὸ φάρμακον τῆς ἀθανασίας· στήσατέ ποτε τοὺς ὀλκοὺς τοὺς ἐρυστικούς· „οἱ γὰρ ἐχθροὶ κυρίου χοῦν λείξουσι" ***), φησὶν, ἡ γραφὴ λέγει· ἀνανεύσατε τῆς γῆς εἰς αἰθέρα, ἀναβλέψατε εἰς οὐρανὸν, θαυμάσατε, παύσασθε καραδοκοῦντες τῶν δικαίων τὴν πτέρναν καὶ τὴν ὁδὸν τῆς ἀληθείας †) ἐμποδίζοντες·

*) Matth. 6, 20. 21. **) Psalm. 58, 4. 5. ***) Ibid. 72, 9. †) Pet. II, 2, 2.

φρόνιμοι γένεσθε καὶ ἀβλαβεῖς· τάχα ποὺ ὁ κ
ἁπλότητος ὑμῖν δωρήσεται πτερόν· πτερῶσαι
προῄρηται τοὺς γηγενεῖς, ἵνα δὴ τοὺς χηραμοὺς
ταλείποντες οἰκήσητε τοὺς οὐρανούς. μόνον ἐξ
καρδίας μετανοήσωμεν, ὡς ὅλῃ καρδίᾳ δυνηθ
χωρῆσαι τὸν Θεόν. „ἐλπίσατε ἐπ᾽ αὐτὸν", ς
„πᾶσα συναγωγὴ λαοῦ, ἐκχέετε ἐνώπιον αὐτοῦ
σαί τὰς καρδίας ὑμῶν" *) πρὸς τοὺς καινοὺς τ
πονηρίας, λέγει· ἐλεεῖ καὶ δικαιοσύνης πληροῖ·
P. 30 στευσον, ἄνθρωπε, ἀνθρώπῳ καὶ Θεῷ· πί
8ylb. σον, ἄνθρωπε, τῷ παθόντι καὶ προσκυνου
Θεῷ ζῶντι· πιστεύσατε οἱ δοῦλοι τῷ νεκρῷ· π
ἄνθρωποι πιστεύσατε μόνῳ τῷ πάντων ἀνθρ
Θεῷ· πιστεύσατε καὶ μισθὸν λάβετε σωτηρίαν·
ζητήσατε τὸν Θεὸν, καὶ ζήσεται ἡ ψυχὴ ὑμῶν·
ὁ ἐκζητῶν τὸν Θεὸν τὴν ἰδίαν πολυπραγμονεῖ σ
ρίαν· εὗρες τὸν Θεὸν, ἔχεις τὴν ζωήν.

§. 107. Ζητήσωμεν οὖν, ἵνα καὶ ζήσωμε
μισθὸς τῆς εὑρέσεως ζωὴ παρὰ Θεῷ. „ἀγαλλιάσ
σαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητο
σε καὶ λεγέτωσαν διὰ παντὸς, μεγαλυνθήτω ὁ
ός" ***). καλὸς ὕμνος τοῦ Θεοῦ ἀθάνατος ἄνθρο
δικαιοσύνῃ οἰκοδομούμενος, ἐν ᾧ τὰ λόγια τῆς
Θείας ἐγκεχάραχται. ποῦ γὰρ ἀλλαχόθι ἢ ἐν σώ
νι ψυχῇ δικαιοσύνην ἐγγραπτέον; ποῦ ἀγάπην;
δῶ δὲ ποῦ; πραότητα δὲ ποῦ; ταύτας οἶμαι
Θείας γραφὰς ἐναποσφραγισαμένους χρὴ τῇ
καλὸν ἀφετήριον σοφίαν ἡγεῖσθαι τοῖς ἐφ᾽ ὃ τ
τοῦ βίου τραφεῖσι μέρος, ὅρμον τε τὸν αὐτὸν ἀκύ
σωτηρίας σοφίαν νομίζειν· δι᾽ ἣν ἀγαθοὶ μὲν πα
τέκνων οἱ τῷ πατρὶ προσδεδραμηκότες, ἀγαθ
γονεῖς υἱέσιν οἱ τὸν υἱὸν νενοηκότες, ἀγαθοὶ δὲ
δρες γυναικῶν οἱ μεμνημένοι τοῦ νυμφίου, ἀγ

*) Psalm. 62, 8. **) Psalm. 69, 32. ***) P
70, 4.

δὲ οἰκετῶν δεσπόται οἱ τῆς ἐσχάτης δουλείας λελυτρωμένοι.

§. 108. Ὦ μακαριώτερα τῆς ἐν ἀνθρώποις πλάνης τὰ θηρία, ἃ ἐπινέμεται τὴν ἄγνοιαν, ὡς ὑμεῖς, οὐχ ὑποκρίνεται δὲ τὴν ἀλήθειαν· οὐκ ἔστι παρ' αὐτοῖς κολάκων γένη, οὐ δεισιδαιμονοῦσιν ἰχθύες, οὐκ εἰδωλολατρεῖ τὰ ὄρνεα, ἕνα μόνον ἐκπλήττεται τὸν οὐρανὸν, ἐπεὶ θεὸν νοῆσαι μὴ δύναται ἀπηξιωμένα τοῦ λόγου. εἶτ' οὐκ αἰσχύνεσθε καὶ τῶν ἀλόγων σφᾶς αὐτοὺς ἀλογωτέρους πεποιηκότες, οἳ διὰ τοσούτων ἡλικιῶν ἐν ἀθεότητι κατατέτριφθε; παῖδες γεγόνατε, εἶτα μειράκια, εἶτα ἔφηβοι, εἶτα ἄνδρες· χρηστοὶ δὲ οὐδέποτε. κἂν τὸ γῆρας αἰδέσθητε, ἐπὶ δυσμαῖς τοῦ βίου γενόμενοι σωφρονήσατε κἂν ἐπὶ τέλει τοῦ βίου τὸν θεὸν ἐπίγνωτε, ὡς δὴ τὸ τέλος ὑμῖν τοῦ βίου ἀρχὴν ἀναλάβοι σωτηρίας. ἐγηράσατε πρὸς δεισιδαιμονίαν, νέοι ἀφίκεσθε πρὸς θεοσέβειαν, παῖδας ἀκάκους ἐγκρινεῖ ὁ θεός. ὁ μὲν οὖν Ἀθηναῖος τοῖς Σόλωνος ἐπέσθω νόμοις καὶ ὁ Ἀργεῖος τοῖς Φορωνέως καὶ ὁ Σπαρτιάτης τοῖς Λυκούργου, εἰ δὲ σεαυτὸν ἀναγράφεις τοῦ θεοῦ, οὐρανὸς μέν σοι ἡ πατρὶς, P. 85
ὁ δὲ θεὸς νομοθέτης. τίνες δὲ καὶ οἱ νόμοι; „οὐ Pott.
φονεύσεις, οὐ μοιχεύσεις", οὐ παιδοφθορήσεις, „οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις*), ἀγαπήσεις κύριον τὸν θεόν σου"**). εἰσὶ δὲ καὶ τούτων τὰ παραπληρώματα, λόγιοι νόμοι καὶ ἅγιοι λόγοι ἐν αὐταῖς ἐγγραφόμενοι ταῖς καρδίαις· „ἀγαπήσεις τὸν πλησίον σοὺ ὡς σεαυτὸν"***)· καὶ „τῷ τύπτοντί σε εἰς τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην"†). καὶ „οὐκ ἐπιθυμήσεις, ἐπιθυμία γὰρ μόνη μεμοίχευκας"††).

§. 109. Πόσῳ γοῦν ἄμεινον τοῖς ἀνθρώποις τοῦ τυγχάνειν τῶν ἐπιθυμιῶν τὸ τὴν ἀρχὴν μηδὲ ἐπιθυμεῖν ἐθέλειν ὧν μὴ δεῖ; ἀλλ' ὑμεῖς μὲν τὸ αὐ-

*) Exod. 20, 13—16. **) Deut. 6, 5. Matth. 22, 37. ***) Matth. 22, 39. †) Luc. 6, 29. ††) Matth. 5, 28.

στηρὸν τῆς σωτηρίας ὑπομένειν οὐ καρτερεῖτε, θάπερ δὲ τῶν σιτίων τοῖς γλυκέσιν ἡδόμεθα διὰ λειότητα τῆς ἡδονῆς προτιμῶντες, ἰᾶται δὲ ἡμᾶ ὑγιάζει τὰ πικρὰ τραχύνοντα τὴν αἴσθησιν, τοὺς ἀσθενεῖς τὸν στόμαχον ῥώννυσιν ἢ τῶν φα κων αὐστηρία· οὕτως ἥδει μὲν καὶ γαργαλίζει ἡ ἡθεια, ἀλλ' ἡ μὲν εἰς τὸ βάραθρον ὠθεῖ, ἡ α θεια, ἡ δὲ εἰς οὐρανὸν ἀνάγει, ἡ ἀλήθεια, χεῖα μὲν τὸ πρῶτον, ἀλλ' ἀγαθὴ κουροτρόφ καὶ σεμνὴ μὲν ἡ γυναικωνῖτις αὕτη, σώφρων γερουσία· οὐδέ ἐστι δυσπρόσιτος οὐδὲ ἀδύνατος βεῖν, ἀλλ' ἔστιν ἐγγυτάτω ἐν οἴκοις ἡμῶν· ἦ φ αἰνιττόμενος ὁ πάνσοφος Μωϋσῆς, τρισὶ τοῖς ἡμᾶς ἐνδιαιτωμένη μέρεσι, „χερσὶ καὶ στόματ καρδίᾳ" **)· σύμβολον τοῦτο γνήσιον τρισὶ τοῖς σι συμπληρουμένης τῆς ἀληθείας, βουλῇ καὶ π καὶ λόγῳ. μηδὲ γὰρ τόδε δείμαινε, μή σε τὰ λὰ καὶ ἐπιτερπῇ φανταζόμενον ἀφέληται σοφίας· τὸς ἐκὼν ὑπερβήσῃ τὸν λῆρον τῆς συνηθείας, κ περ καὶ οἱ παῖδες τὰ ἀθύρματα ἄνδρες γενό ἀπέρριψαν.

§. 110. Τάχει μὲν δὴ ἀνυπερβλήτῳ εὐνο εὐπροσίτῳ ἡ δύναμις ἡ θεϊκὴ ἐπιλάμψασα τὴ σωτηρίου σπέρματος ἐνέπλησε τὸ πᾶν. οὐ γὰρ οὕτως ἐν ὀλίγῳ χρόνῳ τοσοῦτον ἔργον ἄνευ θεί κομιδῇ ἐξήνυσεν ὁ κύριος, ὄψει καταφρονούμ ἔργῳ προσκυνούμενος, ὁ καθάρσιος καὶ σωτήριο μειλίχιος, ὁ θεῖος λόγος, ὁ φανερώτατος ὄντω ὃς, ὁ τῷ δεσπότῃ τῶν ὅλων ἐξισωθείς· ὅτι ἦν αὐτοῦ καὶ „ὁ λόγος ἦν ἐν τῷ θεῷ" ***), οὐθ' τὸ πρῶτον προεκηρύχθη ἀπιστηθεὶς οὐθ' ὅτι ἀνθρώπου προσωπεῖον ἀναλαβὼν καὶ σαρκὶ ἀνα σάμενος τὸ σωτήριον δρᾶμα τῆς ἀνθρωπότητος

*) Hom. Odyss. 9, 27. **) Deuter. 30, 14. *** eon. 1, 1.

κρίνετο ἀγνοηθείς· γνήσιος γὰρ ἦν ἀγωνιστὴς καὶ τοῦ πλάσματος συναγωνιστὴς, τάχιστα δὲ εἰς πάντας ἀνθρώπους διαδοθεὶς θᾶττον ἦλθεν ἐξ αὐτῆς ἀνατείλας τῆς πατρικῆς βουλήσεως, ῥᾷστα ἡμῖν ἐπέλαμψε τὸν θεὸν, ὅθεν τε ἦν αὐτὸς καὶ ὃς ἦν, δι' ὧν ἐδίδαξεν καὶ ἐνεδείξατο, παραστησάμενος ὁ σπονδοφόρος καὶ διαλλακτὴς καὶ σωτὴρ ἡμῶν λόγος, πηγὴ ζωοποιὸς, εἰρηνικὴ, ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς χεόμενος, δι' ὃν ὡς ἔπος εἰπεῖν τὰ πάντα ἤδη πέλαγος γέγονεν ἀγαθῶν.

Cap. XI.

§. 111. *Μικρὸν δὲ, εἰ βούλει, ἄνωθεν ἄθρει τὴν θείαν εὐεργεσίαν. ὁ πρῶτος ὅτε ἐν παραδείσῳ ἔπαιζε λελυμένος, ἐπεὶ παιδίον ἦν τοῦ θεοῦ, ὅτε δὲ* P. 31 *ὑπέπιπτεν ἡδονῇ — ὅφις ἀλληγορεῖται ἡδονὴ ἐπὶ γα-* 81b. *στέρα ἔρπουσα, κακία γήϊνη, εἰς ὕλας τρεφομένη —, παρήγετο ἐπιθυμίαις ὁ παῖς ἀνδριζόμενος ἀπειθείᾳ καὶ παρακούσας τοῦ πατρὸς ἠσχύνετο τὸν θεόν· οἷον ἴσχυσεν ἡδονή; ὁ δ' ἁπλότητα λελυμένος ἄνθρωπος ἁμαρτίαις εὑρέθη δεδεμένος. τῶν δεσμῶν λῦσαι τοῦτον ὁ κύριος αὖθις ἠθέλησεν, καὶ σαρκὶ ἐνδεθεὶς μυστήριον θεῖον, τούτῳ τὸν ὄφιν ἐχειρώσατο καὶ τὸν τύραννον ἐδουλώσατο, τὸν θάνατον, καὶ τὸ παραδοξότατον, ἐκεῖνον τὸν ἄνθρωπον τὸν ἡδονῇ πεπλανημένον, τὸν τῇ φθορᾷ δεδεμένον, χερσὶν ἡπλωμέναις ἔδειξε λελυμένον. ὦ θαύματος μυστικοῦ· κέκλιται μὲν ὁ κύριος, ἀνέστη δὲ ἄνθρωπος καὶ ὁ ἐκ τοῦ παραδείσου πεσὼν μεῖζον ὑπακοῆς ἆθλον, οὐρανοὺς, ἀπολαμβάνει.*

§. 112. *Διό μοι δοκεῖ, ἐπεὶ αὐτὸς ἦκεν ὡς ἡμᾶς οὐρανόθεν ὁ λόγος, ἡμᾶς ἐπ' ἀνθρωπίνην, ἰέναι μὴ χρῆναι διδασκαλίαν ἔτι, Ἀθήνας καὶ τὴν ἄλλην*

Ἑλλάδα, πρὸς δὲ καὶ Ἰωνίαν πολυπραγμονοῦντας· γὰρ ἡμῖν ὁ διδάσκαλος ὁ πληρώσας τὰ πάντα νόμεσιν ἁγίαις, δημιουργίᾳ, σωτηρίᾳ, εὐεργεσίᾳ, νομοθεσίᾳ, προφητείᾳ, διδασκαλίᾳ, πάντα νῦν ὁ δ δάσκαλος κατηχεῖ καὶ τὸ πᾶν ἤδη Ἀθῆναι καὶ Ἑλ γέγονεν τῷ λόγῳ. οὐ γὰρ δὴ μύθῳ μὲν ἐπιστεύ ποιητικῷ τὸν Μίνω τὸν Κρῆτα τοῦ Διὸς ὡς ὁμ στὴν *) ἀναγράφοντι, ἡμᾶς δὲ ἀπιστήσετε μαθη Θεοῦ γεγονότας, τὴν ὄντως ἀληθῆ σοφίαν ἐπανη μένους, οὐδ' ἣν φιλοσοφίας ἄκροι μόνον ἡνίξα οἱ δὲ τοῦ Χριστοῦ μαθηταὶ καὶ κατειλήφασιν ἀνεκήρυξαν. καὶ δὴ καὶ πᾶς, ὡς ἔπος εἰπεῖν, Χριστὸς οὐ μερίζεται οὔτε βάρβαρός ἐστιν „οὐ Ἰουδαῖος οὔτε Ἕλλην, οὐκ ἄρρεν, οὐ θῆλυ· καὶ δὲ ἄνθρωπος" **) Θεοῦ πνεύματι ἁγίῳ μεταπεπ σμένος.

§. 113. Εἰθ' αἱ μὲν ἄλλαι συμβουλαί τε ὑποθῆκαι λυπραὶ καὶ περὶ τῶν ἐπὶ μέρους εἰσὶν, γαμητέον, εἰ πολιτευτέον, εἰ παιδοποιητέον· καθ ἡ δὲ ἄρα προτροπὴ μόνη καὶ πρὸς ὅλον δηλαδὴ βίον, ἐν παντὶ καιρῷ, ἐν πάσῃ περιστάσει πρὸς κυριώτατον τέλος, τὴν ζωὴν συντείνουσα, ἡ θεο βεια, καθ' ὃ καὶ μόνον ἐπάναγκές ἐστι ζῆν, ἵνα σωμεν ἀεί· φιλοσοφία δέ, ᾗ φασιν οἱ πρεσβύτεροι, χρονίως ἐστι συμβουλή, σοφίας ἄϊδιον μνηστε μένη ἔρωτα· „ἐντολὴ δὲ κυρίου τηλαυγὴς, φωτίζ σα ὀφθαλμούς" ***). ἀπόλαβε τὸν Χριστὸν, ἀπό βε τὸ βλέπειν, ἀπόλαβέ σου τὸ φῶς,

„ὄφρ' εὖ γιγνώσκοις ἡμὲν θεὸν ἠδὲ καὶ ἄνδρα" „γλυκὺς" ὁ λόγος ὁ φωτίσας ἡμᾶς· „ὑπὲρ χρυ καὶ λίθον τίμιον· ποθεινός ἐστιν ὑπὲρ μέλι καὶ ρίον" ††). πῶς γὰρ οὐ ποθεινὸς ὁ τὸν ἐν σκ κατορωρυγμένον νοῦν ἐναργῆ ποιησάμενος καὶ

*) Hom. Odyss. τ. 179. **) Galat. 3,28. 6,15. Ep 4,25. ***) Psalm. 19,9. †) Hom. Il. ε, 128. ††) Ps 19, 10.

φωσφόρα τῆς ψυχῆς ἀποξύνας ὄμματα; καὶ γὰρ ὥσπερ ἡλίου μὴ ὄντος ἕνεκα τῶν ἄλλων ἄστρων νὺξ ἂν ἦν τὰ πάντα, οὕτως εἰ μὴ τὸν λόγον ἔγνωμεν καὶ τούτῳ κατηγυάσθημεν, οὐδὲν ἂν τῶν σιτευομέ-
5 νων ὀρνίθων ἐλειπόμεθα, ἐν σκότει παιωνόμενοι καὶ θανάτῳ τρεφόμενοι. χωρήσωμεν τὸ φῶς, ἵνα χωρή- P. 88
σωμεν τὸν Θεόν· χωρήσωμεν τὸ φῶς καὶ μαθη- Post.
τεύσωμεν τῷ κυρίῳ. τοῦτό τοι καὶ ἐπήγγελται τῷ πατρὶ „διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μού·
10ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε" *)· ὕμνησον καὶ διήγησαί μοι τὸν πατέρα σοὺ τὸν Θεόν· σώζει σοὺ τὰ διηγήματα, παιδεύσει με ἡ ᾠδὴ ὡς μέχρι νῦν ἐπλανώμην ζητῶν τὸν Θεόν. ἐπεὶ δέ με φωταγωγεῖς, κύριε, καὶ τὸν Θεὸν εὑρίσκω διὰ σοῦ καὶ τὸν πατέ-
15ρα ἀπολαμβάνω παρὰ σοῦ, γίνομαί σου „συγκληρονόμος" **), ἐπεὶ „τὸν ἀδελφὸν οὐκ ἐπῃσχύνθης" ***).

§. 114. Ἀφέλωμεν οὖν, ἀφέλωμεν τὴν λήθην τῆς ἀληθείας, τὴν ἄγνοιαν, καὶ τὸ σκότος τὸ ἐμποδὼν ὡς ἀχλὺν ὄψεως καταγαγόντες τὸν ὄντως ὄν-
20τα Θεὸν ἐποπτεύσωμεν, ταύτην αὐτῷ πρῶτον ἀνυμνήσαντες τὴν φωνὴν, χαῖρε φῶς· ὅτι „φῶς" ἡμῖν ἐξ οὐρανοῦ τοῖς ἐν „σκότει" κατορωρυγμένοις καὶ „ἐν σκιᾷ θανάτου" †) κατακεκλεισμένοις ἐξέλαμψεν, ἡλίου καθαρώτερον, ζωῆς τῆς ἐνταῦθα γλυκύτερον.
25τὸ φῶς ἐκεῖνο ζωή ἐστιν ἀΐδιος καὶ ὅσα μετείληφεν αὐτοῦ, ζῇ, ἡ νὺξ δὲ εὐλαβεῖται το φῶς καὶ δύνουσα διὰ τὸν φόβον παραχωρεῖ τῇ ἡμέρᾳ κυρίου· τὰ πάντα φῶς ἀκοίμητον γέγονεν καὶ ἡ δύσις ἀνατολῇ πεπίστευκεν. τοῦτο ἡ κτίσις ἡ καινὴ βεβούλη-
30ται· ὁ γὰρ τὰ πάντα καθιππεύων „δικαιοσύνης ἥλιος" ††) ἐπίσης περιπολεῖ τὴν ἀνθρωπότητα, τὸν πατέρα μιμούμενος, ὃς „ἐπὶ πάντας ἀνθρώπους ἀνατέλλει τὸν ἥλιον αὐτοῦ" †††) καὶ καταψεκάζει τὴν

*) Psalm. 22, 22. **) Rom. 8, 17. ***) Hebr. 2, 2. †) Matth. 4, 16. Ies. 9, 2. ††) Malach. 4, 2. †††) Matth. 6, 45.

δρόσον τῆς ἀληθείας. οὗτος τὴν δύσιν εἰς ἀν
λὴν μετήγαγεν καὶ τὸν θάνατον εἰς ζωὴν ἀνεσ
ρωσεν· ἐξαρπάσας δὲ τῆς ἀπωλείας τὸν ἄνθρι
προσεκρέμασεν αἰθέρι, μεταφυτεύων τὴν φθορὰ
ἀφθαρσίαν καὶ γῆν μεταβάλλων εἰς οὐρανούς, ὁ
θεοῦ γεωργὸς, δεξιὰ σημαίνων, λαοὺς δ' ἐπὶ ἐ
ἀγαθὸν ἐγείρων, μιμνήσκων βιότοιο ἀληθι
καὶ τὸν μέγαν ὄντως καὶ θεῖον καὶ ἀναφαίρετον
πατρὸς κλῆρον χαριζόμενος ἡμῖν, οὐρανίῳ διδασκ
λίᾳ θεοποιῶν τὸν ἄνθρωπον, „διδοὺς νόμους εἰ
τὴν διάνοιαν αὐτῶν καὶ ἐπὶ καρδίαν γράφων
τούς" *). τίνας ὑπογράφει νόμους; „ὅτι πάντε
σονται τὸν θεὸν ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ
ως", φησὶν ὁ θεὸς, „ἔσομαι αὐτοῖς καὶ τῶν ἁμαρ
αὐτῶν οὐ μὴ μνησθῶ.

§. 115. Δεξώμεθα τοὺς νόμους τῆς ζωῆς,
P. 32 σθῶμεν προτρεπομένῳ θεῷ, μάθωμεν αὐτὸν,
Sylb. ἵλεως ᾖ, ἀποδῶμεν καὶ μὴ δεομένῳ μισθὸν ε
ριστον, εὐπάθειαν, οἷόν τι ἐνοίκιον, τὴν εὐσέβ
τῷ θεῷ τῆς ἐνταῦθα ἐνοικήσεως,

χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων **).

ὀλίγης πίστεως γῆν σοὶ δίδωσι τὴν τοσαύτην γ
γεῖν, ὕδωρ πίνειν καὶ ἄλλο πλεῖν, ἀέρα ἀναπ
πῦρ ὑπουργεῖν, κόσμον οἰκεῖν, ἐντεῦθεν εἰς οὐρα
ἀποικίαν στείλασθαί σοι συγκεχώρηκεν· τὰ με
ταῦτα καὶ τοσαῦτά σοι δημιουργήματα καὶ χαρί
τα ὀλίγης πίστεως μεμίσθωκεν. εἶθ' οἱ μὲν
γόησι πεπιστευκότες τὰ περίαπτα καὶ τὰς ἐπαο
ὡς σωτηρίους δῆθεν, ἀποδέχονται, ὑμεῖς δὲ οὐ
λεσθε τὸν οὐράνιον αὐτὸν περιάψασθαι τὸν σω
λόγον· καὶ τῇ ἐπῳδῇ τοῦ θεοῦ πιστεύσαντες ἀ
λαγῆναι μὲν παθῶν, ἃ δὴ ψυχῆς νόσοι, ἀποσ
σθῆναι δὲ ἁμαρτίας· θάνατος γὰρ ἀΐδιος ἁμαρ

*) Hebr. 8, 10—12. Ierem. 31, 33 sqq. **) I
Π. ζ. 286.

ἢ τέλεον νωθροὶ καὶ τυφλοὶ καθάπερ οἱ σπάλακες οὐδὲν ἄλλο ἢ ἐσθίοντες ἐν σκότῳ διαιτᾶσθε, περικαταρρέοντες τῇ φθορᾷ. ἀλλ᾽ ἔστιν, ἔστιν ἡ ἀλήθεια ἡ κεκραγυῖα, „ἐκ σκότους φῶς λάμψει“ *). λαμψάτω οὖν ἐν τῷ ἀποκεκρυμμένῳ τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ τὸ φῶς, καὶ τῆς γνώσεως αἱ ἀκτῖνες ἀνατειλάτωσαν τὸν ἐγκεκρυμμένον ἔνδον ἐκφαίνουσαι καὶ ἀποστίλβουσαι ἄνθρωπον τὸν μαθητὴν τοῦ φωτὸς, τὸν Χριστοῦ γνώριμόν τε καὶ συγκληρονόμον **)· μάλιστα ἐπειδὰν τὸ τιμιώτατον καὶ σεβασμιώτατον εὐσεβεῖ τε καὶ ἀγαθῷ παιδὶ ἀγαθοῦ πατρὸς ὄνομα εἰς γνῶσιν ἀφίκηται, προστάττοντος ἤπια καὶ τῷ παιδὶ ἐγκελευομένου τὰ σωσήρια. ὁ δὲ πειθόμενος αὐτῷ κατὰ πάντα δὴ πλεονεκτεῖ, ἕπεται τῷ θεῷ, πείθεται τῷ πατρὶ, ἔγνω πλανώμενος αὐτὸν, ἠγάπησε τὸν θεὸν, ἠγάπησε τὸν πλησίον, ἐπλήρωσε τὴν ἐντολὴν, τὸ ἄθλον ἐπιζητεῖ, τὴν ἐπαγγελίαν ἀπαιτεῖ.

§. 116. Πρόκειται δὲ ἀεὶ τῷ θεῷ τὴν ἀνθρώπων ἀγέλην σώζειν. ταύτῃ καὶ τὸν ἀγαθὸν ποιμένα ὁ ἀγαθὸς ἀπέστειλεν θεός· ἁπλώσας δὲ ὁ λόγος τὴν ἀλήθειαν ἔδειξε τοῖς ἀνθρώποις τὸ ὕψος τῆς σω- P. 90
τηρίας, ὅπως ἢ μετανοήσαντες σωθῶσιν, ἢ μὴ Pott.
ὑπακούσαντες κριθῶσιν. τοῦτο τῆς δικαιοσύνης τὸ κήρυγμα ὑπακούουσιν εὐαγγέλιον, παρακούσασιν κρι-
τήριον. ἀλλὰ σάλπιγξ μὲν ἡ μεγαλόχλονος ἠχήσασα στρατιώτας συνήγαγεν καὶ πόλεμον κατήγγειλεν· Χριστὸς δὲ εἰρηνικὸν ἐπὶ τὰ πέρατα τῆς γῆς ἐπιπνεύσας μέλος οὐ συνάξει ἄρα τοὺς εἰρηνικοὺς στρατιώτας τοὺς ἑαυτοῦ; συνήγαγε μὲν οὖν, ὦ ἄνθρωπε, τὸ στρατιωτικὸν τὸ ἀναίμακτον αἵματι καὶ λόγῳ, καὶ τὴν βασιλείαν τῶν οὐρανῶν αὐτοῖς ἐνεχείρησεν. σάλπιγξ ἐστὶ Χριστοῦ τὸ εὐαγγέλιον αὐτοῦ. ὃ μὲν ἐσάλπισεν, ἡμεῖς δὲ ἠκούσαμεν. ἐξοπλισώμεθα εἰρηνικῶς, „ἐνδυσάμενοι τὸν θώρακα τῆς δικαιοσύνης

*) Cor. II, 4, 6. **) Röm. 8, 17.

καὶ τὴν ἀσπίδα τῆς πίστεως ἀναλαβόντες καὶ τὴ
ρην τοῦ σωτηρίου περιθέμενοι καὶ τὴν μάχαιρα
πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ"*), ἀκονήσωμεν.
τως ἡμᾶς ὁ ἀπόστολος εἰρηνικῶς ἐκτάττει· τ
ἡμῶν τὰ ὅπλα τὰ ἄπρωτα· τούτοις ἐξοπλισά
παραταξώμεθα τῷ πονηρῷ· "τὰ πεπυρακτωμένα
πονηροῦ ἀποσβέσωμεν βέλη" ταῖς ὑδατίναις ἀν
ταῖς ὑπὸ τοῦ λόγου βεβαμμέναις εὐχαρίστοις ἀμ
μεναι τὰς εὐποιίας εὐλογίαις, καὶ τὸν θεὸν τῷ
ὑγεραίροντες λόγῳ. "ἔτι γὰρ λαλοῦντός σου ἐ
φησὶν, "ἰδοὺ πάρειμι"**).

§. 117. Ὦ τῆς ἁγίας καὶ μακαρίας ταύτη
νάμεως, δι' ἧς ἀνθρώποις συμπολιτεύεται θεὸς, λ
οὖν καὶ ἄμεινον τῆς ἀρίστης τῶν ὄντων οὐσία
μητὴν ὁμοῦ καὶ θεραπευτὴν γενέσθαι· οὐ γὰρ
μεῖσθαί τις δυνήσεται τὸν θεὸν, ἢ δι' ὧν ὁσίω
ραπεύσει, οὐδ' ἂν θεραπεύειν καὶ σέβειν ἢ μι
μενος. ὁ γέτοι οὐράνιος καὶ θεῖος ὄντως ἔρως
τῃ προσγίνεται τοῖς ἀνθρώποις, ὅταν ἐν αὐτῇ
τῇ ψυχῇ τὸ ὄντως καλὸν ὑπὸ τοῦ θείου λόγου
ζωπυρούμενον ἐκλάμπειν δυνηθῇ, καὶ τὸ μέγ
ἅμα τῷ βουληθῆναι γνησίως τὸ σωθῆναι συντ
ὁμοζυγούντων, ὡς ἔπος εἰπεῖν, προαιρέσεως καὶ
τοιγάρτοι μόνη αὕτη ἡ τῆς ἀληθείας προτροπὴ
πιστοτάτοις ἀπείκασται τῶν φίλων μέχρι τῆς ἐσχ
ἀναπνοῆς παραμένουσα, παραπομπὸς ἀγαθὴ ὅλι
τελείῳ τῷ τῆς ψυχῆς πνεύματι τοῖς εἰς οὐρανὸν ὁ
ρουσι γενομένη. τί δή σε προτρέπω; σωθῆνο
ἐπείγομαι. τοῦτο Χριστὸς βούλεται· ἐνὶ λόγῳ
σοι χαρίζεται. καὶ τίς ἐστιν οὗτος; μάθε συντό
λόγος ἀληθείας, λόγος ἀφθαρσίας ὁ ἀναγεννῶν
ἄνθρωπον εἰς ἀλήθειαν αὐτὸν ἀναφέρων, τὸ κέ
τῆς σωτηρίας, ὁ ἐξελαύνων τὴν φθοράν, ὁ ἐκδι

---

*) Ephes. 6, 14. 16 sqq. Thess. I, 5, 8. Ies. 5
**) Ibid. 58, 9.

τὸν θάνατον, ὃ ἐν ἀνθρώποις οἰκοδομήσας νεὼν, ἵνα ἐν ἀνθρώποις ἱδρύσῃ τὸν θεόν· ἄγνισον τὸν νεὼν καὶ τὰς ἡδονὰς καὶ τὰς ῥᾳθυμίας, ὥσπερ ἄνθος ἐφήμερον, καταλίμπανε ἀνέμῳ καὶ πυρὶ, σωφροσύνης δὲ τοὺς καρποὺς γεώργησον ἐμφρόνως καὶ σε- P. 91
αυτὸν ἀκροθίνιον ἀνάστησον τῷ θεῷ, ὅπως οὐκ Pott.
ἔργον μόνον, ἀλλὰ καὶ χάρις ᾖ τοῦ θεοῦ· πρέπει δὲ ἄμφω τῷ Χριστῷ γνώριμον καὶ βασιλείας ἄξιον φανῆναι καὶ βασιλείας κατηξιῶσθαι.

Cap. XII.

§. 118. *Φύγωμεν οὖν τὴν συνήθειαν, φύγωμεν οἷον ἄκραν χαλεπὴν ἢ Χαρύβδεως ἀπειλὴν ἢ Σειρῆνας μυθικὰς· ἄγχει τὸν ἄνθρωπον, τῆς ἀληθείας ἀποτρέπει, ἀπάγει τῆς ζωῆς, παγίς ἐστι, βάραθρόν ἐστιν, βόθρος ἐστὶ, λίκνος ἐστὶν, κακὸν ἡ συνήθεια· τούτου μὲν καπνοῦ καὶ κύματος ἐκτὸς ἔργε νῆα *).*

*φεύγωμεν, ὦ συνναῦται, φεύγωμεν τὸ κῦμα τοῦτο, πῦρ ἐρεύγεται, νῆσός ἐστι πονηρὰ, ὀστοῖς καὶ νε- P. 33
κροῖς σεσωρευμένη, ᾄδει δὲ ἐν αὐτῇ πορνίδιον
ylb. ὡραῖον, ἡδονὴ, πανδήμῳ τερπόμενον μουσικῇ·*

δεῦρ' ἄγ' ἰὼν, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν,
*νῆα κατάστησον, ἵνα θειοτέρην ὄπ' ἀκούσῃς **).*

ἐπαινεῖ σε, ὦ ναῦτα, καὶ πολυύμνητον λέγει καὶ τὸ κῦδος τῶν Ἑλλήνων ἡ πόρνη σφετερίζεται· ἔασον αὐτὴν ἐπινέμεσθαι τοὺς νεκροὺς, πνεῦμά σε οὐράνιον βοηθεῖ· πάριθι τὴν ἡδονὴν, βουκολεῖ·

μηδὲ γυνή σε νόον πυγοστόλος ἐξαπατάτω,
*αἰμύλα κωτίλλουσα, τεὴν διφῶσα καλιήν ***).*

*) Od. μ. 219 sqq. **) Odyss. μ. 184 sqq. ***) Hesiod. ἔργ. 371 sqq.

παράπλει τὴν ᾠδὴν, θάνατον ἐργάζεται· ἐὰν ἐθ
μόνον, νενίκηκας τὴν ἀπώλειαν καὶ τῷ ξύλῳ πε
δεδεμένος ἁπάσης ἔσῃ τῆς φθορᾶς λελυμένος,
βεργήσει σὲ ὁ λάγος ὁ τοῦ θεοῦ καὶ τοῖς λιμέσι
θορμίσει τῶν οὐρανῶν τὸ πνεῦμα τὸ ἅγιον· τότε μ
κατοπτεύσεις τὸν θεὸν καὶ τοῖς ἁγίοις ἐκείνοις τε
σθήσῃ μυστηρίοις καὶ τῶν ἐν οὐρανοῖς ἀπολαύσ
ἀποκεχρυμμένων, τῶν ἐμοὶ τετηρημένων, ἃ οὐ
οὓς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνέβη"*) τικός.
καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,
δισσὰς δὲ Θήβας**),
βακχεύων ἔλεγέν τις εἰδώλοις, ἀγνοίᾳ μεθύων ἀκρά-
τῳ· ἐγὼ δ' αὐτὸν οἰκτείραιμι παροινοῦντα καὶ τὸν
οὕτω παρανοοῦντα ἐπὶ σωτηρίαν παρακαλέσαιμι σύ
φρονοῦσαν, ὅτι καὶ κύριος μετάνοιαν ἁμαρτωλοῦ κ
οὐχὶ θάνατον ἀσπάζεται***).

§. 119. Ἧκε, ὦ παραπλὴξ, μὴ θύρσῳ σκηρ
πτόμενος, μὴ κιττῷ ἀναδούμενος, ῥῖψον τὴν μίτραν
ῥῖψον τὴν νεβρίδα, σωφρόνησον, δεῖξω σοὶ τὸν λό
γον καὶ τοῦ λόγου τὰ μυστήρια, κατὰ τὴν σὴν δυ
γούμενος εἰκόνα. ὄρος ἐστὶ τοῦτο θεῷ πεφιλημένον
οὐ τραγῳδίαις ὡς Κιθαιρὼν ὑποκείμενον, ἀλλὰ τοῦ
τῆς ἀληθείας ἀνακείμενον δράμασιν, ὄρος νηφάλιον,
ἀγναῖς ὕλαις σύσκιον· βακχεύουσι δὲ ἐν αὐτῷ οὐχ
αἱ Σεμέλης τῆς κεραυνίας ἀδελφαὶ αἱ μαινάδες, αἱ
δύσαγνον κρεανομίαν μυούμεναι, ἀλλ' αἱ τοῦ θεοῦ
θυγατέρες αἱ ἀμνάδες αἱ καλαὶ τὰ σεμνὰ τοῦ λό-
γου θεσπίζουσαι· ὄργια, χορὸν ἐγείρουσαι σώφρονα.
ὁ χορὸς οἱ δίκαιοι, τὸ ἆσμα ὕμνος ἐστὶ τοῦ πάντων
βασιλέως, ψάλλουσιν αἱ κόραι, δοξάζουσιν ἄγγελοι,
προφῆται λαλοῦσιν, ἦχος στέλλεται μουσικῆς, δρό-
μῳ τὸν θίασον διώκουσιν, σπεύδουσιν οἱ κεκλημένοι
πατέρα ποθοῦντες ἀπολαβεῖν· ἧκέ μοι, ὦ πρόβυ,

---

*) Corinth. I, 2, 9. **) Eur. Bacch. 916 sq. Elm.
***) Cf. Ezech. 32, 2. 17, 23. 32.

καὶ σὺ τὰς Θήβας λιπὼν καὶ τὴν μαντικὴν καὶ τὴν βακχικὴν ἀπορρίψας πρὸς ἀλήθειαν χειραγωγοῦ· ἰδοί σοι τὸ ξύλον ἐπερείδεσθαι δίδωμι· σπεῦσον, Τειρεσία, πίστευσον, ὄψει· Χριστὸς ἐπιλάμπει φαιδρότερον ἡλίου, δι' ὃν ὀφθαλμοὶ τυφλῶν ἀναβλέπουσιν, νύξ σε φεύξεται, πῦρ φοβηθήσεται, θάνατος οἰχήσεται· ὄψει τοὺς οὐρανούς, ὦ γέρον, ὁ Θήβας μὴ βλέπων.

§. 120. Ὦ τῶν ἁγίων ὡς ἀληθῶς μυστηρίων, ὦ φωτὸς ἀκηράτου. δᾳδουχοῦμαι τοὺς οὐρανοὺς καὶ τὸν θεὸν ἐποπτεύσας ἅγιος γίνομαι μυούμενος, ἱεροφαντεῖ δὲ ὁ κύριος καὶ τὸν μύστην σφραγίζεται φωταγωγῶν, καὶ παρατίθεται τῷ πατρὶ τὸν πεπιστευκότα αἰῶσι τηρούμενον. ταῦτα τῶν ἐμῶν μυστηρίων τὰ βακχεύματα εἰ βούλει καὶ σὺ μυοῦ καὶ χορεύσεις μετ' ἀγγέλων ἀμφὶ τὸν ἀγέννητον καὶ ἀνώλεθρον καὶ μόνον ὄντως θεὸν, συνυμνοῦντος ἡμῖν τοῦ θεοῦ P. 93 λόγου. ἀΐδιος οὗτος Ἰησοῦς εἷς ὁ μέγας ἀρχιερεὺς Pott. θεοῦ τε ἑνὸς τοῦ αὐτοῦ καὶ πατρὸς ὑπὲρ ἀνθρώπων εὔχεται καὶ ἀνθρώποις ἐγκελεύεται·

κέκλυτε, μυρία φῦλα, *)

μᾶλλον δὲ ὅσοι τῶν ἀνθρώπων λογικοὶ καὶ βάρβαροι καὶ Ἕλληνες, τὸ πᾶν ἀνθρώπων γένος καλῶ, ὧν ἐγὼ δημιουργὸς θελήματι πατρός. ἥκετε ὡς ἐμὲ, ἵν' ἕνα ταχθησόμενοι θεὸν καὶ τὸν ἕνα λόγον τοῦ θεοῦ· καὶ μὴ μόνον τῶν ἀλόγων ζώων πλεονεκτεῖτε τῷ λόγῳ· ἐκ δὲ τῶν θνητῶν ἁπάντων ὑμῖν ἀθανασίαν μόνοις καρπώσασθαι δίδωμι. ἐθέλω γὰρ, ἐθέλω καὶ ταύτης ὑμῖν μεταδοῦναι τῆς χάριτος, ὁλόκληρον χορηγῶν τὴν εὐεργεσίαν, ἀφθαρσίαν· καὶ λόγον χαρίζομαι ὑμῖν τὴν γνῶσιν τοῦ θεοῦ, τέλειον ἐμαυτὸν χαρίζομαι. τοῦτο εἰμὶ ἐγὼ, τοῦτο βούλεται ὁ θεὸς, τοῦτο συμφωνία ἐστὶ, τοῦτο ἁρμονία πατρὸς, τοῦτο υἱὸς, τοῦτο Χριστὸς, τοῦτο ὁ λόγος τοῦ θεοῦ, βραχίων κυρίου, δύναμις τῶν ὅλων, τὸ θέλημα τοῦ

*) Π. ρ. 220.

πατρὸς, ὧν πάλαι μὲν εἰκόνες, οὐ πᾶσαι δὲ ἐμφερεῖς, διορθώσασθαι ὑμᾶς πρὸς τὸ ἀρχέτυπον βούλομαι, ἵνα μοὶ καὶ ὅμοιοι γένησθε. χρίσω ὑμᾶς τῷ πίστεως ἀλείμματι, δι' οὗ τὴν φθορὰν ἀποβάλλετε, καὶ γυμνὸν δικαιοσύνης ἐπιδείξω τὸ σχῆμα, δι' οὗ πρὸς τὸν θεὸν ἀναβαίνετε· „δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς· ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πραΰς εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ, καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστός ἐστι καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν" *).

§. 121. Σπεύσωμεν, δράμωμεν, ὦ θεοφιλῆ καὶ θεοείκελα τοῦ λόγου ἀνθρωποι ἀγάλματα, σπεύσωμεν, δράμωμεν, ἄρωμεν τὸν ζυγὸν αὐτοῦ, ὑποβάλωμεν ἀφθαρσίᾳ καλὸν ἡνίοχον ἀνθρώπων, τὸν Χριστὸν ἀγαπήσωμεν, τὸν πῶλον ὑποζύγιον ἤγαγε σὺν τῷ παλαιῷ· καὶ τῶν ἀνθρώπων τὴν συνωρίδα καταζεύξας πρὸς ἀθανασίαν κατιθύνει τὸ ἅρμα, σπεύδων πρὸς τὸν θεὸν πληρῶσαι ἐναργῶς, ὃ ἡνίξατο πρότερον μὲν εἰς Ἱερουσαλὴμ, νῦν δὲ εἰσελαύνων οὐρανούς. κάλλιστον θέαμα τῷ πατρὶ υἱὸς ἄϊδιος νικηφόρος. φιλότιμοι τοίνυν πρὸς τὰ καλὰ καὶ θεοφιλεῖς ἄνθρωποι γενώμεθα καὶ τῶν ἀπαθῶν τὰ μέγιστα, θεὸν καὶ ζωὴν, κτησώμεθα. ἀρωγὸς δὲ ὁ λόγος, θαρρῶμεν P. 94 αὐτῷ καὶ μή ποτε ἡμᾶς τοσοῦτος ἀργύρου καὶ Pott. P. 34 χρυσοῦ, μὴ δόξης ἐπέλθοι πόθος, ὅσος αὐτοῦ Sylb. τοῦ τῆς ἀληθείας λόγου. οὐδὲ γὰρ οὐδὲ τῷ θεῷ αὐτῷ ἀρεστὸν, εἰ ἡμεῖς τὰ μὲν πλείστου ἄξια ὑπὲρ ἐλαχίστου ποιούμεθα, ἀνοίας δὲ καὶ ἀμαθίας καὶ ῥαθυμίας καὶ εἰδωλολατρείας ὕβρεις περιφανεῖς καὶ τὴν ἐσχάτην δυσσέβειαν περὶ πλείονος τιθέμεθα.

§. 122. Οὐ γὰρ ἄπο τρόπου φιλοσόφων παῖδες πάντα ὅσα πράττουσιν οἱ ἀνόητοι, ἀνοσιουργεῖν

*) Matth. 11, 28—30.

καὶ ἀσεβεῖν νομίζουσιν καὶ αὐτήν γε ἔτι τὴν ἄγνοιαν μανίας εἶδος ὑπογράφοντες οὐδὲν ἄλλο ἢ μεμηνέναι τοὺς πολλοὺς ὁμολογοῦσιν. οὐ δὴ οὖν ἀμφιβάλλειν, ἐρεῖ ὁ λόγος, ὁπότερον αὐτοῖν ἄμεινον σωφρονεῖν ἢ μεμηνέναι, ἐχομένους δὲ ἁπλῶς τῆς ἀληθείας παντὶ σθένει ἕπεσθαι χρὴ τῷ θεῷ σωφρονοῦντας καὶ πάντα αὐτοῦ νομίζειν, ὥσπερ ἐστί, πρὸς δὲ καὶ ἡμᾶς τὸ κάλλιστον τῶν κτημάτων μεμαθηκότας ὄντας αὐτοῦ, σφᾶς αὐτοὺς ἐπιτρέπειν τῷ θεῷ, ἀγαπῶντας κύριον τὸν θεὸν καὶ τοῦτο παρ' ὅλον τὸν βίον ἔργον ἡγουμένους. εἰ δὲ κοινὰ τὰ φίλων, θεοφιλὴς δὲ ὁ ἄνθρωπος τῷ θεῷ, καὶ γὰρ οὖν φίλος μεστεύοντος τοῦ λόγου, γίνεται δὴ οὖν τὰ πάντα τοῦ ἀνθρώπου, ὅτι τὰ πάντα τοῦ θεοῦ, καὶ κοινὰ ἀμφοῖν τοῖν φίλοιν τὰ πάντα, τοῦ θεοῦ καὶ ἀνθρώπου. ὥρα οὖν ἡμῖν μόνον τὸν θεοσεβῆ Χριστιανὸν εἰπεῖν πλούσιόν τε καὶ σώφρονα καὶ εὐγενῆ· καὶ ταύτῃ εἰκόνα τοῦ θεοῦ μεθ' ὁμοιώσεως καὶ λέγειν καὶ πιστεύειν δίκαιον καὶ ὅσιον, μετὰ φρονήσεως γενόμενον ὑπὸ Χριστοῦ Ἰησοῦ καὶ εἰς τοσοῦτον, ὅμοιον ἤδη καὶ θεῷ.

§. 123. Οὐκ ἀποκρύπτεται γοῦν ὁ προφήτης τὴν χάριν λέγων, „ἐγὼ εἶπον ὅτι θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες"*)· ἡμᾶς γὰρ, ἡμᾶς εἰσποιήται καὶ ἡμῶν ἐθέλει μόνων κεκλῆσθαι πατὴρ, οὐ τῶν ἀπειθούντων. καὶ γὰρ οὐκ ὠδέ πως ἔχει τὰ ἡμέτερα τῶν Χριστοῦ ὀπαδῶν, οἷαι μὲν αἱ βουλαὶ, τοῖοι καὶ οἱ λόγοι, ὁποῖοι δὲ οἱ λόγοι, τοιαίδε καὶ αἱ πράξεις, καὶ ὁποῖα τὰ ἔργα, τοιοῦτος ὁ βίος· χρηστὸς ὁ σύμπας ἀνθρώπων βίος τῶν Χριστὸν ἐγνωκότων. ἅλις οἶμαι τῶν λόγων, εἰ καὶ μακροτέρῳ προῆλθον ὑπὸ φιλανθρωπίας ὅ τί περ εἶχον ἐκ θεοῦ ἐκχέων, ὡσὰν ἐπὶ τὸ μέγιστον τῶν

*) Psalm. 82, 6.

ἀγαθῶν τὴν σωτηρίαν παρακαλῶν· περὶ γάρτοι τῆς παύλαν οὐδαμῆ οὐδαμῶς ἐχούσης ζωῆς οὐκ ἐθέλουσιν οὐδ' οἱ λόγοι παύσασθαι ποτε ἱεροφαντοῦντες. ὑμῖν δὲ ἔτι τοῦτο περιλείπεται πέρας τὸ λυσιτελοῦν ἑλέσθαι ἢ κρίσιν ἢ χάριν· ὡς ἔγωγε οὐδ' ἀμφιβάλλειν ἀξιῶ, πότερον ἄμεινον αὐτοῖν, οὐδὲ μὴν συγκρίνεσθαι θέμις ζωὴν ἀπωλείᾳ.

Συγκεκρότηται κρηπὶς ἀληθείας, ὦ παῖδες ὑμεῖς, ὑμῖν αὐτοῖς ἁγίου νεὼ μεγάλου θεοῦ θεμέλιος γνώσεως ἀραγὴς, προτρυπὴ καλὴ δι' ὑπακοῆς εὐλόγου ζωῆς ἀΐδιος ὄρεξις νοερῷ καταβληθεῖσα χωρίῳ.

CLEMENTIS ALEXANDRINI

PAEDAGOGUS

Argumentum.

Cap. I. Quid profiteatur *paedagogus* (§. 1 — 3.). C. II. Nos propter peccata nostra moderari paedagogum (§. 4 — 6). C. III. Benignum et hominum esse amantem paedagogum (§. 7 — 9.). C. VI. Verbum ex aequo virorum et mulierum esse paedagogum (§. 10. 11.). C. V. Omnes, qui circa veritatem versentur, esse apud deum pueros (§. 12 — 24.). C. VI. Adversus eos, qui existimant puerorum et infantium appellationem significare primarum disciplinarum doctrinam (§. 25 — 53.). C. VII. Quis sit paedagogus et de eius paedagogia (§. 54—62.). C. VIII. Aduersus eos, qui existimant non esse bonum id, quod iustum est (§. 63 — 76.). C. IX. Eiusdem esse potestatis et bene facere et iuste punire: in quo etiam dicatur, quis sit modus paedagogiae verbi (§. 72 — 90.). C. X. Eundem deum per idem verbum et a peccatis arcere, minantem; et humanae naturae salutem dare, adhortantem (§. 91 — 97.). C. XI. Per legem et prophetas verbum paedagogi functum fuisse officio (§. 98. 99.). C. XII. Paedagogum conuenienter paternae affectioni seueritate et benignitate vsum esse (§. 100 — 102.). C. XIII. Quem ad modum id, quod recte et ex virtute geratur, fiat ex recta ratione, ita rursus peccatum praeter rationem (§. 103 — 105.).

Cap. I.

Τί ἐπαγγέλλεται ὁ παιδαγωγός;

§. 1. *Τριῶν γέ τοι τούτων περὶ τὸν ἄνθρωπον ὄντων, ἠθῶν, πράξεων, παθῶν, ὁ προτρεπτι-*

κὸς εἴληχε τὰ ἤθη αὐτοῦ, θεοσεβείας καθηγεμὼν, τροπιδίου δίκην ὑποκείμενος λόγος εἰς οἰκοδομὴν πίστεως, ἐφ' ᾧ μάλα γαννύμενοι καὶ τὰς παλαιὰς ἀπομνύμενοι δόξας πρὸς σωτηρίαν νεάζομεν, ψαλλούσῃ συνάδοντες προφητείᾳ· „ὡς ἀγαθὸς τῷ Ἰσραὴλ ὁ θεὸς τοῖς εὐθέσι τῇ καρδίᾳ" *). πραξέων τε ἁπασῶν ὁ λόγος ἐπιστατεῖ ὁ ὑποθετικὸς, τὰ δὲ πάθη ὁ παραμυθητικὸς ἴαται, εἷς ὢν πᾶς ὁ αὐτὸς οὗτος λόγος, τῆς συντρόφου καὶ κοσμικῆς συνηθείας ἐξαρπάζων τὸν ἄνθρωπον, εἰς δὲ τὴν μονότροπον τῆς εἰς θεὸν πίστεως σωτηρίαν παιδαγωγῶν. ὁ γοῦν οὐράνιος ἡγεμὼν ὁ λόγος, ὁπηνίκα μὲν ἐπὶ σωτηρίαν παρεκάλει, προτρεπτικὸς ὄνομα αὐτῷ ἦν· ἰδίως οὗτος παρορμητικὸς ἐκ μέρους τὸ πᾶν προσαγορευόμενος P. λόγος, προτρεπτικὴ γὰρ ἡ πᾶσα θεοσέβεια, ζωῆς P τῆς νῦν καὶ τῆς μελλούσης ὄρεξιν ἐγγεννῶσα τῷ συγγενεῖ λογισμῷ· νυνὶ δὲ θεραπευτικός τε ὢν καὶ ὑποθετικὸς ἅμα ἄμφω, ἑπόμενος αὐτὸς αὑτῷ, παραινεῖ τὸ προτετραμμένον κεφάλαιον, τῶν ἐν ἡμῖν παθῶν ὑπισχνούμενος τὴν ἴασιν. κεκλήσθω δ' ἡμῖν ἐνὶ προσφυῶς οὗτος ὀνόματι παιδαγωγὸς, πρακτικὸς, οὐ μεθοδικὸς ὢν ὁ ποιδαγωγὸς, ᾗ καὶ τὸ τέλος αὐτοῦ βελτιῶσαι τὴν ψυχήν ἐστιν, οὐ διδάξαι, σώφρονός τε, οὐκ ἐπιστημονικοῦ καθηγήσασθαι βίου.

§. 2. Καί τοι καὶ διδασκαλικὸς ὁ αὐτός ἐστι λόγος, ἀλλ' οὐ νῦν· ὁ μὲν γὰρ ἐν τοῖς δογματικοῖς δηλωτικὸς καὶ ἀποκαλυπτικὸς, ὁ διδασκαλικὸς, πρακτικὸς δὲ ὢν ὁ παιδαγωγὸς πρότερον μὲν εἰς διάθεσιν ἠθοποιίας προὐτρέψατο, ἤδη δὲ καὶ εἰς τὴν τῶν δεόντων ἐνέργειαν παρακαλεῖ, τὰς ὑποθήκας τὰς ἀκηράτους παρεγγυῶν καὶ τῶν πεπλανημένων πρότερον τοῖς ὕστερον ἐπιδεικνὺς τὰς εἰκόνας. ἄμφω δὲ ὠφελιμώτατα, τὸ μὲν εἰς ὑπακοὴν, τὸ παραινετικὸν εἶδος, τὸ δὲ ἐν εἰκόνος μέρει παραλαμβανόμενον, διτ-

*) Psalm. 73, 1.

τὸν καὶ αὐτὸ παραπλησίως τῇ πρότερα συζυγίᾳ, τὸ μὲν αὐτοῦ ἵνα μιμώμεθα αἱρούμενοι τὸ ἀγαθὸν, τὸ δὲ ὅπως ἐκτρεπώμεθα παραιτούμενοι τὸ θάτερον.

§. 3. Ἴασις οὖν τῶν παθῶν ἐνθένδε ἔπεται κατὰ τὰς παραμυθίας τῶν εἰκόνων, ἐπιρρωννύντος τοῦ παιδαγωγοῦ τὰς ψυχὰς, καθάπερ ἠπίοις φαρμάκοις, ὑποθήκαις φιλανθρώποις εἰς τὴν παντελῆ τῆς ἀληθείας γνῶσιν τοὺς κάμνοντας διαιτωμένου. ἴσαι δ' οὐκ ἔστον ὑγιεία καὶ γνῶσις, ἀλλ' ἡ μὲν μαθήσει, ἡ δὲ ἰάσει περιγίνεται. οὐκ ἂν οὖν τις νοσῶν ἔτι πρότερόν τι τῶν διδασκαλικῶν ἐκμάθοι, πρὶν ἢ τέλεον ὑγιᾶναι, οὐδὲ γὰρ ὡσαύτως πρὸς τοὺς μανθάνοντας ἢ κάμνοντας ἀεὶ τῶν παραγγελμάτων ἕκαστον λέγεται, ἀλλὰ πρὸς οὓς μὲν εἰς γνῶσιν, πρὸς οὓς δὲ εἰς ἴασιν. καθάπερ οὖν τοῖς νοσοῦσι τὸ σῶμα ἰατροῦ χρῄζει, ταύτῃ καὶ τοῖς ἀσθενοῦσι τὴν ψυχὴν παιδαγωγοῦ δεῖ, ἵν' ἡμῶν ἰάσηται τὰ πάθη. εἶτα δὲ δεῖ διδασκάλου, ὃς καθηγήσεται καθαρὰν πρὸς γνώσεως ἐπιηδειότητα εὐ τρεπίζων τὴν ψυχὴν, δυναμένην P. 99 χωρῆσαι τὴν ἀποκάλυψιν τοῦ λόγου. σπεύδων δὲ Pott. ἆρα τελειῶσαι σωτηρίῳ ἡμᾶς βαθμῷ καταλλήλῳ εἰς παίδευσιν ἐνεργῇ, τῇ καλῇ συγχρῆται οἰκονομίᾳ ὁ πάντα φιλάνθρωπος λόγος, προτρέπων ἄνωθεν, ἔπειτα παιδαγωγῶν, ἐπὶ πᾶσιν ἐκδιδάσκων.

Cap. II.

Ὅτι διὰ τὰς ἁμαρτίας ἡμῶν ὁ παιδαγωγὸς ἐπιστατεῖ.

§. 4. Ἔοικεν δὲ ὁ παιδαγωγὸς ἡμῶν, ὦ παῖδες ὑμεῖς, τῷ πατρὶ αὐτοῦ τῷ θεῷ, οὗπερ ἐστὶν υἱὸς ἀναμάρτητος, ἀνεπίληπτος καὶ ἀπαθὴς τὴν ψυχὴν, θεὸς ἐν ἀνθρώπου σχήματι ἅχραντος, πατρικῷ θελήματι διάκονος, λόγος θεὸς, ὁ ἐν τῷ πατρὶ, ὁ ἐκ δεξιῶν τοῦ πατρὸς, σὺν καὶ τῷ σχήματι θεός·

οὗτος ἡμῖν εἰκὼν ἡ ἀκηλίδωτος, τούτῳ παντὶ σθένει πειρατέον ἐξομοιοῦν τὴν ψυχήν· ἀλλ' ὁ μὲν ἀπόλυτος εἰς τὸ παντελὲς ἀνθρωπίνων παθῶν, διὰ τοῦτο γὰρ καὶ μόνος κριτής, ὅτι ἀναμάρτητος μόνος· ἡμεῖς δὲ ὅση δύναμις, ὡς ὅτι ἐλάχιστα ἁμαρτάνειν πειρώμεθα. κατεπείγει γὰρ τοσοῦτον οὐδέν, ὡς ἡ τῶν παθῶν καὶ νοσημάτων ἀπαλλαγὴ πρῶτον, ἔπειτα δὲ καὶ ἡ κώλυσις τῆς εἰς τὴν συνήθειαν τῶν ἁμαρτημάτων ἐνεμπτωσίας. ἄριστον μὲν οἶν τὸ μηδ' ὅλως ἐξαμαρτάνειν κατὰ μηδένα τρόπον, ὃ δή φαμεν εἶναι θεοῦ· δεύτερον δὲ μηδενὸς τῶν κατὰ γνώμην ἐφάψασθαί ποτε ἀδικημάτων, ὅπερ οἰκεῖον σοφοῦ· τρίτον μὴ πάνυ πολλοῖς τῶν ἀκουσίων περιπεσεῖν, ὅπερ ἴδιον παιδαγωγουμένων εὐγενῶς· τὸ δὲ μὴ ἐπιμή- P. 100
κιστον διατρῖψαι τοῖς ἁμαρτήμασιν τελευταῖον τε- Pott
τάχθω. ἀλλὰ καὶ τοῦτο δὲ τοῖς εἰς μετάνοιαν ἀνακαλουμένοις ἀναμαχέσασθαι σωτήριον

P. 36 §. 5. *Καί μοι δοκεῖ παγκάλως διὰ Μωϋσέως*
Syb. *φάσκειν ὁ παιδαγωγός· „ἐάν τις ἀποθάνῃ ἐπ' αὐτῷ*
αἰφνίδιον, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς
αὐτοῦ καὶ ξυρήσεται" *), *τὴν ἀκούσιον ἁμαρτίαν αἰφνίδιον θάνατον προσειπών· μιαίνειν δὲ αὐτὸν λέγει κηλιδοῦντα τὴν ψυχήν, διὸ καὶ τὴν θεραπείαν, ᾗ τάχος, ὑποτίθεται, ξυρᾶσθαι παραχρῆμα τὴν κεφαλὴν συμβουλεύων, τὰς ἐπισκιαζούσας τῷ λογισμῷ τῆς ἀγνοίας κόμας ἀποψήξασθαι παραινῶν, ὡς γυμνὸν δασείας καταληφθέντα ὕλης τῆς κακίας τὸν λογισμόν· ἐνθρονίζεται δὲ οὗτος ἐν ἐγκεφάλῳ ἐπὶ τὴν μετάνοιαν παλινδρομῆσαι. ἔπειτα ὀλίγα προσειπὼν ἐπιφέρει· „αἱ δὲ ἡμέραι αἱ πρότεραι ἄλογοι"* **), *δι' ὧν δῆλον ὅτι αἱ ἁμαρτίαι μηνύονται αἱ μὴ γεγονυῖαι κατὰ λόγον. καὶ τὸ μὲν ἀκούσιον αἰφνίδιον προσεῖπε, τὸ δὲ ἁμαρτάνειν ἄλογον. οὗ δὴ χάριν ὁ λόγος ὁ παιδαγωγὸς τὴν ἐπιστασίαν εἴληχεν εἰς τὴν ἀλόγου κώ-*

*) Num. 6, 9. **) Ibid. v. 12.

λυσιν ἁμαρτίας. σκόπει δὲ ἐνθένδε ἀπὸ τῆς γραφῆς· διὰ τοῦτο τάδε λέγει κύριος, τὸ ἁμάρτημα ἐλεγκτικῶς τὸ προϋπάρξαν διὰ τῆς ἑπομένης δείκνυται ῥήσεως, καθὸ ἡ δικαία κρίσις ἕπεται. καὶ τοῦτο ἐμφανὲς διὰ τῶν προφητῶν καταφαίνεται „ὡς εἰ μὴ ἥμαρτες" λεγόντων, „οὐκ ἂν τάδε ἠπείλησεν"· καὶ „διὰ τοῦτο οὕτως λέγει κύριος· ἀνθ' ὧν οὐκ ἠκούσατε τῶν λόγων τούτων, διὰ τοῦτο τάδε λέγει κύριος". καὶ „διὰ τοῦτο ἰδοὺ λέγει κύριος"*). διὰ τοῦτο γὰρ ἡ προφητεία δι' ὑπακοὴν καὶ παρακοήν, δι' ἣν μὲν ἵνα σωθῶμεν, δι' ἣν δὲ ἵνα παιδευθῶμεν.

§. 6. Ἔστιν οὖν ὁ παιδαγωγὸς ἡμῶν λόγος διὰ παραινέσεων θεραπευτικὸς τῶν παρὰ φύσιν τῆς ψυχῆς παθῶν. κυρίως μὲν γὰρ ἡ τῶν τοῦ σώματος νοσημάτων βοήθεια ἰατρικὴ καλεῖται τέχνη, ἀνθρωπίνη σοφία διδακτή. λόγος δὲ ὁ πατρικὸς μόνος ἐστὶν ἀνθρωπίνων ἰατρὸς ἀρρωστημάτων παιώνιος καὶ ἐπῳδὸς ἅγιος νοσούσης ψυχῆς. „σῶσον τὸν δοῦλόν σου, φησὶν ὁ θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σοί· ἐλέησόν με, κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν"**). ἰατρικὴ μὲν γὰρ κατὰ Δημόκριτον σώματος νούσους ἀκέεται, σοφίη δὲ ψυχὴν παθῶν ἀφαιρέεται· ὁ δὲ ἀγαθὸς παιδαγωγός, ἡ σοφία, ὁ λόγος τοῦ πατρὸς, ὁ δημιουργήσας τὸν ἄνθρωπον, ὅλου κήδεται τοῦ πλάσματος, καὶ σῶμα καὶ ψυχὴν ἀκεῖται αὐτοῦ ὁ παναρκὴς τῆς ἀνθρωπότητος ἰατρὸς ὁ σωτήρ· „ἀνάστα", φησὶ τῷ παραλυτικῷ, „τὸν σκίμποδα ἐφ' ὃν κατάκεισαι λαβὼν ἄπιθι οἶκαδε"***). παραχρῆμα δὲ ὁ ἄρρωστος ἐρρώσθη. καὶ τῷ τεθνεῶτι, „λάζαρε", εἶπεν, „ἔξιθι"†)· ὁ δὲ ἐξῆλθε τῆς σορσοῦ ὁ νεκρὸς, οἷος ἦν πρὶν ἢ παθεῖν, μελετήσας τὴν ἀνάστασιν. καὶ μὴν καὶ καθ' αὑτὴν ἰᾶται τὴν ψυχὴν ἐντολαῖς καὶ χαρίσμασιν, ἀλλὰ ταῖς P. 101 Pott.

*) Cf. Ierem. 7. **) Psalm. 86, 2. 3. ***) Marc. 2, 11. †) Ioann. 11, 43.

μὲν ὑποθήκαις τάχα δὴ μέλλει, χαρίσμασι δὲ πλούσιος. „ἀφέωνταί σοι αἱ ἁμαρτίαι" τοῖς ἁμαρτωλοῖς ἡμῖν λέγει. ἡμεῖς δὲ ἅμα νοήματι νήπιοι γεγόναμεν, τὴν ἀρίστην καὶ βεβαιοτάτην τάξιν παρὰ τῆς αὐτοῦ εὐταξίας μεταλαμβάνοντες, ἢ τρῶτον μὲν ἀμφὶ τὸν κόσμον καὶ τὸν οὐρανὸν τάς τε ἡλιακὰς περιδινήσεις κυκλεῖται καὶ τῶν λοιπῶν ἄστρων τὰς φορὰς ἀσχολεῖται διὰ τὸν ἄνθρωπον, ἔπειτα δὲ περὶ τὸν ἄνθρωπον αὐτὸν, περὶ ὃν ἡ πᾶσα σπουδὴ καταγίνεται· καὶ τοῦτον ἔργον ἡγουμένη μέγιστον, ψυχὴν μὲν αὐτοῦ φρονήσει καὶ σωφροσύνῃ κατηύθυνε, τὸ δὲ σῶμα κάλλει καὶ εὐρυθμίᾳ συνεκεράσατο, περὶ δὲ τὰς πράξεις τῆς ἀνθρωπότητος τύ τε ἐν αὐταῖς κατορθοῦν καὶ τὸ εὔτακτον ἐνέπνευσε τὸ αὐτῆς.

Cap. III.

Ὅτι φιλάνθρωπος ὁ παιδαγωγός.

§. 7. Πάντα ὀνίνησιν ὁ κύριος καὶ πάντα ὠφελεῖ καὶ ὡς ἄνθρωπος καὶ ὡς θεὸς, τὰ μὲν ἁμαρτήματα ὡς θεὸς ἀφεὶς, εἰς δὲ τὸ μὴ ἐξαμαρτάνειν παιδαγωγῶν ὡς ἄνθρωπος. εἰκότως ἄρα φίλος ὁ ἄνθρωπος τῷ θεῷ, ἐπεὶ καὶ πλάσμα αὐτοῦ ἐστί· καὶ τὰ μὲν ἄλλα κελεύων μόνον πεποίηκεν, τὸν δὲ ἄνθρωπον δι' αὐτοῦ ἐχειρούργησεν καί τι αὐτῷ ἴδιον ἐνεφύσησεν. τὸ οὖν ὑπ' αὐτοῦ καὶ πρὸς αὐτὸν ἀπεικονισμένον, ἢ ὡς δι' αὐτὸ αἱρετὸν τῷ θεῷ, ὑπ' αὐτοῦ δεδημιούργηται τοῦ θεοῦ, ἢ ὡς ἕνεκεν ἄλλου P. 102 αἱρετὸν διαπέπλασται. εἰ μὲν οὖν δι' αὐτὸ αἱρε- Pott. τὸν ἀγαθὸς ὢν ἀγαθὸν ἠγάπησεν, καὶ τὸ φίλτρον ἔνδον ἐστὶν ἐν τῷ ἀνθρώπῳ τοῦθ' ὅπερ ἐμφύσημα λέγεται θεοῦ, εἰ δὲ ἕνεκεν τῶν ἄλλων ὁ ἄνθρωπος αἱρετὸν γέγονεν, οὐκ ἄλλην αἰτίαν ἔσχε τοῦ ποιεῖν αὐτὸν ὁ θεὸς ἢ ὡς οὐκ ἄνευ αὐτοῦ οἷόν τε ὄντος

τὸν μὲν γενέσθαι δημιουργὸν ἀγαθὸν, τὸν δὲ εἰς γνῶσιν ἀφικέσθαι θεοῦ. οὐ γὰρ ἄλλως ἂν τὸ οὗ ἕνεκεν ἄνθρωπος γέγονεν ἐποίησεν ὁ θεὸς, εἰ μὴ ἄνθρωπος ἐγεγόνει· καὶ ἣν εἶχεν ἐναποκεκρυμμένην ἰσχὺν τῷ βούλεσθαι ὁ θεὸς, διὰ τῆς ἔξωθεν τοῦ πεποιηκέναι προσανεπλήρωσεν δυνάμεως, λαβὼν παρὰ ἀνθρώπου ὃ πεποίηκεν ἄνθρωπον καὶ ὃν εἶχεν εἰδὲν καὶ γέγονεν ὃ ἠθέλησεν· οὐδὲν δὲ ὃ μὴ δύναται θεός.

§. 8. Ὁ ἄνθρωπος ἄρα ὃν πεποίηκεν ὁ θεὸς, διὸ αὐτὸν αἱρετόν ἐστιν, τὸ δὲ δι' αὐτὸν αἱρετὸν οἰκεῖόν ἐστιν ὅτῳ περ ἂν ᾖ δι' αὐτὸν αἱρετὸν, τοῦτο δὲ καὶ ἀσμενιστὸν καὶ φιλητόν. ἀλλὰ καὶ φιλητὸν μέν τί ἐστιν, οὐχὶ δὲ καὶ φιλεῖται ὑπ' αὐτοῦ; φιλητὸς δὲ ὁ ἄνθρωπος ἀποδέδεικται, φιλεῖται ἄρα πρὸς τοῦ θεοῦ ὁ ἄνθρωπος. πῶς γὰρ οὐ φιλεῖται, δι' ὃν ὁ μονογενὴς ἐκ κόλπων πατρὸς καταπέμπεται λόγος τῆς πίστεως; ἡ πίστις ἐκ περιουσίας, αὐτὸς σαφῶς ὁ κύριος ὁμολογῶν καὶ λέγων· „αὐτὸς γὰρ ὁ πατὴρ φιλεῖ ὑμᾶς, ὅτι ὑμεῖς ἐμὲ πεφιλήκατε" *). καὶ πάλιν ὁ αὐτός· „καὶ ἠγάπησας αὐτοὺς, καθὼς ἐμὲ ἠγάπησας" **). τί μὲν οὖν ὁ παιδαγωγὸς βούλεται καὶ τί ἐπαγγέλλεται, ἐν ἔργῳ καὶ λόγῳ διακείμενος καὶ ὑπαγορεύσει μὲν τῶν πρακτέων, ἀπαγορεύσει δὲ τῶν ἐναντίων ἤδη ποὺ δῆλον. σαφὲς δὲ ὡς ἄρα θάτερον εἶδος τῶν λόγων τὸ διδασκαλικὸν ἰσχνόν τέ ἐστι καὶ πνευματικὸν, ἀκριβολογίας ἐχόμενον, τὸ ἐποπτικὸν, ὃ δὴ ὑπερκείσθω τὰ νῦν.

§. 9. Καθήκει δ' ἡμῖν ἀνταγαπᾶν μὲν τὸν καθηγούμενον ἀγαπητικῶς ἀρίστου βίου, βιοῦν δὲ πρὸς τὰ διατάγματα τῆς δι' αὐτοῦ προαιρέσεως, οὐ μόνον ἐπιτελοῦντας τὰ προσταττόμενα ἢ παραφυλάττοντας τὰ ἀπαγορευόμενα, ἀλλὰ καὶ τῶν εἰκόνων τὰς μὲν ἐκτρεπομένους, τὰς δὲ ὡς ἔνι μάλιστα μιμουμένους ἐπιτελεῖν καθ' ὁμοίωσιν τὰ ἔργα τοῦ παιδαγωγοῦ,

*) Ioann. 16, 27. **) Ibid. 17, 23.

ἵνα δὴ τὸ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν πληρώσῃ*). ὡς γὰρ ἐν σκότῳ βαθεῖ ἀλώμενοι τῷ βίῳ ἀπταίστου καὶ ἀκριβοῦς καθοδηγοῦ δεόμεθα. ὁδηγὸς δὲ ἄρι- P. 103
στος οὐχὶ τυφλὸς, καθά φησιν ἡ γραφὴ, „τυφλοὺς Pott
δ εἰς τὰ βάραθρα χειραγωγῶν"**), ὀξὺ δὲ ὁ βλέπων καὶ διορῶν τὰ ἐγκάρδια λόγος. καθάπερ οὖν οὐκ ἔστι φῶς ὃ μὴ φωτίζει οὐδὲ κινοῦν ὃ μὴ κινεῖ οὐδὲ φιλοῦν ὃ μὴ φιλεῖ, οὐδὲ ἀγαθόν ἐστιν ὃ μὴ ὠφελεῖ καὶ εἰς σωτηρίαν καθοδηγεῖ. ἄγωμεν οὖν τὰς ἐντο-
10λὰς δι' ἔργων τοῦ κυρίου, καὶ γὰρ ὁ λόγος αὐτὸς ἐναργῶς σὰρξ γενόμενος***) τὴν αὐτὴν ἀρετὴν πρακτικὴν ἅμα καὶ θεωρητικὴν ἐπιδεικνὺς, καὶ δὴ νόμον ὑπολαμβάνοντες τὸν λόγον, τὰς ἐντολὰς καὶ τὰς ὑποθημοσύνας αὐτοῦ τὰς συντόμους ὁδοὺς καὶ συντό-
15νους εἰς ἀϊδιότητα γνωρίσωμεν, πειθοῦς γὰρ ἀνάπλεως, οὐ φόβου, τὰ προστάγματα.

Cap. IV.

Ὅτι ἐπίσης ἀνδρῶν τε καὶ γυναικῶν ὁ λόγος παιδαγωγός ἐστιν.

§. 10. Ταύτην τοίνυν πλέον τὴν ἀγαθὴν ἀσπα-
20σάμενοι πειθαρχίαν σφᾶς αὐτοὺς ἐπιδῶμεν κυρίῳ, τὸν βεβαιότατον τῆς πίστεως αὐτοῦ ἐξαψάμενοι κάλων, τὴν αὐτὴν ἀρετὴν ἀνδρὸς καὶ γυναικὸς εἶναι νενοηκότες. εἷ γὰρ ἀμφοῖν ὁ θεὸς εἷς, εἷς δὲ καὶ ὁ παιδαγωγὸς ἀμφοῖν, μία ἐκκλησία, μία σωφροσύνη,
25αἰδὼς μία, ἡ τροφὴ κοινὴ, γάμος συζύγιος, ἀναπνοὴ, ὄψις, ἀκοὴ, γνῶσις, ἐλπὶς, ὑπακοὴ, ἀγάπη, ὅμοια πάντα. ὧν δὲ κοινὸς μὲν ὁ βίος, κοινὴ δὲ ἡ χάρις, κοινὴ δὲ καὶ ἡ σωτηρία, κοινὴ τούτων καὶ ἡ ἀγάπη καὶ ἡ

*) Cf. Genes. 1, 26. **) Matth. 15, 14. ***) Cf. Ioann. 1, 14.

ἀγωγή. „ἐν γὰρ τῷ αἰῶνι τούτῳ", φησὶ, „γαμοῦσι καὶ γαμίσκονται" *), ἐν ᾧ δὴ μόνῳ τὸ θῆλυ τοῦ ἄρρενος διακρίνεται, „ἐν ἐκείνῳ δὲ οὐκέτι", ἔνθα τοῦ κοινωνικοῦ καὶ ἁγίου τούτου βίου τοῦ ἐκ συζυγίας τὰ ἔπαθλα, οὐκ ἄρρενι καὶ θηλείᾳ, ἀνθρώπῳ δὲ ἀπόκειται, ἐπιθυμίας διχαζούσης αὐτὸν κεχωρισμένον.

§. 11. Κοινὸν οὖν καὶ τοὔνομα ἀνδράσι καὶ γυναιξὶν ὁ ἄνθρωπος. ταύτῃ μοὶ δοκοῦσιν οἱ Ἀττικοὶ παιδάριον ἐπικοίνως οὐ μόνον τὸ ἄρρεν, ἀλλὰ καὶ τὸ θῆλυ κεκληκέναι, εἴ τῳ πιστὸς καταφαίνεται ὁ κωμικὸς ἐν ῥαπιζομένῃ Μένανδρος ὧδέ πως λέγων· P. 104 Pott.

τοὐμὸν θυγάτριον, πάνυ γάρ ἐστι τῇ φύσει
*** φιλάνθρωπον τὸ παιδάριον σφόδρα.

ἄρρην δὲ δὴ ἐπίκοινόν ἐστιν ἀφελείας ὄνομα ἄρρενός τε καὶ θήλεος ζώου. αὐτὸς δὲ ἡμᾶς ὁ κύριος ποιμαίνει εἰς τοὺς αἰῶνας, ἀμήν. ἄνευ δὲ ποιμένος οὔτε πρόβατα οὔτε ἄλλο οὐδέν πω βιωτέον, οὐδὲ δὴ παῖδας ἄνευ τοῦ παιδαγωγοῦ οὐδὲ μὴν οἰκέτας ἄνευ τοῦ δεσπότου.

Cap. V.

Ὅτι πάντες οἱ περὶ τὴν ἀλήθειαν καταγινόμενοι παῖδες παρὰ τῷ Θεῷ.

§. 12. Ὅτι μὲν οὖν ἡ παιδαγωγία παίδων ἐστὶν ἀγωγὴ σαφὲς ἐκ τοῦ ὀνόματος· λοιπὸν δέ ἐστι τοὺς παῖδας ἐπιθεωρῆσαι, οὓς αἰνίττεται ἡ γραφὴ, εἶτα τὸν παιδαγωγὸν αὐτοῖς ἐπιστῆσαι· οἱ παῖδες ἡμεῖς, πολλαχῶς δὲ ἡμᾶς ἐξυμνεῖ πολυτρόπως τε ἀλληγορεῖ, ὀνόμασι ποικίλοις τὸ ἀφελὲς τῆς πίστεως ἐξαλλάττουσα ἡ γραφή. ἐν γοῦν τῷ εὐαγγελίῳ „σταθεὶς", φησὶν, „ὁ κύριος ἐπὶ τῷ αἰγιαλῷ πρὸς τοὺς μαθητὰς" — ἁλιεύοντες δὲ ἔτυχον — „ἐνεφώνησέν τε

*) Luc. 20, 34.

παιδία, μή τι ὄψον ἔχετε" *); τοὺς ἤδη ἐν ἕξει τῶν γνωρίμων παῖδας προσειπών. „προσήνεγκάν τε αὐτῷ", φησί, „παιδία εἰς χειροθεσίαν εὐλογίας, κωλυόντων δὲ τῶν γνωρίμων, εἶπεν ὁ Ἰησοῦς· ἄφετε τὰ παιδία καὶ μὴ κωλύετε αὐτὰ ἐλθεῖν πρός με, τῶν γὰρ τοιούτων ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν" **). τί βούλεται τὸ λεχθέν, αὐτὸς διασαφήσει ὁ κύριος λέγων· „ἐὰν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία ταῦτα, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν" ***)· οὐ τὴν ἀναγέννησιν ἐνταῦθα ἀλληγορῶν, ἀλλὰ τὴν ἐν παισὶν ἁπλότητα εἰς ἐξομοίωσιν παρακατατιθέμενος ἡμῖν. τοὺς παῖδας ἡμᾶς καὶ τὸ προφητικὸν ἐκλέγεται πνεῦμα· „δρεψάμενοι", φησί, „κλάδους ἢ φοινίκων οἱ παῖδες ἐξῆλθον εἰς ἀπάντησιν κυρίῳ καὶ ἐκέκραγον λέγοντες· ὡσαννὰ τῷ υἱῷ Δαβὶδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, φῶς καὶ δόξα καὶ αἶνος μεθ' ἱκετηρίας τῷ κυρίῳ" †)· τοῦτο γὰρ ἐμφαίνει ἑρμηνευόμενον ἑλλὰδι φωνῇ τὸ ὡσαννά.

§. 13. Καί μοι δοκεῖ ἡ γραφὴ ταύτην αἰνιττομένη τὴν προφητείαν τὴν προειρημένην ἐν ὀνείδους μέρει τοῖς ῥᾳθύμοις ἐγκαλεῖν· „οὐδέ ποτε ἀνέγνωτε ὅτι ἐκ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον" ††)· τοῦτό τοι καὶ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ μυωπίζει τοὺς γνωρίμους προσέχειν αὐτῷ, παρορμῶν ὡς ἤδη σπεύδων πρὸς τὸν πατέρα, ὀρεκτικωτέρους παρασκευάζων τοὺς ἀκροατὰς, μετ' ὀλίγον ἀπεῖναι προμηνύων, ὡς δέον αὐτοῖς ἀποκαρπίζεσθαι τῆς ἀληθείας ἀφειδέστερον δηλῶν καὶ ὅσον οὐδέπω ἀπαίροντος εἰς οὐρανὸν τοῦ λόγου. πάλιν οὖν αὐτοὺς παιδία καλεῖ, φησὶ γὰρ, „παιδία, ἔτι μικρὸν μεθ' ὑμῶν εἰμί" †††). αὖθις τε παιδίοις ὁμοιοῖ τὴν βασιλείαν τῶν οὐρανῶν „ἐν ἀγοραῖς καθημένοις καὶ

*) Ioann. 21, 4. 5. **) Matth. 19, 14. ***) Ibid. 18, 3. †) Ibid. 21, 9. ††) Ibid. v. 16. cf. Psalm. 8, 3. †††) Ioann. 13, 33.

λέγουσιν· ηὐλήσαμεν ὑμῖν καὶ οὐκ ὠρχήσασθε, ἐθρηνήσαμεν καὶ οὐκ ἐκόψασθε"*), καὶ ὅσα ἄλλα τούτοις οἰκείως ἐπήγαγεν. καὶ οὅτι γε μόνον τὸ εὐαγγέλιον ταύτῃ φρονεῖ, ὁμοδοξεῖ δὲ αὐτῷ καὶ ἡ προφητεία. λέγει γοῦν Δαβὶδ· „αἰνεῖτε παῖδες, κύριον, αἰνεῖτε τὸ ὄνομα κυρίου"**). λέγει δὲ καὶ διὰ Ἡσαΐου „ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἃ μοι ἔδωκεν ὁ θεός"***).

§. 14. Θαυμάζεις ἀκούων τοὺς ἄνδρας τοὺς ἐν ἔθνεσι παῖδας παρὰ κυρίῳ; οὗ μοι δοκεῖς Ἀττικῆς ἐπαΐειν φωνῆς, παρ' ἧς ἔστιν ἐκμαθεῖν τὰς καλὰς καὶ ὡραίας, ἔτι δὲ καὶ ἐλευθέρας νεάνιδας παιδίσκας καλουμένας, παιδισκάρια δὲ τὰς δούλας, καὶ νεάνιδας δὲ καὶ αὐτὰς πρὸς τὸ εὐθαλὲς τῆς παιδικῆς ἡλικίας ὑποκοριστικῶς τιμωμένας. καὶ τὰ ἀρνία δέ μου ὅταν λέγῃ „στήτω ἐκ δεξιῶν"†), τοὺς ἀφελεῖς αἰνίττεται παῖδας, ὡς ἄρνας οὐκ ἄνδρας καὶ πρόβατα ὄντας κατὰ γένος, τὰ δὲ ἀρνία προνομίας ἠξίωσεν τὴν ἐν ἀνθρώποις ἀπαλότητα καὶ ἁπλότητα τῆς διανοίας τὴν ἀκακίαν προτιμῶν. αὖθίς τε ὅταν φῇ, „ὡς μοσχάρια γαλαθηνὰ"††), ἡμᾶς πάλιν ἀλληγορεῖ καὶ P. 106 „ὡς περιστερὰν ἄκακον καὶ ἄχολον" πάλιν ἡμᾶς. Pott. νεοττούς τε ἔτι δύο περιστερῶν ἢ τρυγόνων ζεῦγος ὑπὲρ ἁμαρτίας κελεύει καὶ διὰ Μωϋσέως προσφέρεσθαι†††), τὸ ἀναμάρτητον τῶν ἀπαλῶν καὶ ἄκακον καὶ ἀμνησίκακον τῶν νεοττῶν εὐπρόσδεκτον εἶναι λέγων τῷ θεῷ καὶ τὸ ὅμοιον τοῦ ὁμοίου καθάρσιον ὑφηγούμενος· ἀλλὰ καὶ τὸ δειλὸν τῶν τρυγόνων, τὴν πρὸς τὰς ἁμαρτίας εὐλάβειαν ὑποτυποῦται. ὅτι δὲ ἡμᾶς, τοὺς νεοττοὺς λέγει, μάρτυς ἡ γραφή· „ὃν τρόπον ὄρνις συνάγει τὰ νοσσία ὑπὸ τὰς πτέρυγας αὐτῆς"*), οὕτως ἐσμὲν νεοττοὶ κυρίου, θαυμαστῶς πάνυ καὶ μυστικῶς τοῦ λόγου τὴν ἁπλότητα τῆς ψυ-

*) Matth. 11, 16. 17. **) Psalm. 113, 1. ***) Ies. 8, 18. †) Matth. 25, 33. cl. Ioann. 21, 15. ††) 2 Reg. 17, 24. Amos 6, 4. cl. Luc. 10, 16. †††) Leuit. 15, 29. 12, 16. Luc. 2, 24. *) Matth. 23, 37.

χῆς εἰς ἡλικίαν ὑπογραφομένου παιδικήν. πῆ μὲν γὰρ παῖδας ἡμᾶς καλεῖ, πῆ δὲ νεοττοὺς, ἔσθ' ὅτε δὲ νηπίους, υἱοὺς δὲ ἀλλαχόθι καὶ τέκνα πολλάκις καὶ λαὸν νέον καὶ λαὸν καινόν· „τοῖς δὲ δούλοις μου", φησὶ, „κληθήσεται ὄνομα καινόν" —νέον ὄνομα λέγει τὸ καινὸν καὶ ἀΐδιον, ἄχραντον καὶ ἁπλοῦν καὶ νήπιον καὶ ἀληθινόν — „ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς" *).

§. 15. Ἀλλ' ἡγεμόνων δὲ αὖθις ἡμᾶς πώλους καλεῖ, τοὺς ἀζυγεῖς κακίᾳ, τοὺς ἀδαμάστους πονηρίᾳ, ἀφελεῖς δὲ καὶ πρὸς αὐτὸν μόνον τὸν πατέρα σκιρτητικοὺς, οὐχὶ „τοὺς ἐπὶ ταῖς τῶν πλησίον γυναιξὶ χρεμετίζοντας ἵππους, τοὺς ὑποζυγίους καὶ θηλυμανεῖς" **), ἀλλὰ τοὺς ἐλευθέρους καὶ νεογνοὺς, τοὺς γαύρους διὰ τὴν πίστιν, τοὺς εἰς ἀλήθειαν εὐδρόμους, τοὺς ταχεῖς πρὸς σωτηρίαν, τοὺς καταπατοῦντας καὶ προαινοντας τὰ κοσμικά. „χαῖρε σφόδρα, θύγατερ Σιών· κήρυσσε, θύγατερ Ἰερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος, πραΰς καὶ σώζων, καὶ αὐτὸς πρᾶος καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον" ***). οὐκ ἤρκει τὸ πῶλον εἰρηκέναι μόνον, ἀλλὰ καὶ τὸν νέον προσέθηκεν αὐτῷ, τὴν ἐν Χριστῷ νεολαίαν τῆς ἀνθρωπότητος καὶ ἀγήρω μετὰ ἀπλότητος ἀϊδιότητα ἐμφαίνων. τοιούτους δὲ ἡμᾶς νέους πώλους τοὺς νηπίους ὁ θεῖος ἡμῶν πωλοδάμνης ἀνατρέφει. εἰ δὲ καὶ ὄνος εἴη ὁ νέος ἐν τῇ γραφῇ, πλὴν ἀλλὰ πῶλος ὄνου καὶ οὗτος. „καὶ τὸν πῶλον", P. 10
φησὶ, „προσέδησεν ἀμπέλῳ" †)· ἁπλοῦν τοῦτον καὶ Pos
νήπιον λαὸν τῷ λόγῳ προσδήσας, ὃν ἄμπελον ἀλληγορεῖ· φέρει γὰρ οἶνον ἡ ἄμπελος, ὡς αἷμα ὁ λόγος, ἄμφω δὲ ἀνθρώποις ποτὸν εἰς σωτηρίαν, ὁ μὲν οἶνος τῷ σώματι, τὸ δὲ αἷμα τῷ πνεύματι. ὡς δὲ καὶ ἄρνας ἡμᾶς λέγει, ἐχέγγυος μάρτυς διὰ Ἡσαΐου τὸ

*) Ies. 65, 15. 16. **) Ierem. 5, 8. ***) Zach. 9, 9. †) Genes. 49, 11.

πνεῦμα· „ὡς ποιμὴν ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ καὶ τῷ βραχίονι αὐτοῦ συλλέξει ἄρνας“ *), τὸ ἔτι ἁπαλώτερον τῶν προβάτων εἰς ἀφέλειαν ἄρνας ἀλληγορῶν.

§. 16. Ἀμέλει καὶ ἡμεῖς τὰ κάλλιστα καὶ τελεώτατα τῶν ἐν τῷ βίῳ κτημάτων παιδικῇ προσηγορίᾳ τιμήσαντες παιδείαν καὶ παιδαγωγίαν κεκλήκαμεν. παιδαγωγίαν δὲ ὁμολογοῦμεν εἶναι ἀγωγὴν ἀγαθὴν ἐκ παίδων πρὸς ἀρετήν. ἐμφαντικώτερον δ' οὖν ἡμῖν ἀποκαλύπτων ὁ κύριος τὸ σημαινόμενον ἐκ τῆς παιδίων προσηγορίας γενομένης ζητήσεως ἐν τοῖς ἀποστόλοις, „ὅστις αὐτῶν εἴη μείζων, ἔστησεν ὁ Ἰησοῦς ἐν μέσῳ παιδίον εἰπών· ὃς ἐὰν ἑαυτὸν ταπεινώσῃ ὡς τὸ παιδίον τοῦτο, οὗτος μείζων ἐστὶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν“ **). οὐκ ἄρα κατακέχρηται τῇ τῶν παιδίων προσηγορίᾳ ὡς ἀλογίστων ἡλικίᾳ, ᾗ τισὶν ἔδοξεν, οὐδ' ἂν εἴπῃ, „ἢν μὴ γένησθε ὡς τὰ παιδία ταῦτα, οὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τοῦ θεοῦ“ ***), ἀμαθῶς ἐκδεκτέον. οὐκ ἄρ' ἔτι κυλιόμεθα οἱ νήπιοι χαμαὶ οὐδὲ ἕρπομεν ὡς τὸ πρόσθεν ἐπὶ γῆς ὄφεων δίκην ὅλῳ τῷ σώματι περὶ τὰς ἀνοήτους ἐπιθυμίας ἑλυσπώμενοι, ἀνατεινόμενοι δὲ ἄνω P. 139 τῇ ἐννοίᾳ, κόσμῳ καὶ ἁμαρτίαις ἀποτεταγμένοι, ὀλίγῳ γε ποδὶ ἐφαπτόμενοι τῆς γῆς, ὅσον ἐν κόσμῳ εἶναι δοκεῖν, σοφίαν μεταδιώκομεν ἁγίαν· μωρία δὲ αὕτη τοῖς εἰς πανουργίαν ἠκονημένοις δοκεῖ.

§. 17. Παῖδες οὖν εἰκότως οἱ θεὸν μόνον ἐγνωκότες πατέρα, ἀφελεῖς καὶ νήπιοι καὶ ἀκέραιοι, οἱ κεράτων μονοκερώτων ἐρασταί· τοῖς γοῦν προβεβηκόσιν ἐν τῷ λόγῳ ταύτην ἐπεκήρυξε τὴν φωνὴν, ἀφροντιστεῖν κελεύων τῶν τῇδε πραγμάτων καὶ μόνῳ προσέχειν τῷ πατρὶ παραινῶν μιμουμένους τὰ παι- P. 108 δία. Διὸ κἀν τοῖς ἐχομένοις λέγει· „μὴ μεριμνᾶ- Pott.
τε περὶ τῆς αὔριον, ἀρκετὸν γὰρ τῇ ἡμέρᾳ ἡ κακία

*) Isa. 40, 11. **) Matth. 18, 1 sqq. ***) Ibid. v. 3.

αὐτῆς" *). οὕτως ἀποθεμένους τὰς τοῦ βίου φροντίδας ἐξέχεσθαι μόνου τοῦ πατρὸς παραγγέλλει. καὶ ὁ πληρῶν τὴν ἐντολὴν ταύτην τῷ ὄντι νήπιός τέ ἐστι καὶ παῖς θεῷ τε καὶ τῷ κόσμῳ, ᾧ μὲν ὡς πεπλανημένος, ᾧ δὲ ὡς ἠγαπημένος. εἰ δὲ „εἷς διδάσκαλος ἐν οὐρανοῖς" **), ὡς φησὶν ἡ γραφή, ὁμολογουμένως οἱ ἐπὶ γῆς εἰκότως ἂν πάντες κεκλήσονται μαθηταί· ἔχει γὰρ οὕτως τὸ ἀληθὲς, τὸ μὲν τέλειον εἶναι παρὰ τῷ κυρίῳ τῷ διδάσκοντι ἀεί, τὸ δὲ παιδικὸν καὶ νήπιον παρ' ἡμῖν τοῖς ἀεὶ μανθάνουσι.

§. 18. Ταύτῃ τοι ἡ προφητεία τὸ τέλειον τῇ τοῦ ἀνδρὸς τετίμηκε προσηγορίᾳ καὶ διά γε τοῦ Δαβὶδ, ἐπὶ μὲν τοῦ διαβόλου „ἄνδρα αἱμάτων", φησί, „βδελύσσεται κύριος" ***). ἄνδρα αὐτὸν ὡς τέλειον ἐν κακίᾳ καλεῖ. λέγεται δὲ καὶ ὁ κύριος ἀνὴρ διὰ τὸ εἶναι αὐτὸν τέλειον ἐν δικαιοσύνῃ. αὐτίκα γοῦν ὁ ἀπόστολος ἐπιστέλλων πρὸς Κορινθίους φησίν „ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ" †), εἴτε ὡς νηπίους καὶ ἁγίους πλὴν ἀλλὰ τῷ μόνῳ κυρίῳ, σαφέστατα δὲ Ἐφεσίοις γράφων ἀπεκάλυψε τὸ ζητούμενον ὧδέ πως λέγων· „μέχρι καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ θεοῦ εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ, ἵνα μηκέτι ὦμεν νήπιοι, κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης, ἀληθεύοντες δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα" ††). ταῦτα λέγων εἰς οἰκοδομὴν τοῦ Χριστοῦ, ὅς ἐστι κεφαλὴ καὶ ἀνὴρ μόνος ἐν δικαιοσύνῃ τέλειος, ἡμεῖς δὲ νήπιοι τοὺ παραφυσῶντας †††) εἰς φυσίωσιν φυλαξάμενοι τῷ

*) Matth. 6, 34. **) Ibid. 23, 8 sqq. ***) Psalm 5, 6. †) 2 Cor. 11, 2. ††) Ephes. 4, 13—15. †††) Coloss. 2, 18. Ephes. 4, 14.

αἱρέσεων ἀνέμους καὶ μὴ καταπιστεύοντες τοῖς ἄλλως ἡμῖν νουθετοῦσι πατέρας, τελειούμεθα τότε, ὅτε ἴσμεν ἐκκλησία τὴν κεφαλὴν τὸν Χριστὸν ἀπειληφότες.

§. 19. Ἐνταῦθα ἐπιστῆσαι δίκαιον τῇ προσηγορίᾳ τοῦ νηπίου, ἅτι οὐκ ἐπὶ ἀφρόνων τάττεται τὸ νήπιον, νηπύτιος μὲν γὰρ οὗτος, νήπιος δὲ ὁ νεήπιος, ὡς ἥπιος ὁ ἁπαλόφρων, οἷον ἥπιος νεωστὶ P. 109 καὶ πρᾶος τῷ τρόπῳ γενόμενος. τοῦτό τοι σαφέ- Pott. στατα ὁ μακάριος Παῦλος ὑπεσημήνατο εἰπών, „δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι ἐγενήθημεν νήπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα“ *). ἥπιος οὖν ὁ νήπιος καὶ ταύτῃ μᾶλλον ἀταλὸς, ἁπαλὸς καὶ ἁπλοῦς καὶ ἄδολος καὶ ἀνυπόκριτος, ἰθὺς τὴν γνώμην καὶ ὀρθός· τὸ δέ ἐστιν ἁπλότητος καὶ ἀληθείας ὑπόστασις· „ἐπὶ τίνα γὰρ“, φησὶν, „ἐπιβλέψω ἢ ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον“ **); τοιοῦτος γὰρ ὁ παρθένιος λόγος, ἀταλὸς καὶ ἄπλαστος· διὸ καὶ τὴν παρθένον ἀταλὴν νύμφην καὶ τὸν παῖδα ἀταλόφρονα κεκλῆσθαι ἔθος· ἀταλοὶ δὲ ἡμεῖς οἱ ἁπαλοὶ πρὸς πειθὼ καὶ εὐέργαστοι πρὸς ἀγαθοσύνην, ἄχολοί τε καὶ ἀνεπίμικτοι κακοφροσύνῃ καὶ σκολιότητι· ἡ μὲν γὰρ γενεὰ ἡ παλαιὰ σκολιὰ καὶ σκληροκάρδιος, χορὸς δὲ νηπίων, ὁ καινὸς ἡμεῖς λαὸς, τρυφερὸς ὡς παῖς, ἐπὶ δὲ ταῖς καρδίαις τῶν ἀκάκων ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ χαίρειν ὁ ἀπόστολος ὁμολογεῖ, καὶ δή ὅρον τινὰ νηπίων, ὡς εἰπεῖν, ἀποδίδωσιν εἰπών, θέλω δὲ ὑμᾶς σοφοὺς μὲν εἶναι εἰς τὸ ἀγαθὸν, ἀκεραίους δὲ εἰς τὸ κακόν***).

§. 20. Καὶ γὰρ οὐδὲ ἔστι τὸ ὄνομα τοῦ νηπίου κατὰ στέρησιν ἡμῖν νοούμενον, ἐπεὶ τὸ νη στερητικὸν γραμματικῶν νομοθετοῦσι παῖδες. εἰ γὰρ ἄφρονας ἡμᾶς οἱ τῆς νηπιότητος κατατρέχοντες καλοῦσιν,

*) 1 Thessal. 2, 6. 7. **) Ies. 66, 2. ***) Rom. 16, 19.

ὁρᾶτε πῶς βλασφημοῦσιν ἐπὶ τὸν κύριον τοὺς εἰς Θεὸν καταπεφευγότας ἄφρονας ὑπολαμβάνοντες, εἰ δὲ ὅπερ καὶ μᾶλλον ἐξακουστέον, τοὺς νηπίους καὶ αὐτοὶ ἐπὶ τῶν ἁπλῶν ἐκδέξονται, χαίρομεν τῇ προσηγορίᾳ, νήπιαι γὰρ αἱ νέαι φρένες εἰσὶν ἐν παλαιᾷ τῇ ἀφροσύνῃ, αἱ νεωστὶ συνεταὶ, αἱ κατὰ τὴν διαθήκην τὴν καινὴν ἀνατείλασαι. ἐναγχος γοῦν ἔγνωσταί ὁ Θεὸς κατὰ τὴν τοῦ Χριστοῦ παρουσίαν. „Θεὸν γὰρ οὐδεὶς ἔγνω, εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ" *). νέοι τοίνυν ὁ λαὸς ὁ καινὸς πρὸς ἀντιδιαστολὴν τοῦ πρεσβυτέρου λαοῦ, τὰ νέα μαθόντες ἀγαθά. καὶ ἔστιν ἡμῖν τὸ οὖθαρ τῆς ἡλικίας ἡ ἀγήρως αὕτη νεότης, ἐν ᾗ πρὸς νόησιν ἀεὶ ἀκμάζομεν, ἀεὶ νέοι καὶ ἀεὶ ἥπιοι καὶ ἀεὶ καινοί· χρὴ γὰρ εἶναι καινοὺς τοὺς λόγου καινοῦ μετειληφότας, τὸ δὲ ἀϊδιότητος μετειληφὸς ἐξομοιοῦσθαι φιλεῖ τῷ ἀφθάρτῳ, ὡς εἶναι ἡμῖν τῆς παιδικῆς ἡλικίας τὴν προσηγορίαν ἔαρ παντὸς τοῦ ζῆν διὰ τὸ ἀγήρω εἶναι τὴν ἐν ἡμῖν ἀλήθειαν καὶ τῇ ἀληθείᾳ τὸν ἀνακεχυμένον ἡμῶν τρόπον.

§. 21. Σοφία δὲ ἀειθαλὴς, ἀεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσα καὶ οὔποτε μεταβάλλουσα· „τὰ παιδία", φησὶν, „αὐτῶν ἐπ' ὤμων ἀρθήσονται καὶ ἐπὶ γονάτων παρακληθήσονται. ὡς εἴ τινα μήτηρ παρακαλέσει, οὕτως κἀγὼ ὑμᾶς παρακαλέσω" **). ἡ μήτηρ προσάγεται τὰ παιδία καὶ ἡμεῖς ζητοῦμεν τὴν μητέρα τὴν ἐκκλησίαν. τὸ μὲν τοίνυν καὶ ἀσθενὲς καὶ ἄπαλὸν ἅπαν, ἅτε δ' ἀσθένειαν, ἧ βοηθείας δεόμενον, κεχαρισμένον τέ ἐστι καὶ ἡδὺ καὶ τερπνὸν, τοῦ θυμικοῦ ἱσταμένου τοῦ πηλικῷδε τὴν βοήθειαν· ὡς γὰρ οἱ πατέρες καὶ αἱ μητέρες ἥδιον ὁρῶσι τῶν μὲν ἵππων τοὺς πώλους, τῶν δὲ βοῶν τὰ μικρὰ μοσχάρια καὶ λεόντων σκύμνον καὶ ἐλάφου νεβρὸν καὶ ἀνθρώπου παιδίον, οὕτως καὶ τῶν

P. 11 Po P. 40 Sylb.

*) Matth. 11, 27. Luc. 10, 22. **) Ies. 66, 12. 13.

ὅλων ὁ πατὴρ τοὺς εἰς αὐτὸν καταπεφευγότας προσίεται καὶ ἀναγεννήσας πνεύματι εἰς υἱοθεσίαν ἡμῖνους οἶδεν· καὶ φιλεῖ τούτους μόνους καὶ βοηθεῖ καὶ ὑπερμαχεῖ· καὶ διὰ τοῦτο ὀνομάζει παιδίον. ἐγὼ καὶ τὸν Ἰσαὰκ εἰς παῖδα ἀναφέρω, γέλως ἑρμηνεύεται ὁ Ἰσαάκ. τοῦτον ἑώρακε παίζοντα μετὰ τῆς γυναικὸς καὶ βοηθοῦ, τῆς Ῥεβέκκας, ὁ περίεργος βασιλεύς. βασιλεύς μοι δοκεῖ — Ἀβιμέλεχ ὄνομα αὐτῷ — σοφίας εἶναι ὑπερκόσμιος, κατασκοποῦσα τῆς παι- P. 111
δείας τὸ μυστήριον, Ῥεβέκκαν δὲ ἑρμηνεύουσιν Pott.
ὑπομονήν. ὦ τῆς φρονίμου παιδείας· γέλως καὶ δι' ὑπομονῆς βοηθούμενος καὶ ἔφορος ὁ βασιλεύς. ἀγαλλιᾶται τὸ πνεῦμα τῶν ἐν Χριστῷ παιδίων ἐν ὑπομονῇ πολιτευομένων· καὶ αὕτη ἡ θεία παιδεία.

§. 22. Τοιαύτην τινὰ παίζειν παιδείαν τὸν ἑαυτοῦ Δία Ἡράκλειτος λέγει. τί γὰρ ἄλλο εὑρεπὲς ἔργον σοφῷ καὶ τελείῳ ἢ παίζειν καὶ συνευφραίνεσθαι τῇ τῶν καλῶν ὑπομονῇ καὶ [τῇ] διοικήσει τῶν καλῶν συμπανηγυρίζοντα τῷ θεῷ; ἔστι καὶ ἄλλως ὑπολαβεῖν τὸ ὑπὸ τῆς προφητείας μηνυόμενον χαίροντας ἡμᾶς καὶ γελῶντας ἐπὶ σωτηρίᾳ, ὡς τὸν Ἰσαάκ. ἐγέλα δὲ κἀκεῖνος τοῦ θανάτου λελυμένος, παίζων καὶ ἀγαλλιώμενος σὺν τῇ νύμφῃ τῇ εἰς σωτηρίαν ἡμῶν βοηθῷ, τῇ ἐκκλησίᾳ, ἣ ὑπομονὴ ὄνομα πάγιον τέθειται, ἤτοι ἐπεὶ μόνη αὕτη εἰς τοὺς αἰῶνας μένει χαίρουσα ἀεὶ ἢ ἐξ ὑπομονῆς τῶν πιστευόντων συνέστηκεν, οἵ ἐσμεν μέλη Χριστοῦ, καὶ ἡ τῶν εἰς τέλος ὑπομενάντων μαρτυρία καὶ ἡ ἐπὶ τούτοις εὐχαριστία· αὕτη δέ ἐστιν μυστικὴ παιδεία καὶ ἡ σὺν τῇ σεμνῇ θυμηδίᾳ βοηθοῦσα σωτηρία. ὁ γοῦν βασιλεὺς ὁ Χριστὸς ἄνωθεν ἡμῶν ἐπισκοπεῖ τὸν γέλωτα καὶ διακύψας τῆς θυρίδος*), ὡς φησιν ἡ γραφή, τὴν εὐχαριστίαν καὶ τὴν εὐλογίαν, ἀγαλλίασίν τε καὶ εὐφροσύνην, ἔτι τε ὑπομονὴν συνεργοῦσαν καὶ

*) Genes. 26, 8.

τὴν τούτων συμπλοκὴν τὴν ἐκκλησίαν ἐποπτεύει τὴν ἑαυτοῦ, μόνον ἐπιδεικνὺς τὸ πρόσωπον τὸ αὐτοῦ τὸ λεῖπον τῇ ἐκκλησίᾳ βασιλείῳ τελειουμένῃ κεφαλῇ.

§. 23. Καὶ ποῦ ἄρα ἦν ἡ θυρὶς, δι' ἧς ὁ κύριος ἐδείκνυτο; ἡ σὰρξ δι' ἧς πεφανέρωται. αὐτός ἐστιν ὁ Ἰσαὰκ — καὶ γὰρ ἔστιν ἕτερος ἐκλαβεῖν — τύπος ὅς ἐστι τοῦ κυρίου, παῖς μὲν ὡς υἱὸς, καὶ γὰρ υἱὸς ἦν Ἀβραὰμ, ὡς ὁ Χριστὸς τοῦ θεοῦ, ἱερεῖον δὲ ὡς ὁ κύριος. ἀλλ' οὐ κεκάρπωται ὡς ὁ κύριος, μόνον ἐβάστασε τὰ ξύλα τῆς ἱερουργίας ὁ Ἰσαὰκ, ὡς ὁ κύριος τὸ ξύλον. ἐγέλα δὲ μυστικῶς ἐμπλῆσαι ἡμᾶς προφητεύων χαρᾶς τὸν κύριον τοὺς αἱ- P. 11 Pot ματι κυρίου ἐπὶ φθορᾶς λελυτρωμένους. οὐκ ἔπαθεν δὲ μόνον εἰκότως ἄρα ὁ Ἰσαὰκ τὰ πρωτεῖα τοῦ πάθους παραχωρῶν τῷ λόγῳ, ἀλλὰ καὶ τοῦ κυρίου τὴν θειότητα αἰνίττεται μὴ σφαγείς· ἀνέστη γὰρ μετὰ τὴν κηδείαν ὁ Ἰησοῦς μὴ παθών, καθάπερ ἱερουργίας ἀφειμένος ὁ Ἰσαάκ.

§. 24. Μέγιστον δὲ εἰς συνηγορίαν καὶ ἄλλο παραθήσομαι τοῦ προκειμένου. τὸν κύριον αὐτὸν ὀνομάζει παιδίον, τοῦτο διὰ Ἡσαΐου θεσπίζον τὸ πνεῦμα· „ἰδοὺ παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος"*). τί οὖν τὸ παιδίον τὸ νήπιον, οὗ κατ' εἰκόνα ἡμεῖς οἱ νήπιοι; διὰ τοῦ αὐτοῦ προφήτου διηγεῖται τὸ μέγεθος αὐτοῦ· „θαυμαστὸς σύμβουλος, θεὸς δυνάστης, πατὴρ αἰώνιος, ἄρχων εἰρήνης, τῷ πληθύνειν τὴν παιδείαν καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστι πέρας"**). ὦ τοῦ μεγάλου θεοῦ, ὦ τοῦ τελείου παιδίου· υἱὸς ἐν πατρὶ καὶ πατὴρ ἐν υἱῷ· καὶ πῶς οὐ τέλειος ἡ παιδεία τοῦ παιδίου ἐκείνου, ἣ ἐπὶ πάντας διήκει τοὺς παῖδας ἡμᾶς παιδαγωγοῦσα τοὺς νηπίους αὐτοῦ; οὗτος εἰς ἡμᾶς ἐξεπέτασε τὰς χεῖρας τὰς ἐναργῶς

*) Ies. 9, 6. **) Ibidem.

πεπιστευμένας· τούτῳ προσμαρτυρεῖ τῷ παιδίῳ καὶ Ἰωάννης, „ὁ μείζων ἐν γεννητοῖς γυναικῶν προφήτης"*)· „ἰδοὺ ὁ ἀμνὸς τοῦ θεοῦ"**). ἐπεὶ γὰρ ἄρνας ὀνομάζει ἡ γραφὴ τοὺς παῖδας τοὺς νηπίους, τὸν θεὸν τὸν λόγον τὸν δι' ἡμᾶς ἄνθρωπον γενόμενον κατὰ πάντα ἡμῖν ἀπεικάζεσθαι βουλόμενον ἀμνὸν κέκληκε τοῦ θεοῦ, τὸν υἱὸν τοῦ θεοῦ, τὸν νήπιον τοῦ πατρός.

Cap. VI.

Πρὸς τοὺς ὑπολαμβάνοντας τὴν τῶν παιδίων καὶ τῶν νηπίων προσηγορίαν τὴν τῶν πρώτων μαθημάτων αἰνίττεσθαι διδαχήν.

§. 25. Ἔξεστι δὲ ἡμῖν ἐκ περιουσίας πρὸς τοὺς φιλεγκλήμονας ἐπαποδύσασθαι· οὐ γὰρ παῖδες ἡμεῖς καὶ νήπιοι πρὸς τὸ παιδαριῶδες καὶ εὐκαταφρόνητον τῆς μαθήσεως προσηγορεύμεθα, καθὼς οἱ εἰς γνῶσιν ὑπεφυσιωμένοι***) διαβεβλήκασιν· ἀναγεννηθέντες γοῦν εὐθέως τὸ τέλειον ἀπειλήφαμεν, οὗ ἕνεκεν ἐσπεύδομεν. ἐφωτίσθημεν γάρ· τὸ δὲ ἔστιν ἐπιγνῶναι θεόν. οὔκουν ἀτελὴς ὁ ἐγνωκὼς τὸ τέλειον. καί μου μὴ λάβησθε ὁμολογοῦντος ἐγνωκέναι τὸν θεόν· ὧδέ πως γὰρ ἔδοξεν εἰπεῖν τῷ λόγῳ. ὁ δὲ ἐλεύθερος. αὐτίκα γοῦν βαπτιζομένῳ τῷ κυρίῳ ἀπ' οὐρανῶν ἐπήχησε φωνὴ μάρτυς ἠγαπημένου· „υἱός μου εἶ σὺ ἀγαπητός, ἐγὼ σήμερον γεγέννηκά σε"†). πυθώμεθα οὖν τῶν σοφῶν· σήμερον ἀναγεννηθεὶς ὁ Χριστὸς ἤδη τέλειός ἐστιν ἢ ὅπερ ἀτοπώτατον ἐλλειπής; εἰ δὲ τοῦτο, προσμαθεῖν τι αὐτῷ δεῖ. ἀλλὰ προσμαθεῖν μὲν αὐτὸν εἰκὸς οὐδὲ ἓν θεὸν ὄντα. οὐ γὰρ μείζων τις εἴη τοῦ λόγου, οὐδὲ μὴν διδάσκαλος τοῦ μόνου

P. 113

*) Luc. 7, 28. **) Ioann. 1, 29. 36. ***) Cf. 1 Cor. 8, 1. †) Cf. Luc. 3, 22. Matth. 3, 17. Marc. 1, 11. — Psalm. 2, 17. Act. 3, 33. Hebr. 1, 5. 5, 5.

διδασκάλου. μή τι οὖν ὁμολογήσουσιν ἄκοντες
λόγον τέλειον ἐκ τελείου φύντα τοῦ πατρὸς κατὰ
οἰκονομικὴν προδιατύπωσιν ἀναγεννηθῆναι τελέ
καὶ εἰ τέλειος ἦν, τί ἐβαπτίζετο ὁ τέλειος; ἔδει, φ
σι; πληρῶσαι τὸ ἐπάγγελμα τὸ ἀνθρώπινον. πεγ
λως. φημὶ γάρ· ἅμα τοίνυν τῷ βαπτίζεσθαι αὐ
ὑπὸ Ἰωάννου γίνεται τέλειος; δῆλον ὅτι. οὐδὲν
πρὸς αὐτοῦ προσέμαθεν; οὐ γὰρ· τελειοῦται δὲ
λουτρῷ μόνῳ καὶ τοῦ πνεύματος τῇ καθόδῳ ἁγιά
θηται. οὕτως ἔχει.

§. 26. Τὸ δὲ αὐτὸ συμβαίνει τοῦτο καὶ π
ἡμᾶς, ὧν γέγονεν ὑπογραφὴ ὁ κύριος· βαπτιζόμε
φωτιζόμεθα, φωτιζόμενοι υἱοποιούμεθα, υἱοποιού
νοι τελειούμεθα, τελειούμενοι ἀπαθανατιζόμεθ
„ἐγὼ", φησὶν, „εἶπα, θεοί ἐστε καὶ υἱοὶ ὑψίστ
πάντες" *). καλεῖται δὲ πολλαχῶς τὸ ἔργον τοῦτο χ
ρισμα καὶ φώτισμα καὶ τέλειον καὶ λουτρόν· λουτρ
μὲν δι' οὗ τὰς ἁμαρτίας ἀπορρυπτόμεθα, χάρισμ
δὲ ᾧ τὰ ἐπὶ τοῖς ἁμαρτήμασιν ἐπιτίμια ἀνεῖται, φω
τισμα δὲ δι' οὗ τὸ ἅγιον ἐκεῖνο φῶς τὸ σωτήρι
ἐποπτεύεται, τουτέστιν δι' οὗ τὸ θεῖον ὀξυωποῦμε
τέλειον δὲ τὸ ἀπροσδεὲς φαμέν. τί γὰρ ἔτι λείπετ
τῷ θεὸν ἐγνωκότι; καὶ γὰρ ἄτοπον ὡς ἀληθῶς χ
ρισμα κεκλῆσθαι θεοῦ τὸ μὴ πεπληρωμένον· τέλεω
δὲ ὧν τέλεια χαριεῖται δήπουθεν· ὡς δὲ ἅμα τῷ π
λεῦσαι αὐτὸν πάντα γίνεται, οὕτως ἔπεται τῷ χαρ
σασθαι μόνον βουληθῆναι αὐτὸν πεπληρῶσθαι τ
χάριν. τὸ γὰρ μέλλον τοῦ χρόνου τῇ δυνάμει τ
θελήματος προσλαμβάνεται. πρὸς δὲ καὶ ἡ τῶν π
κῶν ἀπαλλαγὴ σωτηρίας ἐστὶν ἀρχή.

§. 27. Μόνοι δὲ ἄρα οἱ πρῶτοι ἀρξάμενοι τῶν Ρ
ὅρων τῆς ζωῆς ἤδη τέλειοι, ζῶμεν δὲ ἤδη οἱ θα
νάτου κεχωρισμένοι. σωτηρία τοίνυν τὸ ἕπεσθ
Χριστῷ. „ὃ γὰρ γέγονεν ἐν αὐτῷ ζωή ἐστιν" **

*) Psalm. 82, 6. **) Ioann. 1, 4.

„ἀμὴν, ἀμὴν λέγω ὑμῖν" φησὶν, „ὁ τῶν λόγων μου ἀκούων καὶ πιστεύων τῷ πέμψαντί με ἔχει ζωὴν αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται, ἀλλὰ μεταβέβηκεν ἐκ τοῦ θανάτου εἰς τὴν ζωήν"*). οὕτω τὸ πιστεῦσαι μόνον καὶ ἀναγεννηθῆναι τελείωσίς ἐστιν ἐν ζωῇ, οὐ γάρ ποτε ἀσθενεῖ ὁ θεός. ὡς γὰρ τὸ θέλημα αὐτοῦ ἔργον ἐστὶ καὶ τοῦτο κόσμος ὀνομάζεται, οὕτως καὶ τὸ βούλημα αὐτοῦ ἀνθρώπων ἐστὶ σωτηρία, καὶ τοῦτο ἐκκλησία κέκληται. οἶδεν οὖν οὓς κέκληκεν, οὓς σέσωκεν, κέκληκεν δὲ ἅμα καὶ σέσωκεν. „αὐτοὶ γὰρ ὑμεῖς", φησὶν ὁ ἀπόστολος, „θεοδίδακτοί ἐστε"**). οὐκ ἄρα θεμιτὸν ἡμῖν ἀτελὲς τὸ ὑπ' αὐτοῦ διδασκόμενον νοεῖν, τὸ δὲ μάθημα ἀΐδιος σωτηρία ἀϊδίου σωτῆρος, „ᾧ ἡ χάρις εἰς τοὺς αἰῶνας, ἀμήν". καὶ ὁ μόνον ἀναγεννηθεὶς ὥσπερ οὖν καὶ τοὔνομα ἔχει, φωτισθεὶς ἀπήλλακται μὲν παραχρῆμα τοῦ σκότους, ἀπείληφε δὲ αὐτόθεν τὸ φῶς.

§. 28. Ὥσπερ οὖν οἱ τὸν ὕπνον ἀποσεισάμενοι εὐθέως ἔνδοθεν ἐγρηγόρασιν, μᾶλλον δὲ καθάπερ οἱ τὸ ὑπόχυμα τῶν ὀφθαλμῶν κατάγειν πειρώμενοι, οὐ τὸ φῶς αὐτοῖς ἔξωθεν χορηγοῦσιν, ὃ οὐκ ἔχουσιν, τὸ δὲ ἐμπόδιον ταῖς ὄψεσι καταβιβάζοντες ἐλευθέραν ἀπολείπουσι τὴν κόρην, οὕτως καὶ οἱ βαπτιζόμενοι τὰς ἐπισκοτούσας ἁμαρτίας τῷ θείῳ πνεύματι ἀχλύος δίκην ἀποτριψάμενοι ἐλεύθερον καὶ ἀνεμπόδιστον καὶ φωτεινὸν ὄμμα τοῦ πνεύματος ἴσχομεν, ᾧ δὴ μόνῳ τὸ θεῖον ἐποπτεύομεν, οὐρανόθεν ἐπεισρέοντος ἡμῖν τοῦ ἁγίου πνεύματος· κρᾶμα τοῦτο αὐγῆς ἀΐδιον τὸ ἀΐδιον φῶς ἰδεῖν δυναμένοις· ἐπεὶ τὸ ὅμοιον τῷ ὁμοίῳ φίλον, φίλον δὲ τὸ ἅγιον τῷ ἐξ οὗ τὸ ἅγιον, ὃ δὴ κυρίως κέκληται φῶς· „ἦτε γάρ ποτε σκότος, νῦν δὲ φῶς ἐν κυρίῳ"***). ἐντεῦθεν τὸν ἄνθρωπον ὑπὸ τῶν παλαιῶν ἠγοῦμαι κεκλῆσθαι φῶτα. ἀλλ' P. 115 οὐδέπω, φασὶν, ἀπείληφε τὴν τελείαν δωρεὰν, Pott.

*) Ioann. 5, 24. **) 1 Thess. 4, 9. ***) Ephes. 5, 8.

σύμφημι κἀγώ, πλὴν ἐν φωτί ἐστι καὶ τὸ σκότος αὐτὸν οὐ καταλαμβάνει*)· φωτὸς δὲ ἀνὰ μέσον καὶ τοῦ σκότους οὐδὲ ἕν· ἐν δὲ τῇ ἀναστάσει τῶν πιστευόντων ἀπόκειται τὸ τέλος· τὸ δὲ οὐκ ἄλλου τινός ἐστι μεταλαβεῖν, ἀλλ᾽ ἢ τῆς προωμολογημένης ἐπαγγελίας τυχεῖν. μὴ γὰρ κατὰ τὸν αὐτὸν χρόνον ἅμα ἄμφω συνίστασθαί φαμεν, τήν τε πρὸς τὸ πέρας ἄφιξιν καὶ τῆς ἀφίξεως τὴν πρόληψιν· οὐ γάρ ἐστι ταὐτὸν αἰὼν καὶ χρόνος, οὐδὲ μὴν ὁρμὴ καὶ τέλος, οὐκ ἔστι· περὶ ἓν δὲ ἄμφω καὶ περὶ ἄμφω ὁ εἷς καταγίνεται. ἔστι γοῦν, ὡς εἰπεῖν, ὁρμὴ μὲν ἡ πίστις ἐν χρόνῳ γεννωμένη, τέλος δὲ τὸ τυχεῖν τῆς ἐπαγγελίας εἰς αἰῶνας βεβαιούμενον. αὐτὸς δὲ ὁ κύριος σαφέστατα τῆς σωτηρίας τὴν ἰσότητα ἀπεκάλυψεν εἰπών· „τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ πατρός μου, ἵνα πᾶς ὁ θεωρῶν τὸν υἱὸν καὶ πιστεύων ἐπ᾽ αὐτὸν ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ“**).

§. 29. Καθόσον μὲν οὖν δυνατὸν ἐν τῷδε τῷ κόσμῳ, ὃν ἐσχάτην ἡμέραν ἠνίξατο, εἰς τότε τηρούμενον ὅτε παύσηται, τελείους ἡμᾶς γενέσθαι πιστεύομεν. πίστις γὰρ μαθήσεως τελειότης· διὰ τοῦτο φησίν, „ὁ πιστεύων εἰς τὸν υἱὸν ἔχει ζωὴν αἰώνιον“***). εἰ τοίνυν οἱ πιστεύσαντες ἔχομεν τὴν ζωὴν, τί περαιτέρω τοῦ κεκτῆσθαι ζωὴν αἰώνιον ὑπολείπεται; οὐδὲν δὲ ἐνδεῖ τῇ πίστει τελεία οὖσῃ ἐξ αὐτῆς P. 42 καὶ πεπληρωμένῃ. εἰ δὲ ἐνδεῖ τι αὐτῇ, οὐκ ἔστιν Sylb. ὁλοτελὴς, οὐδὲ πίστις ἐστὶ σκάζουσα περί τι, οὐδὲ μετὰ τὴν ἐνθένδε ἀποδημίαν ἀναμένει τοὺς πεπιστευκότας ἀδιακρίτως ἐνταῦθα ἠρραβωνισμένους. ἐκεῖνο δὲ τὸ πιστεῦσαι ἤδη προειληφότες ἐσόμενον μετὰ τὴν ἀνάστασιν ἀπολαμβάνομεν γενόμενον, ὅπως τ᾽ ἂν ἐκεῖνο πληρωθῇ τὸ λεχθέν· „γενηθήτω κατὰ τὴν πίστιν σου“†). οὐ δὲ ἡ πίστις, ἐνταῦθα ἡ ἐπαγγε-

*) Cf. Ioann. 1, 5. **) Ibid. 6, 40. ***) Ibid. 3, 36. †) Matth. 9, 29.

λία, τελείωσις δὲ ἐπαγγελίας ἡ ἀνάπαυσις. ὥστε P. 116
ἡ μὲν γνῶσις ἐν τῷ φωτίσματι, τὸ δὲ πέρας τῆς Pott.
γνώσεως ἡ ἀνάπαυσις, ὃ δὴ ἔσχατον νοεῖται ὀρεκτόν. καθάπερ οὖν τῇ πείρᾳ ἡ ἀπειρία καταλύεται καὶ τῷ πόρῳ ἡ ἀπορία, οὕτως ἀνάγκη τῷ φωτισμῷ ἐξαφανίζεσθαι τὸ σκότος· ἡ ἄγνοια δὲ τὸ σκότος, καθ' ἣν περιπίπτομεν τοῖς ἁμαρτήμασιν, ἀμβλυωποῦντες περὶ τὴν ἀλήθειαν. φωτισμὸς ἄρα ἡ γνῶσίς ἐστιν ὁ ἐξαφανίζων τὴν ἄγνοιαν καὶ τὸ διορατικὸν ἐντιθείς. ἀλλὰ καὶ ἡ τῶν χειρόνων ἀποβολὴ τῶν κρειττόνων ἐστὶν ἀποκάλυψις. ἃ γὰρ ἡ ἄγνοια συνέδησε κακῶς, ταῦτα διὰ τῆς ἐπιγνώσεως ἀναλύεται καλῶς. τὰ δὲ δεσμὰ ταῦτα, ἧ τάχος, ἀνίεται πίστει μὲν ἀνθρωπίνῃ, θεϊκῇ δὲ τῇ χάριτι, ἀφιεμένων τῶν πλημμελημάτων ἑνὶ Παιωνίῳ φαρμάκῳ λογικῷ βαπτίσματι.

§. 30. Πάντα μὲν οὖν ἀπολουόμεθα τὰ ἁμαρτήματα, οὐκέτι δέ ἐσμεν παρὰ πόδας κακοί. μία χάρις αὕτη τοῦ φωτίσματος τὸ μὴ τὸν αὐτὸν εἶναι τῷ πρὶν ἢ λούσασθαι τὸν τρόπον. ὅτι δὲ ἡ γνῶσις συνανατέλλει τῷ φωτίσματι περιαστράπτουσα τὸν νοῦν καὶ εὐθέως ἀκούομεν· μαθηταὶ οἱ ἀμαθεῖς· πότερόν ποτε τῆς μαθήσεως ἐκείνης προσγενομένης; οὐ γὰρ ἂν ἔχοις εἰπεῖν τὸν χρόνον· ἡ μὲν γὰρ κατήχησις εἰς πίστιν περιάγει, πίστις δὲ ἅμα βαπτίσματι ἁγίῳ παιδεύεται πνεύματι· ἐπεὶ ὅτι γε μία καθολικὴ τῆς ἀνθρωπότητος σωτηρία ἡ πίστις, ἰσότης δὲ καὶ κοινωνία τοῦ δικαίου καὶ φιλανθρώπου θεοῦ, ἡ αὐτὴ πρὸς πάντας, ὁ ἀπόστολος σαφέστατα ἐξηγήσατο, ὧδέ πως εἰπών· „πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκλειόμενοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι, ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν. ἐλθούσης δὲ τῆς πίστεως οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν"*).

*) Galat. 3, 23—25.

§. 31. *Οὐκ ἀκούετε ὅτι ὑπ' ἐκεῖνον τὸν νόμον οὐκέτι ἐσμὲν, ὃς ἦν μετὰ φόβου, ὑπὸ δὲ τὸν λόγον τῆς προαιρέσεως τὸν παιδαγωγόν; εἶτα μέν τοι ἐπήγαγε τὴν ἀπάσης ἐκτὸς προσωποληψίας φωνήν· „πάντες γὰρ υἱοί ἐστε διὰ πίστεως θεοῦ ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. οὐκ ἔνι Ἰουδαῖος οὔτε Ἕλλην, οὐκ ἔνι δοῦλος οὔτε ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ"*). οὐκ ἄρα οἱ μὲν γνωστικοὶ, οἱ δὲ ψυχικοὶ ἐν αὐτῷ τῷ λόγῳ, ἀλλ' οἱ πάντες ἀποθέμενοι τὰς σαρκικὰς ἐπιθυμίας, ἴσοι καὶ πνευματικοὶ παρὰ τῷ κυρίῳ. καὶ ἀλλαχόθι πάλιν γράφει, „καὶ γὰρ ἑνὶ πνεύματι ἡμεῖς* P. 117 πάντες εἰς ἓν σῶμα ἐβαπτίσθημεν, εἴτε Ἰουδαῖοι Pott. εἴτε Ἕλληνες εἴτε δοῦλοι καὶ ἐλεύθεροι· καὶ πάντες ἑνὶ πόματι ἐπίομεν"**).*

§. 32. *Οὐκ ἄτοπον δὲ καὶ τοῖς αὐτῶν ἐκείνων συγχρήσασθαι ῥήμασιν, οἳ διυλισμὸν μὲν τοῦ πνεύματος τὴν μνήμην τῶν κρειττόνων εἶναί φασιν, διυλισμὸν δὲ νοοῦσι τὸν ἀπὸ τῆς ὑπομνήσεως τῶν ἀμεινόνων τῶν χειρόνων χωρισμόν· ἕπεται δὲ ἐξ ἀνάγκης τῷ ὑπομνησθέντι τῶν βελτιόνων ἡ μετάνοια ἡ ἐπὶ τοῖς ἥττοσιν· αὐτὸ γοῦν τὸ πνεῦμα ὁμολογοῦσι μετανοῆσαν ἀναδραμεῖν· τὸν αὐτὸν οὖν τρόπον καὶ ἡμεῖς ἐπὶ τοῖς ἡμαρτημένοις μετανενοηκότες, ἀποταξάμενοι τοῖς ἐλαττώμασιν αὐτῶν, διυλιζόμενοι βαπτισματι, πρὸς τὸ ἀΐδιον ἀνατρέχομεν φῶς οἱ παῖδες πρὸς τὸν πατέρα. „ἀγαλλιασάμενος γοῦν ἐν τῷ πνεύματι ὁ Ἰησοῦς, ἐξομολογοῦμαί σοι πάτερ, φησὶν, ὁ θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις"***)· νηπίους ἡμᾶς ὁ παιδαγωγὸς καὶ διδάσκαλος ἀποκαλῶν τοὺς τῶν ἐν κόσμῳ σοφῶν ἐπι-*

*) Gal. 3, 26—29. **) 1 Cor. 12, 13. ***) Luc. 10, 21.

τηδειοτέρους εἰς σωτηρίαν, οἳ σοφοὺς ἀφᾶς ἡγούμενοι τετύφωνται. καὶ ἐπιβοᾶται ἀγαλλιώμενος καὶ ὑπερευφραινόμενος, οἷονεί συντραυλίζων τοῖς νηπίοις· „ναὶ ὁ πατήρ, ὅτι οὕτως εὐδοκία ἐγένετο ἔμπροσθέν σου"*). διὰ τοῦτο τὰ κεκρυμμένα ἀπὸ σοφῶν καὶ συνετῶν τοῦ νῦν αἰῶνος ἀπεκαλύφθη τοῖς νηπίοις. ἄρα εἰκότως οἱ παῖδες τοῦ θεοῦ οἱ τὸν μὲν παλαιὸν ἀποθέμενοι ἄνθρωπον καὶ τῆς κακίας ἐκδυσάμενοι τὸν χιτῶνα ἐπενδυσάμενοι δὲ τὴν ἀφθαρσίαν τοῦ Χριστοῦ **), ἵνα καινὸς γενόμενος λαὸς ἅγιος ἀναγεννηθέντες ἀμίαντον φυλάξωμεν τὸν ἄνθρωπον. καὶ νήπιος μὲν ὢς βρέφος τοῦ θεοῦ κεκαθαρμένος πορνείας καὶ πονηρίας.

§. 33. Σαφέστατα γοῦν ὁ μακάριος Παῦλος ἀπήλλαξεν ἡμᾶς τῆς ζητήσεως ἐν τῇ προτέρᾳ πρὸς Κορινθίους ἐπιστολῇ ὧδέ πως γράφων· „ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε. ταῖς δὲ φρεσὶν τέλειοι γίνεσθε" ***). τὸ δὲ „ὅτε ἤμην νήπιος, ἐφρόνουν ὡς νήπιος, ἐλάλουν ὡς νήπιος" †)· τὴν κατὰ νόμον ἀγωγὴν αἰνίττεται, καθ' ἣν οὐχ ὡς ἁπλοῦς ἦδη, ἀλλ' ὡς ἔτι ἄφρων νήπια μὲν φρονῶν ἐδίωκε, νήπια δὲ λαλῶν ἐβλασφήμει τὸν λόγον. P. 118 δύο γὰρ σημαίνει τὸ νήπιον. „ἐπειδὴ γέγονα, φησίν, Pott. ἀνήρ", πάλιν ὁ Παῦλος λέγει, „κατήργηκα τὰ τοῦ νηπίου" ††). οὐχ ἡλικίας μέγεθος ἀτελὲς, ἀλλ' οὐδὲ μὴν χρόνου μέτρον ὡρισμένον, ἀλλ' οὐδὲ ἀνδρικῶν καὶ ἐντελεστέρων μαθημάτων διδαχὰς ἄλλας P. 43 ἀπορρήτους αἰνίττεται, τὴν νηπιότητα ὑπερόφιων lib. ἀποστέλλων ὁ καταγγέλλειν αὐτὴν ὁμολογῶν ἀπόστολος· ἀλλὰ νηπίους μὲν τοὺς ἐν νόμῳ λέγει, οἳ τῷ φόβῳ, καθάπερ οἱ παῖδες τοῖς μορμολυκείοις, ἐκταράττονται, ἄνδρας δὲ τοὺς λόγῳ πειθηνίους καὶ αὐτεξουσίους κέκληκεν· οἳ πεπιστεύκαμεν ἑκουσίῳ προ-

*) Luc. 10, 21. **) Cf. Ephes. 4, 22. Iud. 23. 2 Cor. 5, 4. 1 Cor. 15, 53. Ephes. 4, 24. ***) 1 Cor. 14, 20. †) Ibid. 13, 11. ††) Ibidem.

αιρέσει σωζόμενοι, ἐμφρόνως νῦν ἀφρόνως δεδιττόμενοι τῷ φόβῳ. αὐτὸς περὶ τούτου μαρτυρήσει ὁ ἀπόστολος τοὺς Ἰουδαίους κατὰ τὴν προτέραν διαθήκην κληρονόμους λέγων, κατ' ἐπαγγελίαν δὲ ἡμᾶς. „λέγω δὲ", φησὶν, „ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου κύριος πάντων ὢν, ἀλλὰ ὑπὸ ἐπιτρόπους ἐστὶ καὶ οἰκονόμους ἄχρι τῆς προθεσμίας τοῦ πατρός. οὕτως καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι, ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ, γεννώμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν"*) δι' αὐτοῦ.

§. 34. Ὅρα πῶς ὁμολόγησεν εἶναι νηπίους τοὺς ὑπὸ φόβον καὶ ἁμαρτίας· τοὺς δὲ ὑπὸ τὴν πίστιν υἱοὺς καλῶν, ἀπήνδρωσεν, ὡς πρὸς ἀντιδιαστολὴν τῶν ἐν τῷ νόμῳ νηπίων. „οὐκέτι γὰρ", φησὶ, „δοῦλος εἶ, ἀλλα υἱὸς, εἰ δὲ υἱὸς, καὶ κληρονόμος διὰ θεοῦ"**). τί οὖν ἐνδεῖ τῷ υἱῷ μετὰ τὴν κληρονομίαν; χάριεν τοίνυν οὕτως ἐξηγήσασθαι τὸ, „ὅτε ἦμην νήπιος", τουτέστιν, ὅτε ἦμην Ἰουδαῖος — Ἑβραῖος γὰρ ἄνωθεν ἦν — ὡς νήπιος ἐφρόνουν, ἐπειδὴ εἰπόμην τῷ νόμῳ· „ἐπεὶ δὲ γέγονα ἀνὴρ, οὐκέτι τὰ τοῦ νηπίου", τουτέστι τὰ τοῦ νόμου, ἀλλὰ τὰ τοῦ ἀνδρὸς „φρονῶ", τουτέστιν τὰ τοῦ Χριστοῦ, ὃν μόνον ἄνδρα ἡ γραφὴ, καθὼς προειρήκαμεν, καλεῖ· „κατήργηκα τὰ τοῦ νηπίου"***). ἡ δὲ ἐν Χριστῷ νηπιότης τελείωσίς ἐστιν, ὡς πρὸς τὸν νόμον ἐνταῦθα γενομένοις τῇ νηπιότητι ἡμῶν συνηγορητέον. ἔτι καὶ τὸ πρὸς τοῦ ἀποστόλου εἰρημένον ἐπεξηγητέον· „γάλα ὑμᾶς ἐπότισα", ὡς νηπίους ἐν Χριστῷ, „οὐ βρῶμα· οὔπω γὰρ ἐδύνασθε, ἀλλ' οὐδὲ ἔτι νῦν δύ-

*) Galat. 4, 1 — 5. **) Ibid. v. 7. ***) 1 Cor. 13, 11.

νασθε" *). οὔ μοι γὰρ δοκεῖ Ἰουδαϊκῶς ἐκδέχεσθαι δεῖν τὸ ῥητόν. ἀντιπαραθήσω γὰρ κἀκείνην τὴν γραφήν· „εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τὴν ἀγαθὴν, P. 119
τὴν ῥέουσαν γάλα καὶ μέλι"**). Pott.

§. 35. Ἀνακύπτει τοίνυν ἀπορία μεγίστη κατὰ τὴν τῶν γραφῶν τῶνδε συμβολὴν νοοῦσιν. εἰ γὰρ ἀρχὴ τῆς εἰς Χριστὸν πίστεως ἡ διὰ τοῦ γάλακτος νηπιότης ἐστὶν, ἐξευτελίζεται δὲ αὕτη ὡς παιδαριώδης καὶ ἀτελής· πῶς ἡ τοῦ τελείου καὶ γνωστικοῦ μετὰ τὴν βρῶσιν ἀνάπαυσις αὖθις νηπίῳ τετίμηται γάλακτι; μήτι οὖν τὸ ὡς παραβολῆς ὂν δηλωτικὸν τοιοῦτόν τι ἐμφαίνει, καὶ δὴ ἀναγνωστέον ὧδέ πως τὸ ῥητόν· „γάλα ὑμᾶς ἐπότισα ἐν Χριστῷ"· καὶ διαστήσαντες ὀλίγον ἐπαγάγωμεν, „ὡς νηπίους", ἵνα κατὰ τὴν διαστολὴν τῆς ἀναγνώσεως τοιαύτην ἀποδεξώμεθα διάνοιαν· κατήχησα ὑμᾶς ἐν Χριστῷ ἁπλῇ καὶ ἀληθεῖ καὶ αὐτοφυεῖ τροφῇ τῇ πνευματικῇ· τοιαύτη γὰρ ἡ τοῦ γάλακτος ζωοτρόφος οὐσία, φιλοστόργοις πηγάζουσα μαστοῖς, ὡς νοεῖσθαι τὸ πᾶν τῆδε· ὥσπερ τῷ γάλακτι αἱ τιτθαὶ τοὺς παῖδας τοὺς νεογνοὺς ἐκτρέφουσιν, κἀγὼ δὲ οὕτω τοῦ Χριστοῦ τῷ γάλακτι, λόγῳ, πνευματικὴν ὑμῖν ἐνστάζων τροφήν.

§. 36. Οὕτω γοῦν τελεία τροφὴ τὸ γάλα ἐστὶ τὸ τέλειον καὶ εἰς τέλος ἄγει τὸ ἀκατάπαυστον. διὸ κἂν τῇ ἀναπαύσει τὸ αὐτὸ τοῦτο ἐπήγγελται γάλα καὶ μέλι. εἰκότως γάλα αὖθις ὑπισχνεῖται τοῖς δικαίοις ὁ κύριος, ἵνα δὴ σαφῶς ὁ λόγος ἄμφω δειχθῇ, ἄλφα καὶ ὦμέγα, ἀρχὴ καὶ τέλος***), ὁ λόγος ἀλληγορούμενος γάλα. τοιοῦτόν τι καὶ Ὅμηρος ἄκων μαντεύεται τοὺς δικαίους τῶν ἀνθρώπων γαλακτοφάγους †) καλῶν. ἔξεστι δὲ καὶ οὕτως ἐκλαμβάνειν τὴν γραφήν· „κἀγὼ δὲ, ἀδελφοὶ, οὐκ ἐδυνήθην λαλῆσαι

*) 1 Cor. 3, 2. **) Exod. 3, 8. 17. ***) Apocalyps. 1, 8. 21, 6. 22, 13. †) Hom. Iliad. v. 6.

ὑμῖν ὡς πνευματικοῖς, ἀλλ' ὡς σαρκικοῖς, ὡς νηπίοις ἐν Χριστῷ"*), ὡς δύνασθαι σαρκικοὺς νοεῖσθαι τοὺς νεωστὶ κατηχουμένους καὶ νηπίους ἔτι ἐν Χριστῷ. πνευματικοὺς μὲν γὰρ τοὺς πεπιστευκότας ἤδη τῷ ἁγίῳ πνεύματι προσεῖπεν, σαρκικοὺς δὲ τοὺς νεοκατηχήτους καὶ μηδέπω κεκαθαρμένους, οὓς „ἔτι σαρκικοὺς"**) εἰκότως λέγει ἐπίσης τοῖς ἐθνικοῖς τὰ σαρκὸς ἔτι φρονοῦντας. „ὅπου γὰρ ἐν ὑμῖν ζῆλος καὶ ἔρις, οὐχὶ σαρκικοί ἐστε καὶ κατὰ ἄνθρωπον περιπατεῖτε***); διὸ καὶ „γάλα ὑμᾶς ἐπότισα" †), φησὶν, τὴν γνῶσιν ὑμῖν ἐνέχεα λέγων τὴν ἐκ κατηχήσεως ἀνατρέφουσαν εἰς ζωὴν ἀΐδιον. ἀλλὰ καὶ τὸ „ἐπότισα" ῥῆμα τελείας μεταλήψεως σύμβολόν ἐστι. πίνειν μὲν γὰρ οἱ τέλειοι λέγονται, θηλάζειν δὲ οἱ νήπιοι. „τὸ αἷμά μου γάρ", φησὶν ὁ κύριος, „ἀληθής ἐστι πόσις" ††). μή τι οὖν γάλα εἰπὼν ἐπότισα τὴν ἐν λόγῳ γάλακτι τελείαν εὐφροσύνην, τὴν γνῶσιν τῆς ἀληθείας, ἠνίξατο; τὸ δ' ἐπαγόμενον ἐξῆς, „οὐ βρῶμα, οὔπω γὰρ ἐδύνασθε", τὴν ἐν τῷ μέλλοντι αἰῶνι ἐναργῆ ἀποκάλυψιν βρώματος δίκην πρόσωπον πρὸς πρόσωπον αἰνίττεσθαι δύνατα, „βλέπομεν γὰρ ὡς δι' ἐσόπτρου νῦν", ὁ αὐτὸς ἀπόστολος λέγει, „τότε δὲ πρόσωπον πρὸς πρόσωπον" †††). διὸ κἀκεῖνο ἐπήγαγεν· „ἀλλ' οὐδὲ ἔτι νῦν δύνασθε, ἔτι γὰρ σαρκικοί ἐστε", τὰ τῆς σαρκὸς φρονοῦντες, ἐπιθυμοῦντες, ἐρῶντες, ζηλοῦντες, μηνιῶντες, φθονοῦντες· „οὐ γὰρ ἔτι ἐν σαρκί ἐσμεν"*), ὡς ὑπειλήφασί τινες, σὺν αὐτῇ γὰρ τὸ πρόσωπον ἰσάγγελον ἔχοντες πρόσωπον πρὸς πρόσωπον τὴν ἐπαγγελίαν ὀψόμεθα.

§. 37. Πῶς δὲ, εἰ ἐκείνη ὄντως ἐστὶν ἡ ἐπαγγελία μετὰ τὴν ἐνθένδε ἀπαλλαγὴν, „ἣν ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ ἐπὶ νοῦν ἀνθρώπου οὐκ ἀνέβη"**),

*) 1 Cor. 3, 1. **) Ibidem. ***) Ibidem. v. 3.
†) Ibid. v. 2. ††) Ioann. 6, 55. †††) 1 Cor, 13, 12.
*) Rom. 8, 9. **) 1 Cor. 2, 9.

εἰδέναι φασὶν οὐ πνεύματι ἐννενοηκότες, ἀλλὰ ἐκ μα-
P. 44 θήσεως παρειληφότες, ὃ οὔς οὐκ ἤκουσέ ποτε ἡ
Sylb. μόνον ἐκεῖνο „τὸ ἐν τρίτῳ ἁρπασθὲν οὐρανῷ"*)
ἀλλὰ κἀκεῖνο ἐχεμυθεῖν ἐκελεύετο τότε; εἰ δὲ ἀνθρω-
πίνη σοφία ἐστὶν, ὅπερ ὑπολείπεται νοεῖν, ἡ μεγα-
λαυχία τῆς γνώσεως, ἄκουε τὸν νόμον τῆς γραφῆς·
„μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ
καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ, ὁ δὲ καυ-
χώμενος ἐν κυρίῳ καυχάσθω"**). ἡμεῖς δὲ θεοδί-
δακτοι καὶ τῷ Χριστοῦ ὀνόματι καυχώμενοι, πῶς
οὖν οὐ ταύτῃ νοεῖν τὸν ἀπόστολον ὑπολητέον τὸ
γάλα τῶν νηπίων; εἴγε ποιμένες ἐσμὲν οἱ τῶν ἐκκλη-
σιῶν προηγούμενοι κατ' εἰκόνα τοῦ ἀγαθοῦ ποιμένος,
τὰ δὲ πρόβατα ἡμεῖς· μὴ οὐχὶ καὶ γάλα τῆς ποίμνης
τὸν κύριον λέγοντα, τὴν ἀκολουθίαν φυλάττειν ἀλ-
ληγοροῦντα; καὶ δὴ τὸ ῥητὸν αὖθις τῇ διανοίᾳ ἐφαρ-
μοστέον· „γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· οὔπω
γὰρ ἐδύνασθε". οὐκ ἄλλο τι παρὰ τὸ γάλα τὸ βρῶ-
μα ὑπολαμβάνοντος, ταὐτὸν δὲ τῇ οὐσίᾳ· ὡσαύτως
γὰρ καὶ ὁ λόγος ὁ αὐτὸς ἡ ἀνειμένος καὶ ἥπιος ὡς
γάλα, ἢ πεπηγὼς καὶ συνεστραμμένος ὡς βρῶμα.

§. 38. Οὐ μὴν ἀλλὰ καὶ τῇδε ἐκλαμβάνουσιν
ἡμῖν γάλα νοεῖσθαι τὸ κήρυγμα δύναται τὸ ἐπιπλεῖ-
στον κεχυμένον, βρῶμα δὲ ἡ πίστις εἰς θεμέλιον ἐκ
κατηχήσεως συνεστραμμένη. ἡ δὴ στερεμνιωτέρα τῆς
ἀκοῆς ὑπάρχουσα, βρώματι ἀπεικάζεται, ἐν αὐτῇ σώ-
ματοποιουμένη τῇ ψυχῇ τὴν τοιάνδε τροφήν. ἀλ-
λαχόθι δὲ καὶ ὁ κύριος ἐν τῷ κατὰ Ἰωάννην εὐ-
P. 121 Pott. αγγελίῳ ἑτέρως ἐξήνεγκεν διὰ συμβόλων· „φάγετέ
μου τὰς σάρκας", εἰπὼν, „καὶ πίετέ μου τὸ αἷ-
μα"***)· ἐναργὲς τῆς πίστεως καὶ τῆς ἐπαγγελίας τὸ
πότιμον ἀλληγοροῦν, δι' ὧν ἡ ἐκκλησία, καθάπερ
ἄνθρωπος, ἐκ πολλῶν συνεστηκυῖα μελῶν ἄρδεταί τε

*) 2 Cor. 12, 2—4. **) Ierem. 9, 23. 1 Cor. 1, 31. 2 Cor. 10, 17. ***) Ioann. 6, 53. 54.

καὶ αὔξεται, συγκροτεῖταί τε καὶ συμπήγνυται ἐξ ἀμφοῖν, σώματος μὲν τῆς πίστεως, ψυχῆς δὲ τῆς ἐλπίδος. ὥσπερ καὶ ὁ κύριος ἐκ σαρκὸς καὶ αἵματος. τῷ γὰρ ὄντι αἷμα τῆς πίστεως ἡ ἐλπὶς, ἐφ' ἧς συνέχεται, καθάπερ ὑπὸ ψυχῆς, ἡ πίστις. διαπνευσάσης δὲ τῆς ἐλπίδος δίκην ἐκρυέντος αἵματος τὸ ζωτικὸν τῆς πίστεως ὑπεκλύεται.

§. 39. Εἰ δὲ ἄρα προσφιλονεικεῖν ἐθέλοιέν τινες τὰ πρῶτα μαθήματα τὸ γάλα μηνύειν λέγοντες, ὡσανεὶ πρώτας τροφάς, τὸ δὲ βρῶμα τὰς πνευματικὰς ἐπιγνώσεις, σφᾶς αὐτοὺς ἀνάγοντες εἰς γνῶσιν, ἴστωσαν ὡς ἄρα στερεὰν τροφὴν τὸ βρῶμα λέγοντες καὶ σάρκα καὶ αἷμα τοῦ Ἰησοῦ, ὑποφέρονται τῇ σφῶν αὐτῶν μεγαλαύχῳ σοφίᾳ ἐπὶ τὴν ἁπλότητα τὴν ἀληθῆ· πρωτόγονον γὰρ τὸ αἷμα εὑρίσκεται ἐν ἀνθρώπῳ, ὃ δή τινες οὐσίαν εἰπεῖν ψυχῆς τε τολμήκασι. τοῦτο δὲ τὸ αἷμα φυσικῇ τρεπόμενον πέψει, κυησάσης τῆς μητρὸς, φιλοστοργίᾳ συμπαθεῖ, ἐξανθεῖ καὶ γηράσκει πρὸς τὸ ἄφορον τοῦ παιδίου· καὶ ἔστι μὲν τῆς σαρκὸς ὑγρότερον τὸ αἷμα, οἷον ὑγρά τις οὖσα σὰρξ, τοῦ δὲ αἵματος νοστιμώτερον τὸ γάλα καὶ λεπτομερέστερον. εἴτε γὰρ τὸ ἐπιχορηγούμενον αἷμα τῷ ἐμβρύῳ καὶ διὰ μητρῴου πρότερόν ἐστι πεμπόμενον ὀμφαλοῦ, εἴτε αὖ τὸ καταμήνιον αὐτὸ, ἀποκλεισθὲν τῆς οἰκείας φορᾶς, κατὰ φυσικὴν ἀνάχυσιν χωρεῖν κελεύεται πρὸς τοῦ παντρόφου καὶ γενεσιουργοῦ θεοῦ ἐπὶ τοὺς φλεγμαίνοντας ἤδη μαστοὺς καὶ ὑπὸ πνεύματος ἀλλοιούμενον θερμοῦ, ποθεινὴ σκευάζεται τῷ νηπίῳ τροφὴ, αἷμα τὸ μεταβάλλον ἐστί. μάλιστα γὰρ πάντων μελῶν, μαστοὶ συμπαθεῖς μήτρᾳ. ἐπὰν οὖν κατὰ τοὺς τόκους ἀποκοπὴν λάβῃ τὸ ἀγγεῖον, δι' οὗ πρὸς τὸ ἔμβρυον τὸ αἷμα ἐφέρετο, μύσις μὲν γίνεται τοῦ πόρου, τὴν δὲ ὁρμὴν ἐπὶ P. 122 τοὺς μαστοὺς τὸ αἷμα λαμβάνει, καὶ πολλῆς τῆς Pott. ἐπιφορᾶς γενομένης διατείνονται καὶ μεταβάλλει τὸ αἷμα εἰς γάλα, ἀναλόγως τῇ ἐπὶ τῆς ἑλκώσεως εἰς πύον

τοῦ αἵματος μεταβολῇ, εἴτε αὖ ἀπὸ τῶν ἐν μαστοῖς παρακειμένων φλεβῶν ἀναστομουμένων κατὰ τὰς διατάσεις τῆς κυήσεως, τὸ αἷμα μεταχεῖται εἰς τὰς φυσικὰς τῶν μαστῶν σήραγγας· τούτῳ δὲ ἀνακιρνάμενον τὸ ἀπὸ τῶν γειτνιουσῶν καταπεμπόμενον ἀρτηριῶν πνεῦμα, μενούσης ἔτι τῆς ὑποκειμένης ἀκεραίου τοῦ αἵματος οὐσίας, ἐκκυμαινόμενον λευκαίνεται· καὶ τῇ τοιαύτῃ ἀναζοπῇ κατ' ἐξαφρισμὸν μεταβάλλεται, παραπλήσιόν τι πεπονθὸς τῇ θαλάττῃ, ἣν δὴ κατὰ τὰς ἐμβολὰς τῶν πνευμάτων οἱ ποιηταί φασιν ἀποπτύειν ἁλὸς ἄχνην· πλὴν ἀλλὰ αἷμα ἔχει τὴν οὐσίαν.

§. 40. *Τούτῳ τῷ τρόπῳ καὶ οἱ ποταμοὶ ῥόῳ φερόμενοι τῇ ἐμπεριλήψει τοῦ περικεχυμένου ἀέρος ξαινόμενοι, ἀφρὸν μορμύρουσι, καὶ τὸ ἐνστόμιον ἡμῶν ὑγρὸν τῷ πνεύματι ἐκλευκαίνεται. τίς οὖν ἡ ἀποκλήρωσις μὴ οὐχὶ καὶ τὸ αἷμα ἐπὶ τὸ φωτεινότατον καὶ λευκότατον ὑπὸ τοῦ πνεύματος τρέπεσθαι ὁμολογεῖν; πάσχει δὲ τὴν μεταβολὴν κατὰ ποιότητα, οὐ κατ' οὐσίαν. ἀμέλει γοῦν οὐ τροφιμώτερον ἄλλο τι, οὐδὲ μὴν γλυκύτερον, ἀλλ' οὐδὲ λευκότερον εὕροις ἂν γάλακτος. πάντῃ δὲ ἔοικε τοῦτο τῇ πνευματικῇ τροφῇ, γλυκεῖα μὲν διὰ τὴν χάριν ὑπάρχουσα, τρόφιμος δὲ ὡς ζωή, λευκὴ δὲ ὡς ἡμέρα Χριστοῦ, καὶ τὸ αἷμα τοῦ λόγου πεφανέρωται ὡς γάλα.*

§. 41. *Ταύτῃ τοίνυν περὶ τὴν ἀποκύησιν οἰκονομούμενον τῷ βρέφει τὸ γάλα χορηγεῖται, καὶ οἱ μαστοὶ οἱ τέως τὸν ἄνδρα περιβλεπόμενοι ὀρθοί, ἤδη κατανεύουσι πρὸς τὸ παιδίον, τὴν ὑπὸ τῆς φύσεως πεπονημένην εὔληπτον παρέχειν διδασκόμενοι τροφὴν εἰς ἀνατροφὴν σωτηρίας· οὐ γὰρ ὡς αἱ πηγαὶ πλήρεις εἰσὶν οἱ μαστοὶ ἐπεισρέοντος ἑτοίμου γά-*
P. 45 *λακτος, ἀλλὰ μεταβάλλοντες τὴν τροφὴν ἐν ἑαυ-*
8 lib. *τοῖς ἐργάζονται γάλα καὶ διαπνέουσιν, ἡ τροφὴ δὲ ἡ κατάλληλος αὐτῇ καὶ πρόσφορος νεοπαγεῖ καὶ νεοφυεῖ παιδίῳ πρὸς τοῦ Θεοῦ τοῦ τροφέως καὶ πατρὸς τῶν γεννωμένων καὶ ἀναγεννωμένων πονουμένη·*

οἷον τὸ μάννα οὐρανόθεν ἀπερρέετο τοῖς παλαιοῖς P, 123
Ἑβραίοις, ἢ τῶν ἀγγέλων ἐπουράνιος τροφή. ἀμέ- Pott.
λει καὶ νῦν αἱ τιτθαὶ τὸ πρωτόχυτον τοῦ γάλακτος
πόμα ὁμωνύμως ἐκείνῃ τῇ τροφῇ μάννα κεκλήκασιν·
ἀλλ᾽ αἱ μὲν γυναῖκες αἱ κύουσαι μητέρες γενόμεναι
πηγάζουσι γάλα, ὁ δὲ κύριος ὁ Χριστὸς ὁ τῆς παρ-
θένου καρπὸς οὐκ ἐμακάρισε τοὺς γυναικείους μα-
στοὺς οὐδὲ ἔκρινεν αὐτοὺς τροφεῖς, ἀλλὰ τοῦ φιλο-
στόργου καὶ φιλανθρώπου πατρὸς ἐπομβρήσαντος
τὸν λόγον αὐτὸς ἤδη τροφὴ γέγονε πνευματικὴ τοῖς
σώφροσιν.

§. 42. Ὦ θαύματος μυστικοῦ· εἷς μὲν ὁ τῶν
ὅλων πατήρ, εἷς δὲ καὶ ὁ τῶν ὅλων λόγος καὶ τὸ
πνεῦμα τὸ ἅγιον ἓν καὶ τὸ αὐτὸ πανταχοῦ, μία δὲ
μόνη γίνεται μήτηρ παρθένος· ἐκκλησίαν ἐμοὶ φίλον
αὐτὴν καλεῖν· γάλα οὐκ ἔσχεν ἡ μήτηρ αὕτη μόνη,
ὅτι μόνη μὴ γέγονεν γυνή, παρθένος δὲ ἅμα καὶ μη-
τήρ ἐστιν, ἀκήρατος μὲν ὡς παρθένος, ἀγαπητικὴ δὲ
ὡς μήτηρ. καὶ τὰ αὐτῆς παιδία προσκαλουμένη,
ἁγίῳ τιθηνεῖται γάλακτι, τῷ βρεφώδει λόγῳ. διὸ
οὐκ ἔσχε γάλα, ὅτι γάλα ἦν τὸ παιδίον τοῦτο καλὸν
καὶ οἰκεῖον τὸ σῶμα τοῦ Χριστοῦ τὴν νεολαίαν ὑπο-
τροφοῦσαν τῷ λόγῳ, ἣν αὐτὸς ἐκύησεν ὁ κύριος ὠδῖ-
νι σαρκικῇ, ἣν αὐτὸς ἐσπαργάνωσεν ὁ κύριος αἵματι
τιμίῳ. ὧ τῶν ἁγίων λοχευμάτων, ὧ τῶν ἁγίων σπαρ-
γάνων· ὁ λόγος τὰ πάντα τῷ νηπίῳ καὶ πατὴρ καὶ
μήτηρ καὶ παιδαγωγὸς καὶ τροφεύς. „φάγετέ μου"
φησι, „τὴν σάρκα καὶ πίετέ μου τὸ αἷμα"*). ταύ-
τας ἡμῖν οἰκείας τροφὰς ὁ κύριος χορηγεῖ· καὶ σάρκα
ὀρέγει καὶ αἷμα ἐκχεῖ, καὶ οὐδὲν εἰς αὔξησιν τοῖς
παιδίοις ἐνδεῖ.

§. 43. Ὦ τοῦ παραδόξου μυστηρίου· ἀποδύ-
σασθαι ἡμῖν τὴν παλαιὰν καὶ σαρκικὴν ἐγκελεύεται
φθοράν, ὥσπερ καὶ τὴν παλαιὰν τροφήν, καινῆς δὲ

*) Ioann. 6, 53 sqq.

ἄλλης τῆς Χριστοῦ διαίτης μεταλαμβάνοντας, ἐκεῖνον, εἰ δυνατὸν, ἀναλαμβάνοντας ἐν ἑαυτοῖς ἀποτίθεσθαι καὶ τὸν σωτῆρα ἐνστερνίσασθαι, ἵνα καταρτίσωμεν τῆς σαρκὸς ἡμῶν τὰ πάθη. ἀλλ' οὐ ταύτῃ νοεῖν ἐθέλεις, κοινότερον δὲ ἴσως. ἄκουε καὶ ταύτῃ· σάρκα ἡμῖν τὸ πνεῦμα τὸ ἅγιον ἀλληγορεῖ, καὶ γὰρ ὑπ' αὐτοῦ δεθημιούργηται ἡ σάρξ· αἷμα ἡμῖν P. 124 τὸν λόγον αἰνίττεται, καὶ γὰρ ὡς αἷμα πλούσιον Pott. ὁ λόγος ἐπικέχυται τῷ βίῳ· ἡ κρᾶσις δὲ ἡ ἀμφοῖν ὁ κύριος, ἡ τροφὴ τῶν νηπίων· ὁ κύριος πνεῦμα καὶ λόγος. ἡ τροφὴ, τουτέστι κύριος Ἰησοῦς, τουτέστιν ὁ λόγος τοῦ θεοῦ, πνεῦμα σαρκούμενον· ἁγιαζομένη σὰρξ οὐράνιος. ἡ τροφὴ τὸ γάλα τοῦ πατρὸς, ᾧ μόνῳ τιτθευόμεθα οἱ νήπιοι. αὐτὸς γοῦν ὁ ἠγαπημένος καὶ τροφεὺς ἡμῶν λόγος, τὸ αὐτοῦ ὑπὲρ ἡμῶν ἐξέχεεν αἷμα, σώζων τὴν ἀνθρωπότητα, δι' οὗ πεπιστευκότες εἰς τὸν θεὸν ἐπὶ τὸν λωθικηδέα μαζὸν*) τοῦ πατρὸς, τὸν λόγον, καταφεύγομεν. ὁ δὲ, ὡς ἔοικεν, μόνος ἡμῖν τοῖς νηπίοις τὸ γάλα τῆς ἀγάπης χορηγεῖ, καὶ οὗτοι ὡς ἀληθῶς μακάριοι μόνοι, ὅσοι τοῦτον θηλάζουσι τὸν μαστόν.

§. 44. *Διὰ* τοῦτό φησι καὶ ὁ *Πέτρος*· „ἀποθέμενοι οὖν πᾶσαν κακίαν καὶ πάντα δόλον καὶ τὴν ὑπόκρισιν καὶ φθόνον καὶ καταλαλιὰν, ὡς ἀρτιγέννητα βρέφη, τὸ λογικὸν γάλα ἐπιποθήσατε, ἵνα ἐν αὐτῷ αὐξηθῆτε εἰς σωτηρίαν, εἰ ἐγεύσασθε ὅτι Χριστὸς ὁ κύριος“ **). εἰ δὲ καὶ συνενδώῃ τις αὐτοῖς ἄλλο τι εἶναι τὸ βρῶμα παρὰ τὸ γάλα, εἶτα πῶς οὐ περιπαρήσονται σφίσιν αὐτοῖς, οὐ κατανενοηκότες τὴν φύσιν; ἡ μὲν γὰρτοι τροφὴ χειμῶνος μὲν πυκνοῦντος τοῦ περιέχοντος καὶ πάροδον οὐ διδόντος ἐντὸς κατακλειομένῳ τῷ θερμῷ, ἔψομένη καὶ πεπτομένη, εἰς τὰς φλέβας ἐξαιματουμένη ἐχωρεῖ· αἱ δὲ διαπνοῆς οὐ τυγχάνουσαι, πεπληρωμέναι μάλιστα συντείνονται καὶ

*) Cf. Hom. Iliad. χ. 83 sq. **) 1 Petr. 2, 1—3.

σφύζουσι· διὸ καὶ αἱ τιτθαὶ περιπληθεῖς τότε μάλιστα γίνονται τῷ γάλακτι. ἀποδέδεικται δὲ ἡμῖν μικρῷ πρόσθεν τὸ αἷμα εἰς γάλα τελῖς κυούσαις κατὰ μεταβολὴν, οὐ κατ' οὐσίαν χωρεῖν· ὥσπερ ἀμέλει καὶ αἱ τρίχες αἱ ξανθαὶ τοῖς γηρῶσιν εἰς πολιὰς μεταβάλλουσιν. θέρους δὲ ἔμπαλιν ἀραιότερον ὂν τὸ σῶμα τὴν τροφὴν εὐδιαφορητοτέραν παρέχει, καὶ ἥκιστα πλεονάζει τὸ γάλα, ἐπεὶ μηδὲ τὸ αἷμα· οὐδὲ γὰρ πᾶσα κατέχεται ἡ τροφή.

§. 45. Εἰ τοίνυν ἡ μὲν κατεργασία τῆς τροφῆς ἐξαιματοῦται, τὸ δὲ αἷμα ἐκγαλακτοῦται, παρασκευὴ γίνεται τὸ αἷμα τοῦ γάλακτος, ὥσπερ αἷμα ἀνθρώπου καὶ γίγαρτον ἀμπέλου. τῷ γοῦν γάλακτι τῇ κυριακῇ τροφῇ, εὐθὺς μὲν ἀποκυηθέντες τιθηνούμεθα, εὖ- P. 125
θὺς δὲ ἀναγεννηθέντες τετιμήμεθα τῆς ἀναπαύσεως Pott
τὴν ἐλπίδα, τὴν ἄνω Ἱερουσαλὴμ, εὐαγγελιζόμενοι, ἐν ᾗ μέλι καὶ γάλα ὁμβρεῖν ἀναγέγραπται, διὰ τῆς ἐνύλου καὶ τὴν ἁγίαν μνηστευόμενοι τροφήν. „τὰ μὲν γὰρ βρώματα καταργεῖται"*), ᾗ φησὶν ὁ ἀπόστολος αὐτὸς, ἡ δὲ διὰ γάλακτος τροφὴ εἰς οὐρανοὺς καθηγεῖται, πολίτας οὐρανῶν καὶ συγχορευτὰς ἀγγέλων ἀναθρεψαμένη. ἐπειδὴ δέ ἐστιν ὁ λόγος πηγὴ ζωῆς βρύουσα καὶ ποταμὸς εἴρηται ἔλαιον, εἰκότως ἀλληγορῶν ὁ Παῦλος καὶ γάλα αὐτὸν ὀνομάζων, „ἐπότισα"**) ἐπιφέρει· πίνεται γὰρ ὁ λόγος, ἡ τροφὴ τῆς ἀληθείας. ἀμέλει καὶ τὸ ποτὸν ὑγρὰ καλεῖται τροφή. δυνατὸν δὲ τὸ αὐτὸ καὶ βρῶμα εἶναί πως ἔχον καὶ ποτὸν, πρὸς ἄλλο καὶ ἄλλο νοούμενον, καθάπερ καὶ ὁ τυρὸς γάλακτός ἐστι πῆξις ἢ
P. 46 γάλα πεπηγός. οὐ γάρ μοι τῆς λεξιθηρίας μέλει
Sylb. ταῦν, πλὴν ὅτι τὰς τροφὰς ἄμφω μία διακονεῖται οὐσία. ἀλλὰ καὶ τοῖς ὑποτιτθίοις παιδίοις ἀρκεῖ μόνον τὸ γάλα καὶ ποτὸν εἶναι καὶ τροφήν. „ἐγὼ", φησὶν ὁ κύριος, „βρῶσιν ἔχω φαγεῖν, ἣν ὑμεῖς οὐκ

*) 1 Cor. 6, 13. **) Ibid. 3, 2.

οἴδατε· ἐμὸν βρῶμά ἐστιν; ἵνα ποιήσω τὸ θέλημα τοῦ πέμψαντός με"*). ὁρᾶτε ἄλλο βρῶμα; ἀλληγορούμενον παραπλησίως γάλακτι, τὸ θέλημα τοῦ θεοῦ.

§. 46. Ἀλλὰ καὶ τὴν συμπλήρωσιν τοῦ ἰδίου πάθους „ποτήριον" **) κέκληκε καταχρηστικῶς, ὅτε ἐκπιεῖν καὶ ἐκτελέσαι μόνον ἐχρῆν αὐτό. οὕτως Χριστῷ μὲν ἡ τροφὴ τῆς πατρικῆς βουλῆς ἦ τελείωσις ἦν ἡμῖν δὲ αὐτὸς ὁ Χριστὸς ἡ τροφὴ τοῖς νηπίοις, τοῖς ἀμέλγουσι τὸν λόγον τῶν οὐρανῶν· ἐντεῦθεν τὸ ζητῆσαι μαστεῦσαι καλεῖται, ὅτι τοῖς ζητοῦσι νηπίοις τὸν λόγον αἱ πατρικαὶ τῆς φιλανθρωπίας θηλαὶ χορηγοῦσι τὸ γάλα. ἔτι δὲ καὶ ἄρτον αὐτὸν οὐρανῶν ὁμολογεῖ ὁ λόγος. „οὐ γὰρ Μωϋσῆς", φησίν, „ἔδωκεν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ· ἀλλ' ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν· ὁ γὰρ ἄρτος τοῦ θεοῦ ἐστὶν ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. καὶ ὁ ἄρτος, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν, ἣν ἐγὼ δώσω ὑπὲρ τῆς τοῦ κόσμου ζωῆς" ***). ἐνταῦθα τὸ μυστικὸν τοῦ ἄρτου παρασημειωτέον, ὅτι σάρκα αὐτὸν λέγει καὶ ὡς ἀνισταμένην δῆθεν διὰ πυρός, καθάπερ ἐκ φθορᾶς καὶ σποράς ὁ πυρὸς ἀνίσταται, καὶ μέντοι διὰ πυρὸς συνισταμένην εἰς εὐφροσύνην ἐκκλησίας, ὡς ἄρτον πεπτόμενον.

§. 47. Ἀλλὰ γὰρ αὖθις ἡμῖν σαφέστερον τοῦτο ἐν τῷ περὶ ἀναστάσεως δηλωθήσεται. ἐπεὶ δὲ εἶπεν, „καὶ ὁ ἄρτος, ὃν ἐγὼ δώσω, ἡ σάρξ μου ἐστίν", σὰρξ δὲ αἵματι ἄρδεται, τὸ δὲ αἷμα οἶνος Pott. ἀλληγορεῖται, ἰστέον οὖν ὅτι ὡς ἄρτος εἰς κρᾶμα καταθρυβεὶς τὸν οἶνον ἁρπάζει, τὸ δὲ ὑδατῶδες ἀπολείπει, οὕτω καὶ ἡ σὰρξ τοῦ κυρίου, ὁ ἄρτος τῶν οὐρανῶν, ἀναπίνει τὸ αἷμα, τοὺς οὐρανίους τῶν ἀν-

*) Ioann. 4, 32. 34. **) Matth. 22, 22. Marc. 10, 38. Ioann. 18, 11. ***) Ioann. 6, 32. 33. 51.

θρώπων εἰς ἀφθαρσίαν ἐκτρέφων, ἀπολείπων δὲ μόνας ἐκείνας εἰς φθοράν, τὰς σαρκικὰς ἐπιθυμίας. οὕτως πολλαχῶς ἀλληγορεῖται ὁ λόγος καὶ βρῶμα καὶ σὰρξ καὶ τροφὴ καὶ ἄρτος καὶ αἷμα καὶ γάλα, ἅπαντα ὁ κύριος εἰς ἀπόλαυσιν ἡμῶν τῶν εἰς αὐτὸν πεπιστευκότων. μὴ δὴ οὖν τις ξενιζέσθω, λεγόντων ἡμῶν ἀλληγορεῖσθαι γάλα τὸ αἷμα τοῦ κυρίου· ἢ γὰρ καὶ οὐχὶ οἶνος ἀλληγορεῖται; „ὁ πλύνων", φησὶν, „ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ. καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ"*) ἐν τῷ πνεύματι τῷ αὐτοῦ κοσμήσειν λέγει τὸ σῶμα τοῦ λόγου, ὥσπερ ἀμέλει τῷ αὐτοῦ πνεύματι ἐκθρέψει τοὺς πεινῶντας τὸν λόγον. ὅτι δὲ τὸ αἷμα ὁ λόγος ἐστὶν, μαρτυρεῖ τοῦ Ἄβελ τοῦ δικαίου**)· τὸ αἷμα ἐντυγχάνον τῷ θεῷ· οὐ γὰρ τὸ αἷμα ἂν ποτε προήσεται φωνὴν, μὴ οὐχὶ ὁ λόγος νοούμενος τὸ αἷμα· τύπος γὰρ ὁ δίκαιος ὁ παλαιὸς τοῦ νέου δικαίου καὶ τὸ αἷμα τὸ ἐντυγχάνον τὸ παλαιὸν ὑπερεντυγχάνει τοῦ αἵματος τοῦ νέου. φθέγγεται δὲ πρὸς τὸν θεὸν τὸ αἷμα ὁ λόγος, ἐπεὶ λόγον ἐμήνυεν τὸν πεισόμενον.

§. 48. Ἀλλὰ καὶ ἡ σὰρξ αὐτὴ καὶ τὸ ἐν αὐτῇ αἷμα τῷ γάλακτι, οἷον ἀντιπελαργούμενον, ἄρδεταί τε καὶ αὔξεται. καὶ δὴ καὶ ἡ διαμόρφωσις τοῦ συλληφθέντος τῷ τῆς ἐπὶ μῆνα καθάρσεως ὑπολελειμμένῳ καθαρῷ περιπτώματι κιρναμένου τοῦ σπέρματος γίνεται· ἡ γὰρ ἐν τούτῳ δύναμις, θρομβοῦσα τοῦ αἵματος τὴν φύσιν, ὃν τρόπον ἡ πυτία συνίστησι τὸ γάλα καὶ οὐσίαν ἐργάζεται μορφώσεως· εὐθαλεῖ γὰρ ἡ κρᾶσις, σφαλερὰ δὲ ἡ ἀκρότης εἰς ἀτεκνίαν. καὶ γὰρ αὐτῆς ἤδη τῆς γῆς ὑπὸ μὲν ἐπομβρίας κατακλυσθὲν, ἀποσύρεται τὸ σπέρμα, διὰ δὲ αὐχμὸν νοτίδος ἀποξηραίνεται. κολλώδης δὲ ὁ χυμὸς ὢν συνέχει τὸ σπέρμα καὶ φύει. τινὲς δὲ καὶ τὸ σπέρμα τοῦ ζώου ἀφρὸν εἶναι τοῦ αἵματος κατ' οὐσίαν ὑπο-

*) Genes. 49, 11. **) Ibid. 4, 10. cf. Hebr. 12, 24.

τίθενται, ὃ δὴ τῇ ἐμφύτῳ τοῦ ἄρρενος θέρμῃ παρὰ τὰς συμπλοκὰς ἐκταραχθὲν, ἐκριπιζόμενον ἐξαφροῦται κἂν ταῖς σπερματίσι παρατίθεται φλεψίν· ἐντεῦθεν γὰρ ὁ Ἀπολλωνιάτης Διογένης τὰ ἀφροδί- P. 127
σια κεκλῆσθαι βούλεται. Pott.

§. 49. Συμφανὲς τοίνυν ἐκ τούτων ἁπάντων αἷμα εἶναι τοῦ ἀνθρωπίνου σώματος τὴν οὐσίαν. καὶ δὴ καὶ τὸ κατὰ γαστρὸς, τὸ μὲν πρῶτον ὑγροῦ ἐστὶ σύστασις γαλακτοειδὴς, ἔπειτα ἐξαιματουμένη σαρκοῦται ἡ σύστασις αὕτη, πηγνυμένη δὲ ἐν τῇ ὑστέρᾳ ὑπὸ τοῦ φυσικοῦ καὶ θερμοῦ πνεύματος, ὑφ' οὗ διαπλάττεται τὸ ἔμβρυον ζωογονεῖται. ἀλλὰ καὶ μετὰ τὴν κύησιν αὖθις ἐκτρέφεται τὸ παιδίον αἵματι τῷ αὐτῷ· αἵματος γὰρ φύσις τοῦ γάλακτός ἡ ῥύσις, καὶ πηγὴ τροφῆς τὸ γάλα, ᾧ δὴ καὶ γυνὴ δήλη τεκοῦσα ἀληθῶς [καὶ] μήτηρ, δι' οὗ καὶ φίλτρον εὐνοίας προσλαμβάνει· διὰ τοῦτο ἄρα μυστικῶς τὸ ἐν τῷ ἀποστόλῳ ἅγιον πνεῦμα τῇ τοῦ κυρίου ἀποχρώμενον φωνῇ, „γάλα ὑμᾶς ἐπότισα“ *), λέγει. εἰ γὰρ ἀνεγεννήθημεν εἰς Χριστὸν, ὁ ἀναγεννήσας ἡμᾶς ἐκτρέφει τῷ ἰδίῳ γάλακτι, τῷ λόγῳ, πᾶν γὰρ τὸ γεννῆσαν ἔοικεν εὐθὺς παρέχειν τῷ γεννωμένῳ τροφήν· καθάπερ δὲ ἡ ἀναγέννησις ἀναλόγως, οὕτω καὶ ἡ τροφὴ γέγονε τῷ ἀνθρώπῳ πνευματική. πάντῃ τοίνυν ἡμεῖς τὰ πάντα Χριστῷ προσῳκειώμεθα καὶ εἰς συγγένειαν διὰ τὸ αἷμα αὐτοῦ, ᾧ λυτρούμεθα, καὶ εἰς συμπάθειαν, διὰ τὴν ἀνατροφὴν τὴν ἐκ τοῦ λόγου καὶ εἰς ἀφθαρσίαν διὰ τὴν ἀγωγὴν τὴν αὐτοῦ·

τὸ θρέψαι δ' ἐν βροτοῖσι πολλάκις
πλείω πορίζει φίλτρα τοῦ φῦσαι τέκνα.

τὸ αὐτὸ ἄρα καὶ αἷμα καὶ γάλα τοῦ κυρίου πάθους καὶ διδασκαλίας σύμβολον.

§. 50. Ἐφεῖται τοιγαροῦν ἡμῶν ἑκάστῳ τῶν νηπίων ἐγκαυχᾶσθαι τῷ κυρίῳ, ἐπιφθεγγομένοις,

*) 1 Cor. 3, 2.

P. 47 πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ αἵματος εὔχομαι εἶναι.
Sylb. ὡς δ' ἐξ αἵματος γάλα κατὰ μεταβολὴν γίνεται, ἤδη μὲν σαφὲς, οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ποιμνίων, ἔκ τε τῶν βουκολίων ἔξεστι μαθεῖν· τὰ γὰρ ζῶα ταῦτα τσῦ ἔτους κατὰ τὴν ὥραν, ἣν ἔαρ καλοῦμεν, ὑγροτέρου τοῦ περιέχοντος γεγονότος, ἀλλὰ καὶ τῆς πόας καὶ τῶν νομῶν εὐχύλων τοτηνικάδε οὐσῶν καὶ ἐνίκμων αἵματος πίμπλαται πρότερον, ὡς ἐκ τῆς διατάσεως τῶν φλεβῶν κυρτουμένων τῶν ἀγγείων δείκνυται· ἐκ δὲ τοῦ αἵματος δαψιλέστερον χεῖται τὸ γάλα· θέρους δ' ἔμπαλιν ὑπὸ τοῦ καύματος συγκαιόμενον καὶ ἀναξηραινόμενον ἵστησι τὴν μεταβολὴν τὸ αἷμα καὶ ταύτῃ ἔλαττον ἀμέλγονται· ναὶ μὴν καὶ συγγένειάν τινα πρὸς τὸ ὕδωρ φυσικωτάτην ἔχει τὸ P. 128 γάλα, καθάπερ ἀμέλει πρὸς τὴν πνευματικὴν τρο- Pott. φὴν τὸ λουτρὸν τὸ πνευματικόν· οἱ γοῦν ἐπιροροφῶντες τῷ προειρημένῳ γάλακτι ψυχροῦ ὀλίγον ὕδατος ὠφελοῦνται παραχρῆμα· οὐ γὰρ ἀποξύνεσθαι τὸ γάλα ἐᾷ ἡ πρὸς τὸ ὕδωρ κοινωνία, οὐκ ἀντιπαθείᾳ τινὶ, προσπεπαινομένου δὲ προσπαθείᾳ. καὶ ἣν ὁ λόγος ἔχει πρὸς τὸ βάπτισμα κοινωνίαν, ταύτην ἔχει τὸ γάλα τὴν συναλλαγὴν πρὸς τὸ ὕδωρ. δέχεται γὰρ μόνον τῶν ὑγρῶν τοῦτο καὶ τὴν πρὸς τὸ ὕδωρ μῖξιν ἐπικάθαρσιν παραλαμβανόμενον καθάπερ τὸ βάπτισμα ἐπὶ ἀφέσει ἁμαρτιῶν.

§. 51. *Μίγνυται δὲ καὶ μέλιτι προσφυῶς καὶ τοῦτο ἐπὶ καθάρσει πάλιν μετὰ γλυκείας τῆς τροφῆς· μιγνύμενος γὰρ ὁ λόγος φιλανθρωπίᾳ, ἰᾶταί γε ἅμα τὰ πάθη, καὶ ἀνακαθαίρει τὰς ἁμαρτίας· καὶ τὸ*

μέλιτος γλυκίων ῥέεν αὐδὴ *)

*ἐπὶ τοῦ λόγου λελέχθαι μοὶ δοκεῖ, ὅς ἐστι μέλι. καὶ πολλαχοῦ δὲ ἡ προφητεία „ὑπὲρ μέλι καὶ κηρίον" **) ἀνάγει· ναὶ μὴν ἐπιμίγνυται τὸ γάλα καὶ οἴνῳ τῷ γλυκεῖ, ἐπωφελὴς δὲ ἡ μῖξις, καθάπερ ἀνακιρνα-

*) Hom. Iliad. α. 249. **) Psalm. 19, 10. 119, 103

μένου τοῦ πάθους εἰς ἀφθαρσίαν· ἐξορροῦται γὰρ ὑπὸ τοῦ οἴνου τὸ γάλα καὶ σχίζεται, καὶ ὅτιπερ αὐτοῦ νόθον, τοῦτ' ἀποχετεύεται. κατὰ τὰ αὐτὰ δὲ τῆς πίστεως ἡ κοινωνία ἡ πνευματικὴ πρὸς τὸν παθητὸν ἄνθρωπον τὰς σαρκικὰς ἐπιθυμίας ἐξορροῦσα εἰς ἀϊδιότητα συστέλλει τὸν ἄνθρωπον, τοῖς θείοις ἀπαθανατίζουσα. ἀλλ' οἱ πολλοὶ δὲ καὶ τῷ λιπαρῷ τοῦ γάλακτος, ὃ δὴ βούτυρον καλοῦσι, καταχρῶνται εἰς λύχνον, τὸ πολυέλαιον τοῦ λόγου δι' αἰνίγματος ἀριδήλου σαφηνίσαντες, ὡς μόνον τοῦδε ἐνδίκως καὶ τρέφοντος καὶ αὔξοντος καὶ φωτίζοντος τοὺς νηπίους.

§. 52. *Διὰ τοῦτο γὰρ καὶ ἡ γραφὴ περὶ τοῦ κυρίου λέγει·* „ἐψώμισεν αὐτοὺς γεννήματα ἀγρῶν, ἐθήλασαν μέλι ἐκ πέτρας καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας, βούτυρον βοῶν καὶ γάλα προβάτων μετὰ στέατος ἀρνῶν" *)· καὶ τὰ ἐπὶ τούτοις ἔδωκεν αὐτοῖς· ἀλλὰ καὶ τὴν γέννησιν τοῦ παιδίου ὁ προφητεύων, „βούτυρον", φησὶν, „ἔδεται καὶ μέλι" **). ἐμοὶ δὲ καὶ θαυμάζειν ἔπεισιν, ὅπως σφᾶς τελείους τινὲς τολμῶσι καλεῖν καὶ γνωστικοὺς ὑπὲρ τὸν ἀπόστολον φρονοῦντες, φυσιούμενοί τε καὶ φρυαττόμενοι, αὐτοῦ ὁμολογοῦντος τοῦ Παύλου περὶ ἑαυτοῦ „οὐχ ὅτι ἤδη ἔλαβον ἢ ἤδη τετελείωμαι, διώκω δὲ εἰ καὶ καταλάβω, ἐφ' ᾧ καὶ κατελήφθην ὑπὸ Χριστοῦ. ἀδελφοί, ἐγὼ ἐμαυτὸν οὔπω λογίζομαι κατειληφέναι, ἓν δὲ ὅτι τὰ μὲν ὀπίσω ἐπιλανθανόμενος, τοῖς δὲ ἔμπροσθεν ἐπεκτεινόμενος, κατὰ σκοπὸν διώκω εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐν Χριστῷ Ἰησοῦ" ***). καὶ τέλειον μὲν ἑαυτὸν ἡγεῖται, ὅτι ἀπήλλακται τοῦ προτέρου βίου, ἔχεται δὲ τοῦ κρείττονος, οὐχ ὡς ἐν γνώσει τέλειος, ἀλλ' ὡς τοῦ τελείου ἐφιέμενος· διὸ καὶ ἐπιφέρει· „ὅσοι οὖν τέλειοι, τοῦτο φρονοῦμεν" †)·

*) Deut. 32, 13 sqq. **) Ies. 8, 15. ***) Philipp. 3, 12—14. †) Ibid. v. 15.

τελείωσιν δῆλον ὅτι λέγων τὸ ἀποτετάχθαι ταῖς ἁμαρτίαις καὶ εἰς πίστιν τοῦ μόνου τελείου ἀναγεγεννῆσθαι ἐκλαθομένους τῶν κατόπισθεν ἁμαρτιῶν.

Cap. VII.

Τίς ὁ παιδαγωγὸς, καὶ περὶ τῆς παιδαγωγίας αὐτοῦ.

§. 53. Ἐπεὶ τοίνυν ἀπεδείξαμεν παῖδας ἡμᾶς τοὺς πάντας ὑπὸ τῆς γραφῆς καλουμένους οὐ μόνον ἀλλὰ καὶ τοὺς Χριστῷ κατηκολουθηκότας ἡμᾶς νηπίους ἀλληγορουμένους, μόνον δὲ εἶναι τέλειον τὸν πατέρα τῶν ὅλων — ἐν αὐτῷ γὰρ ὁ υἱὸς καὶ ἐν τῷ υἱῷ ὁ πατήρ —, καὶ ὥρα ἡμῖν ἑπομένοις τῇ τάξει καὶ τὸν παιδαγωγὸν ἡμῶν εἰπεῖν, ὅστις ἐστί. καλεῖται δὲ Ἰησοῦς. ἔσθ' ὅτε οὖν ποιμένα ἑαυτὸν καλεῖ καὶ λέγει, „ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός" *) κατὰ μεταφορὰν ἀπὸ τῶν ποιμένων τῶν καθηγουμένων τοῖς προβάτοις, ὁ καθηγούμενος τῶν παιδίων, παιδαγωγὸς νοούμενος, ὁ τῶν νηπίων κηδεμονικὸς ποιμήν· ἁπλοῖ γὰρ οἱ νήπιοι ὡς πρόβατα ἀλληγορούμενοι· „καὶ γενήσονται", φησὶν, „οἱ πάντες μία ποίμνη καὶ εἷς ποιμήν" **). παιδαγωγὸς οὖν εἰκότως ὁ λόγος ὁ τοὺς παῖδας ἡμᾶς εἰς σωτηρίαν ἄγων. ἐναργέστατα γοῦν ὁ λόγος περὶ ἑαυτοῦ διὰ Ὡσηὲ εἴρηκεν· „ἐγὼ δὲ παιδευτὴς ὑμῶν εἰμι" ***). παιδαγωγία δὲ ἡ θεοσέβεια μάθησις οὖσα θεοῦ θεραπείας καὶ παίδευσις εἰς ἐπίγνωσιν ἀληθείας, ἀγωγή τε ὁρθὴ, ἀνάγουσα εἰς οὐρανόν.

§. 54. *Παιδαγωγία δὲ καλεῖται πολλαχῶς· καὶ* γὰρ ἡ τοῦ ἀγομένου καὶ μανθάνοντος καὶ ἡ τοῦ ἄγοντος καὶ διδάσκοντος, καὶ αὐτὴ τρίτον ἡ ἀγωγὴ καὶ

*) Ioann. 10, 11. **) Ibid. v. 16. ***) Hos. 5, 2.

τὰ διδασκόμενα τέτρατον οἷον αἱ ἐντολαί. ἔστι P. 130
δὲ ἡ κατὰ θεὸν παιδαγωγία κατευθυσμὸς ἀληθείας Pott.
P. 48 εἰς ἐποπτείαν θεοῦ καὶ πράξεων ἀγίων ὑποτύπω-
Sylb. σις ἐν αἰωνίῳ διαμονῇ. ὥσπερ οὖν κατευθύνει
τὴν φάλαγγα ὁ στρατηγὸς τῆς σωτηρίας τῶν μισθο-
φόρων προμηθούμενος καὶ ὡς ὁ κυβερνήτης οἰακίζει
τὸ σκάφος σώζειν προαιρούμενος τοὺς ἐμπλέοντας,
οὕτως καὶ ὁ παιδαγωγὸς ἄγει τοὺς παῖδας ἐπὶ τὴν
σωτήριον δίαιταν τῆς ἡμῶν αὐτῶν ἕνεκεν κηδεμο-
νίας· καὶ καθόλου ὁπόσα ἂν παρὰ τοῦ θεοῦ εὐλό-
γως αἰτήσαιμεν ἡμῖν γενέσθαι, ταῦτα πειθομένοις
τῷ παιδαγωγῷ περιέσται. ὅπερ οὖν τρόπον ὁ κυ-
βερνήτης οὐκ αἰεὶ τοῖς ἀνέμοις ὑπείκει, ἀντίπρωρος
δὲ ἔσθ' ὅτε ὅλαις ἀνθίσταται καταιγίσιν, οὕτως ὁ
παιδαγωγὸς οὐχὶ τοῖς ἐν τῷ κόσμῳ τῷδε καταπνέου-
σι νόμοις ὑπείκει ποτὲ οὐδὲ ἐπιτρέπει αὐτοῖς τὸ παι-
δίον, ὥσπερ σκάφος, εἰς θηριώδη καὶ ἀσελγῆ προσ-
ρῆξαι δίαιταν, μόνῳ δὲ ἄρα τῷ ἀληθείας πνεύματι
ἔπουρος ὀρθεῖς, ἀντέχεται μάλα ἐρρωμένως τῶν οἰά-
κων τοῦ παιδὸς, τῶν ὥτων λέγω· ἕως ἂν ἀβλαβὲς
καθορμίσῃ τὸ παιδίον εἰς τὸν λιμένα τῶν οὐρανῶν.
τὸ μὲν γὰρ πάτριον καλούμενον παρ' αὐτοῖς ἔθος,
ὅσον οὐδέπω παρέρχεται· ἡ δὲ ἀγωγὴ ἡ θεία κτῆ-
μά ἐστιν εἰς ἀεὶ παραμένον.

§. 55. Ἀχιλλέως μὲν οὖν παιδαγωγὸν τὸν Φοι-
νικά φασι γεγονέναι καὶ τῶν Κροίσου παίδων Ἄδρα-
στον, Ἀλεξάνδρου δὲ Λεωνίδην, καὶ Φιλίππου Nau-
sidoon. ἀλλ' ὁ μὲν γυναικομανὴς ὁ Φοινὶξ ἦν, ὁ
δὲ φυγὰς ὁ Ἄδραστος ἦν, Λεωνίδης δὲ οὐ περιεῖλεν
τὸν τῦφον τοῦ Μακεδόνος, οὐδὲ Ναυσίθοος μεθύον-
τα τὸν ἐκ Πέλλης ἰώσατο, Ἀλκιβιάδου δὲ τὴν πορ-
νείαν ὁ Θρᾷξ ἐπισχεῖν οὐκ ἴσχυσε Ζώπυρος, ἀλλ'
ὠνητὸν ἀνδράποδον ὁ Ζώπυρος ἦν, καὶ τῶν Θεμιστο-
κλέους παίδων ὁ παιδαγωγὸς Σίκιννος οἰκέτης ῥᾴθυ-
μος ἦν, ὀρχεῖσθαί φασιν αὐτὸν καὶ σικιννίζειν εὑρη-
κέναι. οὐκ ἔλαθον ἡμᾶς οἱ παρὰ Πέρσαις βασιλικοὶ

καλούμενοι παιδαγωγοὶ, οὓς τέτταρας τὸν ἀριθμὸν ἀριστίνδην ἐκλέγοντες ἐκ πάντων Περσῶν οἱ βασιλεῖς Περσῶν τοῖς σφῶν αὐτῶν ἐφίστων παισὶν· ἀλλὰ τοξεύειν μόνον οἱ παῖδες αὐτοῖς μανθάνουσιν, ἡβήσαντες δὲ ἀδελφαῖς καὶ μητράσι καὶ γυναιξὶ, γαμεταῖς τε ἅμα καὶ παλλακίσιν ἀναρίθμοις ἐπιμίσγονται, καθάπερ οἱ κάπροι εἰς συνουσίαν ἠσκημένοι· ὁ δὲ ἡμέτερος παιδαγωγὸς ἅγιος Θεὸς Ἰησοῦς, ὁ πάσης τῆς ἀνθρωπότητος καθηγεμὼν λόγος, αὐτὸς ὁ φιλάνθρωπος Θεός ἐστι παιδαγωγός. P. 131 Pott.

§. 56. Λέγει δέ που διὰ τῆς ᾠδῆς τὸ πνεῦμα τὸ ἅγιον εἰς αὐτόν· „αὐτάρκησε τὸν λαὸν ἐν τῇ ἐρήμῳ, ἐν δίψει καύματος, ἐν ἀνύδρῳ ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν καὶ διεφύλαξεν ὡς κόρην ὀφθαλμοῦ, ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ, καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησεν, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶν μεταφρένων αὐτοῦ· κύριος μόνος ἦγεν αὐτοὺς καὶ οὐκ ἦν μετ' αὐτῶν θεὸς ἀλλότριος"*). σαφῶς οἶμαι τὸν παιδαγωγὸν ἐνδείκνυται ἡ γραφὴ τὴν ἀγωγὴν αὐτοῦ διηγουμένη. πάλιν δὲ ὅταν λέγῃ διὰ τοῦ ἰδίου προσώπου, ἑαυτὸν ὁμολογεῖ παιδαγωγόν· „ἐγὼ κύριος ὁ Θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου"**). τίς οὖν ἔχει ἐξουσίαν τοῦ ἄγειν εἴσω τε καὶ ἔξω; οὐχὶ ὁ παιδαγωγός; οὗτος ὤφθη τῷ Ἀβραὰμ καὶ εἶπεν αὐτῷ· „ἐγώ εἰμι ὁ Θεός σου, εὐαρέστει ἐνώπιόν μου"***). τοῦτον δὲ παιδαγωγικώτατα ὑποκατασκευάζει παῖδα πιστόν· „καὶ γίνου"· φήσας, „ἄμεμπτος, καὶ θήσω τὴν διαθήκην μοῦ ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σοῦ, καὶ τοῦ σπέρματός σου". φιλίας ἐνταῦθα ἐπιστατικῆς ἐστι κοινωνία· τοῦ δὲ Ἰακὼβ ἐναργέστατα παιδαγωγὸς εἶναι φαίνεται. λέγει γοῦν αὐτῷ· „ἰδοὺ ἐγὼ μετὰ σοῦ, διαφυλάσσων σε ἐν

*) Deut. 32, 10—12. **) Exod. 20, 2. ***) Genes. 17, 1 sq.

τῇ ὁδῷ πάσῃ, οὗ ἂν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω P. 132 ἕως τοῦ ποιῆσαί με, ὅσα ἐλάλησά σοι"*). τούτῳ Pott. δὲ καὶ συμπαλαίειν λέγεται. „ὑπελείφθη δὲ", φησὶν, „Ἰακὼβ μόνος καὶ ἐπάλαιεν μετ' αὐτοῦ ἄνθρωπος", ὁ παιδαγωγὸς, „μέχρι πρωΐ"**).

§. 57. Οὗτος ἦν ὁ ἄνθρωπος ὁ ἄγων καὶ φέρων, ὁ συγγυμναζόμενος καὶ ἀλείφων κατὰ τοῦ πονηροῦ τὸν ἀσκητὴν Ἰακώβ· ὅτι δὲ ὁ λόγος ἦν ὁ ἀλείπτης ἅμα τῷ Ἰακὼβ καὶ παιδαγωγὸς τῆς ἀνθρωπότητος, „ἠρώτησε", φησὶν, „αὐτὸν καὶ εἶπεν αὐτῷ· ἀνάγγειλόν μοι, τί τὸ ὄνομά σου. καὶ εἶπεν· ἵνατί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου"***); ἐτήρει γὰρ τὸ ὄνομα τὸ καινὸν τῷ νέῳ λαῷ τῷ νηπίῳ. ἔτι δὲ καὶ ἀνονόμαστος ἦν ὁ Θεὸς ὁ κύριος, μηδέπω γεγενημένος ἄνθρωπος. πλὴν ἀλλὰ „ὁ Ἰακὼβ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου εἶδος Θεοῦ, εἶδον γὰρ", φησὶν, „Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή" †). πρόσωπον δὲ τοῦ Θεοῦ ὁ λόγος, ᾧ φωτίζεται ὁ θεὸς καὶ γνωρίζεται. τότε καὶ Ἰσραὴλ ἐπωνόμασται, ὅτε εἶδε τὸν Θεὸν τὸν κύριον. οὗτός ἐστιν ὁ Θεὸς, ὁ λόγος, ὁ παιδαγωγὸς, ὁ φήσας αὐτῷ πάλιν ὕστερον· „μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον" ††). ὅρα πῶς μὲν ἕπεται τῷ δικαίῳ ὁ παιδαγωγὸς, ὅπως τε καὶ ἀλείφει τὸν ἀσκητὴν, πτερνίζειν διδάσκων τὸν ἀνταγωνιστήν. αὐτὸς γοῦν οὗτος καὶ τὸν Μωϋσέα διδάσκει παιδαγωγεῖν· λέγει γὰρ ὁ κύριος, „εἴ τις ἡμάρτηκεν ἐνώπιόν μου, ἐξαλείφω αὐτὸν ἐκ τῆς βίβλου μου, νυνὶ δὲ βάδιζε καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον, ὃν εἶπόν σοι" †††).

§. 58. Ἐνταῦθα διδάσκαλός ἐστι παιδαγωγίας· καὶ γὰρ ἦν ὡς ἀληθῶς διὰ μὲν Μωϋσέως παιδαγωγὸς ὁ κύριος τοῦ λαοῦ τοῦ παλαιοῦ, δι' αὐτοῦ δὲ

*) Genes. 28, 15. **) Ibid. 32, 24. ***) Ibid. v. 29. †) Ibid. v. 30. ††) Ibid. 46, 3. †††) Exod. 32, 33 sq.

τοῦ νέου καθηγεμὼν λαοῦ, πρόσωπον πρὸς πρόσωπον. „Ἰδοὺ" γὰρ, φησὶ τῷ Μωϋσεῖ, „ὁ ἄγγε- P. 133
P. 49 λός μου προπορεύεταί σου"*)· τὴν εὐαγγέλιον Pott.
8ylb. καὶ ἡγεμόνιον ἐπιστήσας τοῦ λόγου δύναμιν, τὸ δὲ ἀξίωμα τὸ κυριακὸν φυλάττων. „ᾗ δ' ἂν ἡμέρᾳ ἐπισκέπτωμαι", φησὶν, „ἐπάξω ἐπ' αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν"**), τουτέστιν, ᾗ δ' ἂν ἡμέρᾳ κριτὴς καθεσθῶ, ἀποδώσω τῶν ἁμαρτιῶν αὐτῶν τὰ ἀντάξια· ὁ γὰρ αὐτὸς παιδαγωγὸς καὶ κριτὴς τοὺς παρακούσαντας αὐτοῦ δικάζει, τὸ δὲ ἁμάρτημα αὐτῶν οὐ παρασιωπᾷ ὁ φιλάνθρωπος λόγος, ἐλέγχει δὲ, ἵνα μετανοήσωσιν· „θέλει γὰρ ὁ κύριος τὴν μετάνοιαν τοῦ ἁμαρτωλοῦ μᾶλλον ἢ τὸν θάνατον"***). ἡμεῖς δὲ τὰς ἄλλων ἁμαρτίας ὡς νήπιοι δι' ἀκοῆς παραδεξάμενοι φόβῳ τῆς ἀπειλῆς τοῦ μὴ τὰ ὅμοια παθεῖν ἀποσχώμεθα τῶν ἴσων πλημμελημάτων. τί οὖν ἦν ὃ ἥμαρτον; „ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους καὶ τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον, ἐπικατάρατος ὁ θυμὸς αὐτῶν"†).

§. 59. Τίς ἂν οὖν τούτου μᾶλλον ἡμᾶς φιλανθρωπότερον παιδεύσαι; τὸ μὲν οὖν πρότερον τῷ πρεσβυτέρῳ λαῷ πρεσβυτέρα διαθήκη ἦν καὶ νόμος ἐπαιδαγώγει τὸν λαὸν μετὰ φόβου καὶ λόγος ἄγγελος ἦν, καινῷ δὲ καὶ νέῳ λαῷ καινὴ καὶ νέα διαθήκη δεδώρηται καὶ ὁ λόγος γεγένηται καὶ ὁ φόβος εἰς ἀγάπην μετατέτραπται καὶ ὁ μυστικὸς ἐκεῖνος ἄγγελος Ἰησοῦς τίκτεται. ὁ γὰρ αὐτὸς οὗτος παιδαγωγὸς, τότε μὲν „φοβηθήσῃ κύριον τὸν θεὸν"††) ἔλεγεν, ἡμῖν δὲ „ἀγαπήσεις κύριον τὸν θεόν σου"†††) παρῄνεσεν. διὰ τοῦτο καὶ ἐντέλλεται ἡμῖν· „παύσασθε ἀπὸ τῶν ἔργων ὑμῶν", τῶν παλαιῶν ἁμαρτιῶν, „μάθετε καλὸν ποιεῖν, ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν, ἠγάπησας δικαιοσύνην, ἐμίσησας ἀνομίαν".

*) Exod. 32, 34. **) Ibidem, ***) Ezech. 18, 23. 32. 33, 11. †) Genes. 49, 6. ††) Deut. 6, 2. †††) Matth. 32, 37.

αὕτη μοὺ ἡ νέα διαθήκη παλαιῷ κεχαραγμένη γράμματι. οὐκ ἄρα ἡ νεότης τοῦ λόγου ὀνειδιστέα, ἀλλὰ καὶ ἐν τῷ Ἱερεμίᾳ ὁ κύριος λέγει· „μὴ λέγε ὅτι νεώτερός εἰμι· πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας ἡγίακά σε“ *). ταῦτα δύναται πρὸς ἡμᾶς ἡ προφητεία αἰνίττεσθαι τοὺς πρὸ καταβολῆς κόσμου εἰς πίστιν ἐγνωσμένους θεῷ, νυνὶ δὲ νηπίους διὰ τὴν ἔναγχος πεπληρωμένην βούλησιν τοῦ θεοῦ, καθὸ εἰς κλῆσιν καὶ σωτηρίαν νεογνοὶ γεγόναμεν.

§. 60. *Διὸ καὶ ἐπιφέρει „προφήτην εἰς ἔθνη τέθεικά σε“* **), προφητεῦσαι λέγων αὐτὸν δεῖν, μὴ ὄνειδος εἶναι δοκεῖν, τοῦ νεωτέρου τὴν προσηγορίαν τοῖς νηπίοις καλυμένοις. ὁ δὲ νόμος χάρις ἐστὶ παλαιὰ διὰ Μωϋσέως ὑπὸ τοῦ λόγου δοθεῖσα. διὸ καί φησιν ἡ γραφή, „ὁ νόμος διὰ Μωϋσέως ἐδόθη“ ***), οὐχὶ ὑπὸ Μωϋσέως, ἀλλὰ ὑπὸ μὲν τοῦ λόγου, διὰ Μωϋσέως δὲ τοῦ θεράποντος αὐτοῦ· διὸ καὶ πρόσκαιρος ἐγίνετο, „ἡ δὲ ἀΐδιος χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο“. ὁρᾶτε τὰς λέξεις τῆς γραφῆς· ἐπὶ μὲν τοῦ νόμου „ἐδόθη“ φησὶ μόνον, „ἡ δὲ ἀλήθεια“ χάρις οὖσα τοῦ πατρὸς ἔργον ἐστὶ τοῦ λόγου αἰώνιον καὶ οὐκέτι δίδοσθαι λέγεται, ἀλλὰ „διὰ Ἰησοῦ γίνεσθαι, οὗ χωρὶς ἐγένετο οὐδὲ ἕν“ †). αὐτίκα γοῦν ὁ Μωϋσῆς τῷ τελείῳ προφητικῶς παραχωρῶν παιδαγωγῷ τῷ λόγῳ καὶ τὸ ὄνομα καὶ τὴν παιδαγωγίαν προθεσπίζει καὶ τῷ λαῷ παραδίδοται τὸν παιδαγωγὸν, ἐντολὰς ὑπακοῆς ἐγχειρίσας· „προφήτην ὑμῖν ἀναστήσει“, φησὶν, „ὁ θεὸς ὡς ἐμὲ ἐκ τῶν ἀδελφῶν ὑμῶν“ ††), τὸν Ἰησοῦν τὸν τοῦ Ναυὴ αἰνιττόμενος διὰ τὸν Ἰησοῦν τὸν τοῦ θεοῦ υἱόν· σκιαγραφία γὰρ ἦν τοῦ κυρίου τὸ ὄνομα τὸ Ἰησοῦ προκηρυσσόμενον ἐν νόμῳ. ἐπι-

*) Ierem. 1, 7. 5. **) Ibidem. ***) Ioann. 1, 17. †) Ibid. v. 3. ††) Deut. 18, 15.

φέρει γοῦν τὸ λυσιτελὲς τῷ λαῷ συμβευλεύων· „αὐτοῦ ἀκούσεσθε"*) λέγων, „καὶ ὁ ἄνθρωπος, ὃς ἂν μὴ ἀκούσῃ τοῦ προφήτου τούτου, τούτῳ ἀπειλεῖ" **).

§. 61. Τοιοῦτον ἡμῖν ὄνομα σωτηρίου προφητεύει παιδαγωγοῦ· διὰ τοῦτο αὐτῷ ῥάβδον περιτίθησιν ἡ προφητεία, ῥάβδον παιδευτικὴν, ἀρχικὴν, κατεξουσιαστικὴν, ἵν' οὓς ὁ λόγος ὁ πειθήνιος οὐκ ἴᾶται, ἀπειλὴ ἰάσεται, οὓς δὲ ἡ ἀπειλὴ οὐκ ἴᾶται, ῥάβδος ἰάσεται, οὓς δὲ ἡ ῥάβδος οὐκ ἴᾶται, τὸ πῦρ ἐπινέμεται. „ἐξελεύσεται", φησὶ, „ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί" ***). ὅρα καὶ τὴν ἐπιμέλειαν καὶ τὴν σοφίαν καὶ τὴν δύναμιν τοῦ παιδαγωγοῦ· „οὐ κατὰ τὴν δόξαν", φησὶ, „κρινεῖ οὐδὲ κατὰ τὴν λαλιὰν ἐλέγξει, ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν καὶ ἐλέγξει τοὺς ἁμαρτωλοὺς τῆς γῆς". καὶ διὰ Δαβὶδ· „κύριος παιδεύων ἐπαίδευσέ με καὶ τῷ θανάτῳ οὐ παρέδωκέ με" †)· τὸ γὰρ ὑπὸ κυρίου παιδευθῆναι καὶ παιδαγωγηθῆναι θανάτου ἐστὶν ἀπαλλαγή. καὶ διὰ τοῦ αὐτοῦ προφήτου φησίν· „ἐν ῥάβδῳ σιδηρᾷ ποιμανεῖς αὐτούς" ††). ταύτῃ καὶ ὁ ἀπόστολος κινηθεὶς ἐν τῇ πρὸς Κορινθίους, „τί θέλετε"; φησὶν, „ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος" †††); ἀλλὰ καὶ „ῥάβδον δυνάμεως P. ἐξαποστελεῖ κύριος ἐκ Σιὼν" *), δι' ἄλλου προφήτου P. λέγει. ἡ δὲ παιδαγωγικὴ αὕτη ἡ „ῥάβδος σου καὶ ἡ βακτηρία σου παρεκάλεσάν με" **), εἴπέ τις ἔτι ρος. αὕτη τοῦ παιδαγωγοῦ ἡ δύναμις ἡ σ[illegible]ὴ, παρακλητικὴ, ἡ σωτήριος.

*) Deut. 18, 15. **) Ibid. v. 19. ***) Ies. 11, 1. 3. †) Psalm. 118, 18. ††) Psalm. 2, 9. †††) 1 Cor. 21. *) Psalm. 110, 2. **) Psalm. 23, 4.

Cap. VIII.

Πρὸς τοὺς ἡγουμένους μὴ εἶναι ἀγαθὸν τὸ δίκαιον.

§. 62. Ἐνταῦθα ἐπιφύονται τινες οὐκ ἀγαθὸν εἶναι φάμενοι τὸν κύριον διὰ τὴν ῥάβδον καὶ τὴν ἀπειλὴν καὶ τὸν φόβον καὶ παρακούσαντες μέν, ὡς ἔοικε, τῆς γραφῆς ὧδέ που λεγούσης· „καὶ ὁ φοβούμενος κύριον ἐπιστρέφει ἐπὶ καρδίαν αὐτοῦ“ *), ἐκλαθόμενοι δὲ τὸ μέγιστον αὐτοῦ τῆς φιλανθρωπίας, P. 50 ὅτι δι' ἡμᾶς ἄνθρωπος ἐγένετο. καὶ δὴ οἰκειότε- Sylb. ρον αὐτῷ προσεύχεται ὁ προφήτης διὰ τούτων· „μνήσθητι ἡμῶν, ὅτι χοῦς ἐσμέν“ **), τουτέστι συμπάθησον ἡμῖν, ὅτι τὴν ἀσθένειαν τῆς σαρκὸς αὐτοπαθῶς ἐπείρασας. ταύτῃ τοίνυν ἄριστος καὶ ἀνεπλήπτός ἐστιν ὁ παιδαγώγὸς ὁ κύριος τῇ ἑκάστου τῶν ἀνθρώπων δι' ὑπερβολὴν φιλανθρωπίας συμπαθήσας φύσει. „ἦν γὰρ οὐδέν, ὃ μισεῖ ὁ κύριος“ ***)· οὐ γὰρ δήπου μισεῖ μέν τι, βούλεται δὲ αὐτὸ εἶναι, ὃ μισεῖ, οὐδὲ βούλεται μέν τι μὴ εἶναι, αἴτιος δὲ γίνεται τοῦ εἶναι αὐτὸ, ὃ βούλεται μὴ εἶναι, οὐδὲ μὴν οὐ βούλεται μέν τι μὴ εἶναι, τὸ δὲ ἔστιν. εἴ τι ἄρα μισεῖ ὁ λόγος, βούλεται αὐτὸ μὴ εἶναι, οὐδὲν δὲ ἔστιν, οὗ μὴ τὴν αἰτίαν τοῦ εἶναι ὁ θεὸς παρέχεται. οὐδὲν ἄρα μισεῖται ὑπὸ τοῦ θεοῦ, ἀλλ' οὐδὲ ὑπὸ τοῦ λόγου· ἐν γὰρ ἄμφω, ὁ θεὸς, ὅτι εἶπεν, „ἐν ἀρχῇ ὁ λόγος ἦν ἐν τῷ θεῷ, καὶ θεὸς ἦν ὁ λόγος“ †). εἰ δὲ οὐ μισεῖ τῶν ὑπ' αὐτοῦ γενομένων οὐδέν, λείπεται φιλεῖν αὐτό.

§. 63. Πολὺ δὴ πλέον τῶν ἄλλων ἀγαπήσει τὸν ἄνθρωπον, εἰκότως, τὸ κάλλιστον τῶν ὑπ' αὐτοῦ δημιουργηθέντων καὶ φιλόθεον ζῶον. φιλάνθρωπος ἄρα ὁ θεὸς, φιλάνθρωπος ἄρα ὁ λόγος. ὃ δὲ P. 136 φιλῶν τι ὠφελεῖν αὐτὸ βούλεται, τὸ δὲ ὠφελοῦν Pott.

*) Eccles. 21, 6. **) Psalm. 103, 14. ***) Sap. 11, 25. †) Ioann. 1, 1.

τοῦ μὴ ὠφελοῦντος πάντως ἄν που κρεῖττον εἴη, τοῦ δὲ ἀγαθοῦ κρεῖττον οὐδὲ ἕν, ὠφελεῖ ἄρα τὸ ἀγαθόν· ἀγαθὸς δὲ ὁ θεὸς ὁμολογεῖται, ὠφελεῖ ἄρα ὁ θεός. τὸ δὲ ἀγαθὸν, ᾗ ἀγαθόν ἐστιν, οὐδὲν ἄλλο ποιεῖ ἢ ὅτι ὠφελεῖ, πάντα ἄρα ὠφελεῖ ὁ θεός. καὶ οὐ δήπου ὠφελεῖ μέν τι τὸν ἄνθρωπον, οὐχὶ δὲ καὶ κήδεται αὐτοῦ, οὐδὲ κήδεται μέν, οὐχὶ δὲ καὶ ἐπιμελεῖται αὐτοῦ. κρεῖττον μὲν γὰρ τὸ κατὰ γνώμην ὠφελοῦν τοῦ μὴ ὠφελοῦντος κατὰ γνώμην, τοῦ δὲ θεοῦ κρεῖττον οὐδέν. καὶ οὐκ ἄλλο τί ἐστι τὸ κατὰ γνώμην ὠφελεῖν, ὅτι μὴ ἐπιμελεῖσθαι τοῦ ἀνθρώπου, κήδεται ἄρα καὶ ἐπιμελεῖται τοῦ ἀνθρώπου ὁ θεός. τοῦτο δὲ ἐνδείκνυται ἔργῳ παιδαγωγῶν αὐτὸν λόγῳ; ὅς ἐστι τῆς τοῦ θεοῦ φιλανθρωπίας συναγωνιστὴς γνήσιος. τὸ δὲ ἀγαθὸν εἶναι οὐ τῷ τὴν ἀρετὴν ἔχειν ἀγαθὸν εἶναι λέγεται, καθὸ καὶ ἡ δικαιοσύνη ἀγαθὸν εἶναι λέγεται, οὐ τῷ ἀρετὴν ἔχειν, ἀρετὴ γάρ ἐστιν αὕτη, ἀλλὰ τῷ αὐτὴν καθ' αὑτὴν καὶ δι' αὐτὴν ἀγαθὴν εἶναι.

§. 64. Λέγεται δὲ καὶ κατ' ἄλλον τρόπον ἀγαθὸν τὸ συμφέρον, οὐ τῷ τέρπειν, ἀλλὰ τῷ ὠφελεῖν. ἃ δὴ πάντα ἡ δικαιοσύνη καὶ ὡς ἀρετὴ καὶ ὡς δι' αὐτὴν αἱρετὴ ἀγαθὸν καὶ ὡς οὐ τέρπουσα· οὐ γὰρ πρὸς χάριν κρίνει, ἀλλὰ τοῦ κατ' ἀξίαν ἑκάστου ἐστὶν ἀπονεμητική. ἕπεται δὲ τῷ συμφέροντι τὸ ὠφέλιμον. κατὰ πάντα ἄρα τὰ μέρη, καθ' ἃ τὸ ἀγαθὸν ἐξετάζεται καὶ ἡ δικαιοσύνη χαρακτηρίζεται, τῶν ἴσων ἐπίσης ἀμφοῖν μετεχόντων, τὰ δὲ τοῖς ἴσοις χαρακτηριζόμενα ἴσα τε ἀλλήλοις καὶ ὅμοια. ἀγαθὸν ἄρα ἡ δικαιοσύνη. πῶς οὖν, φασὶν, εἰ φιλάνθρωπός ἐστι καὶ ἀγαθὸς ὁ κύριος, ὀργίζεται καὶ κολάζει; ἀναγκαῖον οὖν καὶ περὶ τούτου ὡς οἷόν τε διὰ βραχυτάτων ἐπεξελθεῖν, ἐπεὶ λυσιτελής πως ἡ τοιάδε οἰκονομία πρὸς τὴν ὀρθὴν τῶν παίδων ἀγωγὴν, ἀναγκαίου βοηθήματος ἔχουσα τάξιν· θεραπεύεται δὲ πολλὰ τῶν παθῶν τιμωρίᾳ καὶ προστάξει αὐστηροτέρων παραγ-

γελμάτων, καὶ δὴ καὶ διὰ τῆς ἐνίων θεωρημάτων διδασκαλίας. ἔστι δὲ οἱονεὶ χειρουργία τῶν τῆς ψυχῆς παθῶν ὁ ἔλεγχος, ἀπόστασις δὲ τὰ πάθη τῆς ἀληθείας, ἃ χρὴ διελέγχειν διαιροῦντα τῇ τομῇ. P. 137

§. 65. Φαρμακεία δὲ ἔοικεν ὁ ὀνειδισμὸς Pott. τὰ τετυλωμένα ἀναλύων τῶν παθῶν καὶ τὰ ὑπαρὰ τοῦ βίου τῆς λαγνείας ἀνακαθαίρων, πρὸς δὲ καὶ τὰς ὑπερσαρκώσεις τοῦ τύφου ἐξομαλίζων, εἰς τὸν ὑγιῆ καὶ ἀληθινὸν ἀνασκευάζων τὸν ἄνθρωπον. ἡ νουθέτησις οὖν οἱονεὶ δίαιτά ἐστι νοσούσης ψυχῆς, ὧν χρὴ μεταλαμβάνειν συμβουλευτικὴ, καὶ ὧν οὐ χρὴ ἀπαγορευτική· τὰ δὲ πάντα εἰς σωτηρίαν καὶ ἀΐδιον ὑγείαν διατείνει. ἀλλὰ καὶ ὁ στρατηγὸς χρημάτων ζημίας καὶ τὰς εἰς αὐτὰ τὰ σώματα δηκούσας αἰκίας μετὰ δεσμῶν καὶ τῆς ἐσχάτης ἀτιμίας προσφέρων τοῖς ἠδικηκόσιν, ἔσθ' ὅτε δὲ καὶ θανάτῳ κολάζων τινὰς, τέλος ἔχει τὸ ἀγαθὸν, ὑπὲρ νουθεσίας τῶν ὑπηκόων στρατηγῶν. ὡσαύτως καὶ ὁ μέγας ἡμῶν ἐκεῖνος στρατηγὸς, ὁ τῶν ὅλων ἡγεμὼν λόγος, τοὺς παρὰ τὸν νόμον ἀφηνιάζοντας τὸν αὐτοῦ ὑπὲρ ἀπαλλαγῆς δουλείας καὶ πλάνης καὶ τῆς τοῦ ἀντικειμένου αἰχμαλωσίας εἰς καταστολὴν τῶν τῆς ψυχῆς παθῶν νουθετῶν, ἐπὶ τὴν ἱερὰν τῆς πολιτείας ὁμόνοιαν εἰρηναγωγεῖ.

§. 66. Καθάπερ οὖν τῷ συμβουλευτικῷ λόγῳ παράκειται τὸ προτρεπτικὸν καὶ παρακλητικὸν εἶδος, οὕτω καὶ τῷ ἐγκωμιαστικῷ τὸ λοιδορητικὸν καὶ ὀνειδιστικὸν καὶ ἐγκωμιαστικόν. τὸ δὲ εἶδος τοῦτο τέχνη ἐστὶ ῥητικὴ, εὐνοίας δὲ τὸ ῥήγειν, οὐ μίσους σύμβολον. ἄμφω μὲν γὰρ ὀνειδίζεται καὶ ὁ φίλος καὶ ὁ μὴ, ἀλλ' ὁ μὲν ἐχθρὸς ἐπιγελῶν, ὁ δὲ φίλος εὐνοῶν. οὐκ ἄρα διὰ μῖσος ὁ κύριος τοῖς ἀνθρώποις λοιδορεῖται, οὓς καὶ ἐξὸν αὐτῷ ἀπολέσαι παρὰ τὰς ἰδίας αἰτίας, ὁ δὲ ὑπὲρ ἡμῶν καὶ πέπονθεν· παιδαγωγὸς γὰρ ἅτε ἀγαθὸς, ἐντέχνως σφόδρα καὶ διὰ τῆς λοιδορίας ὑποδύεται τὸν ψόγον, οἱονεὶ μά-

στιγι, τῇ βλασφημίᾳ τὸ νωθρὸν τῆς διανοίας ἐπεγείρων, πάλιν τε αὖ ἐν μέρει προτρέπειν ἐπιχειρεῖ τοὺς αὐτούς· οὓς γὰρ ὁ ἔπαινος οὐ προετρέψατο, τούτους παρώξυνέν ὁ ψόγος, καὶ οὓς ὁ ψόγος οὐκ ἐξεκαλέσατο εἰς σωτηρίαν καθάπερ νεκροὺς, τούτους πρὸς ἀλήθειαν ἡ βλασφημία διανίστησι· „μάστιγες γὰρ καὶ παιδεία ἐν παντὶ καιρῷ σοφίας, συγκολλῶν ὄστρακον καὶ διδάσκων μωρὸν, εἰς αἴσθησιν ἄγων", φησὶ, „τὴν γῆν καὶ τὸν ἀπηλπισμένον εἰς σύν- P. 138 P. 51 εσιν ὀξύνων"*)· διὰ τοῦτο ἐναργῶς ἐπήγαγεν, Pott. Sylb. „ἔξεγείρων καθεύδοντα ἐκ βαθέος ὕπνου", ὃς τῶν ἄλλων μάλιστα θανάτῳ ἔοικεν. καὶ δὴ αὐτὸς περὶ αὑτοῦ σαφέστατα οὓς ἐκφαίνει, τὴν πολύτροπον καὶ πολυωφελῆ θεραπείαν ἀλληγορῶν, ὅπηνίκα εἰπὼν, „ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, καὶ ὁ πατήρ μου ὁ γεωργός ἐστιν." εἶτα ἐπήγαγε πάλιν· „πᾶν κλῆμα ἐν ἐμοὶ μὴ φέρον καρπὸν αἴρει αὐτὸ καὶ πᾶν τὸ καρποφοροῦν καθαίρει, ἵνα καρπὸν πλείω φέρῃ"**). καθυλομανεῖ γὰρ μὴ κλαδευομένη ἡ ἄμπελος, οὕτως δὲ καὶ ὁ ἄνθρωπος. καθαίρει δὲ αὐτοῦ τὰς ἐξυβριζούσας παραφυάδας ὁ λόγος, ἡ μάχαιρα, καρποφορεῖν οὐκ ἐπιθυμεῖν τὰς ὀρέξεις ἀναγκάσας· ἡ δὲ πρὸς τοὺς ἁμαρτάνοντας ἐπίπληξις ἔχει σκοπὸν τὴν σωτηρίαν, μεθαρμοζομένου μουσικῶς τοῦ λόγου κατὰ τοὺς οἰκείους ἑκάστων τρόπους, πῇ μὲν ἐπιτείνοντος αὐτοῦ, πῇ δὲ ἀνιέντος.

§. 67. Σαφέστατα οὖν διὰ Μωϋσέως λέλεκται· „θαρρεῖτε, ἕνεκεν τοῦ πειράσαι ὑμᾶς παρεγενήθη ὁ θεὸς, ὅπως ἂν γένηται ὁ φόβος αὐτοῦ ἐν ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε"***). ἐντεῦθεν καλῶς καὶ ὁ Πλάτων μαθὼν, πάντες μὲν γὰρ, φησὶν, ὡς ἀληθῶς ἀγαθὰ πάσχουσιν οἱ δίκην διδόντες, ὠφελοῦνται γὰρ τῷ βελτίω τὴν ψυχὴν αὐτοῖς γίγνεσθαι δικαίως κο-

*) Eccles. 22, 6 sq. **) Ioann. 15, 1. 2. ***) Exod. 20, 20.

λαζομένοις. εἰ δὲ ἀγαθὰ πάσχουσιν ὑπὸ τοῦ δικαίου οἱ ἐπανορθούμενοι καὶ κατὰ Πλάτωνα ὁμολογεῖται ἀγαθὸν εἶναι τὸ δίκαιον· αὐτὸς γοῦν ὁ φόβος ὠφελεῖ καὶ πρὸς ἀγαθοῦ τοῖς ἀνθρώποις ἐξηύρηται, ὅτι „πνεῦμα φοβούμενον κύριον ζήσεται· ἡ γὰρ ἐλπὶς ἐπὶ τὸν σώζοντα αὐτούς“ *). ὁ δὲ αὐτὸς οὗτος λόγος δίκην ἐπιτιθεὶς κριτής ἐστιν, περὶ οὗ καὶ Ἡσαΐας λέγει· „κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν“ **), διορθωτὴν δηλονότι καὶ κατευθυντῆρα τῶν ἁμαρτιῶν.

§. 68. Διὰ τοῦτο μόνος οὗτος οἷός τε ἀφιέναι τὰ πλημμελήματα ὑπὸ τοῦ πατρὸς τῶν ὅλων ὁ ταχθεὶς παιδαγωγὸς ἡμῶν, μόνος ὁ τῆς ὑπακοῆς δικαρῖναι τὴν παρακοὴν δυνάμενος. ὁ δὲ ἀπειλῶν δῆλός ἐστι μηδὲν ἐθέλων πρᾶξαι κακὸν, μηδὲ ἅπερ ἀπείλεῖ ἐπιτελέσαι, καταστήσας δὲ εἰς δέος τὴν ἐπὶ τὰς ἁμαρτίας ἀνέκοψε φορὰν καὶ τὸ φιλάνθρωπον αὐτοῦ ἐνδείκνυται, μέλλων ἔτι καὶ διασαφῶν οἷα πείσονται, εἰ παραμένουσιν ἁμαρτωλοί· οὐχὶ δὲ ὥσπερ ὄφις ἐμφὺς, ἔδακεν εὐθέως. ἀγαθὸς ἄρα ὁ θεὸς, καὶ ὅ γε κύριος εἰς πολλὰ συγχρῆται πρὸ τοῦ ἔργου τῷ λόγῳ. „τὰ γὰρ βέλη μου“, φησὶ, „συντελέσει αὐτοὺς, τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων, καὶ ὀπισθότονος ἀνίατος, ὀδόντας θηρίων ἐπαποστελῶ P. 139 εἰς αὐτοὺς μετὰ θυμοῦ συρόντων ἐπὶ τῆς γῆς, ἔξω- Pott. θεν ἀτεκνώσει αὐτοὺς μάχαιρα, καὶ ἐκ τῶν ταμείων φόβος“ ***). ὡς οὐκ ὀργίζεται τὸ θεῖον, ἢ τισὶν ἔδοξεν, ἀλλὰ τὰ μὲν πλεῖστα ἀπέχεται, τὰ πάντα δὲ παρῆνεσε τὴν ἀνθρωπότητα καὶ ὑπέδειξεν ὡς πρακτέα, ἀγαθὴ δὲ αὕτη ἡ τέχνη ἐκφοβεῖν ἵνα μὴ ἁμάρτωμεν, „φόβος γὰρ κυρίου ἀπωθεῖται ἁμαρτήματα, ἄφοβος δ' οὐ δυνήσεται δικαιωθῆναι“ †), φησὶν ἡ γραφή. καὶ τὴν κόλασιν ὁ θεὸς οὐχ ὑπὸ ὀργῆς ἐπι-

*) Eccles. 34, 13. **) Ies. 53, 6. ***) Deut. 32, 23—25. †) Eccles. 1, 18. 22.

φέρει; ἀλλὰ τὸ δίκαιον σκοπεῖ, ὡς οὐ συμφέρει παραλειφθῆναι τὸ δίκαιον δι' ἡμᾶς.

§. 69. Αἱρεῖται δὲ ἕκαστος ἡμῶν τὰς τιμωρίας αὐτὸς ἑκὼν ἁμαρτάνων, αἰτία δὲ ἑλομένου, θεὸς ὁ ἀναίτιος. „εἰ δὲ ἡ ἀδικία ἡμῶν θεοῦ δικαιοσύνην συνίστησιν, τί ἐροῦμεν; μὴ ἄδικος ὁ θεὸς, ὁ ἐπιφέρων τὴν ὀργήν; μὴ γένοιτο"*). λέγει γοῦν ἀπειλῶν, „παροξυνῶ τὴν μάχαιράν μου καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ αὐτὸς ἀνταποδώσω δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσιν ἀνταποδώσω, μεθύσω τὰ βέλη μου ἀφ' αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα ἀπὸ αἵματος τραυματιῶν"**). σαφὲς γὰρ ἐντοῦθα ὡς ἄρα οἱ μὴ διεχθρεύοντες τῇ ἀληθείᾳ μηδὲ μισοῦντες τὸν λόγον οὐκ ἂν τὴν σφῶν αὐτῶν μισήσαιεν σωτηρίαν, ἐκφύγοιεν δ' ἂν τῆς ἔχθρας τὰ ἐπιτίμια. „στέφανος ἄρα σοφίας", ἦ φησὶν ἡ σοφία, „φόβος κυρίου"***). σαφέστατα γοῦν διὰ τοῦ Ἀμὼς τοῦ προφήτου τὴν οἰκονομίαν μεμήνυκεν ὁ λόγος τὴν ἑαυτοῦ· „κατέστρεψα ὑμᾶς", λέγων, „καθὼς κατέστρεψεν ὁ θεὸς Σόδομα καὶ Γόμορρα καὶ ἐγένεσθε ὡς δαλὸς ἐξεσπασμένος ἐκ πυρὸς, καὶ οὐδ' ὡς ἐπεστρέψατε πρός με, λέγει κύριος"†).

§. 70. Ὁρᾶτε πῶς ὁ θεὸς τὴν μετάνοιαν ὑπὸ φιλαγαθίας ζητεῖ, ἐνδείκνυταί τε παρὰ τὴν οἰκονομίαν τῆς ἀπειλῆς ἡσυχῇ τὸ φιλάνθρωπον τὸ ἑαυτοῦ. „ἀποστρέψω", φησὶ, „τὸ πρόσωπόν μου ἀπ' αὐτῶν καὶ δείξω τί ἔσται αὐτοῖς"††)· οὗ γὰρ τὸ πρόσωπον κυρίου ἐπιβλέπει, εἰρήνη καὶ ἀγαλλίασις, οὗ δὲ ἀπέστραπται, παρείσδυσις γίνεται πονηρίας. οὐ βούλεται οὖν ἐφορᾶν τὰ κακά· ἀγαθὸς γάρ ἐστι· παροράντος δὲ αὐτοῦ ἑκόντι, διὰ τὴν ἀπιστίαν τὴν ἀνθρωπίνην γένεσιν ἴσχει κακία. „ἴδε οὖν", φησὶν ὁ Παῦλος, „χρηστότητα καὶ ἀποτομίαν θεοῦ, Pott. P. 140

*) Rom. 3, 5. 6. **) Deut. 32, 41 sq. ***) Eccles. 1, 18. †) Amos 4, 11. ††) Deut. 32, 20.

ἐπὶ μὲν τοὺς πεσόντας ἀποτομίαν, ἐπὶ δὲ σὲ χρηστότητα, ἐὰν ἐπιμείνῃς τῇ χρηστότητι" *), τουτέστι τῇ εἰς Χριστὸν πίστει. ἕπεται δὲ τῷ ἀγαθῷ, ἢ φύσει ἀγαθός ἐστιν, ἢ μισοπονηρία. διὸ καὶ κολάζειν μὲν αὐτὸν ὁμολογήσαιμι τοὺς ἀπίστους· ἡ γὰρ κόλασις ἐπ' ἀγαθῷ καὶ ἐπ' ὠφελείᾳ τοῦ κολαζομένου, ἔστι γὰρ ἐπανόρθωσις ἀντιτείνοντος· τιμωρεῖσθαι δὲ μὴ βούλεσθαι. τιμωρία δέ ἐστιν ἀνταπόδοσις κακοῦ ἐπὶ τὸ τοῦ τιμωροῦντος συμφέρον ἀναπεμπομένη. οὐκ ἂν δὲ ἐπιθυμήσειε τιμωρεῖσθαι ὃ ὑπὲρ τῶν ἐπηρεαζόντων ἡμᾶς προσεύχεσθαι **) διδάσκων.

§. 71. Ἀλλὰ ὅτι μὲν ἀγαθὸς ὁ θεὸς καὶ ἄκοντες ὁμολογοῦσιν οἱ πάντες· ὅτι δὲ καὶ δίκαιος ὁ αὐ-
P. 52 τὸς θεὸς, οὗ μοι χρὴ πλειόνων ἕτι λόγων τὴν εὐαγ-
Sylb. γέλιον τοῦ κυρίου παραθεμένῳ φωνήν· ἕνα μὲν αὐτὸν λέγει, ἵνα πάντες ἓν ὦσι, καθὼς σύ, πάτερ, ἐν ἐμοὶ, κἀγὼ ἐν σοί· ἵνα καὶ αὐτοὶ ἐν ἡμῖν ἓν ὦσιν, ἵνα καὶ ὁ κόσμος πιστεύῃ, ὅτι σύ με ἀπέστειλας, κἀγὼ τὴν δόξαν, ἣν ἔδωκάς μοι, δέδωκα αὐτοῖς, ἵνα ὦσιν ἓν, καθὼς ἡμεῖς ἕν· ἐγὼ ἐν αὐτοῖς καὶ σὺ ἐν ἐμοὶ, ἵνα ὦσι τετελειωμένοι εἰς ἕν" ***)· ἓν δὲ ὁ θεὸς καὶ ἐπέκεινα τοῦ ἑνὸς καὶ ὑπὲρ αὐτὴν μονάδα. διὸ καὶ τὸ σὺ μόριον δεικτικὴν ἔχον ἔμφασιν τὸν ὄντως μόνον ὄντα, ὃς ἦν καὶ ἔστι καὶ ἔσται, δείκνυσι θεὸν, καθ' ὧν τριῶν χρόνων ἓν ὄνομα κεῖται „ὁ ὤν" †). ὅτι δὲ ὁ αὐτὸς μόνος ὢν θεὸς καὶ δίκαιός ἐστιν ὁ αὐτὸς καὶ μόνος καὶ ὄντως, ἐν τῷ αὐτῷ μαρτυρήσει κύριος εὐαγγελίῳ λέγων· „πάτερ, οὓς ἔδωκάς μοι, θέλω ἵνα ὅπου εἰμὶ ἐγὼ, κἀκεῖνοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμὴν, ἣν ἔδωκάς μοι, ὅτι ἠγάπησάς με πρὸ καταβολῆς κόσμου. πάτερ δίκαιε, καὶ ὁ κόσμος σε οὐκ ἔγνω, ἐγὼ δέ σε ἔγνων κἀκεῖνοι ἔγνωσαν, ὅτι σύ με ἀπέστειλας, καὶ

*) Rom. 11, 22. **) Matth. 5, 44. ***) Ioann. 17, 21—23. †) Exod 3, 14.

ἐγνώρισα αὐτοῖς τὸ ὄνομά σου καὶ γνωρίσω" *). οὗτός ἐστιν „ὁ ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα τοῖς μισοῦσι καὶ ποιῶν ἔλεος τοῖς ἀγαπῶσιν" **). ὁ γὰρ ἱστὰς τοὺς μὲν „ἐκ δεξιῶν" ***), τοὺς δὲ „ἐξ εὐωνύμων", καθὸ μὲν πατὴρ νοεῖται ἀγαθὸς ὤν, αὐτὸ μόνον ὅ ἐστι κέκληται „ἀγαθὸς" †), καθὸ δὲ υἱὸς ὢν ὁ λόγος αὐτοῦ ἐν τῷ πατρί ἐστι, δίκαιος προσαγορεύεται ἐκ τῆς πρὸς ἄλληλα σχέσεως, ἀγάπης ἰσότητι μεμετρημένον ὄνομα δυνάμεως. „ἄνδρα", φησί, „κατὰ τὰ ἔργα αὐτοῦ κρινεῖ" ††). ἀγαθοῦ ζυγοῦ πρόσωπον ἡμῖν δικαιοσύνης, τὸν Ἰησοῦν, γνωρίσαντος τοῦ Θεοῦ, δι' οὗ καὶ τὸν Θεόν, οἷον ἐκ τρυτάνης ἰσοσθενοῦς, ἔγνωμεν. P. 141 Pott

§. 72. Ἐπὶ τούτου καὶ ἡ σοφία διαρρήδην λέγει· „ἔλεος γὰρ καὶ ὀργὴ μετ' αὐτοῦ· κύριος γὰρ ἀμφοῖν οὗτος μόνος, δυνάστης εὐϊλασμῶν, ἐκχέων ὀργήν· κατὰ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω καὶ ὁ ἔλεγχος αὐτοῦ" †††)· ἐλέους γὰρ καὶ ἐλέγχου σκοπὸς ἡ τῶν ἐλεγχομένων σωτηρία. ναὶ μὴν ὅτι ἀγαθὸς αὐτὸς ὁ Θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ, ὁ αὐτὸς πάλιν ὁμολογήσει λόγος, „ὅτι αὐτὸς χρηστός ἐστιν ἐπὶ τοὺς ἀχαρίστους καὶ πονηρούς" *)· καὶ προσέτι, „γίνεσθε οἰκτίρμονες", λέγων, „καθὼς ὁ πατὴρ ὑμῶν οἰκτίρμων ἐστίν"· οὐ μὴν ἀλλὰ καὶ ὅπηνίκα διαρρήδην λέγει· „οὐδεὶς ἀγαθός, εἰ μὴ ὁ πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς"· ἐπὶ τούτοις αὖθις, „ὁ πατήρ μου", φησίν, „ἐπιλάμπει τὸν ἥλιον τὸν αὐτοῦ ἐπὶ πάντας" **). παρασημειωτέον ἐνταῦθα, ὅτι τὸν αὐτοῦ πατέρα τὸν ἀγαθὸν καὶ δημιουργὸν εἶναι ὁμολογεῖ, δίκαιος δὲ ὁ δημιουργὸς εἶναι οὐκ ἀντιλέγεται. καὶ πάλιν, „ὁ πατήρ μου", φησί, „βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους" ***). καὶ καθὸ μὲν

*) Ioann. 17. 24—26. **) Exod. 20, 5 sq. ***) Matth. 20, 21. 25. 33. †) Ibid. 19, 17. ††) Eccles. 16, 12. †††) Ibid. 12—14. *) Luc. 6, 35 sq. **) Matth. 5, 45. ***) Ibidem.

βρέχει, δημιουργὸς ὑδάτων ἐστὶ καὶ νεφῶν, καθὸ δὲ ἐπὶ πάντας, δικαίως ἰσοστατεῖ καὶ μετ' ἀρετῆς, ὡς δὲ ἀγαθὸς, ἐπὶ δικαίους καὶ ἀδίκους ὁμοίως.

§. 73. Σαφέστατον τοίνυν ἕνα καὶ τὸν αὐτὸν εἶναι θεὸν συλλογιζόμεθα, ὧδέ πως ὅτι „ὄψομαι τοὺς οὐρανοὺς ἔργα τῶν δακτύλων σού" *)· καὶ, „ὁ κτίσας τοὺς οὐρανοὺς ἐν τοῖς οὐρανοῖς κατοικεῖ"· καὶ „ὁ οὐρανὸς θρόνος σου" **), τὸ ἅγιον πνεῦμα ἔψαλλεν. ὁ δὲ κύριός φησιν ἐν τῇ προσευχῇ, „πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς" ***). οὐρανοὶ δὲ τοῦ κτίσαντος τὸν κόσμον εἰσὶν, ἀναντίρρητον ἄρα μὴ οὐχὶ καὶ υἱὸν εἶναι τὸν κύριον τοῦ δημιουργοῦ. εἰ δὲ ὁ κτίστης πρὸ πάντων ὁμολογεῖται δίκαιος, υἱὸς δὲ τοῦ δημιουργοῦ ὁ κύριος, υἱὸς ἄρα τοῦ δικαίου ὁ κύριος. διὰ τοῦτο καὶ ὁ Παῦλός φησι· „νυνὶ δὲ χωρὶς νόμου δικαιοσύνη θεοῦ πεφανέρωται" †). καὶ πάλιν, ἵνα μᾶλλον ὑπολάβῃς θεὸν, „δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας τοὺς πιστεύοντας, οὐ γάρ ἐστι διαστολή." καὶ προσέτι μαρτυρῶν τῇ ἀληθείᾳ μετ' ὀλίγα ἐπιφέρει, „ἐν τῇ ἀνοχῇ τοῦ θεοῦ, πρὸς τὴν ἔνδειξιν τοῦ εἶναι αὐτὸν δίκαιον καὶ δικαιοῦντα τὸν ἐκ πίστεως Ἰησοῦ" ††). τὸ δὲ δίκαιον ἀγαθὸν εἰδὼς φαίνεταί που λέγων· P. 142 „ὥστε ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ Potr. δικαία καὶ ἀγαθὴ" †††), καὶ κατὰ τῆς αὐτῆς δυνάμεως ἄμφω τάσσων τὰ ὀνόματα.

§. 74. Ἀλλὰ καὶ „οὐδεὶς ἀγαθὸς, εἰ μὴ ὁ πατὴρ αὐτοῦ" *), ὁ αὐτὸς ἄρα πατὴρ αὐτοῦ ὁ ἐν ὢν πολλαῖς μηνυόμενος δυνάμεσι, καὶ τοῦτο ἦν τὸ „οὐδεὶς ἔγνω τὸν πατέρα" πάντα αὐτὸν ὄντα, πρὶν ἐλθεῖν τὸν υἱόν· ὡς εἶναι ταῖς ἀληθείαις καταφανὲς τὸ τῶν συμπάντων θεὸν, ἕνα μόνον εἶναι ἀγαθὸν, δίκαιον, δημιουργὸν, υἱὸν ἐκ πατρὶ, ᾧ ἡ δόξα εἰς

*) Psalm. 8, 3. **) Ibid. 2, 4. 11, 4. 103, 19. ***) Matth. 6, 9. †) Rom. 3, 21 sq. ††) Ibid. v. 25 sq. †††) Ibid. 7, 12. *) Matth. 19, 17.

τοὺς αἰῶνας*), ἀμήν. ἀλλ' οὐδὲ ἀλλότριον τοῦ σωτηρίου λόγου κηδεμονικῶς λοιδορεῖσθαι. καὶ γὰρ οὖν καὶ τοῦτο τῆς θείας φιλανθρωπίας φάρμακον, ἐξ οὗ τὸ τῆς αἰδοῦς ἐρύθημα ἔξανθεῖ, καὶ ἡ πρὸς τὸ ἁμαρτάνειν αἰσχύνη παρεισδύεται. εἰ γὰρ ψέξαι χρή, καὶ λοιδορεῖσθαι δεῖ· ἔνθα τὴν ἀπηλγηκυῖαν ψυχὴν καιρός ἐστι τρῶσαι, οὐ θανασίμως, ἀλλὰ σωτηρίως, ὀλίγης ἀλγηδόνος ἄϊδιον κερδάναντα θάνατον. πολλὴ δὲ ἡ σοφία περὶ τὴν παιδαγωγίαν αὐτοῦ καὶ ὁ τρόπος τῆς οἰκονομίας αὐτοῦ ποικίλος εἰς σωτηρίαν· προσμαρτυρεῖ μὲν γὰρ τοῖς ἀγαθοῖς ὁ παιδαγωγός, ἐκκαλεῖται δὲ τοὺς κλητοὺς ἐπὶ τὰ βελτίω καὶ τοὺς ἀδικεῖν σπεύδοντας ἀποτρέπει τῆς ὁρμῆς, μεταθέσθαι δὲ εἰς ἀμείνω βίον παρακελεύεται. οὐχ ἕτερον γὰρ ἀμάρτυρον θατέρου προσμαρτυρουμένου, ἥ τε χάρις ἐκ μαρτυρίας μεγίστη· ἀλλὰ καὶ τὸ ἐμπαθὲς τῆς ὀργῆς, εἰ δὴ ὀργὴν τὴν νουθετοῦσαν αὐτοῦ χρὴ καλεῖν, φιλάνθρωπόν ἐστιν εἰς πάθη καταβαίνοντος τοῦ θεοῦ διὰ τὸν ἄνθρωπον, δι' ὃν καὶ γέγονεν ἄνθρωπος ὁ λόγος τοῦ θεοῦ.

P. 53 Sylb.

Cap. IX.

Ὅτι τῆς αὐτῆς δυνάμεως καὶ εὐεργετεῖν καὶ κολάζειν δικαίως, ἐν ᾧ τις ὁ τρόπος τῆς παιδαγωγίας τοῦ λόγου.

§. 75. Παντὶ τοίνυν σθένει ὁ τῆς ἀνθρωπότητος παιδαγωγὸς, ὁ θεῖος ἡμῶν λόγος, πάσῃ κατυχρώμενος σοφίας μηχανῇ, σώζειν ἐπεβέβληται τοὺς νηπίους, νουθετῶν, ἐπιτιμῶν, ἐπιπλήττων, ἐλέγχων, ἀπειλούμενος, ἰώμενος, ἐπαγγελλόμενος, χαριζόμενος, πολλοῖς τισὶν οἱονεὶ χαλινοῖς τὰς ἀλόγους τῆς ἀνθρωπό-

*) Luc. 10, 22. Joann. 17, 25.

τητος δεσμεύων ὁρμάς. συνελόντι γοῦν εἰπεῖν, οὕτως ὁ κύριος πρὸς ἡμᾶς, ὡς καὶ ἡμεῖς πρὸς τὰ τέκνα ἡμῶν. τέκνα σοί ἐστι· „παίδευσον αὐτά", ἡ σο- P. 143
φία παραινεῖ, „καὶ κάμψον αὐτὰ ἐκ νεότητος αὐτῶν. Pott.
θυγατέρες σοί εἰσι· πρόσεχε τῷ σώματι αὐτῶν καὶ μὴ ἱλαρώσῃς πρὸς αὐτὰς τὸ πρόσωπόν σου"*). καίτοι τὰ τέκνα ἡμῶν υἱούς τε καὶ θυγατέρας σφόδρα καὶ ὑπὲρ πᾶν ὁτιοῦν ἀγαπῶμεν. ἐπεὶ δ' οἱ μὲν πρὸς χάριν ὁμιλοῦντες ὀλίγον ἀγαπῶσιν ὃ μὴ λυποῦσιν, οἱ δὲ πρὸς ὠφέλειαν ἐπιστέφοντες εἰ καὶ παραυτίκα λυπηροί, ἀλλὰ εἰς τὸν ἔπειτα εὐεργετοῦσιν αἰῶνα· οὐ τὴν παραυτίκα ἡδονὴν ὁ κύριος, ἀλλὰ τὴν μέλλουσαν ἐσκόπησε τρυφήν. ἐπίωμεν δὲ ἤδη καὶ τὸν τρόπον αὐτοῦ τῆς φιλανθρώπου παιδαγωγίας μετὰ μαρτυρίας προφητικῆς.

§. 76. Νουθέτησις μὲν οὖν ἐστι ψόγος κηδεμονικὸς, νοῦ ἐμποιητικός. τοιοῦτος ὁ παιδαγωγὸς νουθετῶν, ὡς κἂν τῷ εὐαγγελίῳ λέγων· „ποσάκις ἠθέλησα συναγαγεῖν τὰ τέκνα σου ὃν τρόπον ὄρνις συνάγει τὰ νοσσία αὐτῆς ὑπὸ τὰς πτέρυγας αὐτῆς, καὶ οὐκ ἠθελήσατε"**). αὖθίς τε ἡ γραφὴ νουθετεῖ· „καὶ ἐμοίχευον", λέγουσα, „τὸ ξύλον καὶ τὸν λίθον, καὶ ἐθυμίασαν τῇ Βαάλ"***). μέγιστον γὰρ τεκμήριον τῆς φιλανθρωπίας αὐτοῦ, ὅτι καίτοι σαφῶς εἰδὼς τὴν ἀναισχυντίαν τοῦ ἐκλακτίσαντος λαοῦ καὶ ἀποσκιρτήσαντος, ὅμως ἐπὶ τὴν μετάνοιαν παρακαλεῖ καί φησι διὰ τοῦ Ἰεζεκιήλ. „υἱὲ ἀνθρώπου, ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς, πλὴν λάλησον αὐτοῖς, ἐὰν ἄρα ἀκούσωσιν"†). ἀλλὰ καὶ τῷ Μωϋσῇ, „πορεύου", φησί, „καὶ εἰπὲ τῷ Φαραώ, ἵνα ἐξαποστείλῃ τὸν λαόν, ἐγὼ δὲ οἶδα, ὅτι οὐ μὴ ἐξαποστείλῃ αὐτούς"††). ἐμφαίνει γὰρ ἄμφω καὶ τὸ θεῖον

*) Eccles. 7, 23 sq. **) Matth. 23, 32. ***) Ierem. 3, 9. 7, 8. 11, 13. 32, 29. †) Exech. 2, 6 sq. ††) Exod. 8, 18 sq.

προειδὼς τὸ ἐσόμενον καὶ τὸ φιλάνθρωπον τὸ αὐτοῦ τῷ αὐτεξουσίῳ τῆς ψυχῆς ἀφορμὰς μετανοίας χαριζόμενος. νουθετεῖ δὲ καὶ διὰ Ἡσαΐου κηδόμενος τοῦ λαοῦ, ὀρηνίκα λέγει· „ὁ λαὸς οὗτος τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόρρω ἐστὶν ἀπ' ἐμοῦ" —τοῦτό ἐστι ψόγος ἐλεγκτικός— „μάτην δὲ σέβονταί με διδάσκοντες διδασκαλίας ἐντάλματα ἀνθρώπων"*). ἐνταῦθα ἡ κηδεμονία φανερώσασα τὴν ἁμαρτίαν ἐκ παραλλήλου δείκνυσι τὴν σωτηρίαν.

§. 77. Ἐπιτίμησις δέ ἐστι ψόγος ἐπ' αἰσχροῖς οἰκείων πρὸς τὰ καλά. τοῦτο ἐνδείκνυται διὰ Ἱερεμίου· „ἵπποι θηλυμανεῖς ἐγενήθησαν, ἕκαστος ἐπὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ ἐχρεμέτιζεν. μὴ ἐπὶ τούτοις οὐκ ἐπισκέψομαι", λέγει κύριος, „ἢ ἐν λαῷ τῷ τοιούτῳ οὐκ ἐκδικήσει ἡ ψυχή μου"**); παραπλέκει δὲ πανταχοῦ τὸν φόβον, ὅτι „φόβος κυρίου ἀρχὴ αἰσθήσεως"***). καὶ πάλιν διὰ Ὡσηέ· „οὐκ ἐπισκέψομαι", φησίν, „αὐτοὺς, ὅτι αὐτοὶ μετὰ τῶν πορνῶν συνεφέροντο καὶ μετὰ τῶν τετελεσμένων ἔθυον P. 144 καὶ ὁ λαὸς ὁ συνιὼν συνεπλέκετο πόρνῃ"†); δεί- Pott. κνυσιν αὐτῶν φανερώτερον τὸ ἁμάρτημα, συνιέναι αὐτοὺς ὁμολογῶν, ὡς ἑκόντας ἁμαρτάνοντας. καὶ ἡ σύνεσις ὄψις ἐστὶ ψυχῆς. διὸ καὶ ὁ Ἰσραὴλ ὁ ὁρῶν τὸν Θεὸν, τουτέστιν ὁ συνιὼν τὸν Θεόν. μέμψις δέ ἐστι ψόγος ὡς ὀλιγωροῦντων ἢ ἀμελούντων. κέχρηται τῷ τρόπῳ τούτῳ τῆς παιδαγωγίας διὰ Ἡσαΐου λέγων „ἄκουε, οὐρανέ, καὶ ἐνωτίζου, γῆ, ὅτι κύριος ἐλάλησεν· υἱοὺς ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν. ἔγνω βοῦς τὸν κτησάμενον καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω"††). πῶς γὰρ οὐ δεινὸν, εἰ ὁ εἰδὼς τὸν Θεὸν οὐ γνώσεται τὸν κύριον, ἀλλ' ὁ μὲν βοῦς καὶ ὄνος τὰ νωθῆ ζῶα καὶ τὰ μωρὰ εἴσεται τὸν τρέφοντα, ὁ δὲ

*) Isa. 29, 13. **) Ierem. 5, 8 sq. ***) Proverb. 1, 7. †) Hos. 4, 14. ††) Isa. 1, 2 sq.

Ἰσραὴλ ἀλογώτερος καὶ τούτων εὑρεθήσεται; καὶ διὰ Ἱερεμίου πολλὰ καταμεμψάμενος τὸν λαὸν ἐπιφέρει· „καὶ ἐμὲ ἐγκατέλιπον, λέγει κύριος“ *).

§. 78. Ἐπίπληξις δέ ἐστιν ἐπιτίμησις ἐπιπληκτικὴ ἢ ψόγος πληκτικὸς, κέχρηται δὲ καὶ ταύτῃ τῇ θεραπείᾳ ὁ παιδαγωγὸς διὰ Ἡσαΐου λέγων· „οὐαὶ τέκνα ἀποστάται, τάδε λέγει κύριος· ἐποιήσατε βουλὴν οὐ δι' ἐμοῦ καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου“ **). στύμματι δὲ αὐστηροτάτῳ παρ' ἕκαστα προσχρῆται τῷ φόβῳ ἀναστομῶν ἅμα καὶ ἐπιστρέφων δι' αὐτοῦ πρὸς σωτηρίαν τὸν λαὸν, καθάπερ καὶ τὰ βαπτόμενα τῶν ἰρίων προστύφεσθαι φιλεῖ εἰς βεβαίαν εὐτρεπιζόμενα τῆς βαφῆς παραδοχήν. ἔλεγχος δέ ἐστι προφορὰ ἁμαρτίας εἰς τὸ μέσον φέρουσα. τούτῳ μάλιστα συγχρῆται ὡς ἀναγκαίῳ τῷ τρόπῳ τῆς παιδαγωγίας διὰ τὸ ἔκλυτον τῆς τῶν πολλῶν πίστεως. λέγει μὲν γὰρ διὰ Ἡσαΐου· „ἐγκατελίπετε τὸν κύριον καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ“ ***). λέγει δὲ καὶ διὰ Ἱερεμίου· „ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλείω ἢ γῆ, ὅτι δύο καὶ πονηρὰ ἐποίησεν ὁ λαὸς οὗτος, ἐμὲ ἐγκατέλιπον πηγὴν ὕδατος ζῶντος καὶ ὤρυξαν λάκκους συντετριμμένους, οἳ οὐ δυνήσονται συσχεῖν ὕδωρ“ †). καὶ πάλιν διὰ τοῦ αὐτοῦ· „ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλὴμ, διὰ τοῦτο εἰς σάλον ἐγένετο· πάντες οἱ δοξάζοντες αὐτὴν ἠτίμασαν αὐτὴν, ὅτι εἶδον ἀσχημοσύνην αὐτῆς“ ††). τὸ δὲ αὐστηρὸν τοῦ ἐλέγχου καὶ ἐπιδεικτικὸν διὰ Σολομῶντος παραμυθούμενος λέγει αἰνιττόμενος κατὰ τὸ παρασιωπώμενον τὸ φιλότεκνον τῆς παιδαγωγίας· „υἱέ μου, μὴ ὀλιγώρει παιδείας κυρίου μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα

P. 54 8ylb.

P. 145 Pott.

*) Ierem. 1, 16 sq. 2, 13. 19. **) Psalm. 30, 1. ***) Ies. 1, 4. †) Ierem. 2, 12. 19. ††) Ibid. 1, 8.

υἱὸν, ὃν παραδέχεται"*), ὅτι „ἁμαρτωλὸς ἄνθρωπος ἐκκλίνει ἐλεγμόν"**). ἀκολούθως τοίνυν, „ἐλεγχέτω με δίκαιος", ἡ γραφὴ λέγει, „καὶ παιδευσάτω με, ἔλαιον δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου"***).

§. 79. *Φρένωσις δέ ἐστι ψόγος φρενῶν ἐμποιητικός. οὐδὲ τούτου ἀπέσχηται τοῦ τρόπου τῆς παιδαγωγίας, ἀλλὰ διὰ Ἱερεμίου φησίν· „ἕως τίνος κεκράξομαι καὶ οὐκ εἰσακούσονται; ἰδοὺ ἀπερίτμητα τὰ ὦτα αὐτῶν"†). ὦ τῆς μακαρίας ἀνεξικακίας. καὶ πάλιν διὰ τοῦ αὐτοῦ· „ἀπερίτμητα πάντα τὰ ἔθνη, ὁ δὲ λαὸς οὗτος, ἀπερίτμητος καρδίᾳ††), ὅτι λαὸς ἀπειθής ἐστιν, οἱ υἱοὶ", φησὶν, „οἷς οὐκ ἔστι πίστις"†††). ἐπισκοπὴ δέ ἐστιν ἐπίπληξις σφοδρά. κέχρηται τῷ εἴδει τούτῳ ἐν εὐαγγελίῳ· „Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν"*). καὶ ἡ ἐπαναθίπλωσις τοῦ ὀνόματος ἰσχυρὰν τὴν ἐπίπληξιν πεποίηται. ὁ γὰρ εἰδὼς τὸν Θεὸν πῶς τοὺς διακόνους τοῦ Θεοῦ διώκει; „διὰ τοῦτο", φησὶν, „ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος, λέγω γὰρ ὑμῖν ἀπάρτι· οὐ μὴ ἴδητέ με, ἕως ἂν εἴποιτε· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου". εἰ γὰρ οὐ δέχεσθε τὴν φιλανθρωπίαν, ἐπιγνώσεσθε τὴν ἐξουσίαν.*

§. 80. *Λοιδορία δέ ἐστι λόγος ἐπιτεταμένος. κέχρηται δὲ τῇ λοιδορίᾳ ἐν φαρμάκου μοίρᾳ διὰ Ἡσαΐου λέγων· „οὐαὶ ἔθνος ἁμαρτωλὸν, υἱοὶ ἄνομοι, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρόν"**). κἂν τῷ εὐαγγελίῳ διὰ Ἰωάννου, „ὄφεις", φησὶ, „γεννήματα ἐχιδνῶν". ἔγκλησις δέ ἐστι ψόγος ἀδικούντων. τούτῳ τῷ παιδαγωγήματι διὰ Λαβὶδ κέχρηται· „λαὸς, ὃν οὐκ ἔγνων", λέγων, „ἐδούλευσέ*

---

*) Prouerb. 3, 11 sq. **) Eccl. 32, 17. ***) Psalm. 141, 5. †) Ierem. 6, 10. ††) Ibid. 9, 26. †††) Ies. 30, 9. *) Matth. 23, 37 — 39. **) Ies. 1, 3.

μοι καὶ εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου, υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν"*). καὶ διὰ Ἱερεμίου· „καὶ ἔδωκα αὐτῇ βιβλίον ἀποστασίου καὶ οὐκ ἐφοβήθη ἀσύνθετος ὁ Ἰούδα"**). ὥσθ' τε· „καὶ ἠθέτησεν εἰς ἐμὲ ὁ οἶκος P. 146 Ἰσραὴλ, καὶ ὁ οἶκος Ἰούδα ἐψεύσατο τῷ κυρίῳ"***). Pott. μεμψιμοιρία δέ ἐστι λάθριος ψόγος, τεχνικῇ βοηθείᾳ καὶ αὐτὴ σωτηρίαν οἰκονομουμένη ἐν παρακαλύμματι. κέχρηται δὲ αὐτῇ διὰ Ἱερεμίου· „πῶς ἐκάθισε μόνη ἡ πόλις ἡ πεπληθυμμένη λαῶν; ἐγενήθη ὡσεὶ χήρα ἄρχουσα χωρῶν, ἐγενήθη εἰς φόρους, κλαίουσα ἔκλαυσεν ἐν νυκτί"†).

§. 81. *Διάσυρσις δέ ἐστι ψόγος διασυρτικός,* καὶ τούτῳ κέχρηται τῷ βοηθήματι ὁ θεῖος παιδαγωγὸς διὰ Ἱερεμίου λέγων· „ὄψις πόρνης ἐγένετό σοι, ἀπηναισχύντησας πρὸς πάντας, καὶ οὐχ ὡς οἶκον ἐκάλεσάς με καὶ πατέρα καὶ ἄρχοντα τῆς παρθενίας σού"††). καὶ „πόρνη καλὴ καὶ ἐπίχαρις ἡγουμένη φαρμάκων"†††). τεχνικῶς πάνυ τὴν παρθένον τῷ τῆς πορνείας ἐνυβρίσας ὀνόματι αὖθις ἐπὶ τὴν σεμνότητα ἐντρέπων μετακαλεῖται. κατανεμέσησις δέ ἐστιν ἐπιτίμησις νόμιμος ἢ ἐπιτίμησις τῶν ὁδῶν παρὰ τὸ προσῆκον ἐπαιρομένων. ταύτῃ διὰ Μωϋσέως ἐπαιδαγώγει, „τέκνα", λέγων, „μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοτε; οὗτος λαὸς μωρὸς καὶ οὐχὶ σοφός. οὐκ αὐτὸς οὗτος ὁ πατήρ ἐκτήσατό σε"*); καὶ διὰ Ἡσαΐου φησίν· „οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοῖς οὐ κρίνοντες"**). καθόλου δὲ ἡ περὶ τὸν φόβον αὐτοῦ τεχνολογία σωτηρίας ἐστὶ πηγή, ἀγαθοῦ δέ γε τὸ σώζειν· „ἔλεος δὲ κυρίου ἐπὶ πᾶσαν σάρκα

---

*) Psalm. 18, 43—45. **) Ierem. 3, 8. ***) Ibid. 5, 10. 11. †) Thren. 1, 2. 3. ††) Ierem. 3, 3. 4. †††) Nahum. 3, 4. *) Deut. 32, 5. 6. **) Jes. 1, 23.

ἐλέγχων καὶ παιδεύων καὶ διδάσκων ὡς ποιμὴν τὸ ποίμνιον αὐτοῦ, τοὺς ἐκδεχομένους παιδείαν ἐλεεῖ καὶ τοὺς κατασπουδάζοντας εἰς κόλλησιν αὐτῷ"*), καὶ ταύτῃ τῇ ἀγωγῇ „ἐξακοσίας χιλιάδας πεζῶν"**), τοὺς ἐπισυναχθέντας, ἐν ᾗ ἔσχον σκληροκαρδίᾳ, μαστιγῶν, ἑλεῶν, τύπτων, ἰώμενος, ἐν οἰκτιρμῷ καὶ παιδείᾳ διεφύλαξεν. „κατὰ γὰρ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω καὶ ὁ ἔλεγχος αὐτοῦ"***). καλὸν μὲν γὰρ τὸ μὴ ἁμαρτεῖν, ἀγαθὸν δὲ καὶ τὸν ἁμαρτάνοντα μετανοεῖν, ὥσπερ ἄριστον τὸ ὑγιαίνειν ἀεί, καλὸν δὲ καὶ τὸ ἀνασφῆλαι τῆς νόσου.

§. 82. Ταύτῃ τοι καὶ διὰ Σολομῶντος παραγγέλλεται· „σὺ μὲν ῥάβδῳ πάταξον τὸν υἱόν, τὴν δὲ ψυχὴν αὐτοῦ ἐκ θανάτου ῥῦσαι"†). καὶ πάλιν· „μὴ ἀπόσχου νήπιον παιδεύων, εὐθύνει δὲ αὐτὸν ῥάβδῳ, οὐ γὰρ θανεῖται"††). ἔλεγχος γὰρ καὶ ἐπίπληξις, ὥσπερ οὖν καὶ τοὔνομα αἰνίττεται, αὗται πληγαὶ ψυχῆς εἰσὶ, σωφρονίζουσαι τὰς ἁμαρτίας καὶ θάνατον ἀπείργουσαι, εἰς δὲ τὴν σωφροσύνην ἄγουσαι τοὺς εἰς ἀκολασίαν ὑποφερομένους. ταύτῃ τοι καὶ Πλάτων τὴν μεγίστην τῆς ἐπανορθώσεως δύναμιν καὶ τὴν κυριωτάτην κάθαρσιν τὸν ἔλεγχον εἰδὼς ἀκολούθως τῷ λόγῳ τὸν τὰ μέγιστα ἀκάθαρτον ὄντα ἀπαίδευτόν τε καὶ αἰσχρὸν γεγονέναι διὰ τὸ ἀνέλεγκτον εἶναι βούλεται, ἢ καθαρώτατον καὶ κάλλιστον ἔπρεπε τὸν ὄντως ἐσόμενον εὐδαίμονα εἶναι. εἰ γὰρ „οἱ ἄρχοντες οὐκ εἰσὶ φόβος τῷ ἀγαθῷ"†††) ἔργῳ, πῶς ὁ φύσει ἀγαθὸς θεὸς φόβος ἔσται τῷ μὴ ἁμαρτάνοντι; „ἐὰν δὲ τὸ κακὸν ποιῇς, φοβοῦ", ᾗ φησιν ὁ ἀπόστολος.

§. 83. Διὰ τοῦτό τοι καὶ αὐτὸς ὁ ἀπόστολος ἐπιστύφει παρ' ἕκαστα τὰς ἐκκλησίας κατ' εἰκόνα κυρίου, καὶ συναισθόμενος τῆς ἑαυτοῦ παρρησίας

P. 55 Sylb.

P. 14 Pot

*) Eccles. 18, 13. 14. **) Cf. Exod. 12, 37. ***) Eccl. 16, 12. †) Proverb. 23, 14. ††) Ibid. v. 19. †††) Rom. 13, 4. 5.

καὶ τῆς τῶν ἀκουόντων ἀσθενείας πρὸς τοὺς Γαλάτας λέγει· „ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν"*). ὡς δὲ οἱ ὑγιαίνοντες οὐ χρῄζουσιν ἰατροῦ**), παρ' ὅσον ἔρρωνται, οἱ δὲ νοσοῦντες ἐπιδέονται τῆς τέχνης, οὕτω καὶ ἡμεῖς οἱ ἐν τῷ βίῳ νοσοῦντες περί τε τὰς ἐπιθυμίας τὰς ἐπονειδίστους περί τε τὰς ἀκρασίας τὰς ἐπιψόγους καὶ περὶ τὰς ἄλλας τῶν παθῶν φλεγμονὰς τοῦ σωτῆρος ἐπιδεήμεθα, ὃ δὲ οὐ μόνον τὰ ἤπια ἐπιπάσσει φάρμακα***), ἀλλὰ καὶ τὰ στυπτικά. ἴστασι γοῦν τῶν ἁμαρτιῶν τὰς νομὰς αἱ πικραὶ τοῦ φόβου ῥίζαι. διὸ καὶ σωτήριος, εἰ καὶ πικρός, ὁ φόβος. εἰκότως ἄρα σωτῆρος μὲν οἱ νοσοῦντες δεόμεθα, οἱ πεπλανημένοι δὲ τοῦ καθηγησομένου καὶ οἱ τυφλοὶ τοῦ φωταγωγήσοντος καὶ οἱ διψῶντες τῆς πηγῆς τῆς ζωτικῆς, ἀφ' ἧς οἱ μεταλαμβάνοντες οὐκέτι διψήσουσι, καὶ οἱ νεκροὶ δὲ τῆς ζωῆς ἐνδεεῖς καὶ τοῦ ποιμένος τὰ πρόβατα καὶ οἱ παῖδες τοῦ παιδαγωγοῦ, ἀλλὰ καὶ πᾶσα ἡ ἀνθρωπότης Ἰησοῦ, ἵνα μὴ ἀνάγωγοι καὶ ἁμαρτωλοὶ εἰς τέλος τῇ καταδίκῃ ἐμπέσωμεν, διακριθῶμεν δὲ τῶν ἀχυρμιῶν καὶ εἰς τὴν πατρῴαν ἀποθήκην σωρευθῶμεν. τὸ γὰρ πτύον ἐν τῇ χειρὶ τοῦ κυρίου, ᾧ P. 148 ἀποκρίνεται τοῦ πυροῦ τὸ ἄχυρον τὸ ὀφειλόμενον Pott. τῷ πυρί†).

§. 84. Ἐξὸν δὲ, εἰ βούλεσθε, τοῦ παναγίου ποιμένος καὶ παιδαγωγοῦ τοῦ παντοκράτορος καὶ πατρικοῦ λόγου τὴν ἄκραν σοφίαν καταμανθάνειν ἡμῖν, ἔνθα ἀλληγορεῖ, „ποιμένα"††) ἑαυτὸν προβάτων λέγων· ἔστι δὲ παιδαγωγὸς νηπίων. φησὶ γοῦν διὰ Ἰεζεκιὴλ πρὸς τοὺς πρεσβυτέρους ἀποταθεὶς καί τινα αὐτοῖς σωτήριον παρατιθέμενος εὐλόγον φροντίδος ὑπογραμμόν· „καὶ τὸ χωλὸν καταδή-

*) Galat. 4, 16. **) Cf. Luc. 5, 31. ***) Cf. Hom. Iliad. δ. 218. †) Cf. Matth. 3, 12. Luc. 3, 17. ††) Ioann. 10, 11 14.

σω καὶ τὸ ὀχλούμενον ἰάσομαι καὶ τὸ πλανώμενον ἐπιστρέψω καὶ βοσκήσω αὐτοὺς ἐγὼ εἰς τὸ ὄρος τὸ ἅγιόν μου"*). ταῦτ' ἐστὶν ἀγαθοῦ ποιμένος ἐπαγγέλματα· βόσκησον ἡμᾶς τοὺς νηπίους ὡς πρόβατα. ναὶ, δέσποτα, τῆς σῆς πλήρωσον νομῆς τῆς δικαιοσύνης, ναὶ, παιδαγωγὲ, ποίμανον ἡμᾶς εἰς τὸ ἅγιόν σου ὄρος, πρὸς τὴν ἐκκλησίαν, τὴν ὑψουμένην, τὴν ὑπερνεφῆ, τὴν ἁπτομένην οὐρανῶν. „καὶ ἔσομαι", φησὶν, „αὐτῶν ποιμὴν καὶ ἔσομαι ἐγγὺς αὐτῶν"**), ὡς ὁ χιτὼν τοῦ χρωτὸς αὐτῶν· σῶσαι βούλεταί μου τὴν σάρκα, περιβαλὼν τὸν χιτῶνα τῆς ἀφθαρσίας, καὶ τὸν χρῶτά μου κέχρικεν. „καὶ λέσουσί με", φησὶ, „καὶ ἐρῶ ἰδοὺ πάρειμι"***). θᾶττον ὑπήκουσας ἢ προσεδόκησα, δέσποτα· „καὶ ἐὰν καταβαίνωσιν, οὐκ ὀλισθήσουσι, λέγει κύριος"†). οὐ γὰρ πεσούμεθα εἰς φθορὰν οἱ διαβαίνοντες εἰς ἀφθαρσίαν, ὅτι ἀνθέξεται ἡμῶν αὐτὸς, ἔφη γὰρ αὐτὸς καὶ ἠθέλησεν αὐτός.

§. 85. Τοιοῦτος ἡμῶν ὁ παιδαγωγὸς ἀγαθὸς ἐνδίκως „οὐκ ἦλθον", φησὶ, „διακονηθῆναι, ἀλλὰ διακονῆσαι"††). διὰ τοῦτο εἰσάγεται, ἐν τῷ εὐαγγελίῳ „κεκμηκὼς"†††) ὁ κάμνων ὑπὲρ ἡμῶν καὶ δοῦναι τὴν ψυχὴν τὴν ἑαυτοῦ λύτρον ἀντὶ πολλῶν*) ἐπισχνούμενος. τοῦτον γὰρ μόνον ὁμολογεῖ ἀγαθὸν εἶναι ποιμένα· μεγαλόδωρος οὖν ὁ τὸ μέγιστον ὑπὲρ ἡμῶν τὴν ψυχὴν αὐτοῦ ἐπιδιδοὺς καὶ μεγαλωφελὴς καὶ φιλάνθρωπος, ὅτι καὶ ἄνθρωπος, ἐξὸν εἶναι κύριον, ἀδελφὸς εἶναι βεβούληται, ὁ δὲ καὶ εἰς τοσοῦτον ἀγαθὸς, ὥστε ἡμῶν καὶ ὑπεραποθανεῖν. ἀλλὰ καὶ ἡ δικαιοσύνη κέκραγεν αὐτοῦ· „ἐὰν ὀρθοὶ πρός με ἦκητε, κἀγὼ ὀρθὸς πρὸς ὑμᾶς, ἐὰν πλάγιοι πορεύησθε, κἀγὼ πλάγιος, λέγει κύριος τῶν δυνά-

*) Ezech. 34, 14 — 16. **) Ibidem. ***) Isa. 58, 9. †) Ibid. 43, 2. ††) Matth. 20, 28. Marc. 10, 45. †††) Ioann. 4, 6. *) Cf. Matth. 20, 28.

μεων"*), τὰς ἐπιπλήξεις τῶν ἁμαρτωλῶν πλαγίας αἰνιττόμενος ὁδούς· ἡ γὰρ εὐθεῖα καὶ κατὰ φύσιν, ἣν αἰνίττεται τῷ ἴδιον τοῦ Ἰησοῦ, ἡ ἀγαθοσύνη αὐτοῦ, ἡ πρὸς τοὺς ἐξ ὑπακοῆς πεπιστευκότας P. 149
ὁ ἀμεταμέλητός τε καὶ ἀρρεπής· „ἐπειδὴ ἐκάλουν καὶ Pott.
οὐκ ὑπηκούετε, λέγει κύριος, ἀλλὰ ἀκύρους ἐποιεῖτε τὰς ἐμὰς βουλὰς, τοῖς δὲ ἐμοῖς ἐλέγχοις οὐ προσείχετε"**). οὕτως ὁ κυριακὸς ἔλεγχος ὠφελιμώτατος.

§. 86. Περὶ τούτων καὶ διὰ Δαβὶδ λέγει· „γενεὰ σκολιὰ καὶ παραπικραίνουσα, γενεὰ ἥτις οὐ κατηύθυνε τὴν καρδίαν ἑαυτῆς καὶ οὐκ ἐπιστώθη μετὰ τοῦ Θεοῦ τὸ πνεῦμα αὐτῆς, οὐκ ἐφυλάξαντο τὴν διαθήκην τοῦ Θεοῦ καὶ ἐν τῷ νόμῳ αὐτοῦ οὐκ ἠθέλον πορεύεσθαι"***). αὗται αἰτίαι παραπικρασμοῦ, δι' ἃς ὁ κριτὴς ἔρχεται τὴν δίκην ἐποίσων τοῖς τὴν εὐζωΐαν ἐλέσθαι μὴ βεβουλημένοις. διὰ τοῦτο αἰτοῖς ταχύτερον ἐνθένδε προσενήνεκται, εἴ πως ἀναχαιτίσωσιν τῆς ἐπὶ τὸν θάνατον ὁρμῆς. λέγει γοῦν διὰ Δαβὶδ σαφεστάτην αἰτίαν τῆς ἀπειλῆς· „οὐκ ἐπίστευσαν ἐν τοῖς θαυμασίοις αὐτοῦ, ὅταν ἀπέκτεινεν αὐτοὺς, ἐξεζήτουν αὐτὸν καὶ ἐπέστρεφον καὶ ὤρθριζον πρὸς τὸν Θεὸν καὶ ἐμνήσθησαν, ὅτι ὁ Θεὸς βοηθὸς αὐτῶν ἐστὶ καὶ ὁ Θεὸς ὁ ὕψιστος λυτρωτὴς αὐτῶν ἐστίν" †). οὕτως οἶδεν ἐπιστρέφοντας αὐτοὺς διὰ τὸν φόβον, τῆς δὲ φιλανθρωπίας αὐτοῦ καταφρονηκότας. ὀλιγωρεῖται μὲν γὰρ ὡς ἐπίπαν τὸ ἀγαθὸν, χρηστευόμενον ἀεὶ, θεραπεύεται δὲ ὑπομιμνήσκων τῷ φιλανθρώπῳ τῆς δικαιοσύνης φόβῳ.

§. 87. Διττὸν δὲ τὸ εἶδος τοῦ φόβου, ὧν τὸ μὲν ἕτερον γίνεται μετὰ αἰδοῦς, ᾧ χρῶνται πολῖται μὲν πρὸς ἡγεμόνας ἀγαθοὺς καὶ ἡμεῖς πρὸς τὸν Θεὸν, καθάπερ οἱ παῖδες οἱ σώφρονες πρὸς τοὺς πατέρας· „ἵππος γὰρ", φησὶν, „ἀδάμαστος ἐκβαίνει σκληρὸς,

*) Cf. Ierem. 6. Levit. 26 etc. **) Proverb. 1, 24 sq. ***) Psalm. 58, 8. 10. †) Ibid. v. 32 — 35.

καὶ υἱὸς ἀνειμένος ἐκβαίνει προαλής"*). τὸ δὲ ἕτερον εἶδος τοῦ φόβου μετὰ μίσους γίνεται, ᾧ δοῦλοι πρὸς δεσπότας κέχρηνται χαλεποὺς, καὶ Ἑβραῖοι δε-
P. 56 σπότην ποιήσαντες οὐ πατέρα τὸν θεόν. πολλῷ δὲ
Sylb. οἶμαι καὶ τῷ παντὶ τὸ ἑκούσιον καὶ κατὰ προαίρε-
σιν τοῦ κατὰ ἀνάγκην εἰς εὐσέβειαν διαφέρει. „αὐ-
τὸς γὰρ", φησὶν, „οἰκτίρμων ἐστὶν, ἱάσεται τὰς
ἁμαρτίας αὐτῶν καὶ οὐ διαφθερεῖ, καὶ πληθυνεῖ
τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ καὶ οὐκ ἐκκαύσει
πᾶσαν τὴν ὀργὴν αὐτοῦ"**). ὅρα πῶς τὸ δίκαιον ἐπιδείκνυται τοῦ παιδαγωγοῦ τὸ περὶ τὰς ἐπιτιμήσεις, καὶ τὸ ἀγαθὸν τοῦ θεοῦ τὸ περὶ τὰς οἰκτιρήσεις. διὰ τοῦτο ὁ Δαβὶδ, τουτέστι τὸ πνεῦμα τὸ δι' αὐτοῦ, ἄμφω περιλαβὼν ἐπὶ τοῦ αὐτοῦ ψάλλει θεοῦ· „δικαιοσύνη καὶ κρίμα ἑτοιμασία τοῦ θρόνου σου, ἔλεος καὶ ἀλήθεια προπορεύσονται πρὸ προσώπου σου"***), τῆς αὐτῆς εἶναι δυνάμεως ὁμολογεῖ καὶ κρίνειν καὶ εὐεργετεῖν. ἅμα γὰρ ἀμφοῖν ἡ ἐξουσία P. 15
Pot
ἡ κρίσις τοῦ δικαίου διακρίνουσα τὰ ἐναντία.

§. 88. Καὶ ὁ αὐτὸς δίκαιος καὶ ἀγαθὸς, ὁ ὄντως θεὸς, ὁ ὢν αὐτὸς τὰ πάντα καὶ τὰ πάντα αὐτὸς, ὅτι αὐτὸς θεὸς, ὁ μόνος θεός. ὡς γὰρ τὸ ἐσοπτρον τῷ αἰσχρῷ οὐ κακὸν, ὅτι δεικνύει αὐτὸν οἷός ἐστιν, καὶ ὡς ὁ ἰατρὸς τῷ νοσοῦντι οὐ κακὸς ὁ τὸν πυρετὸν ἀναγγέλλων αὐτοῦ — οὐ γὰρ αἴτιος τοῦ πυρετοῦ ὁ ἰατρὸς, ἀλλὰ ἔλεγχός ἐστι τοῦ πυρετοῦ —, οὕτως οὐδὲ ὁ ἐλέγχων δύσνους τῷ κάμνοντι τὴν ψυχήν· οὐ γὰρ ἐντίθησι τὰ πλημμελήματα, τὰ δὲ προσόντα ἐπιδείκνυσιν ἁμαρτήματα εἰς τὴν τῶν ὁμοίων ἐπιτηδευμάτων ἀποτροπήν. ὥστε ἀγαθὸς μὲν ὁ θεὸς δι' ἑαυτὸν, δίκαιος δὲ ἤδη δι' ἡμᾶς, καὶ τοῦτο ὅτι ἀγαθός. τὸ δίκαιον δὲ ἡμῖν διὰ τοῦ λόγου ἐνδείκνυται τοῦ ἑαυτοῦ ἐκεῖθεν ἄνωθεν, ὅθεν

*) Eccles. 30, 8. **) Psalm. 78, 38. ***) Ibid. 89, 14.

γέγονε πατήρ. πρὶν γὰρ κτίσιν γενέσθαι θεὸς ἦν, ἀγαθὸς ἦν, καὶ διὰ τοῦτο καὶ δημιουργὸς εἶναι καὶ πατὴρ ἠθέλησεν, καὶ ἡ τῆς ἀγάπης ἐκείνης σχέσις δικαιοσύνης γέγονεν ἀρχὴ καὶ τὸν ἥλιον ἐπιλάμποντος τὸν αὐτοῦ καὶ τὸν ὑὸν καταπέμποντος τὸν αὐτοῦ καὶ πρῶτος οὗτος τὴν ἐξ οὐρανῶν ἀγαθὴν κατήγγειλε δικαιοσύνην· „οὐδεὶς ἔγνω τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ", λέγων, „οὐδὲ τὸν πατέρα, εἰ μὴ ὁ υἱός" *). αὕτη ἡ ἀντιταλαντεύουσα γνῶσις ἐπίσης δικαιοσύνης ἀρχαίας σύμβολον, ἔπειτα δὲ ἐπὶ τοὺς ἀνθρώπους καταβέβηκεν ἡ δικαιοσύνη καὶ γράμματι καὶ σώματι τῷ λόγῳ καὶ τῷ νόμῳ εἰς μετάνοιαν τὴν ἀνθρωπότητα βιαζομένη σωτήριον· ἀγαθὴ γὰρ ἦν. ἀλλ' οὐχ ὑπακούεις τῷ θεῷ· σεαυτὸν αἰτιῶ τὸν κριτὴν ἐπισπώμενος.

Cap. X.

Ὅτι ὁ αὐτὸς θεὸς διὰ τοῦ αὐτοῦ λόγου καὶ ἀπείργει τῶν ἁμαρτιῶν ἀπειλῶν καὶ σώζει τὴν ἀνθρωπότητα παρακαλῶν.

§. 89. *Εἰ τοίνυν τὴν περὶ τὸ ἐπιστύφειν τὴν ἀνθρωπότητα οἰκονομίαν ἀγαθὴν οὖσαν καὶ σωτήριον ἀναγκαίως ὑπὸ τοῦ λόγου παραλαμβανομένην ἐπεδείξαμεν πρός τε μετάνοιαν καὶ πρὸς τῶν ἁμαρτιῶν τὴν κώλυσιν εὔθετον γενομένην, ἑξῆς ἂν εἴη σκοπεῖν τὸ ἥπιον τοῦ λόγου· δίκαιος γὰρ οὗτος ἀποδέδεικται, καὶ τὰς ἰδίας παρατίθεται γνώμας τὰς πρὸς σωτηρίαν παρακλητικὰς, δι' ὧν καὶ τὸ καλὸν καὶ τὸ συμφέρον πατρικῷ θελήματι γνωρίζειν ἡμῖν βούλεται. σκόπει δὲ ταῦτα. τὸ μὲν καλὸν τοῦ* P. 151 *ἐγκωμιαστικοῦ, τὸ δὲ συμφέρον τοῦ συμβουλευ-* Pott.

*) Luc. 10, 22.

τικοῦ· καὶ γὰρ οὖν τοῦ μὲν συμβουλευτικοῦ σχέσις τὸ προτρεπτικὸν καὶ ἀποτρεπτικόν, τοῦ δὲ ἐγκωμιαστικοῦ ἐπαινετικόν τε καὶ ψεκτικὸν γίνεται. πῶς γὰρ ἔχουσα ἡ διάνοια ἡ συμβουλευτικὴ προτρεπτικὴ γίνεται, καὶ πῶς ἔχουσα ἀποτρεπτική. ὡσαύτως δὲ καὶ τὸ ἐγκωμιαστικὸν πῶς μὲν ἔχον ψεκτικὸν γίνεται, πῶς δὲ ἔχον ἐπαινετικόν. περὶ ἃ καταγίνεται μάλιστα ὁ παιδαγωγὸς ὁ δίκαιος ὁ τοῦ ἡμετέρου συμφέροντος ἐστοχασμένος. ἀλλὰ γὰρ τὸ μὲν ψεκτικὸν καὶ ἀποτρεπτικὸν εἶδος ὑποδέδεικται ἡμῖν ἤδη πρότερον, νῦν δὲ αὖ τὸ προτρεπτικὸν καὶ ἐπαινετικὸν μεταχειριστέον, καὶ καθάπερ ἐπὶ ζυγοῦ τὰς ἰσοστασίους ἀντισηκώσωμεν τοῦ δικαίου πλάστιγγας.

§. 90. Τῇ μὲν οὖν ἐπὶ τὰ συμφέροντα προτροπῇ ὁ παιδαγωγὸς διὰ Σολομῶντος ὧδέ πως χρῆται· „ἐγὼ ὑμᾶς, ἄνθρωποι, παρακαλῶ καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων· ἐπακούσατέ μου, σεμνὰ γὰρ ἐρῶ"*) καὶ τὰ ἑξῆς. συμβουλεύει δὲ τὰ σωτήρια, ὅτι ἡ συμβουλὴ πρὸς αἵρεσίν ἐστι καὶ φυγὴν ἐπιτήδειος. καθάπερ ποιεῖ διὰ τοῦ Δαβὶδ λέγων· „μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν καὶ ἐν ὁδῷ ἁμαρτωλῶν οὐκ ἔστη καὶ ἐπὶ καθέδραν λοιμῶν οὐκ ἐκάθισεν, ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ"**). τῆς δὲ συμβουλίας μέρη τρία, τὸ μὲν ἐκ τῶν παρεληλυθότων χρόνων λαμβάνον τὰ παραδείγματα, οἷον τί ἔπαθον οἱ Ἑβραῖοι τῷ χρυσῷ εἰδωλολατρήσαντες ἐν μόσχῳ, καὶ τί ἔπαθον ἐκπορνεύσαντες καὶ τὰ ὅμοια, τὸ δὲ ἐκ τῶν παρόντων χρόνων κατανοούμενον, οἷον αἰσθητικῶς καταλαμβανόμενον, ὡς ἐκεῖνο εἴρηται πρὸς τοὺς ἐρομένους τὸν κύριον, εἰ αὐτὸς εἴη ὁ Χριστὸς ἢ ἄλλον περιμένομεν, „ἀπέλθετε καὶ εἴπατε Ἰωάννῃ· τυφλοὶ ἀναβλέπουσι, κωφοὶ ἀκούουσι, λεπροὶ καθαρίζονται, ἀνίστανται νεκροὶ, καὶ μακάριός ἐστιν

*) Proverb. 8, 4. 6. **) Psalm. 1, 1 sq.

ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί"*). τοῦτ' ἄρα ἦν ὃ προφητεύων εἴρηκε Δαβὶδ· „καθὼς ἠκούσαμεν, οὕτως καὶ εἴδομεν"**).

§. 91. Ἐκ δὲ τῶν μελλόντων τὸ τρίτον συν-
P. 57 ίσταται μέρος τῆς συμβουλίας, ᾧ τὰ ἀποβησό-
8ylb. μενα κελεύει φυλάττεσθαι, καθὸ κἀκεῖνο εἴρηται· „οἱ δὲ ἁμαρτίαις περιπεσόντες βληθήσονται εἰς τὸ σκότος τὸ ἐξώτερον, ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων"***) καὶ τὰ παραπλήσια. ὡς
10ἐκ τούτων εἶναι συμφανὲς διὰ πάσης θεραπείας χωροῦντα τὸν κύριον εἰς σωτηρίαν ἐκκαλεῖσθαι τὴν ἀνθρωπότητα. τῇ δὲ παραμυθίᾳ παρηγορεῖ τὰ ἁμαρτήματα, μειῶν μὲν τὴν ἐπιθυμίαν, ἅμα δὲ καὶ ἐλπίδα ἐνδιδοὺς εἰς σωτηρίαν. φησὶ γὰρ διὰ Ἰεζεκιήλ·
15„ἐὰν ἐπιστραφῆτε ἐξ ὅλης τῆς καρδίας καὶ εἴπητε, P. 152
πάτερ, ἀκούσομαι ὑμῶν, ὥσπερ λαοῦ ἁγίου"†). Pott.
καὶ πάλιν λέγει· „δεῦτε πάντες πρός με οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς"††), καὶ τὰ ἐπὶ τούτοις αὐτοπροσωπεῖ ὁ κύριος. σαφέ-
20στατα δὲ ἐπὶ τὴν ἀγαθοσύνην καλεῖ διὰ Σολομῶντος λέγων· „μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ ἄνθρωπος, ὃς εἶδε φρόνησιν· τὸ γὰρ ἀγαθὸν τῷ ζητοῦντι εὑρίσκεται, καὶ ὁρᾶσθαι τῷ εὑρόντι φιλεῖ"†††). ναὶ μὴν καὶ διὰ Ἱερεμίου τὴν φρόνησιν
25ἐξηγεῖται· „μακάριοί ἐσμεν Ἰσραὴλ", λέγων, „ὅτι τὰ ἀρεστὰ τῷ θεῷ γνωστὰ ἡμῖν ἐστι"*), γνωστὰ δὲ διὰ τοῦ λόγου, δι' ὃν μακάριοι καὶ φρόνιμοι. φρόνησις γὰρ καὶ ἡ γνῶσις διὰ τοῦ αὐτοῦ προφήτου μηνύεται λέγοντος, „ἄκουε, Ἰσραὴλ, ἐντολὰς ζωῆς,
30γνωτίσασθε γνῶναι φρόνησιν"**). διὰ δὲ Μωϋσέως ἔτι καὶ προσυπισχνεῖται δωρεὰν διὰ τὴν ὑπάρχουσαν φιλανθρωπίαν τοῖς σπεύδουσιν εἰς σωτηρίαν. φησὶ γάρ· „καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τὴν ἀγαθήν, ἣν

*) Matth. 11, 3—6. Luc. 7, 19. 22 sq. **) Psalm. 48, 8.
***) Matth. 22, 13. 25, 30. †) Ezech. 18 et 33. ††) Matth. 11, 28. †††) Proverb. 3, 13. *) Baruch. 4, 4. **) Ibid. 3, 9.

ὤμοσε κύριος τοῖς πατράσιν ὑμῶν"*), πρὸς δὲ, „καὶ εἰσάξω ὑμᾶς εἰς τὸ ὄρος τὸ ἅγιον, καὶ εὐφρανῶ ὑμᾶς"**), διὰ Ἡσαΐου λέγει.

§. 92. Ἔτι δὲ καὶ ἄλλο εἶδος αὐτοῦ παιδαγωγίας ὁ μακαρισμὸς, καὶ, „μακάριος ἐκεῖνος", διὰ Δαβὶδ λέγει, „ὃ μὴ ἁμαρτὼν, καὶ ἔσται ὡς τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων, ὃ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται" — ταυτὶ μὲν καὶ πρὸς τὴν ἀνάστασιν ᾐνίξατο — „καὶ πάντα ὅσα ἂν ποιήσῃ, κατευοδωθήσεται αὐτῷ"***), τοιούτους ἡμᾶς γεγονέναι βούλεται, ἵνα ὦμεν μακάριοι. ἔμπαλιν δὲ τὸ ἀντισοῦν τῷ τῆς δικαιοσύνης ἐνδεικνύμενος ζυγῷ· „οὐχ οὕτως", φησὶν, „οἱ ἀσεβεῖς, οὐχ οὕτως, ἀλλ' ἢ ὡς ὁ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς†)". τὸ ἐπιτίμιον τῶν ἁμαρτωλῶν καὶ τὸ εὐδιαφόρητον αὐτῶν καὶ τὸ ὑπηνέμιον δείξας ὁ παιδαγωγὸς ἀπετρέψατο τῆς αἰτίας διὰ τῆς ἐπιτιμίας, καὶ τὴν κόλασιν ἐπανατεινάμενος τὴν κατ' ἀξίαν τῆς εὐεργεσίας ἐνεδείξατο τὴν εὐποιΐαν, τεχνικώτατα ἐπὶ τὴν χρῆσιν ἡμᾶς καὶ τὴν κτῆσιν τῶν καλῶν διὰ ταύτης καλῶν. ναὶ μὴν καὶ ἐπὶ τὴν γνῶσιν παρακαλεῖ διὰ μὲν τοῦ Ἱερεμίου λέγων· „τῇ ὁδῷ τοῦ Θεοῦ εἰ ἐπορεύθης, κατῴκεις ἂν ἐν εἰρήνῃ εἰς τὸν αἰῶνα"††). ὑποδεικνύων γὰρ ἐνταῦθα τὸν μισθὸν τῆς γνώσεως εἰς ἔρωτα αὐτῆς τοὺς συνετοὺς ἐκκαλεῖται, καὶ τῷ πεπλανημένῳ συγγνώμην νέμων· „ἐπίστρεφε γὰρ, ἐπίστρεφε, ὡς ὁ τρυγῶν ἐπὶ τὸν κάρταλον αὐτοῦ"†††) λέγει. ὁρᾷς τὸ ἀγαθὸν τῆς δικαιοσύνης μετανοεῖν συμβουλευούσης;

§. 93. Ἔτι δὲ διὰ Ἱερεμίου φωτίζει τοῖς πεπλανημένοις τὴν ἀλήθειαν· „τάδε λέγει κύριος· στῆτε ἐπὶ ταῖς ὁδοῖς καὶ ἴδετε καὶ ἐρωτήσατε τρίβους κυ-

*) Deut. 31, 20. **) Ies. 56, 7. ***) Psalm. 1, 1 sq.
†) Ibid. v. 4. ††) Baruch. 3, 13. †††) Ierem. 6, 9.

ρίου αἰωνίας, ποία ἐστὶν ἡ τρίβος ἡ ἀγαθὴ, καὶ βαδίζετε ἐν αὐτῇ, καὶ εὑρήσετε ἁγνισμὸν ταῖς ψυχαῖς ὑμῶν"*). ἄγει δὲ ἐπὶ τὴν μετάνοιαν σωτηρίας χάριν τῆς ἡμῶν. διὰ τοῦτο φησὶν· „ἐὰν μετανοήσῃς, περικαθαριεῖ κύριος τὴν καρδίαν σοὺ καὶ τὴν καρδίαν τοῦ σπέρματός σου"**). ἐνῆν μὲν οὖν συνηγόρους ἡμῖν τῆς ζητήσεως ταύτης ἐπισπάσασθαι φιλοσόφους, οἳ φασιν ἐπαινετὸν εἶναι μόνον τὸν τέλειον, ψεκτὸν δὲ τὸν φαῦλον τυγχάνειν. ἀλλ' ἐπεὶ συκοφαντοῦσί τινες τὸ μακάριον, ὡς πρᾶγμα οὐκ ἔχον οὔτε αὐτὸ οὔτε ἄλλῳ τῷ παρεχόμενον, τὴν φιλανθρωπίαν ἀσυνετοῦντες αὐτοῦ, διὰ τούτους δὴ καὶ τοὺς ἔτι τὸ δίκαιον οὐ προσάπτοντας τῷ ἀγαθῷ, ὅδε ὁ λόγος ἡμῖν παρετέθη. ἐπόμενον γὰρ ἦν φάσκειν ἡμᾶς τὸ ἐπιπληκτικὸν καὶ ψεκτικὸν εἶδος τῆς παιδαγωγίας ἁρμόδιον εἶναι τοῖς ἀνθρώποις, ἐπεὶ πάντας ἀνθρώπους φαύλους λέγουσι· σοφὸς δὲ ὁ θεὸς μόνος, ἀφ' οὗ ἡ σοφία, καὶ τέλειος μόνος, διὰ τοῦτο καὶ μόνος ἐπαινετός.

§. 94. Ἀλλὰ οὐ συγχωροῦμαι τῷ λόγῳ τῷδε. φημὶ δ' οὖν ἔπαινον ἢ ψόγον ἢ ἐπαίνῳ τι ἐοικὸς καὶ ψόγῳ μάλιστα πάντων τοῖς ἀνθρώποις ἀναγκαιότατα φάρμακα. οἱ μὲν οὖν δυσίατοι, καθάπερ ὁ σίδηρος πρὸς τοῦ πυρὸς καὶ σφύρας καὶ ἄκμονος, τουτέστιν ἀπειλῆς, ἐλέγχου, ἐπιτιμήσεως, ἐλαύνονται, οἱ δὲ αὐτοὶ προσέχοντες τῇ πίστει οἷον αὐτοδίδακτοι καὶ προαιρετικοὶ αὔξονται τῷ ἐπαίνῳ· P. 154

ἀρετὰ γὰρ ἐπαινεομένα Pott.
δένδρον ὡς ἀέξεται.

καί μοι δοκεῖ, συνεὶς τοῦτο ὁ Σάμιος παραγγέλλει Πυθαγόρας·

δειλὰ μὲν ἐκπρῆξας ἐπιπλήσσεο, χρηστὰ δὲ τέρπου.

τὸ δὲ ἐπιπλήσσειν καὶ νουθετεῖν καλεῖται, τὸ δὲ ἐτυμολογεῖται, ἡ νουθέτησις, νοῦ ἐνθεματισμὸς, ὡς εἶναι τὸ ἐπιπληκτικὸν εἶδος νοῦ περιποιητικόν. ἀλλὰ γὰρ

*) Ierem. 6, 16. **) Deut. 30, 6.

μυρίαι ὅσαι προσεξεύρηνται παραγγελίαι εἰς κτῆσιν ἀγαθῶν καὶ φυγὴν κακῶν· „τοῖς γὰρ ἀσεβέσιν οὐκ ἔστιν εἰρήνη, λέγει κύριος"*). διὰ τοῦτο φυλάττεσθαι τοῖς νηπίοις διὰ Σολομῶντος παραγγέλλει· „υἱέ, μὴ πλανήσωσί σε οἱ ἁμαρτωλοὶ μηδὲ πορευθῇς μετ' αὐτῶν ὁδοὺς μηδὲ πορευθῇς, ἐὰν παρακαλέσωσί σε λέγοντες· ἐλθὲ μεθ' ἡμῶν, κοινώνησον αἵματος ἀθῴου, P. 58 κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως, ἅφα- Sylb. νίσωμεν αὐτὸν, ὥσπερ Ἅιδης ζῶντα"**).

§. 95. Τοῦτο μὲν οὖν καὶ περὶ τοῦ κυριακοῦ προφητεύεται πάθους, ὑποτίθεται δὲ καὶ διὰ Ἰεζεκιὴλ ἡ ζωὴ τὰς ἐντολάς· „ἡ ψυχὴ ἡ ἁμαρτάνουσα ἀποθανεῖται, ὁ δὲ ἄνθρωπος ἔσται δίκαιος, ὃ ποιῶν τὴν δικαιοσύνην, οὐκ ἐπὶ τῶν ὀρέων φάγεται, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἔθετο***) ἐπὶ τὰ ἐνθυμήματα οἴκου Ἰσραὴλ, καὶ τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ οὐ μὴ μιάνῃ, καὶ πρὸς γυναῖκα ἐν ἀφέδρῳ οὖσαν οὐκ ἐγγιεῖ, καὶ ἄνθρωπον οὐ καταδυναστεύσει, καὶ ἐνεχυρασμὸν ὀφείλοντος ἀποδώσει καὶ ἅρπαγμα οὐχ ἁρπάσει, τὸν ἄρτον αὐτοῦ τῷ πεινῶντι δώσει καὶ γυμνὸν περιβαλεῖ, τὸ ἀργύριον αὐτοῦ ἐπὶ τόκῳ οὐ δώσει καὶ πλεόνασμα οὐ λήψεται, καὶ ἐξ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐτοῦ, καὶ κρίμα δίκαιον ποιήσει ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον τοῦ πλησίον αὐτοῦ, ἐν τοῖς προστάγμασί μου πεπόρευται καὶ τὰ δικαιώματά μου πεφύλακται τοῦ ποιῆσαι αὐτά. δίκαιος οὗτός ἐστι, ζωῇ ζήσεται, λέγει κύριος"†). ταῦτα ὑποτύπωσιν Χριστιανῶν περιέχει πολιτείας καὶ προτροπὴν ἀξιόλογον εἰς μακάριον γέρας εὐζωΐας, ζωὴν αἰώνιον.

---

*) Ies. 48, 22. 57, 21. **) Prouerb. 1, 10 — 12.
***) Cf. Ezech. 18, 15. †) Ibid. 4—9.

Cap. XI.

Ὅτι διὰ νόμου καὶ προφητῶν ὁ λόγος ἐπαιδαγώγει.

§. 96. *Ὁ μὲν δὴ τρόπος τῆς φιλανθρωπίας αὐτοῦ καὶ παιδαγωγίας ὡς ἐνῆν ἡμῖν ὑποδέδεικται. διόπερ παγκάλως αὐτὸς αὑτὸν ἐξηγούμενος „κόκκῳ νάπυος"**) εἴκασεν· καὶ τοῦ σπειρομένου λόγου τὸ πνευματικὸν καὶ τὸ πολύχουν τῆς φύσεως καὶ τὸ μεγαλοπρεπὲς ἅμα καὶ εὐαγὲς τῆς δυνάμεως τῆς λογικῆς, πρὸς δὲ καὶ τῆς ἐπιτιμήσεως τὸ δηκτικὸν καὶ τὸ ἀναθαρτικὸν ὄνησιφόρον εἶναι ὑπὸ δριμύτητος αἰνιττόμενος. διὰ ὀλίγου γοῦν τοῦ κόκκου τοῦ ἀλληγορουμένου πάμπολυ τὴν σωτηρίαν ἅπάσῃ χαρίζεται τῇ ἀνθρωπότητι. τὸ μὲν οὖν μέλι γλυκύτατον ὂν χολῆς ἐστι γεννητικόν, ὡς τὸ ἀγαθὸν καταφρονήσεως, ὃ δὴ αἴτιον τοῦ ἐξαμαρτάνειν, τὸ δὲ νάπυ καὶ τῆς χολῆς ἐστὶ μειωτικόν, τουτέστι τοῦ θυμοῦ, καὶ τοῦ φλέγματος διακοπτικόν, τουτέστι τοῦ τύφου, ἐξ οὗ λόγου ἡ ἀληθὴς τῆς ψυχῆς ὑγεία καὶ ἡ ἀϊδιος εὐκρασία περιγίνεται. πάλαι μὲν οὖν διὰ Μωϋσέως ὁ λόγος ἐπαιδαγώγει, ἔπειτα δὲ καὶ διὰ προφητῶν, προφήτης δὲ καὶ ὁ Μωϋσῆς· ὁ γὰρ νόμος παιδαγωγία παίδων ἐστὶ δυσηνίων. „χορτασθέντες γοῦν", φησίν, „ἀνέστησαν παίζειν"**), τὸ ἄλογον τῆς τροφῆς πλήρωμα χόρτασμα, οὐ βρῶμα εἰπών.

§. 97. *Ἐπεὶ δὲ ἀλόγως κορεσθέντες ἀλόγως ἔπαιζον, διὰ τοῦτο αὐτοῖς καὶ ὁ νόμος καὶ ὁ φόβος εἵπετο εἰς ἀνακοπὴν ἁμαρτημάτων καὶ προτροπὴν κατορθωμάτων, καταρτίζων εὐηκοΐαν εἰς τοὺς τοῦ ἀληθοῦς παιδαγωγοῦ, τὴν εὐπείθειαν, εἷς καὶ ὁ αὐτὸς ὢν λόγος πρὸς τὸ κατεπείγον ἁρμοττόμενος, τὸν νόμον· „δοθῆναι" γάρ φησιν ὁ Παῦλος „παιδαγωγὸν εἰς Χριστόν"****). ὡς ἐκ τούτου συμφανὲς εἶναι

---

*) Matth. 13, 31. Luc. 13, 9. **) Exod. 32, 6. 1 Cor. 10, 7. ***) Galat. 3, 24.

ἕνα μόνον ἀληθινὸν, ἀγαθὸν, δίκαιον, κατ' εἰκόνα καὶ ὁμοίωσιν τοῦ πατρὸς υἱὸν Ἰησοῦν, τὸν λόγον τοῦ θεοῦ, παιδαγωγὸν ἡμῶν εἶναι, ᾧ παρέδωκεν ἡμᾶς ὁ θεὸς, ὡς πατὴρ φιλόστοργος γνησίῳ παιδαγωγῷ παρακατατιθέμενος τὰ παιδία, διαρρήδην παραγγείλας ἡμῖν· „οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητὸς, αὐτοῦ ἀκούετε" *). ἀξιόπιστος ὁ θεῖος παιδαγωγὸς τρισὶ τοῖς καλλίστοις κεκοσμημένος, ἐπιστήμῃ, εὐνοίᾳ, παρρησίᾳ. ἐπιστήμῃ μὲν ὅτι σοφία ἐστὶ πατρική — πᾶσα σοφία παρὰ κυρίου καὶ μετ' αὐτοῦ ἐστὶν εἰς τὸν αἰῶνα — **), παρρησίᾳ δὲ ὅτι θεὸς καὶ δημιουργός — „πάντα γὰρ δι' αὐτοῦ ἐγένετο καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν" — ***), εὐνοίᾳ δὲ ὅτι μόνος ὑπὲρ ἡμῶν ἱερεῖον ἑαυτὸν ἐπιδέδωκεν· „ὃ γὰρ ἀγαθὸς ποιμὴν τὴν ψυχὴν ἑαυτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων" †) καὶ δὴ ἔθηκεν. εὔνοια δὲ οὐδὲν ἄλλ' ἢ βούλησίς ἐστιν ἀγαθοῦ τοῦ πλησίον αὐτοῦ χάριν ἐκείνου.

P. 156 Pott.

Cap. XII.

Ὅτι ἀναλόγως τῇ πατρικῇ διαθέσει κέχρηται ὁ παιδαγωγὸς αὐστηρίᾳ καὶ χρηστότητι.

§. 98. Τούτων ἤδη προδιηνυσμένων ἑπόμενον ἂν εἴη τὸν παιδαγωγὸν ἡμῶν Ἰησοῦν τὸν βίον ἡμῖν τὸν ἀληθινὸν ὑποτυπώσασθαι καὶ τὸν ἐν Χριστῷ παιδαγωγῆσαι ἄνθρωπον. ἔστι δὲ ὁ χαρακτηρισμὸς οὐ φοβερὸς ἄγαν αὐτοῦ οὐδὲ ἔκλυτος κομιδῇ ὑπὸ χρηστότητος. ἐντέλλεται δὲ ἅμα καὶ χαρακτηρίζεται τὰς ἐντολὰς, αὐτὰς ἐκτελεῖν δύνασθαι. καί μοι δοκεῖ αὐτὸς οὗτος πλάσαι μὲν τὸν ἄνθρωπον ἐκ χοὸς, ἀναγεννῆσαι δὲ ὕδατι, αὐξῆσαι δὲ πνεύματι, παιδαγω-

*) Matth. 17, 5. **) Cf. Proverb. 2, 6. ***) Ioann. 1, 3. †) Ibid. 10, 11.

γῆσαι δὲ ῥήματι εἰς υἱοθεσίαν καὶ σωτηρίαν ἁγίαις ἐντολαῖς κατευθύνων, ἵνα δὴ τὸν γηγενῆ εἰς ἄγιον καὶ ἐπουράνιον μεταπλάσας ἐκ προσβάσεως ἄνθρωπον, ἐκείνην τὴν θεϊκὴν μάλιστα πληρώσῃ φωνήν· „ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν ἡμῶν" *). καὶ δὴ γέγονεν ὁ Χριστὸς τοῦτο πλήρες, ὅπερ εἴρηκεν ὁ Θεὸς, ὁ δὲ ἄλλος ἄνθρωπος κα-
P. 59 τὰ μόνην νοεῖται τὴν εἰκόνα. ἡμεῖς δὲ, ὦ παῖ-
Sylb. δες ἀγαθοῦ πατρὸς, ἀγαθοῦ παιδαγωγοῦ θρέμμα-
10τα, πληρώσωμεν τὸ θέλημα τοῦ πατρὸς, ἀκούωμεν τοῦ λόγου καὶ τὸν σωτήριον ὄντως ἀναμαξώμεθα τοῦ σωτῆρος ἡμῶν βίον· ἐνθένδε ἤδη τὴν ἐπουράνιον μελετῶντες πολιτείαν, καθ᾽ ἣν ἐκθεούμενοι τὸ P. 157
ἀειθαλὲς εὐφροσύνης ἀκήρατον εὐωδίας ἐπαλειφώ- Pott.
15μεθα χρίσμα, ἐναργὲς ὑπόδειγμα ἀφθαρσίας τὴν πολιτείαν ἔχοντες τοῦ κυρίου καὶ τὰ ἴχνη τοῦ θεοῦ διώκοντες, ᾧ μόνῳ προσήκει σκοπεῖν καὶ δὴ μέλει πῶς καὶ τίνα τρόπον ὑγιεινότερος ἂν ὁ τῶν ἀνθρώπων βίος γένοιτο. ἀλλὰ καὶ πρὸς αὐτάρκειαν τοῦ βίου
20καὶ ἀπεριττότητα, ἔτι τε εὔζωνόν τε καὶ εὔλυτον ὁδοιπορικὴν ἑτοιμότητα, εἰς ἀϊδιότητα εὐζωΐας παρασκευάζει, αὐτὸν αὑτοῦ ἕκαστον ἡμῶν ταμιεῖον εἶναι διδάσκων· „μὴ γὰρ μεριμνᾶτε", φησὶ, „περὶ τῆς αὔριον" **), χρῆναι λέγων τὸν ἀπογεγραμμένον Χρι-
25στῷ αὐτάρκη καὶ αὐτοδιάκονον καὶ προσέτι ἐφήμερον ἐπαναιρεῖσθαι βίον. οὐ γὰρ ἐν πολέμῳ, ἀλλ᾽ ἐν εἰρήνῃ παιδαγωγούμεθα.

§. 99. Πολέμῳ μὲν οὖν πολλῆς δεῖ τῆς παρασκευῆς, δαψιλείας τε χρῆζει ἡ τρυφὴ, εἰρήνη δὲ καὶ
30ἀγάπη ἀφελεῖς καὶ ἀπράγμονες ἀδελφαὶ οὐχ ὅπλων δέονται, οὐ παρασκευῆς ἀσώτου, λόγος ἐστὶν αὐταῖς ἡ τροφή. ὁ δὲ τὴν ἐνδεικτικὴν καὶ παιδευτικὴν ἡγεμονίαν κεκληρωμένος λόγος, παρ᾽ οὗ τὸ εὐτελές τε καὶ ἄτυφον καὶ τὸ ὅλον φιλελεύθερον καὶ φιλάνθρω-

*) Genes. 1, 26. **) Matth. 6, 34.

πον φιλόκαλόν τε ἐκμανθάνομεν, τοῦτον, εἰ καὶ ἑνὶ λόγῳ μετ' οἰκειότητος ἀρετῆς ἐξομοιούμενοι τῷ θεῷ, οὐκ εἰς ἐκμέλειαν καὶ ῥᾳθυμίαν μεταχωρεῖν δεῖ, ἀλλ' ἐκπόνει καὶ μὴ ἀπόκαμνε· ἔσῃ γὰρ οἷος οὐκ ἐλπίζεις οὐδ' εἰκάσαι δύναιο ἄν. ὡς δὲ ἔστι τις ἄλλη μὲν φιλοσόφων ἀγωγὴ, ἄλλη δὲ ῥητόρων, παλαιστῶν δὲ ἄλλη, οὕτως ἐστὶ γενναία διάθεσις φιλοκάλῳ προαιρέσει κατάλληλος ἐκ τῆς Χριστοῦ παιδαγωγίας περιγενομένη, καὶ τὰ τῆς ἐνεργείας πεπαιδευμέναι σεμναὶ διαπρέπουσι, πορεία τε καὶ κατάκλισις καὶ τροφὴ καὶ ὕπνος καὶ κοίτη καὶ δίαιτα καὶ ἡ λοιπὴ παιδεία· οὐ γὰρ ὑπέρτονος ἡ τοιάδε ἀγωγὴ τοῦ λόγου, ἀλλ' εὔτονος.

§. 100. Ταύτῃ οὖν καὶ σωτὴρ ὁ λόγος κέκληται, ὁ τὰ λογικὰ ταῦτα ἐξευρὼν ἀνθρώποις εἰς εὐαισθησίαν καὶ σωτηρίαν φάρμακα, ἐπιτηρῶν μὲν τὴν εὐκαιρίαν, ἐλέγχων δὲ τὴν βλάβην καὶ τὰς αἰτίας τῶν παθῶν διηγούμενος καὶ τὰς ῥίζας τῶν ἀλόγων ἐπικόπτων ἐπιθυμιῶν, παραγγέλλων μὲν ὧν ἀπέχεσθαι δεῖ, τὰς ἀντιδότους δὲ ἁπάσας τῆς σωτη- P. 158
ρίας τοῖς νοσοῦσι προσφέρων· τοῦτο γὰρ τὸ μέγιστον Pott.
καὶ βασιλικώτατον ἔργον τοῦ θεοῦ σώζειν τὴν ἀνθρωπότητα. τῷ μὲν οὖν ἰατρῷ οὐδὲ πρὸς ὑγείαν συμβουλεύοντι ἄχθονται οἱ κάμνοντες, τῷ δὲ παιδαγῷ τῷ θείῳ πῶς οὐκ ἂν ὁμολογήσαιμεν τὴν μεγίστην χάριν μὴ σιωπῶντι μηδὲ παρενθυμουμένῳ τὰς εἰς ἀπώλειαν φερούσας ἀπειλὰς, ἀλλὰ καὶ ταύτας διελέγχοντι καὶ τὰς ὁρμὰς τὰς εἰς αὐτὰς διατεινούσας ἀνακόπτοντι καὶ τὰς καθηκούσας πρὸς τὴν ὀρθὴν πολιτείαν ὑπρθημοσύνας ἐκδιδάσκοντι; πλείστην ἄρα ὁμολογητέον χάριν αὐτῷ. τὸ γάρτοι ζῶον τὸ λογικὸν, τὸν ἄνθρωπον λέγω, ἄλλο τι φαμὲν ἢ θεάσασθαι τὸ θεῖον δεῖν; θεάσασθαι δὲ καὶ τὴν ἀνθρωπίνην φύσιν φημὶ χρῆναι, ζῆν τε ὡς ὑφηγεῖται ἡ ἀλήθεια, ἀγαμένους ὑπερφυῶς τόν τε παιδαγωγὸν αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ, ὡς πρέποντα ἀλλήλοις ἐστὶ καὶ ἁρμόττοντα, καθ' ἣν εἰκόνα καὶ ἡμᾶς ἁρμοσαμένους χρὴ σῴζειν

αὐτοὺς πρὸς τὸν παιδαγωγὸν σύμφωνον τὸν λόγον ποιησαμένους τοῖς ἔργοις τῷ ὄντι ζῆν.

Cap. XIII.

Ὅτι ὡς τὸ κατόρθωμα κατὰ τὸν ὀρθὸν γίνεται λόγον, οὕτως ἔμπαλιν τὸ ἁμάρτημα παρὰ τὸν λόγον.

§. 101. Πᾶν τὸ παρὰ τὸν λόγον τὸν ὀρθὸν τοῦτο ἁμάρτημά ἐστιν. αὐτίκα γοῦν τὰ πάθη τὰ γενικώτατα ὧδέ πως ὁρίζεσθαι ἀξιοῦσιν οἱ φιλόσοφοι, τὴν μὲν ἐπιθυμίαν ὄρεξιν ἀπειθῆ λόγῳ, τὸν δὲ φόβον ἔκλυσιν ἀπειθῆ λόγῳ, ἡδονὴν δὲ ἔπαρσιν ψυ- P. 159
χῆς ἀπειθῆ λόγῳ. εἰ τοίνυν ἡ πρὸς τὸν λόγον Pott.
ἀπείθεια ἁμαρτίας ἐστὶ γεννητική, πῶς οὐχὶ ἐξ ἀνάγκης ἡ τοῦ λόγου ὑπακοὴ, ἣν δὴ πίστιν φαμὲν, τοῦ καλουμένου καθήκοντος ἔσται περιποιητική; καὶ γὰρ ἡ ἀρετὴ αὐτὴ διάθεσίς ἐστι ψυχῆς σύμφωνος ὑπὸ τοῦ λόγου περὶ ὅλον τὸν βίον. ναὶ μὴν τὸ κορυφαιότατον αὐτὴν φιλοσοφίαν ἐπιτήδευσιν λόγου ὀρθότητος ἀποδιδόασιν. ὡς ἐξ ἀνάγκης εἶναι τὸ πλημμελούμενον πᾶν διὰ τὴν τοῦ λόγου διαμαρτίαν γινόμενον, καὶ εἰκότως καλεῖσθαι ἁμάρτημα. αὐτίκα γοῦν ὅτε ἥμαρτεν ὁ πρῶτος ἄνθρωπος καὶ παρήκουσε τοῦ θεοῦ· „καὶ παρωμοιώθη", φησὶ, „τοῖς κτήνεσιν ὁ ἄνθρωπος" *) παρὰ τὸν λόγον ἐξαμαρτών, εἰκότως ἄλογος νομισθεὶς εἰκάζεται κτήνεσιν.

§. 102. Ἐντεῦθέν καὶ ἡ σοφία λέγει· „ἵππος ἐλὶς ὀχείαν ὁ φιλήδονος καὶ μοιχὸς ἄλογίστῳ κτήνει παρομοιωθείς", διὸ καὶ ἐπιφέρει· „παντὸς ὑποκάτω ἐπικαθημένου χρεμετίζει ἡ **)· οὐκέτι, φησὶ, λαλεῖ ὁ ἄνθρωπος· οὐ γάρ ἐστι λογικὸς ἔτι ὁ παρὰ λόγον ἁμαρτάνων, θηρίον δὲ δὴ ἄλογον, ἕκδοτον ἐπιθυμίαις, ᾧ πᾶσαι ἐπικάθηνται ἡδοναί. τὸ δὲ κατορθούμενον κατὰ τὴν τοῦ λόγου ὑπακοὴν προσῆκον καὶ καθῆκον Στωϊκῶν ὀνομάζουσι παῖδες· τὸ μὲν οὖν κα-

*) Psalm. 49. 12, 20. **) Eccles. 33, 6.

P. 60 Sylb. Θῆκον προσῆκόν ἐστιν, ὑπακοὴ δὲ θεμελιοῦται ἐντολαῖς· αὗται δὲ ταῖς ὑποθήκαις αἱ αὐταὶ P. 160 Pott. οὖσαι τὴν ἀλήθειαν ἔχουσαι σκοπὸν, ἐπὶ τὸ ἔσχατον ὀρεκτὸν, ὃ τέλος νοεῖται, παιδαγωγοῦσι, τέλος δέ ἐστι θεοσεβείας ἡ ἀΐδιος ἀνάπαυσις ἐν τῷ θεῷ, τοῦ δὲ αἰῶνός ἐστιν ἀρχὴ τὸ ἡμέτερον τέλος. τὸ μέντοι τῆς θεοσεβείας κατόρθωμα δι' ἔργων τὸ καθῆκον ἐκτελεῖ· ὅθεν εἰκότως τὰ καθήκοντα περὶ τὰς πράξεις, οὐ τὰς λέξεις, συνίστανται· καὶ ἔστιν ἡ μὲν πρᾶξις ἡ τοῦ Χριστιανοῦ ψυχῆς ἐνέργεια λογικῆς κατὰ κρίσιν ἀστείαν καὶ ὄρεξιν ἀληθείας διὰ τοῦ συμφυοῦς καὶ συναγωνιστοῦ σώματος ἐκτελουμένη, καθῆκον δὲ ἀκόλουθον ἐν τῷ βίῳ, θεῷ καὶ Χριστῷ βούλημα ἔν, κατορθούμενον ἀϊδίῳ ζωῇ, καὶ γὰρ ὁ βίος ὁ Χριστιανῶν, ὃν παιδαγωγούμεθα νῦν, σύστημά τί ἐστι λογικῶν πράξεων, τουτέστι τῶν ὑπὸ τοῦ λόγου διδασκομένων ἀδιάπτωτος ἐνέργεια, ἣν δὴ πίστιν κεκλήκαμεν.

§. 103. Τὸ δὲ σύστημα ἐντολαὶ κυριακαὶ, αἳ δὴ δόξαι οὖσαι θεῖαι ὑποθῆκαι πνευματικαὶ ἡμῖν αὐτοῖς ἀναγεγράφαται πρός τε ἡμᾶς αὐτοὺς καὶ πρὸς τοὺς πέλας εὔθετοι, καὶ δὴ καὶ αὖται αὖθις πρὸς ἡμᾶς ἀνταναστρέφουσι, καθάπερ πρὸς τὸν βάλλοντα ἡ σφαῖρα, διὰ τὴν ἀντιτυπίαν παλινδρομοῦσα, ὅθεν καὶ ἔστιν ἀναγκαῖα τὰ καθήκοντα εἰς παιδαγωγίαν θεϊκὴν, ὡς ὑπὸ θεοῦ παρηγγελμένα καὶ εἰς σωτηρίαν πεπορισμένα. καὶ ἐπεὶ τῶν ἀναγκαίων τὰ μὲν πρὸς τὸ ζῆν ἐστὶ τὸ ἐνταῦθα μόνον, τὰ δὲ ἔνθεν πρὸς τὸ εὖ ζῆν ἐκεῖσε ἀναπτεροῖ, ἀναλόγως καὶ τῶν καθηκόντων τὰ μὲν πρὸς τὸ ζῆν, τὰ δὲ πρὸς τὸ εὖ ζῆν διατάττεται. ὅσα μὲν οὖν πρὸς τὸ ἐθνικὸν ζῆν παραγγέλλεται, ταῦτα καὶ παρὰ τοῖς πολλοῖς δεδήμευται, ἃ δὲ πρὸς τὸ εὖ ζῆν ἁρμόττει, ἐξ ὧν τὸ ἀΐδιον ἐκεῖνο περιγίνεται ζῆν, ταῦτα δὲ ἐν ὑπογραφῆς μέρει ἐξ αὐτῶν ἀναλεγομένοις τῶν γραφῶν ἐξέστω σκοπεῖν.

Κλήμεντος παιδαγωγοῦ τῶν εἰς τρία τὸ πρῶτον.

CLEMENTIS ALEXANDRINI PAEDAGOGI LIBER SECUNDUS.

Argumentum.

Cap. I. Quomodo circa alimenta versari oporteat (§. 1—18.). C. II. Quomodo in potu se gerere oporteat (§. 19—34.). C. III. In sumptuosam vasorum supellectilem non esse studium conferendum (§. 35—39.). C. IV. Quomodo in conuiuiis se recreare oporteat (§. 40—44.). C. V. De risu (§. 45—48.). C. VI. De turpiloquio (§. 49—52.). C. VII. Quaenam obseruare oporteat eos, qui honeste simul viuunt (§. 53—60.). C. VIII. Num vnguentis et coronis vtendum sit (§. 61—76.). C. IX. Quomodo se in somno gerere oporteat (§. 77—82.). C. X. Quaenam de procreatione liberorum tractanda sint (§. 83—115.). C. XI. De calceamentis (§. 116. 117.). C. XII. Non oportere gemmas et aureum ornatum stupere et admirari (§. 118—129.).

Cap. I.

Πῶς περὶ τὰς τροφὰς ἀναστρεπτέον.

§. 1. *Ἐχυμένοις τοίνυν τοῦ σκοποῦ καὶ τὰς γραφὰς πρὸς τὸ βιωφελὲς τῆς παιδαγωγίας ἐκλεγομένοις, ὁποῖόν τινα εἶναι χρὴ παρ' ὅλον τὸν βίον τὸν Χριστιανὸν καλούμενον, κεφαλαιωδῶς ὑπογραπτέον. ἀρκτέον οὖν ἡμῖν ἀφ' ἡμῶν αὐτῶν καὶ ὅπως ἁρμόττειν γε χρή. στοχαζομένοις τοίνυν τῆς συμμετρίας τοῦ συντάγματος, ὁποῖόν τινα τῷ ἑαυτοῦ σώματι ἕκαστον ἡμῶν προσφέρεσθαι, μᾶλλον δὲ ὅπως*

αὐτὸ κατευθύνειν χρή, λεκτέον· ὁπόταν γάρ τις ἀπὸ τῶν ἐκτὸς καὶ αὐτῆς ἔτι τῆς τοῦ σώματος ἀγωγῆς ἐπὶ τὴν διάνοιαν ἀναχθεὶς ὑπὸ τοῦ λόγου τὴν θεωρίαν τῶν κατὰ τὸν ἄνθρωπον συμβαινόντων κατὰ φύσιν ἀκριβῶς ἐκμάθῃ, εἴσεται μὴ σπουδάζειν μὲν περὶ τὰ ἐκτὸς, τὸ δὲ ἴδιον τοῦ ἀνθρώπου τὸ ὄμμα τῆς ψυχῆς ἐκκαθαίρειν, ἁγνίζειν δὲ καὶ τὴν σάρκα αὐτῆς. ὁ γὰρ ἐκείνων καθαρῶς ἀπολυθεὶς, δι' ὧν ἔτι χοῦς ἐστι, τί ἂν ἄλλο προὐργιαίτερον ἑαυτοῦ ἔχοι πρὸς τὸ ὁδῷ ἐλθεῖν ἐπὶ τὴν κατάληψιν τοῦ θεοῦ; οἱ μὲν δὴ ἄλλοι ἄνθρωποι ζῶσιν, ἵνα ἐσθίωσιν, ὥσπερ ἀμέλει καὶ τὰ ἄλογα ζῶα, οἷς οὐδὲν ἀλλ' ἢ γαστήρ ἐστιν ὁ βίος, ἡμῖν δὲ ὁ παιδαγωγὸς ἐσθίειν παραγγέλλει, ἵνα ζῶμεν. οὔτε γὰρ ἔργον ἡμῖν ἡ τροφὴ οὔτε σκοπὸς ἡδονὴ, ὑπὲρ δὲ τῆς ἐνταῦθα διαμονῆς, ἣν ὁ λόγος εἰς ἀφθαρσίαν παιδαγωγεῖ. P. 163 Pott.

§. 2. Διὸ καὶ ἐκκρίνεται ἡ τροφή. ἁπλῆ δὲ αὕτη καὶ ἀπερίεργος ἡ ἀληθεια καταλλήλως ἁπλοῖς καὶ ἀπεριέργοις ἁρμόζουσα παιδίοις, ὡσὰν εἰς τὸ ζῆν, οὐκ εἰς τρυφὴν ἐπιτήδειος· τὸ δὲ ἐκ δυεῖν τὸ ζῆν τοῦτο ὑγείας τε καὶ ἰσχύος σύγκειται, οἷς μάλιστα κατάλληλον τῆς τροφῆς τὸ εὔκολον, εἴς τε τὰς ἀναδόσεις καὶ τὴν τοῦ σώματος κουφότητα χρησιμεῦον, ἐξ ὧν αὔξησίς τε καὶ ὑγεία καὶ ἰσχὺς δικαία, οὐχὶ δὲ ἄδικος ἡ σφαλερὰ ἢ ἀθλία ὡς ἡ τῶν ἀθλητῶν ἐξ ἀναγκοφαγίας περιγίνεται. αἱ μὲν οὖν πολυειδεῖς ποιότητες ἀποπτυστέαι, ποικίλας ἐντίκτουσαι βλάβας, καχεξίας σωμάτων, ἀνατροπὰς στομάχων, ἐκπορνευούσης τῆς γεύσεως διά τινος κακοδαίμονος τέχνης τῆς ὀψαρτυτικῆς καὶ τῆς ἀμφὶ τὰ πέμματα ματαιοτεχνίας. τροφὴν γὰρ τολμῶσι καλεῖν τὴν ἐν τρυφαῖς ἐπιτήδευσιν εἰς ἡδονὰς ἐπιβλαβεῖς ὀλισθαίνουσαν. Ἀντιφάνης δὲ ὁ Ἄθηλιος ἰατρὸς καὶ μίαν τῶν νόσων αἰτίαν ταύτην εἴρηκεν. τῶν ἐδεσμάτων τὴν πολυειδίαν, τῶν περὶ τὴν ἀλήθειαν δυσαρεστούντων κενοδοξίᾳ ποικίλῃ τὸ σῶφρον τῆς διαίτης ἐξομνυμέ-

νων καὶ τὰς διαποντίους πολυπραγμονούντων ἐδωδάς.

§. 3. Καμοὶ μὲν ἔλεος ὕπεισι τῆς νόσου, οἱ δὲ ἐξυμνεῖν οὐκ αἰσχύνονται τὰς σφετέρας ἡδυπαθείας τὰς ἐν τῷ πορθμῷ τῷ Σικελικῷ σμυραίνας πολυπραγμονοῦντες καὶ τὰς ἐγχέλεις τὰς Μαιανδρείους καὶ τὰς ἐν Μήλῳ ἐριφους καὶ τοὺς ἐν Σκιάθῳ κεστρεῖς καὶ τὰς Πελωρίδας κόγχας καὶ τὰ ὄστρεια τὰ Ἀβυδηνά, οὐ παραλείποντες δὲ τὰς ἐν Λιπάρᾳ μαινίδας οὐδὲ τὴν γογγύλην τὴν Μαντινικὴν, ἀλλὰ οὐδὲ τὰ παρὰ τοῖς Ἀσκραίοις τεῦτλα, κτένας τε ἐκζητοῦσι Μηθυμναίους καὶ ψήττας Ἀττικὰς καὶ τὰς Λαφνίους κίχλας Χελιδονίους τε ἰσχάδας, δι' ἃς εἰς Ἑλλάδα πεντακοσίαις ἅμα μυριάσιν ὁ κακοδαίμων ἐστείλατο Πέρσης. ὄρνεις ἐπὶ τούτοις συνωνοῦνται τοὺς ἀπὸ Φάσιδος, ἀτταγὰς Αἰγυπτίας, Μῆδον ταῶνα. ταῦτα τοῖς ἡδύσμασιν ἐξαλλάσσοντες οἱ γαστρίμαργοι τοῖς ὄψοις ἐπικεχήνασιν, ὅσα τε χθὼν πόντου τε βένθη καὶ ἀέρος ἀμέτρητον εὖρος ἐκτρέφει, τῇ αὐτῶν ἐκποριζόμενοι λαιμαργίᾳ· σαγηνεύειν ἀτεχνῶς οἱ πλεονέκται καὶ πολυπράγμονες οὗτοι ἐοίκασιν εἰς ἡδυπάθειαν τὸν κόσμον, ταγήνοις σίζουσι περιηχούμενοι, ἀμφὶ τὴν ἴγδην καὶ τὸν ἁλετρίβανον τὸν πάντα αὐτῶν κατατρίβοντες βίον οἱ παμφάγοι, καθάπερ τὸ πῦρ τῆς ὕλης ἐξεχόμενοι. ἀλλὰ καὶ τὴν εὔκολον βρῶσιν τὸν ἄρτον ἐκθηλύνουσιν ἀποσήθοντες τοῦ πυροῦ τὸ τρόφιμον, ὡς τὸ ἀναγκαῖον τῆς τροφῆς ὄνειδος γίνεσθαι ἡδονῆς. P. 164 Pott. P. 165 Pott.

§. 4. Οὐκ ἔχει δὲ ὅρον παρὰ τοῖς ἀνθρώποις ἡ λιχνεία. καὶ γὰρ εἰς τὰ πέμματα καὶ τὰ μελίπηκτα, πρὸς δὲ καὶ εἰς τὰ τραγήματα ἐξώκειλεν ἐπιδορπισμάτων πλῆθος εὑρίσκουσα, παντοδαπὰς θηρωμένη ποιότητας. καί μοι δοκεῖ, ὁ τοιοῦτος ἄνθρωπος οὐδὲν ἀλλ' ἢ γνάθος εἶναι· „μηδὲ ἐπιθύμει", φησὶν ἡ γραφὴ, „τῶν ἐδεσμάτων τῶν πλουσίων"*).

*) Proverb. 23, 3.

ταῦτα γὰρ ἔχεται βίου ψευδοῦς τε καὶ αἰσχροῦ· οἱ μὲν γὰρ ἐξέχονται τῶν ὄψων, ἃ μετ' ὀλίγον ἐκδέχεται κοπρών, ἡμῖν δὲ τοῖς θηρωμένοις τὴν βρῶσιν τὴν ἐπουράνιον ἄρχειν ἀνάγκη τῆς ὑπὸ τὸν οὐρανὸν γαστρὸς, ἔτι τε μᾶλλον καὶ τῶν ταύτῃ προσφιλῶν, ἃ ὁ Θεὸς καταργήσει, φησὶν ὁ ἀπόστολος*), εἰκότως ἐπικαταρώμενος λαιμάργοις ἐπιθυμίαις, τὰ γὰρ βρώματα τῇ κοιλίᾳ, ἐξ ὧν ὁ σαρκικὸς ὄντως οὗτοσὶ καὶ φθοροποιὸς ἀπήρτηται βίος, ὃν ἀγάπην τινὲς τολμῶσι καλεῖν ἀθύρῳ γλώττῃ κεχρημένοι, δειπνάριά τινα κνίσης καὶ ζωμῶν ἀποπνέοντα, τὸ καλὸν καὶ σωτήριον ἔργον τοῦ λόγου, τὴν ἀγάπην τὴν ἡγιασμένην, κυθριδίοις καὶ ζωμοῦ ῥύσει καθυβρίζοντες, ποτῷ τε καὶ τρυφῇ καὶ καπνῷ βλασφημοῦντες τοὔνομα σφάλλονται τῆς ὑπολήψεως, τὴν ἐπαγγελίαν τοῦ Θεοῦ δειπναρίοις ἐξωνεῖσθαι προσδοκήσαντες. τὰς μὲν γὰρ ἐπὶ τῆς εὐφροσύνης συναγωγὰς ἐγκαταλεγόμενοι καὶ αὐτοὶ δειπνάριά τε καὶ ἄριστα καὶ δοχὰς εἰκότως ἂν καλοῖμεν τὴν συνήλυσιν ταύτην ἑπόμενοι λόγῳ, τὰς τοιαύτας δὲ ἑστιάσεις ὁ κύριος ἀγάπας οὐ κέκληκεν. λέγει γοῦν πὴ μὲν „ὅταν κληθῇς εἰς γάμους, μὴ κατάκεισο εἰς τὴν πρωτοκλισίαν, ἀλλ' ὅταν κληθῇς, εἰς τὸν ἔσχατον τόπον ἀνάπιπτε"**), πὴ δὲ „ὅταν ποιῇς ἄριστον ἢ δεῖπνον" καὶ πάλιν „ἀλλ' ὅταν ποιῇς δοχὴν, κάλει τοὺς πτωχούς"***), ἐφ' ᾧ μάλιστα δεῖπνον ποιητέον. ἔτι τε „ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα καὶ ἐκάλεσε πολλούς" †). P. 16

§. 5. Ἀλλ' αἰσθάνομαι ὅθεν ἡ εὐπρόσωπος Pot ἐρρύη τῶν δείπνων προσηγορία,
ἀπὸ τῶν φαρύγων καὶ φοιτητῆς μανίας ἐπὶ δείπνων κατὰ τὸν κωμικόν. ἔστι γὰρ ὡς ἀληθῶς
τὰ πολλὰ τοῖς πολλοῖσι τοῦ δείπνου χάριν.
οὐ γάρ που μεμαθήκασι τὸν Θεὸν παρασκευάσαι τῷ δημιουργήματι, τῷ ἀνθρώπῳ λέγω, σῖτα καὶ

*) 1 Cor. 6, 23. **) Luc. 14, 8. 10. ***) Ibid. v. 12. 13. †) Ibid. v. 16.

ποτὰ τοῦ σώζεσθαι χάριν, οὐχὶ δὲ τοῦ ἥδεσθαι, ἐπεὶ μηδὲ ὠφελεῖσθαι πέφυκε τὰ σώματα ἐκ τῆς πολυτελείας τῶν βρωμάτων· πᾶν γὰρ τοὐναντίον οἱ ταῖς εὐτελεστάταις χρώμενοι τροφαῖς ἰσχυρότατοί εἰσι καὶ ὑγιεινότατοι καὶ γενναιότατοι, ὡς οἰκέται δεσποτῶν καὶ γεωργοὶ κτητόρων· καὶ οὐ μόνον ῥωμαλεώτεροι, ἀλλὰ καὶ φρονιμώτεροι, ὡς φιλόσοφοι πλουσίων· οὐ γὰρ ἐπέχωσαν τὸν νοῦν ταῖς τροφαῖς οὐδὲ ἠπάτησαν αὐτὸν ἡδοναῖς. ἀγάπη δὲ τῷ ὄντι ἐπουράνιός ἐστι τροφὴ, ἑστίασις λογικὴ, „πάντα στέγει, πάντα ὑπομένει, πάντα ἐλπίζει, ἡ ἀγάπη οὐδέποτε ἐκπίπτει" *), „μακάριος ὃς φάγεται ἄριστον ἐν τῇ βασιλείᾳ τοῦ θεοῦ" **), χαλεπώτατον δὲ πάντων πτωμάτων τὴν ἄπτωτον ἀγάπην ἄνωθεν ἐξ οὐρανῶν ἐπὶ τοὺς ζωμοὺς ῥίπτεσθαι χαμαί. καὶ οἴει με δεῖπνον ἡγεῖσθαι τὸ καταργούμενον; „ἐὰν γὰρ", φησὶ, „διαδῶ τὰ ὑπάρχοντά μου, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι" ***).

§. 6. Ταύτης ὅλης ἀπήρτηται τῆς ἀγάπης ὁ νόμος καὶ ὁ λόγος, κἂν ἀγαπήσῃς κύριον τὸν θεόν σου καὶ τὸν πλησίον σοὺ ἐν οὐρανοῖς ἐστὶν αὕτη ἡ ἐπουράνιος εὐωχία, ἡ δὲ ἐπίγειος δεῖπνον κέκληται, ὡς ἐκ τῆς γραφῆς ἀποδέδεικται, δι' ἀγάπην μὲν γινόμενον τὸ δεῖπνον, ἀλλ' οὐκ ἀγάπη τὸ δεῖπνον, δεῖγμα δὲ εὐνοίας κοινωνικῆς καὶ εὐμεταδότου. „μὴ βλασφημείσθω οὖν ἡμῶν τὸ ἀγαθὸν, οὐ γάρ ἐστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις", φησὶν ὁ ἀπόστολος, ἵνα μὴ τὸ ἐφήμερον ἄριστον νοηθῇ, „ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ" †). τούτου ὁ φαγὼν τοῦ ἀρίστου τὸ ἄριστον τῶν ὄντων, τὴν βασιλείαν τοῦ θεοῦ κτήσεται, με- P. 167
λετήσας ἐνθένδε ἁγίαν συνήλυσιν ἀγάπης οὐράνιον Pott.
ἐκκλησίαν.

---

*) 1 Cor. 13, 7 sq. **) Luc. 14, 15. ***) 1 Cor. 13, 3. †) Rom. 14, 16 sq.

§. 7. Ἀγάπη μὲν οὖν χρῆμα καθαρὸν καὶ τοῦ θεοῦ ἄξιον· ἔργον δὲ αὐτῆς ἡ μετάδοσις, „φρονὶς δὲ παιδείας ἀγάπη", ἣν ἡ σοφία λέγει, „ἀγάπη δὲ τήρησις νόμων αὐτῆς"*). αἱ δὲ εὐφροσύναι αὗται ἔναυσμά τι ἀγάπης ἐκ τῆς πανδήμου τροφῆς ἔχουσαι P. 62 συνεθιζόμενον εἰς ἀΐδιον τρυφήν. ἀγάπη μὲν οὖν Sylb. δεῖπνον οὐκ ἔστιν, ἡ δ' ἑστίασις ἀγάπης ἠρτήσθω. „μαθέτωσαν γάρ", φησὶν, „οἱ υἱοί σου, οὓς ἠγάπησας, κύριε, ὅτι οὐχ αἱ γενέσεις τῶν καρπῶν τρέφουσιν ἄνθρωπον, ἀλλὰ τὸ ῥῆμά σου τοὺς σοὶ πιστεύοντας διατηρεῖ"**)· οὐ γὰρ ἐπ' ἄρτῳ ζήσεται ὁ δίκαιος***). ἀλλὰ γὰρ τὸ δεῖπνον ἔστω λιτὸν ἡμῖν καὶ εὔζωνον, ἐπιτήδειον εἰς ἐγρήγορσιν, ποικίλαις ἀνεπιμίκτοις ποιότησιν, οὐκ ἀπαιδαγώγητον οὐδὲ τοῦτο· ἀγαθὴ γὰρ κουροτρόφος αὐτάρκεια εἰς κοινωνίαν ἀγάπη ἐφόδιον ἔχουσα πλούσιον, τὴν αὐτάρκειαν, ἣ δὴ ἐφεστῶσα τῇ τροφῇ, δικαίᾳ ποσότητι μεμετρημένη, σωτηρίως τὸ σῶμα διοικοῦσα καὶ τοῖς πλησίον ἀπένειμέν τι ἐξ αὐτῆς, ἡ δὲ ὑπερβλύζουσα τὴν αὐτάρκειαν δίαιτα τὸν ἄνθρωπον κακοῖ, νωθῆ μὲν τὴν ψυχὴν, ἐπισφαλὲς δὲ εἰς νόσον ἐργαζομένη τὸ σῶμα. καὶ μὴν προστρίβονται βλασφημίας δυσανασχετοῦσαι περὶ τὰς καρυκείας ἡδοναὶ, λιχνείαν, λαιμαργίαν, ὀψοφαγίαν, ἀπληστίαν, ἀδηφαγίαν. μυῖαι τούτοις οἰκεῖαι τοῖς ὀνόμασι καὶ γαλαῖ, κόλακές τε καὶ μονομάχαι καὶ τὰ ἄγρια τῶν παρασίτων φῦλα, γαστρὸς ἡδο- P. 163 νῆς οἱ μὲν τὸν λόγον, οἱ δὲ τὴν φιλίαν, οἱ δὲ τὸ Pott ζῆν ἀποδιδόμενοι, ἐπὶ γαστέρας ἕρποντες, θηρία ἀνδρείκελα κατ' εἰκόνα τοῦ πατρὸς αὐτῶν τοῦ λίχνου θηρίου. ἀσώτους τ' αὐτοὺς οἱ καλέσαντες πρῶτον εὖ μοι δοκοῦσιν αἰνίττεσθαι τὸ τέλος αὐτῶν ἀσώστους αὐτοὺς κατὰ ἔκθλιψιν τοῦ σ στοιχείου νενοηκότες. ἢ γὰρ οὐχ οὗτοι οἱ περὶ τὰς λοπάδας ἀσχολούμενοι καὶ τὰς μεμορημένας τῶν ἡδυσμάτων περιεργίας, οἱ τα-

*) Sap. 5, 17 sq. **) Ibid. 16, 27. ***) Cf. Deut. 8, 3, Matth. 4, 4.

πεινόφρονες, χαμαιγενεῖς, τὸν ἐφήμερον διώκοντες βίον, ὡς οὐ ζησόμενοι;

§. 8. Τούτους ταλανίζει διὰ Ἡσαΐου τὸ ἅγιον πνεῦμα, ῥῆμα πῶς τῆς ἀγάπης τὸ ὄνομα ὑπεξελόμενον, ἐπεὶ μὴ κατὰ λόγον ἡ ἑστίασις ἦν· „αὐτοὶ δὲ ἐποίησαν εὐφροσύνην σφάζοντες μόσχους καὶ θύοντες πρόβατα λέγοντες, φάγωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν"*)· καὶ ὅτι γε τὴν τοιαύτην τρυφὴν ἁμαρτίαν λογίζεται, ἐπιφέρει· „καὶ οὐ μὴ ἀφεθήσεται ἡ ἁμαρτία ὑμῶν αὕτη, ἕως ἂν ἀποθάνητε", οὐχὶ ἄφεσιν τῆς ἁμαρτίας θάνατον ἀναίσθητον, ἀλλὰ ἀνταπόδοσιν ἁμαρτίας θάνατον σωτηρίας ἐπικρίνας. „μὴ εὐφραν θῆς δὲ ἐπὶ μιαρᾷ τρυφῇ", ἡ σοφία λέγει**). ἐνταῦθα ὑπομνηστέον καὶ περὶ τῶν εἰδωλοθύτων καλουμένων, ὅπως ποτὲ ἄρα παραγγέλλεται ἀποσχέσθαι δεῖν τούτων. μιαρὰ δοκεῖ μοι καὶ βδελυρὰ ἐκεῖνα, ὧν ἐφίπτανται τοῖς αἵμασι ψυχαὶ ὑπὲξ ἑρέβευς νεκύων κατατεθνειώτων***). „οὐ γὰρ θέλω ὑμᾶς κοινωνοὺς δαιμονίων γίνεσθαι"†), ὁ ἀπόστολος λέγει, ἐπεὶ δίχα σωζομένων καὶ φθινομένων τροφαί. ἀφεκτέον τοίνυν τούτων οὐ δεδιότας, οὐ γάρ ἐστί τις ἐν αὐτοῖς δύναμις, διὰ δὲ τὴν συνείδησιν τὴν ἡμετέραν ἁγίαν οὖσαν καὶ τῶν δαιμονίων διὰ τὴν βδελυρίαν, οἷς ἐπικατωνόμασται, μυσαττομένους, καὶ προσέτι διὰ τὴν τῶν ὀλισθηρῶς τὰ πολλὰ ὑπολαμβανόντων ὑδαρότητα, „οἷς ἡ συνείδησις ἀσθενοῦσα μολύνεται, βρῶμα γὰρ ἡμᾶς οὐ παραστήσει τῷ θεῷ"††)· „οὐδὲ τὰ εἰσιόντα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξιόντα", φησί, „τοῦ στόματος"†††). P. 169 Pott.

§. 9. Ἀδιάφορος ἄρα ἡ φυσικὴ χρῆσις τῆς τροφῆς· „οὔτε γὰρ ἐὰν φάγωμεν, περισσεύομεν", φη-

*) Ies. 22, 13 sq. **) Eccles. 18, 32. ***) Hom. Od. l. v. 37. †) 1 Cor. 10, 20. ††) Ibid. 8, 7 sq. †††) Matth. 15, 11.

σιν, „οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα" *)· ἀλλ' οὐκ εὔλογον τραπέζης δαιμονίων μεταλαμβάνειν τοὺς θείας μετέχειν καὶ πνευματικῆς κατηξιωμένους τροφῆς. „μὴ γὰρ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν", φησὶν ὁ ἀπόστολος, „καὶ γυναῖκας περιάγεσθαι" **); ἀλλὰ κρατοῦντες δηλονότι τῶν ἡδονῶν κωλύομεν τὰς ἐπιθυμίας. „βλέπετε οὖν μή ποτε ἡ ἐξουσία ἡμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενέσιν" ***). οὐ χρὴ οὖν καθάπερ ἀσωτευομένους ἡμᾶς κατὰ τὴν ἐν τῷ εὐαγγελίῳ τοῦ πλουσίου παιδὸς εἰκόνα παραχρῆσθαι τοῖς τοῦ πατρὸς δωρήμασι, χρῆσθαι δὲ αὐτοῖς, ὡς ἄρχοντας ἀπροσκλινῶς· καὶ γὰρ βασιλεύειν ἐτάχθημεν καὶ κατακυριεύειν, οὐχὶ δουλεύειν τοῖς βρώμασιν. ἀγαστὸν μὲν οὖν πρὸς τὸ ἀληθὲς ἀναθρήσαντας τῆς ἄνω τροφῆς ἐξέχεσθαι τῆς θείας καὶ τῆς τοῦ ὄντως ὄντος ἀπληρώτου ἐμπίμπλασθαι θέας, τῆς βεβαίου καὶ μονίμου καὶ καθαρᾶς γενομένους ἡδονῆς. ταύτην γὰρ τὴν ἀγάπην ἐκδέχεσθαι δεῖν ἐμφαίνει ἡ βρῶσις ἡ Χριστοῦ· κομιδῇ δὲ ἄλογον καὶ ἀχρεῖον καὶ οὐκ ἀνθρώπειον βοσκημάτων δίκην πιαινόμενον θανάτῳ τρέφεσθαι, κάτω βλέποντας εἰς γῆν, τοὺς ἐκ γῆς ἀεὶ κεκυφότας εἰς τραπέζας, τὴν λίχνον διωκάθοντας ζωὴν, τὸ ἀγαθὸν ἐνταῦθά που κατορύξαντας περὶ τὴν οὐκ ἐσομένην ζωὴν, μόνην κολακεύοντας τὴν κατάποσιν, δι' ἣν πολυτιμότεροι γεγόνασι μάγειροι γεωργῶν. μὴ γὰρ ἀφαιροῦμεν τὴν συμπεριφοράν, ἀλλὰ τὸν ὄλισθον τῆς συνηθείας, ὡς συμφοράν, ὑποπτεύομεν.

§. 10. *Διὸ παραιτητέον τὴν λιχνείαν ὀλίγων τινῶν καὶ ἀναγκαίων μεταλαμβάνοντας, καὶ εἴ τις ἡμᾶς καλεῖ τῶν ἀπίστων καὶ πορεύεσθαι κρίνομεν — καλὸν γὰρ μὴ συναναμίγνυσθαι τοῖς ἀτάκτοις —, πᾶν τὸ παρατιθέμενον κελεύει ἡμῖν ἐσθίειν μηδὲν ἀνα-*

*) 1 Cor. 8, 8. **) Ibid. 9, 4 sq. ***) Ibid. 8, 9.

κρίνουσι διὰ τὴν συνείδησιν*), ὁμοίως δὲ καὶ τὰ ἐκ μακέλλου ἀπεριέργως ὠνεῖσθαι**) προσέταξεν. P. 170
οὐκ ἀφεκτέον οὖν παντελῶς τῶν ποικίλων βρωμά- Pott.
των, ἀλλ᾽ οὐ περὶ αὐτὰ σπουδαστέον· μεταληπτέον
δὲ τῶν παρατιθεμένων, ὡς πρέπον Χριστιανῷ, τιμῶν-
τας μὲν τὸν κεκληκότα κατὰ τὴν ἀβλαβῆ καὶ ἀπρόσ-
κοπῆ τῆς συνουσίας κοινωνίαν, ἀδιάφορον δὲ ἡγού-
P. 63 μένους τῶν εἰσκομιζομένων τὴν πολυτέλειαν, κα-
Sylb. ταφρονοῦντας τῶν ὄψων, ὡς μετ᾽ ὀλίγον οὐκ ὄν-
των. „ὁ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω, ὁ δὲ μὴ ἐσθίων τὸν ἐσθίοντα μὴ κρινέτω“***). μικρὸν δὲ ὑποβὰς καὶ τὴν αἰτίαν τῆς παραγγελίας ἐξηγήσεται· „ὁ ἐσθίων“, λέγων, „κυρίῳ ἐσθίει καὶ εὐχαριστεῖ τῷ θεῷ, καὶ ὁ μὴ ἐσθίων κυρίῳ οὐκ ἐσθίει καὶ εὐχαριστεῖ τῷ θεῷ“†)· ὡς εἶναι τὴν δικαίαν τροφὴν εὐχαριστίαν, καὶ ὃ γε ἀεὶ εὐχαριστῶν οὐκ ἀσχολεῖται περὶ ἡδονάς. εἰ δὲ καὶ προτρεποίμεθα ἐπ᾽ ἀρετῇ τῶν συνεστιωμένων τινὰς, ταύτῃ πλέον ἀφεκτέον τῶν λίχνων τούτων βρωμάτων, ἐναργὲς ὑπόδειγμα ἀρετῆς σφᾶς αὐτοὺς παριστάντας, ὡς Χριστὸν ἐσχήκαμεν αὐτοί. „εἰ γάρ τι τῶν τοιούτων βρωμάτων σκανδαλίζει τὸν ἀδελφὸν, οὐ μὴ φάγω“, φησὶ, „τοῦτο εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω“††). ὀλίγης ἐγκρατείας κερδαίνω τὸν ἄνθρωπον. „μὴ γὰρ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν“†††); καὶ τὴν ἀλήθειαν „ἐπεγνώκαμεν“, φησὶν, „ὅτι οὐδὲν εἴδωλον ἐν κόσμῳ, ἀλλὰ μόνος ὄντως ἐστὶν εἷς ἡμῶν θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς. ἀλλὰ ἀπόλλυται“, φησὶ, „τῇ σῇ γνώσει ὁ ἀδελφὸς ἀσθενῶν, δι᾽ ὃν Χριστὸς ἀπέθανεν. οἱ δὲ τὴν συνείδησιν τύπτοντες τῶν ἀσθενούντων ἀδελφῶν, εἰς Χριστὸν ἁμαρτάνουσιν“*). ταύτῃ τοι ὁ ἀπόστολος εὐλαβούμενος περὶ ἡμῶν τὰ δεῖπνα διακρί-

*) 1 Cor. 10, 27. **) Ibid. v. 25. ***) Rom. 14, 3. †) Ibid. v. 6. ††) 1 Cor. 8, 13. †††) Ibid. 9, 4. *) Ibid. 8, 6, 11 sq.

νει „μὴ συναναμίγνυσθαι" φάσκων, „εἴ τις ἀδελφὸς λεγόμενος εὑρίσκοιτο πόρνος ἢ μοιχὸς ἢ εἰδωλολάτρης, τούτῳ μηδὲ συνεσθίειν" *), ἢ τὸν λόγον ἢ τὸ ὄψον, ὑποπτεύων τὸν μολυσμὸν τὸν ἐντεῦθεν, καθάπερ καὶ τῶν δαιμονίων τὰς τραπέζας.

§. 11. „Καλὸν μὲν οὖν τὸ μὴ φαγεῖν κρέα μηδὲ οἶνον πιεῖν" **) αὐτός τε ὁμολογεῖ καὶ οἱ ἀπὸ τοῦ Πυθαγόρου· θηρίων γὰρ μᾶλλον τοῦτό γε, καὶ ἡ ἀπ' αὐτῶν ἀναθυμίασις θολωδεστέρα οὖσα ἐπι- P. 171
σκοτεῖ τῇ ψυχῇ. εἰ δέ τις καὶ τούτων μεταλαμβάνει, οὐχ ἁμαρτάνει, μόνον ἐγκρατῶς μετεχέτω, μὴ ἐξεχόμενος μηδὲ ἀπηρτημένος αὐτῶν μηδὲ ἐπιλαιμαργῶν τῷ ὄψῳ· ὑπηχήσει γὰρ αὐτῷ φωνή· „μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ" ***), λέγουσα. ἀνοήτου γὰρ σφόδρα θαυμάζειν καὶ τεθηπέναι τὰ παρατιθέμενα ταῖς δημώδεσιν ἑστιάσεσιν μετὰ τὴν ἐν λόγῳ τρυφὴν, πολλῷ δέ ἐστιν ἀνοητότερον τὰς ὄψεις τοῖς προσοψήμασι δεδουλωκέναι συμμεταφερομένης αὐτῶν, ὡς εἰπεῖν, τῆς ἀκρασίας πρὸς τῶν διακόνων. πῶς δὲ οὐκ ἀχρεῖον τὸ ἐπανίστασθαι ταῖς κλισίαις, μονονουχὶ τὸ πρόσωπον ταῖς λοπάσιν ἐπιρριπτοῦντας, καθάπερ ἐκ νεοττίας, τῆς κλισίας προκύπτοντας, τὸ δὴ θρυλούμενον τοῦτο· ἵνα πλανωμένην λάβωσι τὴν ἀτμίδα διὰ τῆς ἀναπνοῆς; πῶς δὲ οὐκ ἄλογον τὰς χεῖρας ἐπεμφύρειν τοῖς ἡδύσμασιν ἢ συνεχὲς ἐπὶ τοὖψον ἐκτείνειν οὐκ ἀπογευομένων, ἀλλ' ἁρπαζόντων δίκην ἀμέτρως καὶ ἀσχημόνως ἐμφορουμένους; ἔστι γὰρ ὁρᾶν τοὺς τοιούτους ὑσὶν ἢ κυσὶν διὰ τὴν λαβρότητα μᾶλλον ἢ ἀνθρώποις ὡμοιωμένους, τοὺς χορτάζεσθαι σπεύδοντας, ὡς καὶ τὰς γνάθους ἅμα ἄμφω ἐξογκοῦσθαι τῶν περὶ τὸ πρόσωπον ἀγγείων προσεπαιρομένων, πρὸς δὲ καὶ ἱδρῶτα περιχεῖσθαι τῇ ἀπληστίᾳ συνεχομένων καὶ ἀσθμαινόντων ὑπὸ ἀκρασίας, ὠθουμένης κατ' ἔπειξιν ἀκοι-

*) Cor. 5, 11. **) Rom. 14, 21. ***) Rom. 14, 20.

νώνητον εἰς κοιλίαν τῆς τροφῆς, ὥσπερ εἰς ἐφόδιον, οὐκ εἰς ἀνάδοσιν, ἀποτιθεμένων τὰ ἐδέσματα. παντα-χῇ δὲ κακὸν οὖσα ἡ ἀμετρία περὶ τὰς τροφὰς μά-λιστα διελέγχεται.

§. 12. Ἡ γοῦν ὀψοφαγία οὐδὲν ἕτερόν ἐστιν ἢ ἀμετρία περὶ χρῆσιν ὄψου, καὶ ἡ λαιμαργία μανία περὶ τὸν λαιμὸν, καὶ ἡ γαστριμαργία ἀκρασία περὶ τὴν τροφὴν, ὡς δὲ καὶ τοὔνομα περιέχει, μανία ἐπὶ γαστέρα, ἐπεὶ μάργος ὁ μεμηνώς. τοὺς ἐπὶ ἑστιά-σεως οὖν μελετῶντας ἀδικεῖν ὁ ἀπόστολος ἀνακρούων λέγει· „ἕκαστος γὰρ τὸ ἴδιον δεῖπνον προλαμβάνει ἐν τῷ φαγεῖν, καὶ ὃς μὲν πεινᾷ, ὃς δὲ μεθύει. μὴ γὰρ οἰκίας οὐκ ἔχετε εἰς τὸ ἐσθίειν καὶ πίνειν; ἢ τῆς ἐκκλησίας τοῦ θεοῦ καταφρονεῖτε καὶ καταισχύνετε τοὺς μὴ ἔχοντας"*); παρὰ δὲ τοῖς ἔχουσιν οἱ ἀνέ-δην ἐσθίοντες, οἱ ἄπληστοι ἑαυτοὺς καταισχύνου- P. 172 σιν, ἄμφω δὲ πράττουσι κακῶς, οἱ μὲν τοὺς μὴ Pott. ἔχοντας βεβαρηκότες, οἱ δὲ τὴν ἀκρασίαν τὴν σφῶν παρὰ τοῖς ἔχουσι γεγυμνωκότες. ἀναγκαίως ἄρα πρὸς τοὺς ἀπηρυθριακότας καὶ τοῖς δείπνοις ἀφειδέστερον παραχρωμένους, τοὺς ἀκορέστους, οἷς μηδὲν ἱκανὸν, ἀποταθεὶς ὁ ἀπόστολος, πάλιν ἐκ δευτέρου ἐρρῆξε φωνὴν ἀγανακτικήν· „ὥστε, ἀδελφοί μου, συνερχό-μενοι εἰς τὸ φαγεῖν ἀλλήλους ἐκδέχεσθε. εἰ δέ τις πεινᾷ, ἐν οἴκῳ ἐσθιέτω, ἵνα μὴ εἰς κρίμα συνέρχη-σθε"**).

§. 13. Ἀφεκτέον οὖν δουλοπρεπείας ἀπάσης καὶ ἀκρασίας τῶν παρατιθεμένων κοσμίως ἐφαπτομένοις, ἀμόλυντον καὶ τὴν χεῖρα καὶ τὴν στρωμνὴν καὶ τὸ γένειον φυλάττουσιν, τὸ εὔσχημον τοῦ προσώπου διατηροῦσιν ἀδιάστροφον, οὐκ ἀσχημονοῦσιν οὐδὲ περὶ τὴν κατάποσιν, ἀλλὰ τὴν μὲν χεῖρα μετὰ τάξεως ἐκ διαστημάτων ἐκτατέον· παραφυλακτέον γὰρ καὶ τὸ ηθέγγεσθαι ὅτι οὖν ἐσθίοντα ἅμα· ἀπρεπὴς γὰρ καὶ

*) 1 Cor. 11, 21 sq. **) Ibid. v, 33 sq.

ἄσημος ἡ φωνὴ γίνεται, πλήρεσι ταῖς γνάθοις στενοχωρουμένη· καὶ ἡ γλῶσσα τῇ τροφῇ πιεζομένη, τῆς κατὰ φύσιν ἐνεργείας παραποδισθεῖσα τὴν προφορὰν ἐκδίδωσι τεθλιμμένην. ἀλλ' οὐδὲ ἐσθίειν ἅμα καὶ πίνειν καθήκει· ἀκρασίας γὰρ τῆς μείστης συγχεῖν τοὺς καιροὺς, ὧν αἱ χρήσεις ἀσύμφωνοι. καὶ „εἴτε ἐσθίετε", φησὶν, „εἴτε πίνετε, πάντα εἰς δόξαν Θεοῦ P. 64 ποιεῖτε" *)· στοχαζόμενοι τῆς ἀληθοῦς εὐτελείας, Sylb. ἣν μοι δοκεῖ καὶ ὁ κύριος αἰνίξασθαι τοὺς ἄρτους εὐλογήσας καὶ τοὺς ἰσχνὰς τοὺς ὀπτοὺς, οἷς κατευώχησε τοὺς μαθητὰς, τῆς ἀπεριέργου τροφῆς καλὸν εἰσηγούμενος ὑπόδειγμα.

§. 14. Ὁ γοῦν ἰχθὺς ἐκεῖνος **)', ὃν κελεύσαντος τοῦ κυρίου ὁ Πέτρος εἷλεν, εὔκολον καὶ αὐτὸς καὶ θεοδώρητον καὶ σώφρονα αἰνίττεται τροφήν· ἀφαιρεῖν γέ τοι ὑποτίθεται διὰ τῶν ἐξ ὕδατος ἀνιόντων ἐπὶ τὸ τῆς δικαιοσύνης δέλεαρ, τὴν ἀσωτίαν καὶ τὴν φιλαργυρίαν, ὡς τὸ νόμισμα τοῦ ἰχθύος, ἵνα χωρίσῃ τὴν κενοδοξίαν καὶ τὸν στατῆρα τοῖς τελώναις δοὺς τὰ Καίσαρος ἀποδοὺς τῷ Καίσαρι φυλάξῃ τὰ τοῦ Θεοῦ τῷ Θεῷ ***). ἔχοι δὲ καὶ ἄλλας ἐπιλύσεις οὐκ ἀγνοουμένας ὁ στατὴρ, ἀλλ' οὐχ ὁ παρὼν ἐπιτήδειος τῆς ἐξεργασίας καιρός. ἀπόχρη δὲ ὑπόμνησις συγχρωμένων ἡμῶν εἰς τὸ προκείμενον, οὐκ ἀπάδουσα τοῦ λόγου τοῖς ἄνθεσιν, ὅπερ ἤδη πολ- P. 1 λάκις πεποιήκαμεν, πρὸς τὸ κατεπεῖγον τοῦ ζητήμα- Po τος τὴν πολυωφελῆ περιέλκοντες εἰς ἀρδείαν τῶν φυτευομένων ὑπὸ τοῦ λόγου πηγήν. καὶ γὰρ εἰ „πάντων μεταλαμβάνειν ἔξεστί μοι, ἀλλ' οὐ πάντα συμφέρει" †)· ταχὺ γὰρ καταπίπτουσιν ἐπὶ τὸ δρᾶν τὸ μὴ ἐξὸν οἱ πάντα δρῶντες ἃ ἐξόν. ὡς δὲ ἡ δικαιοσύνη διὰ πλεονεξίας οὐ περιγίνεται οὐδὲ ἡ σωφροσύνη δι' ἀκολασίας, οὕτως οὐδὲ ἡ τοῦ Χριστιανοῦ

*) 1 Cor. 10, 31. **) Cf. Matth. 17, 27. ***) Cf. Ibid. 21, 22. †) 1 Cor. 10, 23.

δίαιτα ἡδυπαθείᾳ περικτᾶται, πόρρω γάρ ἐστι τῶν πασχητιώντων ἐδεσμάτων ἡ τράπεζα τῆς ἀληθείας. εἰ γὰρ καὶ τὰ μάλιστα ἕνεκεν τῶν ἀνθρώπων ἐγένετο τὰ πάντα, ἀλλ' οὐ πᾶσι χρῆσθαι καλὸν, ἀλλ' οὐδὲ ἀεί. καὶ γὰρ ὁ καιρὸς καὶ ὁ χρόνος καὶ ὁ τρόπος καὶ τὸ πρὸς τί οὐκ ὀλίγην τῷ παιδαγωγουμένῳ πρὸς τὸ λυσιτελὲς ἐνδίδωσι ῥοπὴν, καὶ τό γε ἔστιν ἐπιτήδειον, καὶ ἰσχὺν ἔχει καταργῆσαι τὸν ἐπιγάστριον βίον, οὗ πλοῦτός ἐστιν ἐκκλητικὸς, οὐ βλέπων ὀξὺ, ἀλλ' ἡ τυφλώττουσα περὶ τὴν γαστριμαργίαν περιουσία. οὐδεὶς δέ ἐστι πένης εἰς τὰ ἀναγκαῖα, οὐδὲ περιορᾶται ποτε ἄνθρωπος· ὁ γὰρ καὶ τὰ πτηνὰ καὶ τὰ νηκτὰ καὶ συνελόντι εἰπεῖν τὰ ἄλογα ζῶα διατρέφων*) εἷς ἐστὶν ὁ θεός. λείπει δὲ αὐτοῖς οὐδὲ ἓν ὁτιοῦν μὴ μεριμνῶσι τροφῆς. ἡμεῖς δὲ καὶ τούτων ἀμείνους, ὅσῳ καὶ κύριοι καὶ θεῷ οἰκειότεροι, ὅσῳ σωφρονέστεροι. γεγόναμεν δὲ οὐχ ἵνα ἐσθίωμεν καὶ πίνωμεν, ἀλλ' ἵνα ὦμεν εἰς ἐπίγνωσιν γεγονότες τοῦ θεοῦ. „δίκαιος γάρ", φησὶν, „ἐσθίων ἐμπίμπλαται τῇ ψυχῇ, κοιλίαι δὲ ἀσεβῶν ἐνδεεῖς"**), ἀκατάπαυστον λιχνείας ὀρεγόμεναι. πολυτέλεια δὲ οὐκ εἰς ἀπόλαυσιν ἔρημον, ἀλλ' εἰς μετάδοσιν κοινωνικὴν ἐπιτήδειος.

§. 15. Διὸ παραφυλακτέον τῶν βρωμάτων ἃ μὴ πεινῶντας ἡμᾶς ἐσθίειν ἀναπείθει γοητεύοντα τὰς ὀρέξεις. μὴ γὰρ οὐκ ἔνεστι καὶ ἐν εὐτελείᾳ σώφρονι πολυειδία ἐδεσμάτων ὑγιεινή; βολβοὶ, ἐλαῖαι, λαχάνων ἔνια, γάλα, τυρὸς, τά τε ὡραῖα ἐψήματά τε παντοδαπὰ ζωμῶν ἄνευ. κἂν ὀπτοῦ δέῃ κρέως ἢ ἑφθοῦ, μεταδοτέον. „ἔχετέ τι βρώσιμον ἐνθάδε"***); εἶπεν ὁ κύριος πρὸς τοὺς μαθητὰς μετὰ τὴν ἀνάστασιν· οἱ δὲ ἅτε ὑπ' αὐτοῦ εὐτέλειαν ἀσκεῖν διδιδαγμένοι „ἐπέδωκαν αὐτῷ ἰχθύος ὀπτοῦ μέρος, P. 174 Pott.

*) Cf. Matth. 6, 25 sq. **) Prouerb. 13, 21. ***) Luc. 24, 41—44.

καὶ φαγὼν ἐνώπιον αὐτῶν, εἶπεν αὐτοῖς", φησὶν ὁ Λουκᾶς, „ὅσα εἶπεν". πρὸς τούτοις οὐδὲ τραγημάτων καὶ κηρίων ἀμοίρους περιορατέον τοὺς δειπνοῦντας κατὰ λόγον. τῶν γάρτοι βρωμάτων ἐπιτηδειότατα, οἷς αὐτόθεν χρῆσθαι ὑπάρχει ὄψα πυρὸς, ἐπεὶ καὶ ἑτοιμότερα, δεύτερα δὲ τὰ εὐτελέστερα, ὡς προειρήκαμεν. τῶν δὲ ἀμφὶ τὰς φλεγμαινούσας κυπταζόντων τραπέζας, τὰ σφέτερα τιθηνουμένων πάθη, δαίμων καθηγεῖται λιχνότατος, ὃν ἔγωγε οὐκ ἂν αἰσχυνθείην κοιλιοδαίμονα προσειπεῖν καὶ δαιμόνων κάκιστον καὶ ἐξωλέστατον. παραπλήσιος οὖν οὗτος ἀτεχνῶς τῷ ἐγγαστριμύθῳ καλουμένῳ. ἄμεινον δὲ πολλῷ τοῦ δαίμονα ἔχειν σύνοικον εὐδαίμονα γενέσθαι. εὐδαιμονία δὲ ἐν χρήσει ἀρετῆς ἐξετάζεται.

§. 16. Ματθαῖος μὲν οὖν ὁ ἀπόστολος σπερμάτων καὶ ἀκροδρύων καὶ λαχάνων ἄνευ κρεῶν μετελάμβανεν, Ἰωάννης δὲ ὑπερτείνας τὴν ἐγκράτειαν „ἀκρίδας καὶ μέλι"*) ἤσθιεν ἄγριον. ὧν Petr. δὲ ἀπείχετο καὶ Πέτρος· ἀλλ' „ἔπεσεν ἐπ' αὐτὸν ἔκστασις", ὡς ἐν ταῖς πράξεσι τῶν ἀποστόλων γέγραπται, „καὶ θεωρεῖ τὸν οὐρανὸν ἀνεῳγμένον καὶ τι σκεῦος τέτταρσιν ἀρχαῖς ἐκδεδεμένον ἐπὶ τῆς γῆς, πάντα τὰ τετράποδα καὶ τὰ ἑρπετὰ τῆς γῆς καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ ἐν αὐτῷ, καὶ ἐγένετο φωνὴ πρὸς αὐτὸν, ἀνάστα καὶ θῦσον καὶ φάγε. Πέτρος δὲ εἶπε· μηδαμῶς, κύριε, ὅτι οὐδέποτε ἔφαγον πᾶν κοινὸν καὶ ἀκάθαρτον. καὶ ἡ φωνὴ πάλιν πρὸς αὐτὸν ἐκ δευτέρου· „ἃ ὁ θεὸς ἐκαθάρισε, σὺ μὴ κοίνου"**). καὶ ἡμῖν δὲ ἄρα ἀδιάφορος ἡ χρῆσις. „οὐ γὰρ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον"***), ἀλλὰ ἡ περὶ τῆς ἀκρασίας διάληψις κενή. ὁ γάρτοι θεὸς τὸν ἄνθρωπον πλάσας, „πάντα ὑμῖν", εἶπεν, „ἔσται εἰς βρῶσιν"†). „λάχανα δὲ μετὰ ἀγάπης

*) Matth. 3, 4. **) Act. 10, 10—15. ***) Matth. 15, 11. †) Genes. 9, 2 sq.

ἢ μόσχον μετὰ δολιότητος" *)· εὖ τοῦτο ὑπομιμνήσκει τοῦ προειρημένου λόγου, ὡς οὐ τὰ λάχανα ἡ ἀγάπη, μετὰ δὲ ἀγάπης τὰ δεῖπνα παραληπτέα, ἐν οἷς ἀγαθὴ μὲν ἡ μέση κατάστασις, ἐν πᾶσι μέν, οὐχ ἧκιστα δὲ καὶ ἐν τῇ ἀμφὶ τὴν ἔστίασιν παρασκευῇ, ἐπεὶ αἱ μὲν ἀκρότητες σφαλεραὶ, αἱ μεσότητες δὲ ἀγαθαί. μέσον δέ ἐστι πᾶν τὸ ἀνενδεὲς τῶν ἀναγκαίων, αἷς γὰρ κατὰ φύσιν ὀρέξεις αὐτάρκειᾳ περιορίζονται.

§. 17. Ἰουδαίοις δὲ διὰ τοῦ νόμου οἰκονομικώτατα παραγγέλλεται ἡ εὐτέλεια· μυρίων γὰρ ὅσων P. 65 ἀφείλετο τὴν χρῆσιν ὁ παιδαγωγὸς αὐτοὺς διὰ Sylb. Μωϋσέως αἰτίας προσάπτων, κεκρυμμένας μὲν τὰς πνευματικὰς, ἐμφανεῖς δὲ τὰς σαρκικὰς, αἷς καὶ πεπιστεύκασι, τοῖς μὲν ὅτι οὐκ ἔστι διχηλὰ, τοῖς δὲ ὅτι τὴν τροφὴν οὐ μηρυκᾶται, τὰ δ' ὅτι ἄρα οὐκ ἔχει μόνα τῶν ἐνύδρων λεπίδας, ὡς ὀλίγα παντελῶς ἀπολείπεσθαι πρὸς τὴν τροφὴν αὐτοῖς ἐπιτήδεια. ὧν δὲ ἐφῆκεν ἅπτεσθαι, πάλιν κεκώλυκε τούτων τὰ θνησιμαῖα τά τε ἐλθωλόθυτα τά τε ἀποπεπνιγμένα. οὐδὲ γὰρ τούτων ψαύειν θέμις. ἐπεὶ γὰρ ἀμήχανον χρώμενον τοῖς ἡδέσιν ἀποστῆναι τῆς ἀποδοχῆς αὐτῶν, τὴν ἐναντίαν ἀντέθηκεν ἀγωγὴν, μέχρις ἂν ἐκλύσῃ τὴν ἐκ τοῦ ἔθους ἐπὶ τὴν ἡδυπάθειαν καταδρο- P. 176 μήν. ἀνθρώπους δὲ τὰ μὲν πολλὰ βλάβην καὶ λύ- Pott. πην ἐνεγέννησεν ἡδονὴ, δυσπάθειαν δὲ καὶ λήθην καὶ ἀφροσύνην ἡ πολυτροφία ἐντίκτει τῇ ψυχῇ. εὐαυξῆ δὲ καὶ τῶν παίδων τὰ σώματα γίνεσθαί φασιν εἰς μῆκος ἐπιδιδόντων ἀπὸ τῆς ἐλλειπούσης τροφῆς· οὐ γὰρ κωλύεται τὸ ἀνατρέχον εἰς αὔξησιν πνεῦμα τῆς πολλῆς τροφῆς ἀντιφραττούσης τὸ εὔπνουν τοῦ δρόμου.

§. 18. Ὅθεν κατηγορῶν τοῦ τρυφῶντος βίου ὁ τὴν ἀλήθειαν ἐζηλωκὼς τῶν φιλοσόφων Πλάτων τὸ ἐνανσμα τῆς Ἑβραϊκῆς φιλοσοφίας ζωπυρῶν, ἐλ-

*) Proverb. 15, 17.

Θόντα δέ με, φησὶν, ὁ ταύτῃ λεγόμενος αὖ βίος εὐδαίμων, Ἰταλικῶν τε καὶ Συρακουσίων τραπεζῶν πλήρης, οὐδαμῇ οὐδαμῶς ἤρεσε, δις τῆς ἡμέρας ἐμπιπλάμενον ζῆν καὶ μηδέποτε μόνον κοιμώμενον νύκτωρ, καὶ ὅσα τούτῳ ἐπιτηδεύματα συνέπεται τῷ βίῳ· ἐκ γὰρ τούτων οὔτ' ἂν φρόνιμος οὐδείς ποτ' ἂν γενέσθαι τῶν ὑπὸ τὸν οὐρανὸν ἀνθρώπων δύναιτο ἐκ νέου ἐπιτηδεύων τοιαῦτα, οὐχ οὕτω θαυμαστῇ φύσει κραθήσεται. οὐ γὰρ ἄπυστος ἦν ὁ Πλάτων τοῦ Δαβὶδ, ὃς ἐν τῇ πόλει τῇ ἑαυτοῦ τὴν ἁγίαν ἱδρύων κιβωτὸν ἐν μέσῃ τῇ σκηνῇ, παντὶ τῷ ὑπηκόῳ εὐφροσύνην ποιήσας λαῷ, ἐναντίον τοῦ κυρίου διεμέρισεν εἰς πᾶσαν τὴν δύναμιν τοῦ Ἰσραὴλ ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἑκάστῳ κολλυρίδα ἄρτου καὶ ἐσχαρίτην καὶ λάγανον ἀπὸ τηγάνου. αὐτάρκης αὕτη ἡ τροφὴ καὶ Ἰσραηλιτική, ἡ δὲ ἐθνικὴ περιττή. σώφρων οὐδ' ἂν μελλήσαι ποτὲ γενέσθαι ὁ χρώμενος αὐτῇ τὸν νοῦν ἐγκατορύξας τῇ κοιλίᾳ, τῷ ἰσχνῷ τῷ καλουμένῳ ἄνῳ τὰ μάλιστα ἐοικὼς, ὃν δή φησιν Ἀριστοτέλης μόνον τῶν ἄλλων ζώων ἐν τῇ γαστρὶ τὴν καρδίαν ἔχειν. τοῦτον ἐκτραπελόγαστρον Ἐπίχαρμος καλεῖ ὁ κωμικός. τοιοῦτοι τῶν ἀνθρώπων οἱ εἰς γαστέρα πεπιστευκότες, „ὧν θεὸς ἡ κοιλία καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν, οἱ τὰ ἐπίγεια φρονοῦντες". τούτοις οὐκ ἀγαθὰ προεθέσπιζεν ὁ ἀπόστολος „ὧν τὸ τέλος", εἰπὼν, „ἡ ἀπώλεια" *).

P. 177 Pott.

Cap. II.

Πῶς τῷ ποτῷ προσενεκτέον.

§. 19. „Οἴνῳ δὲ ὀλίγῳ χρῶ", τῷ Τιμοθέῳ ὑδροποτοῦντι, „διὰ τὸν στόμαχόν σου" **), φησὶν

*) Philipp. 3, 19. **) 1 Timoth. 5, 23.

ὁ ἀπόστολος, παγκάλως νοσηλευομένῳ καὶ πλαδῶντι σώματι κατάλληλον τὸ ἐπιστῦφον βοήθημα προσφέρων, ὀλίγον δὲ ἐκκρίνων τοῦτο, μὴ λάθῃ τὸ βοήθημα διὰ πλῆθος ἄλλης θεραπείας δεόμενον. φυσιὸν μὲν οὖν καὶ νηφάλιον ποτὸν ἀναγκαῖον διψῶσίν ἐστιν ὕδωρ. τοῦτο ἐκ τῆς ἀκροτόμου πέτρας κατειβόμενον τοῖς παλαιοῖς τῶν Ἑβραίων *) μονότροπον σωφροσύνης ὁ κύριος ἐχορήγει ποτὸν, νήφειν δὲ μάλιστα ἐχρῆν τοὺς ἐπιπλανωμένους. ἔπειτα ἡ ἄμπελος ἡ ἀγία τὸν βότρυν ἐβλάστησε τὸν προφητικόν. τοῦτο σημεῖον τοῖς εἰς ἀνάπαυσιν ἐκ τῆς πλάνης πεπαιδαγωγημένοις ὁ μέγας βότρυς ὁ λόγος ὁ ὑπὲρ ἡμῶν θλιβείς, τοῦ αἵματος τῆς σταφυλῆς ὕδατι κίρνασθαι ἐθελήσαντος τοῦ λόγου, ὡς καὶ τὸ αἷμα αὐτοῦ σωτηρία κίρναται. διττὸν δὲ τὸ αἷμα τοῦ κυρίου, τὸ μὲν γάρ ἐστιν αὐτοῦ σαρκικὸν, ᾧ τῆς φθορᾶς λελυτρώμεθα, τὸ δὲ πνευματικὸν, τουτέστιν ᾧ κεχρίσμεθα. καὶ τοῦτ' ἔστι πιεῖν τὸ αἷμα τοῦ Ἰησοῦ τῆς κυριακῆς μεταλαβεῖν ἀφθαρσίας· ἰσχὺς δὲ τοῦ λόγου τὸ πνεῦμα, ὡς αἷμα σαρκός.

§. 20. Ἀναλόγως τοίνυν κίρναται ὁ μὲν οἶνος τῷ ὕδατι, τῷ δὲ ἀνθρώπῳ τὸ πνεῦμα, καὶ τὸ μὲν εἰς πίστιν εὐωχεῖ τὸ κρᾶμα, τὸ δὲ εἰς ἀφθαρσίαν ὁδηγεῖ τὸ πνεῦμα, ἡ δὲ ἀμφοῖν αὖθις κρᾶσις P. 178 ποτοῦ τε καὶ λόγου εὐχαριστία κέκληται, χάρις Pott. ἐπαινουμένη καὶ καλὴ, ἧς οἱ κατὰ πίστιν μεταλαμβάνοντες ἁγιάζονται καὶ σῶμα καὶ ψυχὴν, τὸ θεῖον κρᾶμα τὸν ἄνθρωπον τοῦ πατρικοῦ βουλήματος πνεύματι καὶ λόγῳ συγκιρνάντος μυστικῶς· καὶ γὰρ ὡς ἀληθῶς μὲν τὸ πνεῦμα ᾧ κείμενον τῇ ἀπ' αὐτοῦ φερομένῃ ψυχῇ, ἡ δὲ σὰρξ τῷ λόγῳ, δι' ἣν ὁ λόγος γέγονε σάρξ. ἄγαμαι τοίνυν τοὺς αὐστηρὸν ἐπανηρημένους βίον καὶ τῆς σωφροσύνης τὸ φάρμακον ἐπιποθοῦντας τὸ ὕδωρ, φεύγοντας δὲ ὅτι μάλιστα πορ-

*) Cf. Exod. c. 17. Num. c. 20.

ρωτάτω τὸν οἶνον, οἷον πυρὸς ἀπειλήν. ἀρέσκει οὖν τοὺς παῖδας καὶ τὰς κόρας ὡς ἐπὶ τὸ πλεῖστον ἀπέχεσθαι τοῦ φαρμάκου τούτου· οὐ γὰρ κατάλληλον ζεούσῃ ἡλικίᾳ τῶν ὑγρῶν τὸ θερμότατον ἐπεγχεῖν, τὸν οἶνον, οἱονεὶ πῦρ ἐποχετεύοντας πυρί, ἐξ οὗ ὁρμαί τε ἄγριαι καὶ φλεγμαίνουσαι ἐπιθυμίαι καὶ διάπυρον ἦθος ἐκκαίεται· προπετεῖς τε οἱ νέοι ἔνδοθεν ζηλαινόμενοι ἐπὶ τὰς ὀρέξεις γίνονται· ὡς δὴ προὔ-
P. 66 πτον αὐτῶν τὴν βλάβην ἐλέγχεσθαι διὰ τοῦ σώ-
Sylb. ματος πεπαινομένων θᾶττον ἢ προσῆκεν τῶν τῆς ἐπιθυμίας μελῶν. ὀργῶσι γοῦν ἀναιδέστερον ἀναζέοντες οἴνου καὶ οἰδοῦσι μαστοί τε καὶ μόρια προκηρύσσοντες ἤδη πορνείας εἰκόνα, καὶ τῆς ψυχῆς τὸ τραῦμα φλεγμαίνειν ἀναγκάζει τὸ σῶμα, σφιγμοί τε ἀναιδεῖς περιεργίαν διώκουσιν εἰς παρανομίας ἐκκαλούμενοι τὸν κόσμιον.

§. 21. Ἐνθένδε ἤδη τῆς ἡλικίας τὸ γλεῦκος ὑπερβάλλει τῆς αἰδοῦς τοὺς ὅρους. χρὴ δέ, ὡς ἔνι μάλιστα, κατασβεννύναι πειρᾶσθαι τὰς ὁρμὰς τῶν νέων, ἀφαιροῦντας μὲν τὸ ὑπέκκαυμα τὸ τῆς ἀπειλῆς βακχικοῦ, ἐπεισχέοντας δὲ τὸ ἀντιφάρμακον τῆς ἐκζέσεως, ὃ καὶ τὴν ψυχὴν τυφομένην ἤδη καθέξει καὶ τὰ μόρια ἐφέξει διοιδοῦντα καὶ κατακοιμίσει τὸν ἐρεθισμὸν τῆς ἤδη σαλευομένης ἐπιθυμίας. οἱ δὲ ἀκμάζοντες μεθ' ἡμέραν μὲν ἀρίστου μεταλαβόν-
P. 1 τες, οἷς κατάλληλον τὸ ἄριστον, ἄρτου μόνον ἀπο-
Pc γευσάμενοι ἀπεχέσθων πάμπαν τοῦ ποτοῦ πρὸς τὸ ἀναπίνεσθαι τὴν περιττὴν ὑγρότητα αὐτῶν ἀνασπογγιζομένην ξηροφαγίᾳ. καὶ γὰρ τὸ συνεχὲς πτύειν καὶ ἀπομύσσεσθαι καὶ περὶ τὰς ἐκκρίσεις σπεύδειν ἀκρασίας τεκμήριον ἐκ τῆς ἀμέτρου προσφορᾶς ὑπερχεομένων τῶν ὑγρῶν τῷ σώματι. εἰ δὲ καὶ ἐπιγίνοιτο δίψα, ἀρκείσθω ὕδατι τὸ πάθος οὐ πολλῷ· οὐδὲ γὰρ ὕδατος ἀνέδην ἐμφορεῖσθαι καθήκει, ὡς μὴ ἐκκλύζοιτο ἡ τροφή, καταλειπέσθω δὲ εἰς πέψιν καταται-

τομένων μὲν εἰς τὸν ὄγκον τῶν σιτίων, ὀλίγων δὲ παντάπασιν εἰς τὰς ἐκκρίσεις χωρούντων.

§. 22. Πρέπει δὲ καὶ ἄλλως ταῖς θεϊκαῖς φροντίσι μὴ οἰνοβαρεῖν· ὁ γὰρ ἄκρατος κατὰ τὸν κωμικὸν ὀλίγ' ἀναγκάζει φρονεῖν, μή τι δὲ οὐδὲ σωφρονεῖν. εἰς δὲ ἑσπέραν τοῦ δείπνου περὶ τὴν ὥραν οἴνῳ χρηστέον, ἐπειδὰν μηκέτι τοῖς ἀναγνώσμασι σχολάζωμεν τοῖς νηφαλιωτέροις. τὸ τηνικάδε δὲ ψυχρότερον καὶ τὸ περιέχον παρὰ τὸ μεθ' ἡμέραν γίγνεται, ὡς δεῖν ὑποτρέφειν τὴν ἐκλείπουσαν ἔμφυτον ἀλέαν ἐπεισάκτῳ θερμότητι, ὀλίγῳ δὲ τῷ οἰνῳ κἀνταῦθα, οὐ γὰρ μέχρι τῶν ὕβρεως προσιτέον κρατήρων· τοῖς δὲ ἤδη παρηβηκόσιν ἱλαρώτερον ἐπιτρεπτέον μεταλαμβάνειν τοῦ ποτοῦ τὸ καταψυχόμενον τῆς ἡλικίας, οἷον μαραινόμενον ὑπὸ χρόνου, ἀναζωπυροῦντας ἀβλαβῶς τῷ τῆς ἀμπέλου φαρμάκῳ· οὐδὲ γὰρ ὡς ἐπὶ πλεῖστον ἐγκυμαίνονται ἔτι τῶν πρεσβυτέρων αἱ ὀρέξεις περὶ τὰ τῆς μέθης ναυάγια· καθωρισμένοι μὲν γὰρ οἷον ἀγκύραις τῷ λόγῳ καὶ τῷ χρόνῳ τὴν ζάλην τῶν ἐπιθυμιῶν τὴν καταιγίζουσαν ἐκ μέθης ῥᾷον φέρουσιν, οἷς ἴσως καὶ χαριεντίσασθαί τι ἔξεστι παρὰ τὰς εὐωχίας. ἀλλὰ καὶ τούτοις ὅρος ἔστω τοῦ ποτοῦ μέχρις οὗ τὸν λογισμὸν ἄσειστον διατηρήσωσι καὶ τὴν μνήμην ἐνεργὸν καὶ τὸ σῶμα ἀσάλευτον οἴνῳ καὶ ἀκράδαντον· ἀκροθώρακα τοῦτον καλοῦσιν οἱ περὶ ταῦτα δεινοί. P. 180 Pott.

§. 23. Καλὸν οὖν τὸ προκαταλήγειν διὰ τὸν ὄλισθον. Ἀρτώριος δέ τις ἐν τῷ περὶ μακροβιοτίας, μέμνημαι γάρ, ἐφ' ὅσον βρέξαι τὰ σιτία μόνον οἴεται δεῖν προσάγειν, ἵνα μακροτέραν κτησώμεθα τὴν ζωήν. ἁρμόδιον τοίνυν τὸν οἶνον τοὺς μὲν ἐπὶ θεραπείας μέρει προσφέρεσθαι διὰ τὴν ὑγείαν μόνην, τοὺς δὲ ἐν ἀνέσει καὶ διαχύσει. οἶνος γὰρ πρῶτον μὲν αὐτὸν αὐτοῦ ἥδιον ποιεῖ τὸν πιόντα μᾶλλον ἢ πρότερον καὶ τοῖς συμπόταις μειλίχιον καὶ τοῖς οἰκέταις πραΰτερον καὶ προσηνέστερον τοῖς φίλοις,

παροινηθεὶς δὲ ἀμείβεται τὴν ὕβριν· θερμὸς γὰρ ὢν καὶ χυμοὺς ἔχων ἡδεῖς, κεκραμένος ἐμμελῶς τὰ μὲν αἰσχρὰ τῶν περιττωμάτων διατήκει θερμότητι, τοὺς δὲ ὁρμεῖς καὶ φαύλους ταῖς εὐωδίαις κεράννυσι χυμούς. εὖ γοῦν ἐκεῖνο εἴρηται· „ἀγαλλίαμα ψυχῆς καὶ καρδίας οἶνος ἔκτισται ἀπαρχῆς πινόμενος αὐτάρκης" *). κίρνασθαι δὲ ἄριστον τῷ ὕδατι ὡς πλείστῳ τὸν οἶνον καὶ μὴ ὡς ὕδωρ ἐπιζητεῖσθαι καὶ ἀπαμβλύνεσθαι πρὸς τὴν μέθην μηδ' ὡς ὕδωρ ἐπεγχεῖσθαι διὰ τὴν φιλοινίαν· ἄμφω μὲν τοῦ θεοῦ ποιήματα, καὶ ταύτῃ πρὸς ὑγείαν συνεργεῖ ἡ κρᾶσις ἡ ἀμφοῖν, ὕδατός τε καὶ οἴνου, ὅτι ἐκ τοῦ ἀναγκαίου καὶ τοῦ χρησίμου ὁ βίος συνέστηκε.

§. 24. Τῷ μὲν οὖν ἀναγκαίῳ τῷ ὕδατι ὡς ὅτι πλείστῳ ἐγκαταμικτέον καὶ τοῦ χρησίμου, οἴνῳ δὲ ἀμέτρῳ· ἡ μὲν γλῶττα παραποδίζεται, παρεῖται δὲ τὰ χείλη, ὀφθαλμοὶ δὲ παρατρέπονται, οἷον κολυμβώσης τῆς ὄψεως ὑπὸ τοῦ πλήθους τῆς ὑγρότητος, καὶ ψεύδεσθαι βεβιασμένοι κύκλῳ μὲν ἠγρύνται περιφέρεσθαι τὰ πάντα, ἀριθμεῖν δὲ οὐ δύνανται τὰ πόρρω ὡς ἔστι μόνα,

καὶ μὴν ὁρᾶν μοι δύο μὲν ἡλίους δοκῶ,
μεθύων ὁ Θηβαῖος ἔλεγε γέρων· κινουμένη μὲν γὰρ ὑπὸ τῆς τοῦ οἴνου θερμότητος ἡ ὄψις πυκνότερον πολλαπλασίονα τοῦ ἑνὸς φαντάζεται τὴν οὐσίαν, διαφέρει δ' οὐθὲν ἧττον ὄψιν κινεῖν ἢ τὸ ὁρώμενον· ταὐτὸν γὰρ ἐξ ἀμφοῖν ἡ ὄψις πέπονθεν τῆς τοῦ ὑποκειμένου καταλήψεως διὰ τὸν σάλον ἀκριβῶς ἐφικέσθαι μὴ δυναμένη, καὶ αἱ βάσεις καθάπερ ῥεύματι ὑποφέρονται, λυγμοί τε καὶ ἔμετοι καὶ παραφροσύναι ἐπεισεκώμασαν.

P. 181 Pott.

πᾶς γὰρ οἰνωθεὶς ἀνὴρ
κατὰ τὴν τραγῳδίαν
ἥσσων μὲν ἐργῆς ἐστι, τοῦ δὲ νοῦ κενός,

*) Eccles. 31, 27 sq.

φιλεῖ δὲ πολλὴν γλῶτταν ἐχέας μάτην
ἄκων ἀκούειν ἅπερ ἑκὼν εἶπεν κακῶς.
καὶ πρό γε τῆς τραγῳδίας ἡ σοφία κέκραγεν· „οἶνος πινόμενος πολὺς ἐν ἐρεθισμῷ καὶ παντὶ πτώματι πλήθύνει" *).

P. 67 §. 25. Διὸ οἱ μὲν πλεῖστοι ἀνίεσθαί φασι δεῖν Sylb. παρὰ τοὺς πότους καὶ τὰ σπουδαῖα εἰς ἕω ὑπερτίθεσθαι. ἐγὼ δὲ τότε μάλιστα τὸν λόγον συνευωχησόμενον ἀξιῶ παρεισάγειν παιδαγωγήσοντα τὴν οἰνοφλυγίαν, μὴ λάθῃ παρεμπεσοῦσα εἰς μέθην ἡ εὐωχία· ὡς γὰρ ὀφθαλμοὺς οὐκ ἄν τις εὖ φρονῶν πρὶν ἢ ἐπὶ τὸν ὕπνον ἰέναι ἀξιώσειε μύειν, οὕτως οὐδὲ τὸν λόγον ἀπεῖναι τοῦ συμποσίου ὀρθῶς ἄν τις βουληθείη οὐδὲ προκατακοιμίζειν αὐτὸν τῶν πράξεων ἐπιτηδεύσαι ἂν καλῶς, ἀλλ' οὐδὲ ἀφίστασθαί ποτε δυνήσεται τῶν οἰκείων ὁ λόγος αὐτῷ οὐδ' ἂν καθεύδωμεν. καὶ γὰρ ἐπὶ τὸν ὕπνον παρακλητέον. τελεία γὰρ ἡ σοφία θείων οὖσα καὶ ἀνθρωπίνων πραγμάτων ἐπιστήμη, ἐμπεριλαβοῦσα τὰ ὅλα κατ' ἐκεῖνο, καθ' ὃ ἂν ἐπισκοπῇ τὴν ἀνθρώπων ἀγέλην, τέχνη γίνεται περὶ τὸν βίον, καὶ ταύτῃ πάντη συμπάρεστιν ἐφ' ὅσον βιοῦμεν, ἀεὶ τὸ ἴδιον ἔργον ἐκτελοῦσα, τὴν εὐζωΐαν. οἱ δὲ κακοδαίμονες οἱ ἀπελαύνοντες σωφροσύνην εὐωχίας μακαριστὸν ἡγοῦνται βίον τὴν P. 182 ἀκοσμίαν τὴν περὶ τὰ συμπόσια, ὧν ἐστὶ τὸ ζῆν Pott. οὐδὲν ἀλλ' ἢ κῶμος, κραιπάλη, βαλανεῖα, ἄκρατος, ἀμίδες, ἀργία, πότος.

§. 26. Ὁρᾶν γοῦν ἔστιν αὐτῶν τινὰς ἡμιμεθεῖς ἐσφαλμένους περὶ τοῖς τραχήλοις ἔχοντας στεφάνους, ὥσπερ τοὺς ἀμφορεῖς, διαπυτίζοντας ἀλλήλοις τὸν ἄκρατον φιλοτησίας ὀνόματι, ἄλλους δὲ πλήρεις κραιπάλης, αὐχμῶντας, ὠχριῶντας τὰ πρόσωπα, πελιδνοὺς καὶ ἔτι ἐπὶ τῇ χθιζῇ μέθῃ ἄλλην εἰς ἕω αὖθις ἀνατλοῦντας μέθην. καλὸν, ὦ φίλοι, καλὸν

*) Ibid. v. 29 sq.

καταμαθόντας ὅτι μάλιστα πόρρωθεν τὴν εἰκόνα ταύτην τὴν γελοίαν ἅμα καὶ ἐλεεινὴν σφᾶς αὐτοὺς πρὸς τὸ ἄμεινον σχηματίζειν, ὀρρωδοῦντας μὴ ἄρα πῃ καὶ ἡμεῖς παραπλήσιον θέαμα τοῖς ἄλλοις καὶ γέλως γενώμεθα. ἀστείως ἄρα εἴρηται· „ὡς ἄρα κάμινος μὲν δοκιμάζει στόμωμα ἐν βαφῇ, οἶνος δὲ καρδίαν ὑπερηφάνων"*). μέθη μὲν οὖν ἐστὶν ἀκράτου χρῆσις σφοδροτέρα, παροινία δὲ ἡ ἐκ τῆς χρήσεως ἀκοσμία, κραιπάλη δὲ ἡ ἐπὶ τῇ μέθῃ δυσαρέστησις καὶ ἀηδία ἀπὸ τοῦ τὸ κάρα πάλλειν ὠνομασμένη.

§. 27. Τοῦτον τὸν βίον, εἰ βίον καλεῖν χρὴ ῥᾴθυμον ὄντα καὶ περὶ τὰς ἡδυπαθείας κεκινημένον καὶ περὶ τὴν οἰνοφλυγίαν ἐπτοημένον, ἡ θεία σοφία ὑφορωμένη παραγγέλλει τοῖς αὐτῆς τέκνοις· „μὴ ἴσθι οἰνοπότης μηδὲ ἐκτείνου συμβολαῖς κρεῶν ἀγορασμοῖς, πᾶς γὰρ μέθυσος καὶ πυρνοκόπος πτωχεύσει καὶ ἐνδύσεται διερρηγμένα [καὶ ῥακώδη] πᾶς ὑπνώδης"**). ὑπνώδης γὰρ πᾶς ὁ μὴ εἰς σοφίαν ἐργηγορών, ἀλλὰ ὑπὸ μέθης βαπτιζόμενος εἰς ὕπνον. „καὶ διερρωγότα", φησὶν, „ἐνδύσεται ὁ πάροινος, ἐπαισχυνθήσεταί τε τῇ μέθῃ διὰ τοὺς κατοπτεύοντας". ὀπαὶ γὰρ ἁμαρτωλοῦ τὰ διερρωγότα τοῦ ὕφους τοῦ σαρκικοῦ φιληδονίαις κατατετρημένα, δι' ὧν ἡ αἰσχύνη ἔνδοθεν τῆς ψυχῆς ἐπιθεωρεῖται, ἡ ἁμαρτία, δι' ἣν οὐδὲ σωθήσεται ῥᾳδίως τὸ ὕφος τὸ ἀπεσπασμένον πάντοθεν εἰς πολλὰς κατασηπόμενον ἐπιθυμίας τὸ ἀπεσχισμένον τῆς σωτηρίας. ταύτῃ νουθετικώτατα ἐπιφέρει· „τίνι οὐαὶ, τίνι θόρυβος, τίνι κρίσεις, τίνι ἀηδεῖς λέσχαι, τίνι συντρίμματα διακενῆς"***); Pou ὁρᾶτε ὅλον διερρωγότα τὸν φιλοινον, ὃς παρορᾷ μὲν τὸν λόγον αὐτὸν, ἔκδοτον δὲ ἑαυτὸν συνεχώρησεν τῇ μέθῃ, ὅσα τούτῳ ἠπείλησεν ἡ γραφή. καὶ πάλιν ἐπι-

*) Eccles. 31, 26. **) Prouerb. 23, 20 sq. ***) Ibid. v. 29.

φέρει τῇ ἀπειλῇ· „τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται" *); ἐνταῦθα μὲν καὶ νεκρὸν ἤδη τῷ λόγῳ τὸν φιλοπότην ἀποφαίνεται διὰ τῶν ὀφθαλμῶν τῶν πελιδνῶν, ὃ τοῖς νεκροῖς σημεῖον ἐπιφαίνεται, τὸν ἐν κυρίῳ θάνατον αὐτῷ καταγγείλασα, ἡ γὰρ ἀμνηστεία τῶν εἰς τὴν ἀληθῆ συντεινόντων ζωὴν ἐπὶ τὴν φθορὰν ῥέπει.

§. 28. Εἰκότως οὖν στερρότατα ὁ παιδαγωγὸς ἀπαγορεύει τῆς ἡμετέρας κηδόμενος σωτηρίας, „μὴ πίνετε οἶνον ἐπὶ μέθῃ". διὰ τί, πεύσῃ; „ὅτι", φησί, „τὸ στόμα σοὺ τότε λαλήσει σκολιὰ, κατάκεισαι δὲ ὥσπερ ἐν καρδίᾳ θαλάσσης καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι" **). ἐντεῦθεν καὶ ἡ ποιητικὴ ὠφελημένη λέγει·

οἰνός θ', ὃς πυρὶ ἶσον ἔχει μένος, εὖτ' ἂν ἐς ἄνδρας
ἔλθῃ, κυμαίνει δ' οἷα Λίβυσσαν ἅλα
Βορρῆς ἠὲ Νότος,
τὰ δὲ καὶ κεκρυμμένα πάντα φαίνει
ἁμαρτοεπὴς οἶνος, μεθύουσιν ὅλμσθος
οἶνος ψυχαπάτης

καὶ τὰ ἑξῆς. ὁρᾶτε τοῦ ναυαγίου τὸν κίνδυνον; περικλύζεται μὲν ἡ καρδία πολυποσίᾳ, τὸ δὲ πλῆθος τῆς οἰνοφλυγίας θαλάττης εἴκασεν ἀπειλῇ, ἐν ᾗ βεβυθισμένον τὸ σῶμα ὥσπερ ναῦς δέδυκεν εἰς βυθὸν ἀκοσμίας ταῖς τοῦ οἴνου τροκυμίαις ἐπικεχωσμένον, ὁ δὲ κυβερνήτης, ὁ νοῦς ὁ ἀνθρώπινος, περιφέρεται τῷ κλύδωνι ὑπερεχούσης τῆς μέθης, ἐνθαλαττεύων τε εἰλιγγιᾷ τῷ ζάφῳ τῆς καταιγίδος, τοῦ τῆς ἀληθείας ἀστοχήσας λιμένος, ἕως ἀντιπεριπεσὼν ὑφάλοις πέτραις αὐτὸς αὑτὸν ἐξοκείλας εἰς ἡδονὰς διαφθείρῃ.

§. 29. Εἰκότως οὖν καὶ ὁ ἀπόστολος παραγγέλλει· „μὴ μεθύσκεσθε ἐν οἴνῳ, ᾧ ἐστὶν ἀσω- P. 184
τία πολλὴ" ***), τὸ ἄσωστον τῆς μέθης διὰ τῆς Pott.

*) Proverb. 23, 29 sq. **) Ibid. v. 33 sq. ***) Ephes. 5, 18.

ἀσωτίας αἰνιξάμενος. εἰ γὰρ καὶ τὸ ὕδωρ οἶνον ἐν τοῖς γάμοις πεποίηκεν, οὐκ ἐπέτρεψε μεθύειν, τὸ δὲ ὑδαρὲς τοῦ φρονήματος ἐζωοποίησε τοῦ νόμου τὸν ἐργάτην τὸν ἐξ Ἀδὰμ, τὸν κόσμον ὅλον αἵματι πληρώσας, ἀμπέλου ποτὸν ἀληθείας τὸ κρᾶμα τοῦ νόμου τοῦ παλαιοῦ καὶ τοῦ λόγου τοῦ νέου εἰς συμπλήρωσιν τοῦ χρόνου τοῦ προκατηλλαγμένου Θεοσεβείᾳ παρασχών. μυστικὸν ἄρα σύμβολον ἡ γραφὴ αἵματος ἁγίου οἶνον ὠνόμασεν, τὴν δὲ ἐκ τοῦ οἴνου ἑωλοκρασίαν διελέγχουσα „ἀκόλαστον οἶνος" φησὶ „καὶ ὑβριστικὸν μέθη" *). ἀρέσκει τοίνυν τῷ λόγῳ τῷ ὀρθῷ χειμῶνος μὲν διὰ τὸ κρύος πίνειν μέχρι τοῦ μὴ ῥιγοῦν, οἷς εὐχερὲς τὸ ῥιγοῦν, τοῦ δὲ ἄλλου καιροῦ διὰ τὴν τῶν ἐντοσθιδίων θεραπείαν. ὡς γὰρ τροφαῖς ἐπὶ τὸ μὴ πεινᾶν, οὕτως καὶ ποτῷ ἐπὶ τὸ μὴ διψῆν χρηστέον, παραφυλάττοντας τὸν ὄλισθον ἀκριβῶς· ἀκροσφαλὴς γὰρ ἡ τοῦ οἴνου παρείσδυσις. οὕτω δ' ἂν καὶ ἡ ψυχὴ ἡμῶν ὑπάρξαι καθαρὰ καὶ ξηρὰ καὶ φωτοειδὴς, αὖη δὲ ψυχη, ξηρὰ, σοφωτάτη καὶ ἀρίστη· ταύτῃ δὲ καὶ ἐποπτικὴ, οὐδὲ ἔστι κάθυγρος ταῖς ἐκ τοῦ οἴνου ἀναθυμιάσεσι νεφέλης δίκην σωματοποιουμένη.

§. 30. Οὐ πολυπραγμονητέον τοίνυν τὸν οἶνον τὸν Χῖον, ἂν ἀπῇ, οὐδὲ τὸν Ἀριούσιον, ὅταν μὴ παρῇ. δίψα γὰρ ἐνδείας τινός ἐστι πάθος καὶ τὸ κατάλληλον ἐπιζητεῖ βοήθημα πρὸς ἀναπλήρωσιν οὐ τετυφωμένον ποτόν. πλαδώσης δὲ ὀρέξεως δι' ἀκρασίαν αἱ διαπόντιοι οἰνηγίαι, παραφρονούσης καὶ πρὸ τῆς μέθης περὶ τὰς ἐπιθυμίας τῆς ψυχῆς. Θάσιός τε γὰρ ὁ εὐώδης καὶ ὁ εὔπνους Λέσβιος καὶ Κρής τις γλυκὺς καὶ Συρακούσιος ἡδὺς καὶ Μενδήσιός τις Αἰγύπτιος καὶ ὁ νησιώτης Νάξιος καὶ ἀνθεσμίας τις ἄλλος τῆς Ἰταλῶν γῆς — πολλὰ ταῦτα ὀνόματα — σώφροσι συμπότῃ οἶνος εἷς, ἑνὸς γε-

P. 68 8yib. P. 185 Pon.

*) Prouerb. 20, 1.

ὠργιον θεοῦ. τί γὰρ οὐκ ἀπόχρη ὁ ἐπιχώριος ἀποπληρῶσαι τὴν ἐπιθυμίαν; εἰ μή τι καὶ τὸ ὕδωρ ἐποίσονται, ὡς οἱ βασιλεῖς οἱ ἀνόητοι. Χόασπις ποταμὸς οὕτω λεγόμενος τῆς Ἰνδικῆς, οὗ κάλλιστον ὕδωρ εἰς πόσιν τὸ Χοάσπιον, καθάπερ καὶ τοὺς φίλους, οὕτω δὲ καὶ τὸ ὕδωρ ἐπαγόμενον. ταλανίζει τοὺς πλουσίους εἰς τρυφὴν κἀνταῦθα τὸ ἅγιον πνεῦμα διὰ τοῦ Ἀμὼς ἐκφωνῆσαν· „οἱ πίνοντες τὸν διυλισμένον οἶνον καὶ ἐπὶ κλίνης ἐλεφαντίνης", φησὶ, „κατακείμενοι"*), καὶ ὅσα τούτοις ἀκόλουθα ἐν ὀνείδους ἐπήγαγεν μέρει.

§. 31. Προνοητέον δὲ μάλιστα τῆς εὐσχημοσύνης, καὶ γὰρ τὴν Ἀθηνᾶν φησὶν ὁ μῦθος, ἥτις ποτὲ ἦν, προμηθουμένην αὐτῆς τῶν αὐλῶν ἀπορρῖψαι τὸ ἐπιτερπὲς διὰ τὸ ἀπρεπὲς τῆς ὄψεως, ὡς ἀδιαστρόφως τῷ προσώπῳ πιεῖν, μὴ ἄδην σπάσαντας μηδὲ πρὸ πόσεως τοὺς ὀφθαλμοὺς ἀσχημονεῖν ἀναγκάζοντας, ἀμυστεὶ ἕλκοντας ὑπὸ ἀκρασίας, μηδὲ περιχεῖν τὸ γένειον ἢ τὴν ἐσθῆτα καταβρέχειν, ἀθρόου τοῦ ποτοῦ ἐπεισχεομένου, μονονουχὶ ἐμπλύνοντα καὶ ἐναποκλυζόμενον ταῖς φιάλαις τὸ πρόσωπον τὸ αὐτῶν, καὶ γὰρ ὁ κελαρυσμὸς ῥαγδαίου τοῦ ποτοῦ φερομένου σὺν πολλῷ τῷ πνεύματι ἐπισπωμένου ὥσπερ εἰς κεραμεοῦν ἄγγος ἐγχεομένου, ἠχοῦντος τοῦ λαιμοῦ διὰ τὸν ῥοώδη καταβροχθισμόν, αἰσχρὸν καὶ ἀπρεπὲς τὸ θέαμα τῆς ἀκρασίας, πρὸς δὲ καὶ ἐπιβλαβὲς τὸ ἐπιτήδευμα τῷ μεταλαμβάνοντι ἡ φιλοποσία. μὴ σπεύσῃς εἰς βλάβην, ὦ οὗτος. οὐχ ἁρπάζεταί σου τὸ ποτόν· σοὶ δέδοται καὶ ἀναμένει σε. μὴ διαρραγῇναι σπουδάσῃς, χανδὸν ἕλκυσας· πίμπλαταί σου ἡ δίψα κἂν βράδιον πίῃς, τὸ κόσμιον προσλαβοῦσα, κοσμίως καταμεριζομένου τοῦ ποτοῦ· οὐ γὰρ ἀφαιρεῖται τῷ χρόνῳ, ὃ προαρπάζει ἡ ἀκρασία, „ἐν οἴνῳ δὲ", φησὶ, „μὴ ἀνδρίζου, πολλοὺς γὰρ ἠχρείωσεν ὁ οἶνος"**). P. 186 Potu

*) Amos 6, 6. 4. **) Eccles. 31, 25.

§. 32. *Μέθη δὲ μάλιστα οἱ Σκύθαι χρῶνται Κελτοί τε καὶ Ἴβηρες καὶ Θρᾷκες πολεμικὰ ξύμπαντα ταῦτα ὄντα γένη καὶ καλὸν καὶ εὔδαιμον ἐπιτήδευμα ἐπιτηδεύειν νενομίκασιν, ἡμεῖς δὲ τὸ εἰρηνικὸν γένος εἰς ἀπόλαυσιν, οὐκ εἰς ὕβριν ἑστιώμενοι νηφαλίους πίνομεν φιλοτησίας, ἵνα δὴ τῷ ὄντι οἰκείως τῷ ὀνόματι δειχθῶσιν φιλότητες. πῶς οἴεσθε πεπωκέναι τὸν κύριον, ὁπηνίκα δι' ἡμᾶς ἄνθρωπος ἐγένετο; οὕτως ἀναισχύντως ὡς ἡμεῖς; οὐχὶ ἀστείως; οὐχὶ κοσμίως; οὐκ ἐπιλελογισμένως; εὖ γὰρ ἴστε, μετέλαβεν οἴνου καὶ αὐτός· καὶ γὰρ ἄνθρωπος καὶ αὐτός· καὶ εὐλόγησέν γε τὸν οἶνον, εἰπών, „λάβετε, πίετε· τοῦτό μού ἐστιν τὸ αἷμα"*), αἷμα τῆς ἀμπέλου, τὸν λόγον τὸν περὶ πολλῶν ἐκχεόμενον εἰς ἄφεσιν ἁμαρτιῶν εὐφροσύνης ἅγιον ἀλληγορεῖ νᾶμα. καὶ ὅτι μὲν σωφρονεῖν τὸν πίνοντα δεῖ, δι' ὧν ἐδίδασκεν παρὰ τὰς εὐωχίας ἔδειξεν σαφῶς· οὐ γὰρ μεθύων ἐδίδασκεν. ὅτι δὲ οἶνος ἦν τὸ εὐλογηθέν, ἀπέδειξε πάλιν πρὸς τοὺς μαθητὰς λέγων· „οὐ μὴ πίω ἐκ τοῦ γεννήματος τῆς ἀμπέλου ταύτης, μέχρις ἂν πίω αὐτὸ μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τοῦ πατρός μου"**). ἀλλ' ὅτι γε οἶνος ἦν τὸ πινόμενον πρὸς τοῦ κυρίου, πάλιν αὐτὸς περὶ ἑαυτοῦ λέγει τὴν Ἰουδαίων ἐπονειδίζων σκληροκαρδίαν· „ἦλθεν γὰρ", φησίν, „ὁ υἱὸς τοῦ ἀνθρώπου· καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης τελωνῶν φίλος"***).*

§. 33. *Τουτὶ μὲν ἡμῖν καὶ πρὸς τοὺς ἐγκρατητὰς καλουμένους παραπεπήχθω, αἱ δὲ γυναῖκες τὸ εὐσχήμον ἐπαναιρούμεναι δῆθεν ὡς μὴ ταῖς πλατείαις κύλιξιν διαχέουσαι τὰ χείλη περιρραγεῖς γένωνται πλατυνομένου τοῦ στόματος στεναῖς κομιδῇ κατὰ τὸ στόμιον ἀλαβάστροις, ἀσχημόνως πίνουσαι, ἀνακλῶσι μὲν τὰς κεφαλὰς, γυμνοῦσι δὲ τοὺς τραχή-*

*) Matth. 26, 27 sq. **) Ibid. v. 29. Marc. 14, 25. ***) Luc. 7, 34.

λους, οὐ κοσμίως, ἐμοὶ δοκεῖν, καὶ τὸν λάρυγγα διατείνουσαι περὶ τὴν κατάποσιν βροχθίζουσιν, οἷον ἀπογυμνούμεναι τοῖς συμπόταις, ἃ δύνανται, ἐρυγάς τε ἀνδρώδεις ἐπισπώμεναι, μᾶλλον δὲ ἀνδραποδώδεις, προσεπιθρύπτονται σπαταλῶσαι· οὐδεὶς γὰρ ψόγος οἰκεῖος ἀνδρὶ λογικῷ, ἔτι δὲ μᾶλλον γυναικὶ, ᾗ καὶ τὸ συνειδέναι αὐτὴ ἑαυτῇ, ἥτις εἴη μόνον, αἰσχύνην φέρει. „ὀργὴ δὲ", φησὶ, „μεγάλη γυνὴ μέ- P. 187 Sylb. θυσος"*), οἱονεὶ χόλος θεοῦ οἰνομάχλη γυνή. Pott. διὰ τί; ὅτι „ἀσχημοσύνην αὐτῆς οὐ συγκαλύπτει"· ταχὺ γὰρ εἰς ἀταξίαν ὑποσύρεται γυνὴ, κἂν μόνον ἐπιδῷ τὴν προαίρεσιν εἰς ἡδονάς. καὶ οὐχὶ ἀλαβάστροις πίνειν κεκωλύκαμεν· ἀλλὰ τὸ ἐπιτηδεύειν ἐν τούτοις μόνον πίνειν, ὡς ἀλαζονικὸν, περικόπτομεν τοῖς παρατυχοῦσιν ἀπροσπαθῶς χρῆσθαι συμβουλεύοντες, πόρρωθεν ἄνωθεν ὀλισθανούσας ἀνακόπτοντες αὐταῖς τὰς ὀρέξεις. εἰ δὴ πρὸς ἐρυγὴν ἀναπλωτάζουσα τοῦ ἀέρος ἐφέπειξις ἡσυχῇ παραπεμπτέα, κατ᾽ οὐδένα τρόπον ταῖς γυναιξὶν ἐπιτρεπτέον παραγυμνούσας τι τοῦ σώματος καταφαίνεσθαι, μὴ σφαλεῖεν ἄμφω, οἱ μὲν ἐρεθιζόμενοι κατασκοπεῖν, αἱ δὲ τῶν ἀνδρῶν ἐφ᾽ ἑαυτὰς ἐπισπώμεναι τὰς ὄψεις. ἀεὶ δὲ ὡς παρόντος τοῦ κυρίου κοσμίως ἀναστρεπτέον ἡμῖν, μή πη ἄρα καὶ ἡμῖν ὡς Κορινθίοις ὁ ἀπόστολος χαλεπήνας εἴπῃ· „συνερχομένων ὑμῶν οὐκ ἔστι κυριακὸν δεῖπνον φαγεῖν"**).

§. 34. Ἐμοὶ δοκεῖ ὁ ἀκέφαλος πρὸς τῶν μαθηματικῶν καλούμενος ὁ πρὸ τοῦ ἀστέρος τοῦ πλαγωμένου καταριθμούμενος συνιζηκυίας τῆς κεφαλῆς εἰς τὸ στῆθος τοὺς ὀψοφάγους καὶ ἡδονικοὺς καὶ τοὺς ἑτοίμους εἰς μέθην αἰνίττεσθαι. καὶ γὰρ οὖν κἂν τούτῳ τὸ λογιστικὸν ἵδρυται οὐκ ἐν τῇ κεφαλῇ, ἀλλ᾽ ἐν τοῖς ἐντοσθιδίοις πάθεσιν ἐπιθυμίᾳ τε καὶ θυμῷ δεδουλωμένον. ὥστε ὅτῳ τρόπῳ Ἐλπήνωρ ἀστρα-

*) Eccles. 26, 8. **) 1 Cor. 11, 20.

γάλων ἐάγη*) καταπεσὼν ὑπὸ μέθης, οὕτω τούτων ὁ ἐγκέφαλος ἄνωθεν ἰλιγγιάσας ὑπὸ μέθης ἐπὶ τὸ ἦπαρ καὶ τὴν κάρδίαν, τουτέστιν ἐπὶ τὴν φιληδονίαν καὶ τὸν θυμὸν, καταπίπτει πτῶμα μεῖζον, ἢ φασὶ ποιητῶν παῖδες πρὸς τοῦ Διὸς τὸν Ἥφαιστον οὐρανόθεν ἐρῖφθαι χαμαὶ. „πόνος δὲ ἀγρυπνίας", φησὶ, „καὶ χολέρα καὶ στρόφος μετ' ἀνδρὸς ἁπλήστου" **). διὰ τοῦτό τοι καὶ ἡ τοῦ Νῶε παροινία ἀνάγραπτος γεγένηται, ἵνα ὡς ὅτι μάλιστα τὴν μέθην φυλαττώμεθα ἐμφανῆ καὶ ἔγγραπτον τὴν εἰκόνα τοῦ παραπτώματος ἔχοντες, δι' ἣν οἱ σκεπάσαντες τὴν ἀσχημοσύνην τῆς μέθης εὐλογοῦνται παρὰ κυρίῳ. συντομώτατα τοίνυν ἐμπεριλαβοῦσα ἡ γραφὴ ἅπαντα ἐν ἑνὶ λόγῳ εἴρηκεν, „τὸ ἱκανὸν ἀνθρώπῳ πεπαιδευμένῳ οἶνος καὶ ἐπὶ τῆς κοίτης αὐτοῦ ἀναπαύσεται" ***).

Cap. III.

Ὅτι οὐ χρὴ περὶ τὴν πολυτέλειαν τῶν σκευῶν ἐσπουδακέναι. P. 188 Pott.

§. 35. Ἐκπωμάτων τοίνυν ἀργύρου καὶ χρυσοῦ πεποιημένων λιθοκολλήτων τε ἄλλων ἄθετος ἡ χρῆσις, ὄψεως ἁπάτη μόνον· εἴτε γὰρ αὐτοῖς ἐγχέαι τις θερμοῦ κράματος διαπυρουμένων τῶν σκευῶν ἐπώδυνος ἡ λῆψις, εἴτε αὖ ψυχρὸν πάλιν ἐγχέαι, μεταδίδωσι τῆς ποιότητος ἡ ὕλη λυμαινομένη τὸ κρᾶμα. καὶ ἔστιν ἐπιβλαβὴς ἡ πόσις ἡ πλουσία. ἐρρέτων τοίνυν Θηρίκλειοί τινες κύλικες καὶ Ἀντιγονίδες κάνθαροί τε καὶ Λαβρώνιοι καὶ λεπαστοὶ καὶ τῶν ἐκπωμάτων εἴδη τὰ μυρία, ψυκτῆρές τε ἐπὶ τούτοις καὶ οἰνοχόαι· χρυσός τε γὰρ ἁπαξαπλῶς καὶ ἄργυρος ἰδίᾳ τε καὶ δημοσίᾳ ἐστὶν ἐπιφθονον κτῆμα· τὴν

*) Hom. Od. λ. 560. **) Eccles. 31, 23. ***) Ibid. v. 19.

χρείαν ὑπερβεβηκὸς, κτήσασθαί τε σπάνιον καὶ τηρῆσαι δύσκολον καὶ οὐκ ἐπιτήδειον χρήσασθαι. ναὶ μὴν καὶ τορευτῶν περίεργος ἐφ' ὕελῳ κενοδοξία εἰς θραῦσιν διὰ τέχνης ἑτοιμοτέρα δεδιέναι τε ἅμα καὶ πίνειν διδάσκουσα περιοριστέα τῆς εὐνομίας ἡμῖν. κλιντῆρες δὲ ἀργυροῖ καὶ λεκάναι καὶ ὀξύβαφα καὶ πινακίσκοι καὶ τρυβλία, πρὸς ἐπὶ τούτοις σκεύη ἀργυρᾶ τε καὶ χρυσᾶ, τὰ μὲν εἰς διακονίαν τροφῆς, τὰ δὲ καὶ εἰς ἄλλας τινὰς, αἰσχύνομαι καὶ λέγειν, χρείας κέδρου τ' εὐκεάτοιο καὶ θύου *) καὶ ἐβένου καὶ ἐλέφαντος, τρίποδες ἠσκημένοι, κλῖναί τε ἀργυρόποδες καὶ ἐλεφαντοκόλλητοι, χρυσόστικτοί τε καὶ χελώνης πεποικιλμέναι κοίτης κλισιάδες, στρωμναί τε ἀλουργεῖς καὶ ἄλλων χρωμάτων δυσπορίστων, ἀπειροκάλου τρυφῆς τεκμήρια, φθόνου καὶ βλακείας ἐπίβουλα πλεονεκτήματα παραπεμπτέα ἅπαντα, οὐδ' ἡντινοῦν ἀξιόλογον ἔχοντα σπουδήν. „ὁ γὰρ καιρὸς συνεσταλμένος ἐστὶν" **), ὡς φησιν ὁ ἀπόστολος. τοῦτο ὑπολείπεται μὴ γελοίως σχηματισθῆναι, καθάπερ ἐν ταῖς πομπαῖς ὁρῶνταί τινες ἔξωθεν κεχρισμένοι καταπληκτικῶς εἰς σεμνότητα, τὰ ἔνδον ἄθλιοι.

§. 36. Τοῦτο δὴ διασαφῶν ἀκριβέστερον ἐπήγαγεν· „λοιπόν ἐστιν ἵνα καὶ οἱ ἔχοντες γυναῖκας ὡς P. 189 μὴ ἔχοντες ὦσιν, καὶ οἱ ἀγοράζοντες ὡς μὴ κατέ- Pott. χοντες" ***). εἰ δὲ ἐπὶ γάμον ταῦτα, ἐφ' οὗ φησὶν ὁ θεὸς, „πληθύνεσθε" †), πῶς οἴεσθε τὴν ἀπειροκαλίαν μὴ ἐξ ἀνθεντείας κυριακῆς ἐξοριστέαν; διὰ τοῦτο καὶ „πώλησόν σου τὰ ὑπάρχοντα", λέγει ὁ κύριος „καὶ πτωχοῖς δός, καὶ δεῦρο ἀκολούθει μοι" ††), ἵνα τῷ θεῷ γυμνὸς ἀλαζονείας, γυμνὸς ἐπικήρου πομπῆς, τὸ σὸν, τὸ ἀγαθὸν, τὸ ἀναφαίρετον μόνον, τὴν εἰς τὸν θεὸν πίστιν, τὴν εἰς τὸν παθόντα ὁμολογίαν, τὴν εἰς ἀνθρώπους εὐεργεσίαν κεκτημένος,

*) Cf. Hom. Od. ε. 60. **) 1 Cor. 7, 29. ***) Ibid. v. 29 sq. †) Genes. 1, 21. ††) Matth. 19, 21. Marc. 10, 21. Luc. 18, 22.

κτῆμα τιμαλφέστατον. ἐγὼ δὲ καὶ Πλάτωνα ἀποδέχομαι ἄντικρυς νομοθετοῦντα, ὡς οὔτε ἀργυροῦν δεῖ πλοῦτον οὔτε χρυσοῦν ἀσκεῖν ἔχειν, ἀλλὰ μήτε σκεῦος ἀχρεῖον, ὃ μὴ μετὰ τῆς ἀναγκαίας χρήσεως καὶ μέτριόν ἐστιν, ὡς εἰς πολλὰ τὸ αὐτὸ εὔθετον εἴη, καθαιροῖτο δὲ ἡ πολυκτημοσύνη. παγκάλως γοῦν ἡ θεία πού λέγει γραφὴ πρὸς τοὺς φιλαύτους καὶ ἀλαζόνας ἀποτεινομένη· „ποῦ εἰσὶν οἱ ἄρχοντες τῶν ἐθνῶν καὶ οἱ κυριεύοντες τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, οἱ ἐν τοῖς ὀρνέοις τοῦ οὐρανοῦ ἐμπαίζοντες, οἱ τὸ ἀργύριον θησαυρίζοντες καὶ τὸ χρυσίον, ᾧ ἐπεποίθεισαν ἄνθρωποι, καὶ οὐκ ἔστι τέλος τῆς κτήσεως αὐτῶν, οἱ τὸ ἀργύριόν τε καὶ τὸ χρυσίον τεκταίνοντες καὶ μεριμνῶντες; οὐκ ἔστιν ἐξεύρεσις τῶν ἔργων αὐτῶν· ἠφανίσθησαν καὶ εἰς Ἅιδου κατέβησαν"*).

§. 37. Οὗτος τῆς ἀπειροκαλίας ὁ μισθός. εἰ γάρτοι γεωργοῦσιν ἡμῖν δικέλλης ἐστὶ χρεία καὶ ἀπότρου, μαχέλλην δ' οὐκ ἄν τις ἀργυρᾶν οὐδὲ ἄμην χρυσῆν χαλκεύοι, τῷ δὲ εὐεργῷ τῆς ὕλης οὐ πλουσίως εἰς γεηπονίαν συγχρώμεθα· τί κωλύει καὶ περὶ τὰ σκεύη τὰ ἐνοικίδια τὴν αὐτὴν ἔχειν διάνοιαν τοὺς τοῦ ὁμοίου θεωρητικούς; ὧν μέτρον ἡ χρεία, μὴ ἡ πολυτέλεια γινέσθω. τί γάρ, εἰπέ μοι, τὸ μαχαίριον τὸ ἐπιτραπέζιον, ἂν μὴ ἀργυρόηλον ᾖ ἢ ἐξ ἐλέφαντος πεποιημένον τὴν λαβήν; οὐ τέμνει; ἢ ἐπὶ τὴν μοῖραν τοῦ κρέως Ἰνδικὸν σίδηρον χαλκευτέον, καθάπερ συμμαχικόν τι παρακαλοῦντας; τί δέ; εἰ κεραμεοῦν εἴη τὸ χερνίβιον, οὐ δέξεται τὸ ἀπόνιμμα τῆς χειρός; οὐδὲ ὁ ποδονιπτὴρ τὸ ἀπόνιμμα τοῦ ποδός; ἀναξιοπαθήσει δὲ ἄρα καὶ ἡ τράπεζα P. 19 ἢ ἐξ ἐλέφαντος τοὺς πόδας ἐσκευασμένη ὀβολιαῖον Po ἄρτον βαστάσασα; οὐδὲ μὴν ὁ λύχνος διακονήσει τὸ φῶς, ὅτι κεραμέως, οὐ χρυσοχόου ἔργον ἐστίν; ἐγὼ δέ φημι καὶ τοὺς σκίμποδας οὐδὲν κακίω παρεχομέ-

*) Baruch. 3, 16—19.

νους κατάκλισιν τῆς ἐλεφαντίνης κλίνης, τῆς δὲ σισύρας ἱκανωτάτης οὔσης ὑπεστρῶσθαι, ὥστε μὴ δεῖσθαι φοινικίδων ἢ πορφυρίδων, κατεγνῶσθαι ὅμως τῆς εὐτελείας δι' ἀβελτερίαν ἀρχεκάκου τρυφῆς.

§. 38. Τίς ἡ τοσαύτη πλάνη, τίς ἡ δοξοκαλία, ὁρᾶτε. ὁ κύριος τρυβλίῳ ἐπωψᾶτο εὐτελεῖ καὶ κατέκλινεν τοὺς μαθητὰς ἐπὶ τῆς πόας χαμαὶ καὶ τοὺς πόδας ἔνιπτεν αὐτῶν σαβάνῳ περιζωσάμενος ὁ ἄτυφος θεὸς καὶ κύριος τῶν ὅλων, οὐκ ἀργυροῦν δὴ ποδονιπτῆρα περιφέρων ἀπ' οὐρανοῦ. καὶ τὴν Σαμαρεῖτιν ᾔτει πιεῖν σκεύει κεραμεῷ τοῦ φρέατος ἀνιμῶσαν, οὐκ ἐπιζητῶν τὸ βασιλικὸν χρυσίον, σβεννύναι δὲ τὸ δίψος εὐκόλως διδάσκων· σκοπὸν γὰρ τὴν χρείαν ἐτίθετο, οὐ τὴν ἀπειραγαθίαν. ἤσθιεν δὲ καὶ ἔπινεν παρὰ τὰς εὐωχίας, οὐ γῆς ἐξορύττων μέταλλα οὐδὲ ἀργύρου καὶ χρυσοῦ, τοῦτ' ἔστιν ἰοῦ, προσόζουσι σκευαρίοις χρώμενος, οἷον ἀναπνεῖ τῆς τε τυφωμένης ὕλης ὁ ἰός. καθόλου γὰρ καὶ τὰς τροφὰς καὶ τὰς ἐσθῆτας καὶ τὰ σκεύη καὶ τἄλλα πάντα τὰ κατὰ τὸν οἶκον συλλήβδην λέγω, ἀκόλουθον εἶναι ταῖς ἐνστάσεσιν τοῦ Χριστιανοῦ δεῖ, κατὰ τὸ πρόσφορον οἰκειούμενον τῷ προσώπῳ, τῇ ἡλικίᾳ, τῇ ἐπιτηδεύσει, τῷ καιρῷ. ἑνὸς γὰρ ὄντας θεράποντας θεοῦ χρὴ καὶ τὰ κτήματα καὶ τὰ ἐπ' αὐτοῖς ἔπιπλα ἑνὸς ἐπιδείκνυσθαι, σύμβολα βίου καλοῦ, καὶ τὸν καθ' ἕνα τῶν ἀνθρώπων ἀδιακρίτῳ πίστει, τῇ μονοπροσώπῳ ταύτῃ ἐνστάσει, τὰ ἑξῆς ἀκόλουθα καὶ σύμφωνα τῇ διαθέσει τῇ μιᾷ φαίνεσθαι ποιοῦντα. ἃ δὲ καὶ κτώμεθα μὴ χαλεπῶς, καὶ χρώμενοι εὐκόλως ἐπαινοῦμεν καὶ φυλάττομεν ῥᾳδίως καὶ κοινωνοῦμεν εὐκόλως αὐτῶν. ἀμείνω δὲ τὰ χρήσιμα, βελτίω δὲ δήπουθεν τὰ εὐτελέστερα τῶν πλουσίων. τὸ δὲ ὅλον P. 191
ὁ πλοῦτος οὐκ ὀρθῶς κυβερνώμενος ἀκρόπολίς ἐστι Pott.
κακίας, περὶ ὧν ὀφθαλμιῶντες οἱ πολλοὶ οὐκ ἂν ποτε εἰς τὴν βασιλείαν παρεισέλθοιεν τῶν οὐρανῶν, νο-

σοῦντες μὲν περὶ τὰ κοσμικὰ, ὑπερηφάνως δὲ ζῶντες διὰ τὰς τρυφάς.

§. 39. Χρὴ δὲ προειληφέναι τοὺς ἐπὶ σωτηρίᾳ σπεύδοντας ὡς ἄρα χρήσεως μὲν ἕνεκεν ἡ πᾶσα ἡμῶν κτῆσις, αὐταρκείας δὲ χάριν ἡ κτῆσις, ἣν καὶ ἐξ ὀλίγων ἄν τις περιποιήσαιτο. μάταιοι γὰρ οἱ δι' ἀπληστίαν ἐπ' αὐτοῖς χαίροντες κειμηλίοις· „ὁ δὲ συνάγων τοὺς μισθοὺς", φησὶν, „συνήγαγεν εἰς δεσμὸν τετρυπημένον" *). οὗτός ἐστιν ὁ συνάγων καὶ ἀποκλείων τὸν σπόρον καὶ ἐλαττούμενος, ὃ μηδενὶ μεταδιδούς. χλεύη δὲ καὶ γέλως πλατὺς οὐροδόχας ἀργυρᾶς καὶ ἀμίδας ὑελᾶς ἐπιφέρεσθαι τοὺς ἄνδρας, καθάπερ ἐπάγονται τοὺς συμβούλους τοὺς ἑαυτῶν· καὶ τὰς πλουτούσας ταύτας ἀλόγως γυναῖκας χρυσοῦ ποιεῖσθαι τῶν ἐκκρίσεων τὰ ἐκδοχεῖα, ὡς μηδὲ ἀποτρίψασθαι ἐξὸν ταῖς πλουσίαις μὴ τετυφωμένως. ἡδέως δ' ἂν αὐτοῖς παρ' ὅλον τὸν βίον σκυβάλων ἄξιον κρίνεσθαι τὸ χρυσίον. νυνὶ δὲ ἡ ἀκρόπολις τῆς κακίας ἡ φιλαργυρία εὕρηται, ἣν ὁ ἀπόστολος „ῥίζαν ἁπάντων εἶναι τῶν κακῶν" φησὶν, „ἧς τινὲς ὀρεγόμενοι ἀπεπλανήθησαν τῆς πίστεως καὶ ἑαυτοὺς περιέπειραν ὀδύναις πολλαῖς" **). πλοῦτος δὲ ἄριστος ἡ τῶν ἐπιθυμιῶν πενία καὶ ἡ μεγαλοφροσύνη ἡ ἀληθὴς οὐ τὸ ἐπὶ πλούτῳ μεγαλοφρονεῖν, τούτου δὲ καταφρονεῖν, τὸ δὲ ἐπὶ τοῖς σκεύεσι μεγαλαυχεῖν αἰσχρὸν κομιδῇ· οὐ γὰρ σπουδάζειν ἔτι περὶ τούτων πάνυ δίκαιον, ἃ καὶ ἐξ ἀγορᾶς τῷ βουλομένῳ ἔξεστιν ὠνήσασθαι, σοφία δὲ οὐκ ὠνητὴ νομίσματι γηΐνῳ οὐδ' ἐν ἀγορᾷ, ἀλλ' ἐν οὐρανῷ πιπράσκεται καὶ πιπράσκεται νομίσματι δικαίῳ, τῷ λόγῳ τῷ ἀφθάρτῳ, τῷ βασιλικῷ χρυσίῳ.

---

*) Hag. 1, 6. **) 1 Timoth. 6, 10.

Cap. IV.

P. 192 Pott.

Πῶς χρὴ περὶ τὰς ἑστιάσεις ἀνίεσθαι;

§. 40. Ἀπέστω δὲ ἡμῖν τῆς λογικῆς εὐωχίας ὁ κῶμος, ἀλλὰ καὶ αἱ παννυχίδες αἱ μάταιοι ἐπὶ παροινίᾳ κομῶσαι· ὃ μὲν γάρ ἐστι μεθυστικὸς αὐλὸς ἄλυς
P. 71 ἐρωτικῆς σχεδίας, τῆς ἀδημονίας ὁ κῶμος· ἔρως
Lib. δὲ καὶ μέθη καὶ τὰ ἀλόγιστα πάθη μακρὰν ἀπώκισται τοῦ ἡμεδαποῦ χοροῦ. σύγκωμος δὲ παρῳδία τίς ἐστι παροινία, ἡ παννυχὶς δὲ ἐπὶ πότῳ μέθης ἐκκλητικὴ καὶ συνουσίας ἐρεθιστικὴ, τόλμα αἰσχροποιός. εἰ δὲ ἐν αὐλοῖς καὶ ψαλτηρίοις καὶ χοροῖς καὶ ὀρχήμασι καὶ κρότοις Αἰγυπτίων καὶ τοιαύταις ῥᾳθυμίαις ἀλύοι ἀτάκτοις, καὶ ἀπρεπεῖς καὶ ἀπαιδεύτοις κομιδῇ γίγνοιντο ἂν κυμβάλοις καὶ τυμπάνοις ἐξηχούμενοι καὶ τοῖς τῆς ἀπάτης ὀργάνοις περιψοφούμενοι· ἀτεχνῶς γὰρ, ὡς ἐμοὶ δοκεῖ, θέατρον μέθης τὸ τοιοῦτον γίνεται συμπόσιον· „ἀποθεμένους γὰρ ἡμᾶς τὰ ἔργα τοῦ σκότους ἐνδύσασθαι τὰ ὅπλα τοῦ φωτὸς" ἀξιοῖ ὁ ἀπόστολος, „ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦντας, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις"*) σχολάζοντας.

§. 41. Σύριγξ μὲν οὖν ποιμέσιν ἀπονενεμήσθω, αὐλὸς δὲ ἀνθρώποις δεισιδαίμοσιν εἰς εἰδωλολατρείας σπεύδουσι. καὶ γὰρ ὡς ἀληθῶς ἀποπεμπτέα τὰ ἔργανα ταῦτα νηφαλίου συμποσίου θηρίοις μᾶλλον ἢ ἀνθρώποις κατάλληλα καὶ ἀνθρώπων τοῖς ἀλογωτέροις. τὰς μὲν γὰρ ἐλάφους ταῖς σύριγξι κηλεῖσθαι παρειλήφαμεν καὶ ἐπὶ τὰς ποδάγρας πρὸς τῶν κυνηγῶν θηρευομένας ἄγεσθαι τῷ μέλει, ταῖς δὲ ἵπποις μιγνυμέναις, οἷον ὑμέναιος, ἐπαυλεῖται νόμος αὐλῳδίας· ἱππόθορον τοῦτον κεκλήκασιν οἱ μουσικοί. πᾶσαν δὲ ἁπαξαπλῶς ἀνελεύθερον ὄψιν τε καὶ ἀκοὴν καὶ συνελόντι φάναι αἴσθησιν ἀκρασίας αἰσχρὰν, τὴν ὡς

*) Rom. 13, 12 sq.

ἀληθῶς ἀναισθησίαν, ἐκκοπτέον εὖ μάλα, τὴν ἐν ὄμμασι καὶ ἐν ὠσὶ γαργαλίζουσαν καὶ ἀποθηλύ-
νουσαν ἡδονὴν εὐλαβουμένους· μελῶν γάρτοι κατεαγότων καὶ ῥυθμῶν γόερῶν τῆς μούσης τῆς Καρικῆς αἱ ποικίλαι φαρμακεῖαι διαφθείρουσι τοὺς τρόπους ἀκολάστῳ καὶ κακοτέχνῳ μουσικῇ εἰς πάθος ὑποσύρουσαι τοῦ κώμου τούτου, τὴν λειτουργίαν δὲ τὴν θεϊκὴν διαχωρίζον ψάλλει τὸ πνεῦμα, „αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος", καὶ γὰρ ἐν ἤχῳ σάλπιγγος ἀναστήσει τοὺς νεκρούς· „αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ", ὅτι ἡ γλῶττα τὸ ψαλτήριον κυρίου· „καὶ ἐν κιθάρᾳ αἰνεῖτε αὐτὸν", κιθάρα νοείσθω τὸ στόμα, οἱονεὶ πλήκτρῳ κρουόμενον τῷ πνεύματι· „ἐν τυμπάνῳ καὶ χορῷ αἰνεῖτε αὐτόν"· τὴν ἐκκλησίαν λέγει τὴν μελετήσασαν τῆς σαρκὸς τὴν ἀνάστασιν ἐν ἠχοῦντι τῷ δέρματι· „ἐν χορδαῖς καὶ ὀργάνῳ αἰνεῖτε αὐτόν"· ὄργανον τὸ σῶμα λέγει τὸ ἡμέτερον καὶ χορδὰς τὰ νεῦρα αὐτοῦ, δι' ὧν ἐναρμόνιον εἴληφε τὴν τάσιν· καὶ κρουόμενον τῷ πνεύματι τοὺς φθόγγους ἀποδίδωσι τοὺς ἀνθρωπίνους. „αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ"· κύμβαλον τοῦ στόματος τὴν γλῶτταν λέγει, ἣ τοῖς κρουομένοις ἐπηχεῖ χείλεσι. P. 193 Pott.

§. 42. Διὰ τοῦτο ἐπεφώνησεν τῇ ἀνθρωπότητι· „πᾶσα πνοὴ αἰνεσάτω τὸν κύριον" *), ὅτι πᾶσαν, ἣν ἐποίησεν, ἐπεσκέψατο πνοήν. εἰρηνικὸν γὰρ ὡς ἀληθῶς ὄργανον ὁ ἄνθρωπός ἐστιν, τὰ δ' ἄλλα ἤν πολυπραγμονῇ τις, ὄργανα εὑρήσει πολεμικὰ εἰς τὰς ἐπιθυμίας ἐκφλέγοντα ἢ τοὺς ἔρωτας ἐκκαίοντα ἢ ἐξαγριαίνοντα τοὺς θυμούς. χρῶνται γοῦν παρὰ τοὺς πολέμους αὐτῶν, Τυρρηνοὶ μὲν τῇ σάλπιγγι, σύριγγι δὲ Ἀρκάδες, Σικελοὶ δὲ πηκτίσιν καὶ Κρῆτες λύρᾳ, καὶ Λακεδαιμόνιοι αὐλῷ καὶ κέρατι Θρᾷκες καὶ Αἰγύπτιοι τυμπάνῳ καὶ Ἄραβες κυμβάλῳ· ἑνὶ δὲ ἄρα ὀργάνῳ, τῷ λόγῳ μόνῳ τῷ εἰρηνικῷ, ἡμεῖς κεχρήμε-

*) Psalm. 150, 3 — 6.

θα, ᾧ γεραίρομεν τὸν θεὸν, οὐκέτι τῷ ψαλτηρίῳ τῷ παλαιῷ καὶ τῇ σάλπιγγι καὶ τυμπάνῳ καὶ αὐλῷ, οἷς ἔθος ἦν τοὺς ἐν πολέμῳ ἀσκητὰς καὶ τοῦ θείου καταπεφρονηκότας φόβου ἅμα καὶ ταῖς πανηγύρεσι χοραίοις συγχρῆσθαι, ὡς δὴ τὸ ἔκλυτον αὐτῶν τοῦ φρονήματος διὰ τῶν τοιούτων ἐπανίστασθαι ῥυθμῶν.

§. 43. Ἔστω δὲ ἡμῶν ἡ παρὰ πότον φιλοφροσύνη διττὴ κατὰ τὸν νόμον· εἰ γὰρ „ἀγαπήσεις κύριον τὸν θεόν σου", ἔπειτα „τὸν πλησίον σου"*), πρότερα μὲν ἡ εἰς θεὸν δι' εὐχαριστίας καὶ ψαλμῳδίας γενέσθω φιλοφροσύνη, δευτέρα δὲ ἡ εἰς τὸν πλησίον διὰ τῆς ὁμιλίας τῆς σεμνῆς· „ὁ γὰρ λόγος ὁ τοῦ κυρίου ἐνοικείτω ἐν ὑμῖν πλουσίως"**), ὁ ἀπόστολος φῆσιν. ὁ δὲ λόγος οὗτος συναρμόζεται καὶ συσχηματίζεται καιροῖς, προσώποις, τόποις. συμποτικὸς δέ ἐστι νῦν· ἐπιφέρει γὰρ ὁ ἀπόστολος πάλιν· „ἐν πάσῃ σοφίᾳ διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς, ὕμνοις, ᾠδαῖς πνευματικαῖς ἐν τῇ χάριτι, ᾄδοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ θεῷ"***)· καὶ πάλιν· „ὅ τι ἂν ποιῆτε ἢ ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ θεῷ καὶ πατρὶ αὐτοῦ" †). οὗτος ἡμῶν ὁ κῶμος ὁ εὐχάριστος. κἂν πρὸς κιθάραν ἐθελήσῃς ᾄδειν τε καὶ ψάλλειν, μῶμος οὐκ ἔστιν, Ἑβραῖον μιμήσῃ δίκαιον βασιλέα εὐχάριστον τῷ θεῷ· „ἀγαλλιᾶσθε, δίκαιοι, ἐν τῷ κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις", φησὶν ἡ προφητεία. „ἐξομολογεῖσθε τῷ κυρίῳ ἐν κιθάρᾳ, ἐν ψαλτηρίῳ δεκαχόρδῳ ψάλατε αὐτῷ, ᾄσατε αὐτῷ ᾆσμα καινόν" ††). καὶ μήτι τὸ δεκάχορδον ψαλτήριον τὸν λόγον τὸν Ἰησοῦν μηνίει, τῷ στοιχείῳ τῆς δεκάδος φανερούμενον.

§. 44. Ὡς δὲ ἁρμόδιον πρὶν ἡμᾶς μεταλαβεῖν τροφῆς τῶν συμπάντων εὐλογεῖν τὸν ποιητὴν, οὕτως

*) Matth. 22, 37. 39. **) Coloss. 3, 16. ***) Ibidem. †) Ibid. v. 17. ††) Psalm. 33, 1—3.

καὶ παρὰ πότον καθήκει ψάλλειν αὐτῷ τῶν αὐτοῦ μεταλαμβάνοντας κτισμάτων· καὶ γὰρ ὁ ψαλμὸς ἐμμελής ἐστιν εὐλογία καὶ σώφρων, „ᾠδὴν πνευματικὴν" *) ὁ ἀπόστολος εἴρηκε τὸν ψαλμόν. ἐπὶ πᾶσί τε πρὶν ὕπνου λαχεῖν εὐχαριστεῖν ὅσιον τῷ θεῷ τῆς αὐτοῦ χάριτος καὶ φιλανθρωπίας ἀπολαύσαντας, ὡς καὶ ἐπὶ τὸν ὕπνον ἴέναι ἡμᾶς ἐνθέως, „καὶ ἐξο-
P. 72 μολογήσασθαι αὐτῷ ἐν ᾠδαῖς χειλέων", φησὶν, „ὅτι
Sylb. ἐν προστάγματι αὐτοῦ πᾶσα εὐδοκία γίνεται, καὶ οὐκ
10ἔστιν ἐλάττωσις εἰς τὸ σωτήριον αὐτοῦ" **). ἀλλὰ καὶ ἐν τοῖς παλαιοῖς Ἕλλησι παρὰ τὰς συμποτικὰς εὐωχίας καὶ τὰς ἐπιψεκαζούσας κύλικας Ἑβραϊκῶν κατ' εἰκόνα ψαλμῶν ᾆσμα τὸ καλούμενον σκόλιον ἤδετο, κοινῶς ἁπάντων ἅμα φωνῇ παιανιζόντων, ἔσθ'
15ὅτε δὲ καὶ ἐν μέρει περιελιττόντων τὰς προπόσεις τῆς ᾠδῆς· οἱ δὲ μουσικώτεροι αὐτῶν καὶ πρὸς λύραν ᾖδον. ἀλλ' αἱ μὲν ἐρωτικαὶ μακρὰν ἐρρόντων ᾠδαί, ὕμνοι P. 195 δὲ ἔστων τοῦ θεοῦ αἱ ᾠδαί. „αἰνεσάτωσαν", φησὶ, Pott.
„τὸ ὄνομα αὐτοῦ ἐν χορῷ, ἐν τυμπάνῳ καὶ ψαλτη-
20ρίῳ ψαλάτωσαν αὐτῷ" ***). καὶ τίς ὁ ψάλλων χορὸς αὐτό σοι διηγήσεται τὸ πνεῦμα; „ἡ αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων, ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ αὐτῶν" †). καὶ πάλιν ἐπιφέρει· „ὅτι εὐδοκεῖ κύριος ἐν τῷ λαῷ αὐτοῦ" ††). καὶ γὰρ ἁρμονίας
25παραδεκτέον τὰς σώφρονας, ἀπωτάτω ὅτι μάλιστα ἐλαύνοντας τῆς ἐρρωμένης ἡμῶν διανοίας τὰς ὑγρὰς ὄντως ἁρμονίας, αἳ περὶ τὰς καμπὰς τῶν φθόγγων κακοτεχνοῦσαι εἰς θρύψιν καὶ βωμολοχίαν ἐκδιαιτῶνται, τὰ δὲ αὐστηρὰ καὶ σωφρονικὰ μέλη ἀποτάσσε-
30ται ταῖς τῆς μέθης ἀγερωχίαις. κυταλειπτέον οὖν τὰς χρωματικὰς ἁρμονίας τωῖς ἀχρώμοις παροινίαις καὶ τῇ ἀνθοφορούσῃ καὶ ἑταιρούσῃ μουσικῇ.

*) Ephes. 5, 19. Coloss. 3, 16. **) Sirach. 39, 15. 18. ***) Psalm. 149, 3. †) Ibid. v. 1 sq. ††) Ibid. v. 4.

Cap. V.

Περὶ γέλωτος.

§. 45. *Μιμήλους δὲ ἀνθρώπους γελοίων, μᾶλλον δὲ καταγελάστων παθῶν τῆς ἡμετέρας ἐξελαστέον πολιτείας. πάντων γὰρ τῶν λόγων ἀπὸ διανοίας καὶ ἤθους ῥεόντων οὐχ οἷόν τέ ἐστι γελοίους τινὰς προέσθαι λόγους, μὴ οὐχὶ ἀπὸ γελοίου ἤθους φερομένους. τὸ γὰρ „οὐκ ἔστι δένδρον καλὸν ποιοῦν καρπὸν σαπρὸν, οὐδὲ μὴν δένδρον σαπρὸν ποιοῦν καρπὸν καλὸν“ *), κἂν ἐνταῦθα ἁρμόσαι· καρπὸς διανοίας ὁ λόγος ἐστίν. εἰ τοίνυν τοὺς γελωτοποιοὺς ἐξοικιστέον τῆς ἡμεδαπῆς πολιτείας, πολλοῦ γε καὶ δεῖ ἡμῖν αὐτοῖς ἐπιτρέπειν γελωτοποιεῖν. ἄτοπον γὰρ, ὧν ἀκροατὰς γενέσθαι κεκώλυται, τούτων εὑρίσκεσθαι μιμητάς· πολλῷ δὲ ἔτι ἀτοπώτερον γελοῖον αὐτὸν σπουδάζειν γενέσθαι, τουτέστιν ἐφύβριστον καὶ καταγέλαστον. εἰ γὰρ γελοίως σχηματισθῆναι, καθάπερ ἐν ταῖς πομπαῖς ὁρῶνταί τινες, οὐκ ἂν ὑπομείναιμεν, πῶς ἂν εἰκότως τὸν ἐντὸς ἄνθρωπον ἐπὶ τὸ γελοιότερον σχηματιζόμενον ἀνασχοίμεθα καὶ εἰς τὸ πρόσωπον; οὔκουν ἑκόντες ἐπὶ τὸ γελοιότερον μεταστρέψαιμεν ἄν ποτε. καὶ πῶς ἂν κατὰ τοὺς λόγους ἐπιτηδεύσαιμεν εἶναί τε καὶ φαίνεσθαι γε-* P. 196 *λοῖοι τὸ τιμιώτερον πάντων τῶν ἐν ἀνθρώποις κτη-* Pott. *μάτων καταμωκώμενοι τὸν λόγον; χλεύη μὲν οὖν ἐπιτηδεύειν ταῦτα, ἐπεὶ μηδὲ ὁ τῶν γελοίων λόγος τοῖος ἀκροάσεως ἄξιος, διὰ τῶν ὀνομάτων αἰτῶν ἐπὶ τὰ αἰσχρὰ τῶν ἔργων ἐθίζων· χαριεντιστέον, οὐ γελωτοποιητέον.*

§. 46. *Ἀλλὰ καὶ αὐτὸν τὸν γέλωτα ἐπιστομιστέον. καὶ γὰρ αὖ καὶ αὐτὸς ὢν μὲν δεῖ τρόπον ἐξαγόμενος ἐμφαίνει κοσμιότητα, μὴ ταύτῃ δὲ χωρῶν ἀκολασίαν ἐνδείκνυται. ἁπλῶς γὰρ, ὁπόσα φυ-*

*) Matth. 7, 18. Luc. 6, 43.

σικὰ τοῖς ἀνθρώποις ἐστὶ, ταῦτα οὐκ ἀναιρεῖν ἐξ αὐτῶν δεῖ, μᾶλλον δὲ μέτρον αὐτοῖς καὶ καιρὸν ἐπιτιθέναι πρέποντα. οὐ γὰρ ἐπειδὴ γελαστικὸν ζῶον ὁ ἄνθρωπος, γελαστέον τὰ πάντα, ἐπειδὴ οὐδὲ ὁ ἵππος χρεμετιστικὸς ὢν χρεμετίζει τὰ πάντα· ὡς δὲ ζῶα λογικὰ σφᾶς αὐτοὺς ἁρμοστέον εὐκράτως τὸ αὐστηρὸν τῆς σπουδῆς ἡμῶν καὶ τὸ ὑπέρτονον χαλῶντας ἐμμελῶς, οὐκ ἐκλύοντας ἐκμελῶς· ἡ μὲν γὰρ καθ' ἁρμονίαν τοῦ προσώπου, καθάπερ ὀργάνου, κόσμιος ἄνεσις μειδίαμα κέκληται διάχυσις· οὕτως ἀνακέκληται καὶ πρόσωπον σωφρονούντων, ὃ γέλως· ἡ δὲ ἐκμελὴς τοῦ προσώπου ἔκλυσις εἰ μὲν ἐπὶ γυναικῶν γίνοιτο, κιχλισμὸς προσαγορεύεται, γέλως δέ ἐστι πορνικὸς, εἰ δὲ ἐπὶ ἀνδρῶν, καγχασμὸς, γέλως ἐστὶν οἷτος μινηστηρώδης καξυβρίζων· „μωρὸς δὲ ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ", φησὶν ἡ γραφὴ, „ἀνὴρ δὲ πανοῦργος μόγις ἡσυχῇ μειδιάσει" *). φρόνιμον λέγει τὸν πανοῦργον νῦν, τὸν δὲ ἐναντίως τῷ μωρῷ διακείμενον.

§. 47. Ἀλλ' οὐδ' ἔμπαλιν εἶναι δεῖ σκυθρωπὸν, ἀλλὰ σύννουν· ἀποδέχομαι γὰρ εὖ μάλα ἐκεῖνον, προσώποις μειδιῶντα, ὃς ἐφαίνετο P. 197
μειδιόων βλοσυροῖσι προσώπασι**), Pott
τὸν τοῖς βλοσυροῖς· ἧττον γὰρ ἂν καταγέλαστος ὁ γέλως αὐτῷ εἴη. χρὴ δὲ καὶ τὸ μειδίαμα παιδαγωγεῖσθαι, καὶ εἰ μὲν ἐπ' αἰσχροῖς εἴη, ἐρυθριῶντας μᾶλλον ἢ μειδιῶντας φαίνεσθαι, μὴ συνήδεσθαι διὰ συμπάθειαν δοκῶμεν, εἰ δὲ ἐπὶ λυπηροῖς, κατηφεστέρους ἁρμόζει βλέπεσθαι ἢ ἐφήδεσθαι δοκεῖν· τὸ μὲν γὰρ ἀνθρώπινον οὐ λογισμοῦ τεκμήριον, τὸ δὲ ὠμότητος ὑπόληψιν ἐνδείκνυται· οὔτε γὰρ ἀεὶ γελαστέον — ἄμετρον γάρ — οὔτε πρεσβυτέρων ἢ τινων ἑτέρων ἐντροπῆς ἀξίων παρόντων, εἰ μὴ ἄρα τι αὐτοὶ εἰς τὸ διαχέαι ἡμᾶς χαριεντίσαιντο, οὔτε μὴν πρὸς τοὺς τυχόντας γελαστέον οὐδ' ἐν παντὶ τόπῳ οὐδὲ μὴν πᾶσιν οὐδὲ ἐπὶ πᾶσιν. μάλι-

*) Eccles. 21, 20. **) Hom. Il. η. 212.

στα γὰρ μειρακίοις καὶ γυναιξὶν ἄλιθος εἰς διαβολὰς ὁ γέλως ἐστίν.

§. 48. Τὸ δὲ καὶ φαίνεσθαι καταπληκτικὸν πόρρωθεν τῶν περιόντων ἐστὶ φυγαδευτικόν· δυνατὴ
P. 73 γὰρ ἀποκρούσασθαι τῆς ἀσελγείας τὰς προσβολὰς
Sylb. καὶ ἐκ μόνης τῆς προσόψεως ἡ σεμνότης· πάντας δὲ, ὡς ἔπος εἰπεῖν, τοὺς ἀνοήτους ὁ οἶνος καὶ θ' ἁπαλὸν γελάσαι καὶ τ' ὀρχήσασθαι ἀνώγει *) εἰς μαλακίαν ἐκτρέπων τὸ ἀνδρόγυνον ἦθος. καὶ σκοπεῖν δεῖ, πῶς ἐντεῦθεν ἡ παρρησία τὴν ἀκοσμίαν εἰς αἰσχρολογίαν αὔξει·

καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον.

μάλιστα γοῦν ἐν οἴνῳ καθορᾶσθαι τὰ ἤθη τῶν ὑπούλων συμβέβηκεν τῆς ὑποκρίσεως ἀπογυμνούμενα διὰ τὴν ἀνελεύθερον παρρησίαν τῆς παραινίας, δι' ἣν κατακοιμίζεται μὲν ὁ λόγος ἐν αὐτῇ τῇ ψυχῇ καρηβαρήσας τῇ μέθῃ, τὰ δὲ ἐκτρόπελα ἐπεγείρεται πάθη καταδυναστεύοντα τῆς ἀσθενείας τοῦ λογισμοῦ.

Cap. VI.

P. 198 Pott.

Περὶ αἰσχρολογίας.

§. 49. Αἰσχρολογίας δὲ παντελῶς αὐτοῖς τε ἡμῖν ἀφεκτέον καὶ τοὺς χρωμένους αὐτῇ ἐπιστομιστέον καὶ ὄψει δριμυτέρᾳ καὶ προσώπου ἀποστροφῇ καὶ τῷ ἀπομυκτισμῷ καλουμένῳ, πολλάκις δὲ καὶ λόγῳ τραχυτέρῳ. „τὰ γὰρ ἐξιόντα", φησὶν, „ἐκ τοῦ στόματος κοινοῖ τὸν ἄνθρωπον" **), κοινὸν καὶ ἐθνικὸν καὶ ἀπαίδευτον καὶ ἀσελγῆ δείκνυσιν αὐτὸν, οὐχὶ δὲ ἴδιον καὶ κόσμιον καὶ σώφρονα. πρὸς δὲ τὴν ἀκοὴν τῶν αἰσχρῶν καὶ τὴν θέαν τῶν ὁμοίως ἐχόντων ὁ θεῖος παιδαγωγὸς κατὰ τὰ αὐτὰ τοῖς παλαίουσι τῶν

*) Hom. Od. ξ. 465 sq. **) Matth. 15, 18.

παιδίων, ὡς μὴ τὰ ὦτα θραύοιτο αὐτῶν, τοὺς σώφρονας περιτίθησι λόγους, καθάπερ ἀντωτίδας, ὡς μὴ δύνασθαι ἐξικνεῖσθαι εἰς θραῦσιν τῆς ψυχῆς τὸ κροῦσμα τῆς πορνείας· τοὺς δὲ ὀφθαλμοὺς κατευθύνει ἐπὶ τὴν θέαν τῶν καλῶν, ἄμεινόν εἶναι λέγων τοῖς ποσὶν ἢ τοῖς ὀφθαλμοῖς ὀλισθαίνειν.

§. 50. Ταύτην ἀποκρουόμενος τὴν αἰσχρολογίαν ὁ ἀπόστολος „πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν", φησίν, „μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθός"*). πάλιν τε αὖ „καθὼς πρέπει ἁγίοις, μὴ ὀνομαζέσθω ἐν ὑμῖν αἰσχρότης καὶ μωρολογία, ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκεν, ἀλλὰ μᾶλλον εὐχαριστία"**). εἰ δὲ „ὁ μωρὸν εἰπὼν τὸν ἀδελφὸν ἔνοχος εἰς κρίσιν"***), τί περὶ τοῦ μωρολογοῦντος ἀποφανούμεθα; ἢ καὶ περὶ τούτου γέγραπται· „ὃς ἂν λαλήσῃ λόγον ἀργόν, ἀποδώσει λόγον κυρίῳ ἐν ἡμέρᾳ κρίσεως"†). ᾧ δὴ τε „ἐκ τοῦ λόγου σου δικαιωθήσῃ", φησίν, „καὶ ἐκ τοῦ λόγου σου καταδικασθήσῃ"††). τίνες οὖν αἱ ἀντωτίδες αἱ σωτήριοι; καὶ τίνες αἱ τῶν ὀλισθηρῶν ὀφθαλμῶν παιδαγωγήσεις; αἱ μετὰ τῶν δικαίων συναναστροφαὶ προλαμβάνουσαι καὶ προεμφράττουσαι τὰ ὦτα τοῖς ἀπάγειν τῆς ἀληθείας βουλομένοις.

φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί,
ἢ ποιητικὴ λέγει. γενναιότερον δὲ ὁ ἀπόστολος, „γίνεσθε", φησίν, „ἀποστυγοῦντες τὸ πονηρὸν κολλώμενοι τῷ ἀγαθῷ, ὁ γὰρ μετὰ τῶν ἁγίων ἀναστρεφόμενος ἁγιασθήσεται"†††). P. 19 Pott

§. 51. Πάντη οὖν ἀφεκτέον τῶν αἰσχρῶν ἀκουσμάτων καὶ ῥημάτων καὶ θεαμάτων, πολὺ δὲ μᾶλλον ἔργων αἰσχρῶν καθαρευτέον· τοῦτο μὲν ἐν ἀποδείξεσι καὶ παραγυμνώσεσι μερῶν τινῶν τοῦ σώματος, ὧν οὐ χρή, τοῦτο δὲ ἐν ταῖς ἐπιθεωρήσεσι τῶν ἀπορ-

*) Ephes. 4, 29. **) Ibid. 5. 3 sq. ***) Matth. 5, 22. †) Ibid. 12, 36. ††) Ibid. v. 37. †††) Rom. 12, 9.

ρητοτέρων μερῶν, οὐδὲ γὰρ ἠνέσχετο τοῦ δικαίου τὴν γύμνωσιν *) αἰσχρὰν οὖσαν ἐπιδεῖν σώφρων υἱὸς, ἐσκέπασε δὲ ἡ σωφροσύνη, ὃ ἐγύμνωσεν ἡ μέθη, τὸ περίοπτον τῆς ἀγνοίας παράπτωμα. καθαρευτέον δὲ οὐδὲν ἧττον καὶ ταῖς προφοραῖς τῶν φωνῶν, αἷς ἄβατα εἶναι χρὴ τὰ ὦτα τῶν ἐν Χριστῷ πεπιστευκότων. ταύτῃ μοὶ δοκεῖ ὁ παιδαγωγὸς μηδὲ φθέγξασθαί τι τῶν τῆς ἀσχημοσύνης ἐφιέναι ἡμῖν, πόρρωθεν διαβάλλων πρὸς τὴν ἀκολασίαν. δεινὸς γὰρ ἀεὶ τὰς ῥίζας τῶν ἁμαρτημάτων ἐκκόπτειν· τὸ „οὐ μοιχεύσεις" **) διὰ τοῦ „οὐκ ἐπιθυμήσεις"· καρπὸς γὰρ τῆς ἐπιθυμίας ἡ μοιχεία τῆς ῥίζης τῆς κακῆς.

§. 52. Ὁμοίως οὖν κἀνταῦθα ὁ παιδαγωγὸς τὴν ἄδειαν τῶν ὀνομάτων, ὡς χρῆσιν, διαβέβληκεν τὴν ἀδεᾶ τῆς ἀκολασίας ἐπιμιξίαν ἐκκόπτων. τὸ γὰρ ἐν τοῖς ὀνόμασιν ἀτακτεῖν μελέτην ἐμποιεῖ τοῦ καὶ εἰς τὰ ἔργα ἀκοσμεῖν, τὸ δὲ περὶ τὴν φωνὴν σωφρονεῖν ἀσκεῖν ἐστὶ λαγνείας κάρτερεῖν. διειλήφαμεν δὲ καὶ βαθυτέρῳ λόγῳ, ὡς ἄρα οὔτε ἐν τοῖς ὀνόμασιν οὐδὲ μὴν ἐν τοῖς συνουσιαστικοῖς μορίοις καὶ τῇ κατὰ γάμον συμπλοκῇ, καθ' ἣν κεῖται τὰ ὀνόματα τὰ περὶ τὴν συνήθειαν οὐ τετριμμένα, ἡ τοῦ ὄντως αἰσχροῦ προσηγορία κάτεστεται· οὐδὲ γὰρ γόνυ καὶ κνήμη τὰ μέλη τοιαῦτα οὐδὲ μὴν τὰ ἐπ' αὐτοῖς ὀνόματα καὶ ἡ δι' αὐτῶν ἐνέργεια αἰσχρά ἐστι, μέλη δὲ καὶ τὰ αἰδοῖα τοῦ ἀνθρώπου αἰδοῦς, οὐκ αἰσχύνης κατηξιωμένα, αἰσχρὸν δὲ ἡ παράνομος αὐτῶν ἐνέργεια αἴσχους καὶ ὀνείδους διὰ τοῦτο καὶ κολάσεως ἀξία· μόνον γὰρ τῷ ὄντι αἰσχρὸν ἡ κακία καὶ τὰ κατὰ ταύτην ἐνεργούμενα. τούτοις δὲ ἀναλόγως αἰσχρολογία εἰκότως ἂν καλοῖτο ἡ περὶ τῶν τῆς κακίας ἔργων λεξοποιία· οἷον τὸ περὶ μοιχείας διαλέγεσθαι ἢ παιδεραστίας καὶ τὰ παραπλήσια. ναὶ μὴν καὶ τὴν φλύαρον ἀδολεσχίαν κατασιγαστέον. „ἐκ γάρτοι πολυ-

*) Genes. 9, 23. **) Exod. 20, 13. 17.

[illegible] θραύοιτο αὐτῶν, τοὺς σώ-
[illegible] καθάπερ ἀντωτίδας, ὡς
[illegible] ἐς θραῦσιν τῆς ψυχῆς τὸ
[illegible] τοὺς δὲ ὀφθαλμοὺς κατευθύ-
[illegible] ἄμεινον εἶναι λέγων
[illegible] ὀλισθαίνειν.
[illegible] ἀπονοσφιζόμενος τὴν αἰσχρολο-
[illegible] τῆς λόγος σαπρὸς ἐκ τοῦ στό-
[illegible] ἐκπορευέσθω, ἀλλ' εἴ τις
[illegible] τε [illegible] καθὼς πρέπει ἁγίοις, μὴ
[illegible] καὶ μωρολογία ἢ εὐ-
[illegible] ἀλλὰ μᾶλλον εὐχαριστία"*).
[illegible] ἀδελφὸν ἔνοχος εἰς κρί-
[illegible] τοῦ μωρολογοῦντος ἀποφανούμε-
[illegible] γέγραπται· „ὃς ἂν λαλήσῃ
[illegible] λόγον κυρίῳ ἐν ἡμέρᾳ
[illegible] τε „ἐκ τοῦ λόγου σοῦ δικαιω-
[illegible] ἐκ τοῦ λόγου σοῦ καταδικασθή-
[illegible] αἱ ἀντωτίδες αἱ σωτήριοι; καὶ
[illegible] ὀφθαλμῶν παιδαγωγήσεις;
[illegible] συναναστροφαὶ προλαμβάνου-
[illegible] προεπαρτοῦσαι τὰ ὦτα τοῖς ἀπάγειν τῆς
[illegible] ἐνοίκοις.
[illegible] χρήσθ' ὁμιλίαι κακαί,
[illegible] λέγει γενναιότερον δὲ ὁ ἀπόστολος, „γί-
νεσθε". φησίν, „ἀποστυγοῦντες τὸ πονηρὸν κολλώ-
μενοι τῷ ἀγαθῷ, ὁ γὰρ μετὰ τῶν ἁγίων ἀνα-
στρεφόμενος ἁγιασθήσεται" †††).

§. 51. Πάντη οὖν ἀφεκτέον τῶν αἰσχρῶν ἀκ-
σμάτων καὶ ῥημάτων καὶ θεαμάτων, πολὺ δὲ
λον ἔργων αἰσχρῶν καθαρευτέον· τοῦτο μὲν ἐν
δείξεσι καὶ παραγυμνώσεσ[illegible] τινὼν τοῦ σώμ[illegible]
ὧν οὐ χρὴ, τοῦτο δὲ ἐν [illegible] ωρήσ[illegible]

*) Ephes. 4, 29.
5, 22. †) Ibid. 12, 3[illegible]
12, 9.

λογίας οὐκ ἐκφεύξῃ" φησὶν, "ἁμαρτίαν" *)· δί- P. 200
κην ἄρα ὑφέξει ἡ γλωσσαλγία· "ἔστι γὰρ σιωπῶν Pott.
εὑρισκόμενος σοφὸς καὶ ἔστι μισητὸς ἀπὸ πολλῆς λαλιᾶς" **). ἤδη καὶ αὐτὸς αὐτῷ ὁ ἀδολέσχης προσ-
5 κορὴς, "πλεονάζων γὰρ λόγον βδελύττεται τὴν ψυχὴν αὐτοῦ" ***).

P. 74 Sylb.

Cap. VII.

Τίνα χρὴ παραφυλάττεσθαι τοὺς ἀστείως συμβιοῦντας;

§. 53. *Ἀπέστω δὲ, ἀπέστω ἡμῶν καὶ τὸ σκώπτειν ὕβρεως προκατάρχον, ἐξ ὧν ἔριδες καὶ μάχαι*
10*καὶ ἔχθραι διοιδαίνουσιν. ὕβριν δὲ ἔφαμεν μέθης εἶναι διάκονον, οὐκ ἐκ μόνων δὲ τῶν ἔργων, ἀλλὰ καὶ ἐκ λόγων ἄνθρωπος κρίνεται. "ἐν συμποσίῳ δὲ", φησὶ, "μὴ ἐλέγξῃς τὸν πλησίον, καὶ λόγον ὀνειδισμοῦ μὴ εἴπῃς αὐτῷ" †). εἰ γὰρ καὶ τὰ μάλιστα παραγγέλ-*
15*λεται ἁγίοις συνεῖναι, σκώπτειν τὸν ἅγιον ἁμαρτία· "ἐκ στόματος γὰρ ἀφρόνων", φησὶν ἡ γραφὴ, "βακτηρία ὕβρεως" ††)· ἐπιβάθραν ὕβρεως, βακτηρίαν λέγουσα, ἧ ἐπερείδεται καὶ ἐπαναπαύεται ἡ ὕβρις. ὅθεν ἄγαμαι τὸν ἀπόστολον κἀνταῦθα παραινοῦντα*
20*"μηδὲ τὰ εὐτράπελα μηδὲ τὰ μὴ ἀνήκοντα" †††) προϊε-σθαι ἡμᾶς ῥήματα. εἰ γὰρ δι' ἀγάπην αἱ ἐπὶ τὰς ἑστιάσεις συνελεύσεις, συμποσίου δὲ τὸ τέλος ἡ πρὸς τοὺς συνόντας φιλοφροσύνη, παρεπόμενα δὲ τῇ ἀγάπῃ ἡ βρῶσις καὶ ἡ πόσις, πῶς οὐ λογικῶς ἀναστρε-*
25*πτέον οὐδὲ διὰ τὴν ἀγάπην ἀπορητέον; εἰ γὰρ ὡς ἐπιτείνοντες τὴν πρὸς ἀλλήλους εὔνοιαν σύνεσμεν, πῶς ἔχθρας διὰ τοῦ σκώπτειν σκαλεύομεν; σιωπᾶν δὲ κρεῖττον ἢ ἀντιλέγειν ἁμαρτίαν ἁμαθίᾳ προσφερομέ-*

*) Prouerb. 10, 19. **) Eccles. 20, 5. ***) Ibid. v. 8. †) Ibid. 31, 31. ††) Prouerb. 14, 3. †††) Ephes. 5, 4.

νους. „μακάριος" ὡς ἀληθῶς „ἀνὴρ, ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ καὶ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας"*), ἤτοι μετανοήσας ἐφ' οἷς λαλήσας ἥμαρτεν, ἢ ἐν τῷ μηδένα λυπῆσαι λαλήσας. καθόλου μὲν οὖν νέοι μὲν καὶ νεάνιδες ὡς ἐπίπαν τῶν τοιῶνδε ἀπεχέσθων εὐωχιῶν, ὡς μὴ σφάλλοιντο περὶ ἃ μὴ προσῆκεν· καὶ γὰρ ἀκούσματα ἀήθη καὶ θεάματα ἀπρεπῆ κυμαινομένης ἔτι ἐν αὐτοῖς τῆς πίστεως P. 201 ἐκριπίζει τὴν διάνοιαν, συνεργεῖ δὲ αὐτοῖς τὸ ἄστα- Pott. τον τῆς ἡλικίας πρὸς τὸ εὐκατάφορον τῆς ἐπιθυμίας, ἔσθ' ὅτε δὲ καὶ ἄλλοις παραίτιοι γίνονται σφαλμάτων, τὸ ἐπικίνδυνον τῆς ὥρας ἐπιδεικνύμενοι.

§. 54. Εὖ γάρτοι παραγγέλλειν ἡ σοφία φαίνεται· „μετὰ ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ σύνολον καὶ μὴ συμμετακλιθῇς ἐπ' ἀγκῶνα μετ' αὐτῆς"**)· τουτέστι μὴ συνδείπνει πυκνότερον, μηδὲ ἔσθιε μετ' αὐτῆς. διὸ καὶ ἐπιφέρει· „μηδὲ συμβολὰς ποίει μετ' αὐτῆς ἐν οἴνῳ, μή ποτε ἐκκλίνῃ ἡ καρδία σοὺ ἐπ' αὐτὴν καὶ τῷ αἵματί σου ὀλισθήσῃ εἰς ἀπώλειαν"· σφαλερὰ γὰρ ἡ πάροινος ἐλευθερία παρανθεῖν δυναμένη· ὕπανδρον δὲ ὠνόμασεν, ἐπεὶ μεῖζων ὁ κίνδυνος τῷ λῦσαι τὴν δέσιν τῆς συμβιώσεως πειρωμένῳ. εἰ δὲ καὶ ἀνάγκη τις περιτύχοι παριέναι κελεύουσα, αἱ μὲν κεκαλύφθων ἄγαν ἀμπεχόνῃ ἔκτοσθεν, ἔνδοθεν δὲ αἰδοῖ. ὅσαι δὲ μὴ ὕπανδροι, ἐσχάτη ταύτη διαβολὴ εἰς ἀνδρῶν παρεῖναι συμπόσιον καὶ τοῦτα οἰνωμένων. οἱ δὲ ἐπὶ τὴν κλισίαν τὰς ὄψεις πήξαντες ἀμετασάλευτοι τοῖς ἀγκῶσιν ἐρηρεισμένοι μόνοις παρέστων τοῖς ὠσίν, εἰ δὴ καὶ καθέζοιντο, μὴ ἐναλλὰξ τῷ πόδε ἐχόντων, μηδὲ μὴν θάτερον τοῖν μηροῖν θατέρῳ ἐπιφερόντων ἢ τὴν χεῖρα τῷ γενείῳ ὑπερειδόντων· ἀγεννὲς γὰρ μὴ φέρειν αὐτόν.

§. 55. Καὶ τοῦτο κατηγόρημα τοῦ νέου. συνεχὲς δὲ καὶ τὸ μετακινούμενον ἐναλλάττειν τὸ σχῆμα

*) Eccles. 14, 1. **) Ibid. 9, 9.

κουφότητος σύμβολον, σώφρονος δὲ εὐθέως ἐν πόσει καὶ ἐν βρώσει τὸ ἔλαττον αἱρεῖσθαι καὶ τὸ σχολαίτερον, οὐ τὸ προπετέστερον κἂν τῷ κατάρχεσθαι κἂν τοῖς διαλείμμασι, καὶ τὸ προκαταλήγειν δὲ καὶ τὸ ἀπροσπαθές. „φάγε", φησὶν, „ὡς ἄνθρωπος τὰ παρακείμενα, παῦσαι πρῶτος χάριν παιδείας, κἂν ἀναμέσον πλειόνων ἐκάθισας, πρότερος αὐτῶν μὴ ἐκτείνῃς χεῖρα" *). οὔκουν προσεκπηδητέον ὑπὸ λαιμαργίας ἀναπειθομένους ποτὲ, οὐδὲ μὴν ἐπιγλιχομένους παρεκτείνειν μέχρι πολλοῦ χρὴ τῇ ἐφυστερήσει τὴν ἀκρασίαν ὁμολογοῦντας. ἀλλ' οὐδὲ ἐν τῷ μεταξὺ προσκειμένους φαίνεσθαι καθάπερ τὰ θηρία τῇ βορᾷ, οὐδὲ μὴν πλείονος ὄψου προσφέρεσθαι· οὐ γὰρ ὀψοφάγος φύσει, ἀλλὰ σιτοφάγος ἄνθρωπος. P. 202 Pott.

§. 56. Προανίστασθαι δὲ τῶν πολλῶν καὶ τοῦ συμποσίου ὑπεξεῖναι ἐπιεικῶς ἀνδρὸς σώφρονος· „ἐν ὥρᾳ γὰρ", φησὶν, „ἀναστάσεως μὴ οὐράγει, καὶ ἀπότρεχε εἰς οἶκόν σου" **). ἔλεγον δὲ οἱ δώδεκα προσκαλεσάμενοι τὸ πλῆθος τῶν μαθητῶν· „οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ θεοῦ διακονεῖν τραπέζαις" ***). εἰ δὴ τοῦτο ἐφυλάξαντο, πολλῷ μᾶλλον γαστριμαργίαν ἔφευγον. οἱ δὲ αὐτοὶ οὗτοι ἀπόστολοι τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς ἐπιστέλλοντες· „ἔδοξεν", ἔφασαν, „τῷ πνεύματι τῷ ἁγίῳ καὶ ἡμῖν μηδὲν πλέον ἐπιθέσθαι ὑμῖν βάρος", πλὴν τῶν ἐπάναγκες, ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτῶν καὶ τῆς πορνείας, ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε" †). φυλάττεσθαι δὲ τὰς παροινίας ὥσπερ καὶ τὸ κώνειον δεῖ· ἄμφω γὰρ ὑποσύρουσιν εἰς θάνατον. χρὴ δὲ καὶ γελώτων εἴργεσθαι ἐξαισίων καὶ δακρύων ὑπερμέτρων· πολλάκις γὰρ οἱ οἰνωμένοι καγχάσαντες ἐπὶ πλεῖστον, εἶτα μέντοι ὑπῆχθησαν οὐκ οἶδ' ὅπως

*) Eccles, 31, 16—18. **) Ibid. 32, 11. ***) Actor. 6, 2. †) Ibid. 15, 28 sq.

παροινίᾳ τινὶ παραπειθόμενοι εἰς δάκρυα· ἀπάδει γὰρ τοῦ λόγου καὶ τὸ ἐκθηλύνεσθαι καὶ τὸ ἐξυβρίζειν.

§. 57. Πρεσβῦται δὲ ὡς τέκνα ἀφορῶντες τοὺς νέους σπανιαίτατα μὲν, ἴσως δ' ἄν που καὶ παίξαιεν πρὸς αὐτοὺς, εἰς τοῦτο ἐπισκώπτοντες, ὃ παιδαγωγήσει τὸ εὔσχημον αὐτῶν. ἀμέλει πρὸς τὸν αἰσχυντηλὸν καὶ σιωπηλὸν ἔστι χαριεντίσασθαι ὧδέ πως· ὁ P. 75 δὲ ἐμὸς υἱὸς, ἐκεῖνον λέγω τὸν σιωπῶντα, οὐ παύεται λαλῶν. ἐπιτείνει γὰρ τοῦ νέου τὴν αἰδῶ ἡ τοιαύτη ἐπίσκωψις ἐμφαίνουσα χαριέντως τὰ προσόντα αὐτῷ χρηστὰ διὰ τῆς τῶν φαύλων, ἃ μὴ πρόσεστιν αὐτῷ, διαβολῆς· ἐπίνοια γὰρ καὶ αὐτὴ διδασκαλικὴ διὰ τοῦ μὴ προσόντος κυροῦσα τὸ προσόν. ἀμέλει τοσοῦτόν τι ἐπικρίνει ὁ τὸν ὑδροπότην καὶ σώφρονα παροινεῖν καὶ μεθύειν λέγων. εἰ δὲ καὶ εἴέν τινες οἱ φιλοσκώμμονες, σιωπητέον ἡμῖν καὶ παρεμπτέον τοὺς λόγους τοὺς περιττοὺς, ὥσπερ τὰς κύλικας τὰς πεπληρωμένας· ἐπισφαλὴς γὰρ ἡ τοιαύτη παιδιά· „στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ P. 203 Pott. μετὰ τοῦ ἀδίκου γενέσθαι μάρτυς“ *) ἄδικος οὔτε εἰς διαβολὰς οὔτε εἰς βλασφημίας, ἀλλ' οὐδ' εἰς κακοηθείας.

§. 58. Ἐγὼ δ' ἄν μοι δοκῶ καὶ μέτρον ἐπιθεῖναι φωνῇ, τοῖς σώφροσιν, οἷς γε ἐφεῖται λαλεῖν, τὸν ἀντιδιαλεγόμενον. Σιγὴ μὲν γὰρ ἀρετὴ γυναικῶν ἐστὶν, ἀκίνδυνον δὲ τῶν νέων γέρας, λόγος δὲ ἀγαθὸς ἡλικίας δεδοκιμασμένης. „λάλησον, πρεσβύτερε, ἐν συμποσίῳ — πρέπει γάρ σοι —, ἀλλ' ἀπαραπόδιστος λάλησον καὶ ἐν ἀκριβείᾳ ἐπιστήμης. νεανίσκε“, καὶ σοὶ ἐπιτρέπει ἡ σοφία, „λάλησον, εἰ χρεία σοὺ, μόλις δὶς ἐπερωτηθεὶς κεφαλαίωσον λόγον ἐν ὀλίγοις“ **). ἄμφω δὲ οἱ διαλεγόμενοι τὸ φθέγμα

*) Proverb. 16, 14. Exod. 23, 1. **) Eccles. 32, 3. 7 sq.

τὸ σφῶν τῇ συμμετρίᾳ παραμετρούντων, τό τε γὰρ γεγωνὸν τῆς προφορᾶς μανιωδέστατον, τό τε ἀνήκουστον πρὸς τοὺς πέλας φθέγγεσθαι ἀναισθήτου· οὐ γὰρ ἀκούσονται. καὶ τὸ μὲν ἀγεννείας, τὸ δὲ αὐθαδείας τεκμήριον. ἀπέστω δὲ καὶ ἡ φιλονεικία κενῆς νίκης ἕνεκεν, λόγων, ἐπεὶ τέλος ἡμῖν ἡ ἀταραξία καὶ τοῦτο ἄρα ἐστὶ τὸ „εἰρήνη σοί"*)· πρίν τε ἀκοῦσαί σε μὴ ἀποκρίνου ῥῆμα.

§. 59. Ἀλλὰ καὶ τὸ τεθρυμμένον τῆς φωνῆς θηλυδρίου, σώφρονὸς δὲ καὶ τὸ ἐν τῇ φωνῇ μεμετρημένον μεγέθους τε ἅμα καὶ μήκους καὶ τάχους καὶ πλήθους εἴργοντος τὸ φθέγμα τὸ αὐτοῦ. οὔτε γαρ μακρολογητέον ποτὲ οὔτε πολυλογητέον οὔτε ἀδολεσχητέον, ἀλλ' οὐδὲ τροχαλῶς καὶ συνδιωκομένως ὁμιλητέον. καὶ γὰρ αὐτῇ τῇ φωνῇ, ὡς ἔπος εἰπεῖν, δικαιοσύνης μεταδοτέον, τούς τε ἁλιαιροβύας καὶ τοὺς κεκράκτας ἐπιστομιστέον. ταύτῃ γὰρ αὖ τὸν Θερσίτην πληγαῖς ἠκίσατο ὁ σώφρων Ὀδυσσεὺς, ὅτι μόνος ἀμετροεπὴς ἐκολῴα,

ὅς ῥ' ἔπεα φρεσὶν ἧσιν ἄκοσμά τε πολλά τε ἤδει, P. 204
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον**). Pott.

„φοβερὸς γὰρ ἐν ἀπωλείᾳ αὐτοῦ ἀνὴρ γλωσσώδης"***). τῶν γοῦν φλυάρων καθάπερ τῶν παλαιῶν ὑποδημάτων, τὰ μὲν ἄλλα ὑπὸ τῆς κακίας κατατέτριπται μόνη δὲ ἡ γλῶσσα περιλείπεται εἰς βλάβην. ταύτῃ τοὶ βιωφελέστατα ἡ σοφία παραινεῖ· „μὴ ἀδολέσχει ἐν πλήθει πρεσβυτέρων"†). ἄνωθεν δὲ ἡμῶν τὴν φλυαρίαν ἐκκόπτουσα, θεόθεν ἄρχουσα, μετριάζειν νομοθετοῦσα ὧδέ πως· „μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σου".

§. 60. Ποππυσμὸς δὲ καὶ συριγμὸς καὶ οἱ διὰ τῶν δακτύλων ψόφοι τῶν οἰκετῶν οἱ προκλητικοὶ ἄλογοι σημασίαι οὖσαι λογικοῖς ἀνθρώποις ἐκκλιτέοι,

*) 3 Ioann. v. 15. **) Hom. Il. β, 212 sq.
***) Eccles. 9, 18. †) Ibid. 7, 14.

παραιτητέον δὲ καὶ τὸ συνεχὲς ἀποπτύειν καὶ τὸ χρέμπτεσθαι βιαιότερον· μηδὲ ἀπομύττεσθαι παρὰ πότον· στοχαστέον γὰρ ἀμηγέπῃ τῶν συνευωχουμένων, μὴ ἀποστέρξωσιν ἀπὸ ναυτίας τὴν τοιάνδε ἀκοσμίαν, ἣ κατήγορός ἐστιν ἀκρασίας· οὐ γὰρ κατὰ τὰ αὐτὰ τοῖς βουσὶν καὶ τοῖς ὄνοις ἡ φάτνη ἅμα καὶ ὁ κοπρών· καὶ γὰρ οἱ πολλοὶ ἀπομύττονται καὶ πτύουσιν ἅμα ἐν τῷ αὐτῷ καὶ δειπνοῦσι. πταρμὸς δὲ εἴ τῳ ἐπιγένοιτο, ὥσπερ ἀμέλει καὶ ἡ ἐρυγὴ, οὐκ ἐξηχεῖν δεήσει τοὺς πλησίον τῷ ψόφῳ τῆς αὐτῶν καταμαρτυροῦντας ἀπαιδευσίας, ἀλλ' ἡ μὲν παραπεμπτέα, ἡ ἐρυγὴ, ἡσυχῇ σὺν τῷ ἐκπνεομένῳ ἀέρι, σχηματιζομένῳ κοσμίως τῷ στόματι, οὐχὶ δὲ τραγικῶν δίκην προσωπείων διελκομένῳ καὶ κεχηνότι. πταρμοῦ δὲ τὸ ταρακτικὸν ἀφαιρετέον ἀπολαβομένοις πράως τὰς ἀναπνοάς· ταύτῃ γὰρ εὐσχημονέστατα τὴν ἄθρόαν τοῦ πνεύματος ἀπειλῆν ἐναποσβεστέον οἰκονομοῦντα τὴν διέξοδον, ὡς καὶ λαθεῖν πειρᾶσθαι, ἤν τι καὶ συνεξάξῃ ἐκβιαζόμενος ὁ ἀὴρ περίττωμα. ἀγερωχίας δὲ καὶ ἀταξίας σύμβολον τὸ προσθεῖναι τοῖς ἤχοις ἐθέλειν, μὴ οὐχὶ ἀφαιρεῖν. οἱ δὲ δὴ γλύφοντες τοὺς ὀδόντας αἱμάσσοντες τὰ οὖλα σφίσί τε αὐτοῖς εἰσιν ἀηδεῖς καὶ τοῖς πλησίον ἀπεχθεῖς. ναὶ μὴν καὶ τῶν ὤτων οἱ γαργαλισμοὶ καὶ τῶν πταρμῶν οἱ ἐρεθισμοὶ ὑώδεις εἰσὶ κνησμοὶ, πορνείας ἀκολάστου μελετητικοί. καὶ τὰς ὑπ' ὄψιν δὲ ἀσχημοσύνας παραιτητέον καὶ τὰς αἰσχρολογίας αὐτῶν. καθεστὼς δὲ καὶ τὸ βλέμμα ἔστω· καὶ ἡ τοῦ τραχήλου ἐπιστροφὴ καὶ ἡ κίνησις εὐσταθὴς καὶ ἡ τῶν χειρῶν κατὰ τὰς ὁμιλίας προφορά. καθόλου γὰρ ὁ Χριστιανὸς ἠρεμίας καὶ ἡσυχίας καὶ γαλήνης καὶ εἰρήνης οἰκεῖός ἐστιν.

σικὰ τοῖς ἀνθρώποις ἐστὶ, ταῦτα οὐκ ἀναιρεῖν ἐξ αὐτῶν δεῖ, μᾶλλον δὲ μέτρον αὐτοῖς καὶ καιρὸν ἐπιτιθέναι πρέποντα. νῷ γὰρ ἐπειδὴ γελαστικὸν ζῶον ὁ ἄνθρωπος, γελαστέον τὰ πάντα, ἐπειδὴ οὐδὲ ὁ ἵππος χρεμετιστικὸς ὢν χρεμετίζει τὰ πάντα· ὡς δὲ ζῶα λογικὰ σφᾶς αὐτοὺς ἁρμοστέον εὐκράτως τὸ αὐστηρὸν τῆς σπουδῆς ἡμῶν καὶ τὸ ὑπέρτονον χαλῶντας ἐμμελῶς, οὐκ ἐκλύοντας ἐκμελῶς· ἡ μὲν γὰρ καθ' ἁρμονίαν τοῦ προσώπου, καθάπερ ὀργάνου, κόσμιος ἄνεσις μειδίαμα κέκληται διάχυσις· οὕτως ἀνακέκληται καὶ πρόσωπον σωφρονούντων, ὁ γέλως· ἡ δὲ ἐκμελὴς τοῦ προσώπου ἔκλυσις εἰ μὲν ἐπὶ γυναικῶν γίνοιτο, κιχλισμὸς προσαγορεύεται, γέλως δέ ἐστι πορνικὸς, εἰ δὲ ἐπὶ ἀνδρῶν, καγχασμὸς, γέλως ἐστὶν οἷτος μνηστηρώδης καὶ ξυβριζων· „μωρὸς δὲ ἐν γέλωτι ἀνυψοῖ φωνὴν αὐτοῦ", φησὶν ἡ γραφὴ, „ἀνὴρ δὲ πανοῦργος μόγις ἡσυχῇ μειδιάσει" *). φρόνιμον λέγει τὸν πανοῦργον νῦν, τὸν δὲ ἐναντίως τῷ μωρῷ διακείμενον.

§. 47. Ἀλλ' οὐδ' ἐμπαλιν εἶναι δεῖ σκυθρωπὸν, ἀλλὰ σύννουν· ἀποδέχομαι γὰρ εὖ μάλα ἐκεῖνον, προσώποις μειδιῶντα, ὃς ἐφαίνετο μειδιόων βλοσυροῖσι προσώπασι**), P. 197 Pott.

τὸν τοῖς βλοσυροῖς· ἧττον γὰρ ἂν καταγέλαστος ὁ γέλως αὐτῷ εἴη. χρὴ δὲ καὶ τὸ μειδίαμα παιδαγωγεῖσθαι, καὶ εἰ μὲν ἐπ' αἰσχροῖς εἴη, ἐρυθριῶντας μᾶλλον ἢ μειδιῶντας φαίνεσθαι, μὴ συνήδεσθαι διὰ συμπάθειαν δοκῶμεν, εἰ δὲ ἐπὶ λυπηροῖς, κατηφεστέρους ἁρμόζει βλέπεσθαι ἢ ἐφήδεσθαι δοκεῖν· τὸ μὲν γὰρ ἀνθρώπινον οὐ λογισμοῦ τεκμήριον, τὸ δὲ ὠμότητος ὑπόληψιν ἐνδείκνυται· οὔτε γὰρ ἀεὶ γελαστέον — ἄμετρον γάρ — οὔτε πρεσβυτέρων ἢ τινων ἑτέρων ἐντροπῆς ἀξίων παρόντων, εἰ μὴ ἄρα τι αὐτοὶ εἰς τὸ διαχέαι ἡμᾶς χαριεντίσαιντο, οὔτε μὴν πρὸς τοὺς τυχόντας γελαστέον οὐδ' ἐν παντὶ τόπῳ οὐδὲ μὴν πᾶσιν οὐδὲ ἐπὶ πᾶσιν. μᾶλλι-

*) Eccles. 21, 20. **) Hom. Il. η. 212.

στα γὰρ μειρακίοις καὶ γυναιξὶν ὄλισθος εἰς διαβολὰς ὁ γέλως ἐστίν.

§. 48. Τὸ δὲ καὶ φαίνεσθαι καταπληκτικὸν πόρρωθεν τῶν περιόντων ἐστὶ φυγαδευτικόν· δυνατὴ
P. 73 γὰρ ἀποκρούσασθαι τῆς ἀσελγείας τὰς προσβολὰς
Sylb. καὶ ἐκ μόνης τῆς προσόψεως ἡ σεμνότης· πάντας δὲ, ὡς ἔπος εἰπεῖν, τοὺς ἀνηΐτους ὁ οἶνος
καί θ' ἁπαλὸν γελάσαι καί τ' ὀρχήσασθαι ἀνώγει·*)
εἰς μαλακίαν ἐκτρέπων τὸ ἀνδρόγυνον ἦθος. καὶ σκοπεῖν δεῖ, πῶς ἐντεῦθεν ἡ παρρησία τὴν ἀκοσμίαν εἰς αἰσχρολογίαν αὔξει·
καί τι ἔπος προέηκεν, ὅπερ τ' ἄρρητον ἄμεινον.
μάλιστα γοῦν ἐν οἴνῳ καθορᾶσθαι τὰ ἤθη τῶν ὑπούλων συμβέβηκεν τῆς ὑποκρίσεως ἀπογυμνούμενα διὰ τὴν ἀνελεύθερον παρρησίαν τῆς παροινίας, δι' ἣν κατακοιμίζεται μὲν ὁ λόγος ἐν αὐτῇ τῇ ψυχῇ καρηβαρήσας τῇ μέθῃ, τὰ δὲ ἐκτράπελα ἐπεγείρεται πάθη καταδυναστεύοντα τῆς ἀσθενείας τοῦ λογισμοῦ.

Cap. VI. P. 198 Pott.

Περὶ αἰσχρολογίας.

§. 49. Αἰσχρολογίας δὲ παντελῶς αὐτοῖς τε ἡμῖν ἀφεκτέον καὶ τοὺς χρωμένους αὐτῇ ἐπιστομιστέον καὶ ὄψει δριμυτέρᾳ καὶ προσώπου ἀποστροφῇ καὶ τῷ ἀπομυκτισμῷ καλουμένῳ, πολλάκις δὲ καὶ λόγῳ τραχυτέρῳ. „τὰ γὰρ ἐξιόντα", φησὶν, „ἐκ τοῦ στόματος κοινοῖ τὸν ἄνθρωπον"**), κοινὸν καὶ ἐθνικὸν καὶ ἀπαίδευτον καὶ ἀσελγῆ δείκνυσιν αὐτὸν, οὐχὶ δὲ ἴδιον καὶ κόσμιον καὶ σώφρονα. πρὸς δὲ τὴν ἀκοὴν τῶν αἰσχρῶν καὶ τὴν θέαν τῶν ὁμοίως ἐχόντων ὁ θεῖος παιδαγωγὸς κατὰ τὰ αὐτὰ τοῖς παλαίουσι τῶν

*) Hom. Od. ξ. 465 sq. **) Matth. 15, 18.

παιδίων, ὡς μὴ τὰ ὦτα θραύοιτο αὐτῶν, τοὺς σώφρονας περιτίθησι λόγους, καθάπερ ἀντωτίδας, ὡς μὴ δύνασθαι ἐξικνεῖσθαι εἰς θραῦσιν τῆς ψυχῆς τὸ κροῦσμα τῆς πορνείας· τοὺς δὲ ὀφθαλμοὺς κατευθύνει ἐπὶ τὴν θέαν τῶν καλῶν, ἄμεινόν εἶναι λέγων τοῖς ποσὶν ἢ τοῖς ὀφθαλμοῖς ὀλισθαίνειν.

§. 50. Ταύτην ἀποκρουόμενος τὴν αἰσχρολογίαν ὁ ἀπόστολος „πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν", φησίν, „μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθός"*). πάλιν τε αὖ „καθὼς πρέπει ἁγίοις, μὴ ὀνομαζέσθω ἐν ὑμῖν αἰσχρότης καὶ μωρολογία ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκεν, ἀλλὰ μᾶλλον εὐχαριστία"**). εἰ δὲ „ὁ μωρὸν εἰπὼν τὸν ἀδελφὸν ἔνοχος εἰς κρίσιν"***), τί περὶ τοῦ μωρολογοῦντος ἀποφανούμεθα; ἢ καὶ περὶ τούτου γέγραπται· „ὃς ἂν λαλήσῃ λόγον ἀργόν, ἀποδώσει λόγον κυρίῳ ἐν ἡμέρᾳ κρίσεως"†). αὖθίς τε „ἐκ τοῦ λόγου σου δικαιωθήσῃ", φησίν, „καὶ ἐκ τοῦ λόγου σου καταδικασθήσῃ"††). τίνες οὖν αἱ ἀντωτίδες αἱ σωτήριοι; καὶ τίνες αἱ τῶν ὀλισθηρῶν ὀφθαλμῶν παιδαγωγήσεις; αἱ μετὰ τῶν δικαίων συναναστροφαὶ προλαμβάνουσαι καὶ προεμφράττουσαι τὰ ὦτα τοῖς ἀπάγειν τῆς ἀληθείας βουλομένοις.

φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί,

ἡ ποιητικὴ λέγει. γενναιότερον δὲ ὁ ἀπόστολος, „γίνεσθε", φησίν, „ἀποστυγοῦντες τὸ πονηρὸν κολλώμενοι τῷ ἀγαθῷ, ὁ γὰρ μετὰ τῶν ἁγίων ἀναστρεφόμενος ἁγιασθήσεται"†††). P. 199 Pott

§. 51. Πάντῃ οὖν ἀφεκτέον τῶν αἰσχρῶν ἀκουσμάτων καὶ ῥημάτων καὶ θεαμάτων, πολὺ δὲ μᾶλλον ἔργων αἰσχρῶν καθαρευτέον· τοῦτο μὲν ἐν ἀποδείξεσι καὶ παραγυμνώσεσι μερῶν τινῶν τοῦ σώματος, ὧν οὐ χρή, τοῦτο δὲ ἐν ταῖς ἐπιθεωρήσεσι τῶν ἀπορ-

*) Ephes. 4, 29. **) Ibid. 5. 3 sq. ***) Matth. 5, 22. †) Ibid. 12, 36. ††) Ibid. v. 37. †††) Rom. 12, 9.

ρητοτέρων μερῶν, οὐδὲ γὰρ ἠνέσχετο τοῦ δικαίου τὴν γύμνωσιν *) αἰσχρὰν οὖσαν ἐπιδεῖν σώφρων· υἱὸς, ἐσκέπασε δὲ ἡ σωφροσύνη, ὃ ἐγύμνωσεν ἡ μέθη, τὸ περίοπτον τῆς ἀγνοίας παράπτωμα. καθαρευτέον δὲ οὐδὲν ἧττον καὶ ταῖς προφοραῖς τῶν φωνῶν, αἷς ἄβατα εἶναι χρὴ τὰ ὦτα τῶν ἐν Χριστῷ πεπιστευκότων. ταύτῃ μοι δοκεῖ ὁ παιδαγωγὸς μηδὲ φθέγξασθαί τι τῶν τῆς ἀσχημοσύνης ἐφιέναι ἡμῖν, πόρρωθεν διαβάλλων πρὸς τὴν ἀκολασίαν. δεινὸς γὰρ ἀεὶ τὰς ῥίζας τῶν ἁμαρτημάτων ἐκκόπτειν· τὸ „οὐ μοιχεύσεις" **) διὰ τοῦ „οὐκ ἐπιθυμήσεις"· καιρὸς γὰρ τῆς ἐπιθυμίας ἡ μοιχεία τῆς ῥίζης τῆς κακῆς.

§. 52. Ὁμοίως οὖν κἀνταῦθα ὁ παιδαγωγὸς τὴν ἄδειαν τῶν ὀνομάτων, ὡς χρῆσιν, διαβέβληκεν τὴν ἀδεᾶ τῆς ἀκολασίας ἐπιμιξίαν ἐκκόπτων. τὸ γὰρ ἐν τοῖς ὀνόμασιν ἀτακτεῖν μελέτην ἐμποιεῖ τοῦ καὶ εἰς τὰ ἔργα ἀκοσμεῖν, τὸ δὲ περὶ τὴν φωνὴν σωφρονεῖν ἄσκεῖν ἐστὶ λαγνείας καρτερεῖν. διειλήφαμεν δὲ καὶ βαθυτέρῳ λόγῳ, ὡς ἄρα οὔτε ἐν τοῖς ὀνόμασιν οὐδὲ μὴν ἐν τοῖς συνουσιαστικοῖς μορίοις καὶ τῇ κατὰ γάμον συμπλοκῇ, καθ' ὧν κεῖται τὰ ὀνόματα τὰ περὶ τὴν συνήθειαν οὐ τετριμμένα, ἡ τοῦ ὄντως αἰσχροῦ προσηγορία τάττεται· οὐδὲ γὰρ γόνυ καὶ κνήμη τὰ μέλη τοιαῦτα οἰδὲ μὴν τὰ ἐπ' αὐτοῖς ὀνόματα καὶ ἡ δι' αὐτῶν ἐνέργεια αἰσχρά ἐστι, μέλη δὲ καὶ τὰ αἰδοῖα τοῦ ἀνθρώπου αἰδοῦς, οὐκ αἰσχύνης κατηξιωμένα, αἰσχρὸν δὲ ἡ παράνομος αὐτῶν ἐνέργεια αἴσχους καὶ ὀνείδους διὰ τοῦτο καὶ κολάσεως ἀξία· μόνον γὰρ τῷ ὄντι αἰσχρὸν ἡ κακία καὶ τὰ κατὰ ταύτην ἐνεργούμενα. τούτοις δὲ ἀναλόγως αἰσχρολογία εἰκότως ἂν καλοῖτο ἡ περὶ τῶν τῆς κακίας ἔργων λεγοποιία· οἷον τὸ περὶ μοιχείας διαλέγεσθαι ἢ παιδεραστίας καὶ τὰ παραπλήσια. ναὶ μὴν καὶ τὴν φλύαρον ἀδολεσχίαν κατασιγαστέον. „ἐκ γάρτοι πολυ-

*) Genes. 9, 23. **) Exod. 20, 13. 17.

παιδίων, ὡς μὴ τὰ ὦτα θράσοιτο αὐτῶν, τοὺς σώφρονας περιτίθησι λόγους, καθάπερ ἀντωτίδας, ὡς μὴ δύνασθαι ἐξικνεῖσθαι εἰς θρασῦνσιν τῆς ψυχῆς τὸ κροῦσμα τῆς πορνείας· τοὺς δὲ ὀφθαλμοὺς κατευθύνει ἐπὶ τὴν θέαν τῶν καλῶν, ἄμεινον εἶναι λέγων τοῖς ποσὶν ἢ τοῖς ὀφθαλμοῖς ὀλισθαίνειν.

§. 50. Ταύτην ἀποκρουόμενος τὴν αἰσχρολογίαν ὁ ἀπόστολος „πᾶς λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν", φησὶν, „μὴ ἐκπορευέσθω, ἀλλ' εἴ τις ἀγαθός"*). πάλιν τε αὖ „καθὼς πρέπει ἁγίοις, μὴ ὀνομαζέσθω ἐν ὑμῖν αἰσχρότης καὶ μωρολογία, ἢ εὐτραπελία, ἃ οὐκ ἀνῆκεν, ἀλλὰ μᾶλλον εὐχαριστία"**). εἰ δὲ „ὁ μωρὸν εἰπὼν τὸν ἀδελφὸν ἔνοχος εἰς κρίσιν"***), τί περὶ τοῦ μωρολογοῦντος ἀποφανούμεθα; ἢ καὶ περὶ τούτου γέγραπται· „ὃς ἂν λαλήσῃ λόγον ἀργὸν, ἀποδώσει λόγον κυρίῳ ἐν ἡμέρᾳ κρίσεως"†). αὐθίς τε „ἐκ τοῦ λόγου σου δικαιωθήσῃ", φησὶν, „καὶ ἐκ τοῦ λόγου σου καταδικασθήσῃ"††). τίνες οὖν αἱ ἀντωτίδες αἱ σωτήριοι; καὶ τίνες αἱ τῶν ὀλισθηρῶν ὀφθαλμῶν παιδαγωγήσεις; αἱ μετὰ τῶν δικαίων συναναστροφαὶ προλαμβάνουσαι καὶ προεμφράττουσαι τὰ ὦτα τοῖς ἀπάγειν τῆς ἀληθείας βουλομένοις.

φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί,

ἡ ποιητικὴ λέγει. γενναιότερον δὲ ὁ ἀπόστολος, „γίνεσθε", φησὶν, „ἀποστυγοῦντες τὸ πονηρὸν κολλώμενοι τῷ ἀγαθῷ, ὁ γὰρ μετὰ τῶν ἁγίων ἀναστρεφόμενος ἁγιασθήσεται"†††). P. 19 Pot

§. 51. Πάντη οὖν ἀφεκτέον τῶν αἰσχρῶν ἀκουσμάτων καὶ ῥημάτων καὶ θεαμάτων, πολὺ δὲ μᾶλλον ἔργων αἰσχρῶν καθαρευτέον· τοῦτο μὲν ἐν ἀποδείξεσι καὶ παραγυμνώσεσι μερῶν τινῶν τοῦ σώματος, ὧν οὐ χρὴ, τοῦτο δὲ ἐν ταῖς ἐπιθεωρήσεσι τῶν ἀπορ-

*) Ephes. 4, 29. **) Ibid. 5. 3 sq. ***) Matth. 5, 22. †) Ibid. 12, 36. ††) Ibid. v. 37. †††) Rom. 12, 9.

ρητοτέρων μερῶν, οὐδὲ γὰρ ἠνέσχετο τοῦ δικαίου τὴν γύμνωσιν *) αἰσχρὰν οὖσαν ἐπιδεῖν σώφρων· υἱὸς, ἐσκέπασε δὲ ἡ σωφροσύνη, ὃ ἐγύμνωσεν ἡ μέθη, τὸ περίοπτον τῆς ἀγνοίας παράπτωμα. καθαρευτέον δὲ οὐδὲν ἧττον καὶ ταῖς προφοραῖς τῶν φωνῶν, αἷς ἄβατα εἶναι χρὴ τὰ ὦτα τῶν ἐν Χριστῷ πεπιστευκότων. ταύτῃ μοὶ δοκεῖ ὁ παιδαγωγὸς μηδὲ φθέγξασθαί τι τῶν τῆς ἀσχημοσύνης ἐφιέναι ἡμῖν, πόρρωθεν διαβάλλων πρὸς τὴν ἀκολασίαν. δεινὸς γὰρ ἀεὶ τὰς ῥίζας τῶν ἁμαρτημάτων ἐκκόπτειν· τὸ „οὐ μοιχεύσεις" **) διὰ τοῦ „οὐκ ἐπιθυμήσεις"· καρπὸς γὰρ τῆς ἐπιθυμίας ἡ μοιχεία τῆς ῥίζης τῆς κακῆς.

§. 52. Ὁμοίως οὖν κἀνταῦθα ὁ παιδαγωγὸς τὴν ἄδειαν τῶν ὀνομάτων, ὡς χρῆσιν, διαβέβληκεν τὴν ἀδεᾶ τῆς ἀκολασίας ἐπιμιξίαν ἐκκόπτων. τὸ γὰρ ἐν τοῖς ὀνόμασιν ἀτακτεῖν μελέτην ἐμποιεῖ τοῦ καὶ εἰς τὰ ἔργα ἀκοσμεῖν, τὸ δὲ περὶ τὴν φωνὴν σωφρονεῖν ἀσκεῖν ἐστὶ λαγνείας κάρτερεῖν. διειλήφαμεν δὲ καὶ βαθυτέρῳ λόγῳ, ὡς ἄρα οὔτε ἐν τοῖς ὀνόμασιν οὐδὲ μὴν ἐν τοῖς συνουσιαστικοῖς μορίοις καὶ τῇ κατὰ γάμον συμπλοκῇ, καθ' ὧν κεῖται τὰ ὀνόματα τὰ περὶ τὴν συνήθειαν οὐ τετριμμένα, ἡ τοῦ ὄντως αἰσχροῦ προσηγορία κάτεστεται· οὐδὲ γὰρ γόνυ καὶ κνήμη τὰ μέλη τοιαῦτα οὐδὲ μὴν τὰ ἐπ' αὐτοῖς ὀνόματα καὶ ἡ δι' αὐτῶν ἐνέργεια αἰσχρά ἐστι, μέλη δὲ καὶ τὰ αἰδοῖα τοῦ ἀνθρώπου αἰδοῦς, οὐκ αἰσχύνης κατηξιωμένα, αἰσχρὸν δὲ ἡ παράνομος αὐτῶν ἐνέργεια αἴσχους καὶ ὀνείδους διὰ τοῦτο καὶ κολάσεως ἀξία· μόνον γὰρ τῷ ὄντι αἰσχρὸν ἡ κακία καὶ τὰ κατὰ ταύτην ἐνεργούμενα. τούτοις δὲ ἀναλόγως αἰσχρολογία εἰκότως ἂν καλοῖτο ἡ περὶ τῶν τῆς κακίας ἔργων λεγοποιία· οἷον τὸ περὶ μοιχείας διαλέγεσθαι ἢ παιδεραστίας καὶ τὰ παραπλήσια. ναὶ μὴν καὶ τὴν φλύαρον ἀδολεσχίαν κατασιγαστέον. „ἐκ γάρτοι πολυ-

*) Genes. 9, 23. **) Exod. 20, 13. 17.

λογίας οὐκ ἐκφεύξῃ" φησὶν, "ἁμαρτίαν" *), δί- P. 200
κην ἄρα ὑφέξει ἡ γλωσσαλγία· "ἔστι γὰρ σιωπῶν Pott.
εὑρισκόμενος σοφὸς καὶ ἔστι μισητὸς ἀπὸ πολλῆς λαλιᾶς" **). ἤδη καὶ αὐτὸς αὐτῷ ὁ ἀδολέσχης προσ-
5 κορὴς, "πλεονάζων γὰρ λόγον βδελύττεται τὴν ψυχὴν αὐτοῦ" ***).

P. 74 Sylb.

Cap. VII.

Τίνα χρὴ παραφυλάττεσθαι τοὺς ἀστείως συμβιοῦντας;

§. 53. *Ἀπέστω δὲ, ἀπέστω ἡμῶν καὶ τὸ σκώπτειν ὕβρεως προκατάρχον, ἐξ ὧν ἔριδες καὶ μάχαι*
10*καὶ ἔχθραι διοιδαίνουσιν. ὕβριν δὲ ἔφαμεν μέθης εἶναι διάκονον, οὐκ ἐκ μόνων δὲ τῶν ἔργων, ἀλλὰ καὶ ἐκ λόγων ἄνθρωπος κρίνεται. "ἐν συμποσίῳ δὲ", φησὶ, "μὴ ἐλέγξῃς τὸν πλησίον, καὶ λόγον ὀνείδισμοῦ μὴ εἴπῃς αὐτῷ" †). εἰ γὰρ καὶ τὰ μάλιστα παραγγέλ-*
15*λεται ἁγίοις συνεῖναι, σκώπτειν τὸν ἅγιον ἁμαρτία· "ἐκ στόματος γὰρ ἀφρόνων", φησὶν ἡ γραφὴ, "βακτηρία ὕβρεως" ††)· ἐπιβάθραν ὕβρεως, βακτηρίαν λέγουσα, ἣ ἐπερείδεται καὶ ἐπαναπαύεται ἡ ὕβρις. ὅθεν ἄγαμαι τὸν ἀπόστολον κἀνταῦθα παραινοῦντα*
20*"μηδὲ τὰ εὐτράπελα μηδὲ τὰ μὴ ἀνήκοντα" †††) προ-ἔσθαι ἡμᾶς ῥήματα. εἰ γὰρ δι' ἀγάπην αἱ ἐπὶ τὰς ἑστιάσεις συνελεύσεις, συμποσίου δὲ τὸ τέλος ἡ πρὸς τοὺς συνόντας φιλοφροσύνη, παρεπόμενα δὲ τῇ ἀγάπῃ ἡ βρῶσις καὶ ἡ πόσις, πῶς οὐ λογικῶς ἀναστρε-*
25*πτέον οὐδὲ διὰ τὴν ἀγάπην ἀπορητέον; εἰ γὰρ ὡς ἐπιτείνοντες τὴν πρὸς ἀλλήλους εὔνοιαν σύνιμεν, πῶς ἔχθρας διὰ τοῦ σκώπτειν σκαλεύομεν; σιωπᾶν δὲ κρεῖττον ἢ ἀντιλέγειν ἁμαρτίαν ἁμαθίᾳ προσφερομέ-*

*) Prouerb. 10, 19. **) Eccles. 20, 5. ***) Ibid. v. 8. †) Ibid. 31, 31. ††) Prouerb. 14, 3. †††) Ephes. 5, 4.

νους. „μακάριος" ὡς ἀληθῶς „ἀνὴρ, ὃς οὐκ ὠλίσθησεν ἐν στόματι αὐτοῦ καὶ οὐ κατενύγη ἐν λύπῃ ἁμαρτίας"*), ἤτοι μετανοήσας ἐφ' οἷς λαλήσας ἥμαρτεν, ἢ ἐν τῷ μηδένα λυπῆσαι λαλήσας. καθόλου μὲν οὖν νέοι μὲν καὶ νεάνιδες ὡς ἐπίπαν τῶν τοιῶνδε ἀπεχέσθων εὐωχιῶν, ὡς μὴ σφάλλοιντο περὶ ἃ μὴ προσῆκεν· καὶ γὰρ ἀκούσματα ἀΐδη καὶ θεάματα ἁρπεπῆ κυμαινομένης ἔτι ἐν αὐτοῖς τῆς πίστεως P. 201 ἐκριπίζει τὴν διάνοιαν, συνεργεῖ δὲ αὐτοῖς τὸ ἄστα- Pott. τον τῆς ἡλικίας πρὸς τὸ εὐκατάφορον τῆς ἐπιθυμίας, ἔσθ' ὅτε δὲ καὶ ἄλλοις παραίτιοι γίνονται σφαλμάτων, τὸ ἐπικίνδυνον τῆς ὥρας ἐπιδεικνύμενοι.

§. 54. Εὖ γάρτοι παραγγέλλειν ἡ σοφία φαίνεται· „μετὰ ὑπάνδρου γυναικὸς μὴ κάθου τὸ σύνολον καὶ μὴ συμμετακλιθῇς ἐπ' ἀγκῶνα μετ' αὐτῆς"**)· τουτέστι μὴ συνδείπνει πυκνότερον, μηδὲ ἔσθιε μετ' αὐτῆς. διὸ καὶ ἐπιφέρει· „μηδὲ συμβολὰς ποίει μετ' αὐτῆς ἐν οἴνῳ, μή ποτε ἐκκλίνῃ ἡ καρδία σοῦ ἐπ' αὐτὴν καὶ τῷ αἵματί σου ὀλισθήσῃ εἰς ἀπώλειαν"· σφαλερὰ γὰρ ἡ πάροινος ἐλευθερία παρανθεῖν δυναμένη· ὕπανδρον δὲ ὠνόμασεν, ἐπεὶ μείζων ὁ κίνδυνος τῷ λῦσαι τὴν δέσιν τῆς συμβιώσεως πειρωμένῳ. εἰ δὲ καὶ ἀνάγκη τις περιτύχοι παριέναι κελεύουσα, αἱ μὲν κεκαλύφθων ἄγαν ἀμπεχόνῃ ἔκτοσθεν, ἔνδοθεν δὲ αἰδοῖ. ὅσαι δὲ μὴ ὕπανδροι, ἐσχάτη ταύτη διαβολῇ εἰς ἀνδρῶν παρεῖναι συμπόσιον καὶ τωθάσαι οἰνωμένων. οἱ δὲ ἐπὶ τὴν κλισίαν τὰς ὄψεις πήξαντες ἀμετασάλευτοι τοῖς ἀγκῶσιν ἐρηρεισμένοι μόνοις παρέστων τοῖς ὠσίν, εἰ δὴ καὶ καθέζοιντο, μὴ ἐναλλὰξ τῷ πόδε ἐχόντων, μηδὲ μὴν θάτερον τοῖν μηροῖν θατέρῳ ἐπιφερόντων ἢ τὴν χεῖρα τῷ γενείῳ ὑπερειδόντων· ἀγεννὲς γὰρ μὴ φέρειν αὐτόν.

§. 55. Καὶ τοῦτο κατηγόρημα τοῦ νέου. συνεχὲς δὲ καὶ τὸ μετακινούμενον ἐναλλάττειν τὸ σχῆμα

*) Eccles. 14, 1. **) Ibid. 9, 9.

κουφότητος σύμβολον, σώφρονος δὲ εὐθέως ἐν πόσει καὶ ἐν βρώσει τὸ ἔλαττον αἱρεῖσθαι καὶ τὸ σχολαίτερον, οὐ τὸ προπετέστερον κἂν τῷ κατάρχεσθαι κἂν τοῖς διαλείμμασι, καὶ τὸ προκαταλήγειν δὲ καὶ τὸ ἀπροσπαθές. „φάγε", φησὶν, „ὡς ἄνθρωπος τὰ παρακείμενα, παῦσαι πρῶτος χάριν παιδείας, κἂν ἀναμέσον πλειόνων ἐκάθισας, πρότερος αὐτῶν μὴ ἐκτείνῃς χεῖρα" *). οὔκουν προσεκπηδητέον ὑπὸ λαιμαργίας ἀναπειθομένους ποτὲ, οὐδὲ μὴν ἐπιγλιχομένους παρεκτείνειν μέχρι πολλοῦ χρὴ τῇ ἐφυστερήσει τὴν ἀκρασίαν ὁμολογοῦντας. ἀλλ' οὐδὲ ἐν τῷ μεταξὺ P. 202 προσκειμένους φαίνεσθαι καθάπερ τὰ θηρία τῇ βο- Pott. ρᾷ, οὐδὲ μὴν πλείονος ὄψου προσφέρεσθαι· οὐ γὰρ ὀψοφάγος φύσει, ἀλλὰ σιτοφάγος ἄνθρωπος.

§. 56. Προανίστασθαι δὲ τῶν πολλῶν καὶ τοῦ συμποσίου ὑπεξεῖναι ἐπιεικῶς ἀνδρὸς σώφρονος· „ἐν ὥρᾳ γὰρ", φησὶν, „ἀναστάσεως μὴ οὐράγει, καὶ ἀπότρεχε εἰς οἶκόν σου" **). ἔλεγον δὲ οἱ δώδεκα προσκαλεσάμενοι τὸ πλῆθος τῶν μαθητῶν· „οὐκ ἀρεστόν ἐστιν ἡμᾶς καταλείψαντας τὸν λόγον τοῦ Θεοῦ διακονεῖν τραπέζαις" ***). εἰ δὴ τοῦτο ἐφυλάξαντο, πολλῷ μᾶλλον γαστριμαργίαν ἔφευγον. οἱ δὲ αὐτοὶ οὗτοι ἀπόστολοι τοῖς κατὰ τὴν Ἀντιόχειαν καὶ Συρίαν καὶ Κιλικίαν ἀδελφοῖς ἐπιστέλλοντες· „ἔδοξεν", ἔφασαν, „τῷ πνεύματι τῷ ἁγίῳ καὶ ἡμῖν μηδὲν πλέον ἐπιθέσθαι ὑμῖν βάρος", πλὴν τῶν ἐπάναγκες, ἀπέχεσθαι εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτῶν καὶ τῆς πορνείας, ἐξ ὧν διατηροῦντες ἑαυτοὺς εὖ πράξετε" †). φυλάττεσθαι δὲ τὰς παροινίας ὥσπερ καὶ τὸ κώνειον δεῖ· ἄμφω γὰρ ὑποσύρουσιν εἰς θάνατον. χρὴ δὲ καὶ γελώτων εἴργεσθαι ἐξαισίων καὶ δακρύων ὑπερμέτρων· πολλάκις γὰρ οἱ οἰνωμένοι καγχάσαντες ἐπὶ πλεῖστον, εἶτα μέντοι ὑπήχθησαν οὐκ οἶδ' ὅπως

*) Eccles, 31, 16—18. **) Ibid. 32, 11. ***) Actor. 6, 2. †) Ibid. 15, 28 sq.

παροινίᾳ τινὶ παραπειθόμενοι εἰς δάκρυα· ἀπάδει γὰρ τοῦ λόγου καὶ τὸ ἐκθηλύνεσθαι καὶ τὸ ἐξυβρίζειν.

§. 57. Πρεσβῦται δὲ ὡς τέκνα ἀφορῶντες τοὺς νέους σπανιαίτατα μέν, ἴσως δ' ἄν που καὶ παίξαιεν πρὸς αὐτούς, εἰς τοῦτο ἐπισκώπτοντες, ὃ παιδαγωγήσει τὸ εὔσχημον αὐτῶν. ἀμέλει πρὸς τὸν αἰσχυντηλὸν καὶ σιωπηλὸν ἔστι χαριεντίσασθαι ὧδέ πως· ὁ δὲ ἐμὸς υἱὸς, ἐκεῖνον λέγω τὸν σιωπῶντα, οὐ παύεται λαλῶν. ἐπιτείνει γὰρ τοῦ νέου τὴν αἰδῶ ἡ τοιαύτη ἐπίσκωψις ἐμφαίνουσα χαριέντως τὰ προσόντα αὐτῷ χρηστὰ διὰ τῆς τῶν φαύλων, ἃ μὴ πρόσεστιν αὐτῷ, διαβολῆς· ἐπίνοια γὰρ καὶ αὐτὴ διδασκαλικὴ διὰ τοῦ μὴ προσόντος κυροῦσα τὸ προσόν. ἀμέλει τοσοῦτόν τι ἐπικρίνει ὁ τὸν ὑδροπότην καὶ σώφρονα παροινεῖν καὶ μεθύειν λέγων. εἰ δὲ καὶ εἰέν τινες οἱ φιλοσκώμμονες, σιωπητέον ἡμῖν καὶ παραπεμπτέον τοὺς λόγους τοὺς περιττοὺς, ὥσπερ τὰς κύλικας τὰς πεπληρωμένας· ἐπισφαλὴς γὰρ ἡ τοιαύτη παιδιά· „στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ· P. 203 οὐ παραδέξῃ δὲ ἀκοὴν ματαίαν οὐδὲ συγκαταθήσῃ Pott. μετὰ τοῦ ἀδίκου γενέσθαι μάρτυς"*) ἄδικος οὔτε εἰς διαβολὰς οὔτε εἰς βλασφημίας, ἀλλ' οὐδ' εἰς κακοηθείας.

§. 58. Ἐγὼ δ' ἄν μοι δοκῶ καὶ μέτρον ἐπιθεῖναι φωνῇ, τοῖς σώφροσιν, οἷς γε ἐφεῖται λαλεῖν, τὸν ἀντιδιαλεγόμενον. σιγὴ μὲν γὰρ ἀρετὴ γυναικῶν ἐστιν, ἀκίνδυνον δὲ τῶν νέων γέρας, λόγος δὲ ἀγαθὸς ἡλικίας δεδοκιμασμένης. „λάλησον, πρεσβύτερε, ἐν συμποσίῳ — πρέπει γάρ σοι —, ἀλλ' ἀπαραποίστως λάλησον καὶ ἐν ἀκριβείᾳ ἐπιστήμης. νεανίσκε", καὶ σοὶ ἐπιτρέπει ἡ σοφία, „λάλησον, εἰ χρεία σοὺ, μόλις δὶς ἐπερωτηθεὶς κεφαλαίωσον λόγον ἐν ὀλίγοις"**). ἄμφω δὲ οἱ διαλεγόμενοι τὸ φθέγμα

*) Proverb. 16, 14. Exod. 23, 1. **) Eccles. 32, 3. 7 sq.

τὸ σφῶν τῇ συμμετρίᾳ παραμετρούντων, τό τε γὰρ γεγωνὸν τῆς προφορᾶς μανιωδέστατον, τό τε ἀνήκουστον πρὸς τοὺς πέλας φθέγγεσθαι ἀναισθήτου· οὐ γὰρ ἀκούσονται. καὶ τὸ μὲν ἀγεννείας, τὸ δὲ αὐθαδείας τεκμήριον. ἀπέστω δὲ καὶ ἡ φιλονεικία κενῆς νίκης ἕνεκεν, λόγων, ἐπεὶ τέλος ἡμῖν ἡ ἀταραξία καὶ τοῦτο ἄρα ἐστὶ τὸ „εἰρήνη σοί"*)· πρίν τε ἀκοῦσαί σε μὴ ἀποκρίνου ῥῆμα.

§. 59. Ἀλλὰ καὶ τὸ τεθρυμμένον τῆς φωνῆς θηλυδρίου, σώφρονος δὲ καὶ τὸ ἐν τῇ φωνῇ μεμετρημένον μεγέθους τε ἅμα καὶ μήκους καὶ τάχους καὶ πλήθους εἴργοντος τὸ φθέγμα τὸ αὐτοῦ. οὔτε γαρ μακρολογητέον ποτὲ οὔτε πολυλογητέον οὔτε ἀδολεσχητέον, ἀλλ' οὐδὲ τροχαλῶς καὶ συνδιωκομένως ὁμιλητέον. καὶ γὰρ αὐτῇ τῇ φωνῇ, ὡς ἔπος εἰπεῖν, δικαιοσύνης μεταδοτέον, τούς τε ἀκαιροβύας καὶ τοὺς κεκράκτας ἐπιστομιστέον. ταύτῃ γὰρ αὖ τὸν Θερσίτην πληγαῖς ἡκίσατο ὁ σώφρων Ὀδυσσεύς, ὅτι μόνος

ἀμετροεπὴς ἐκολῴα,
ὅς ῥ' ἔπεα φρεσὶν ἧσιν ἄκοσμά τε πολλά τε ἤδει,
μάψ, ἀτὰρ οὐ κατὰ κόσμον**). P. 204

„φοβερὸς γὰρ ἐν ἀπωλείᾳ αὐτοῦ ἀνὴρ γλωσσώδης"***). τῶν γοῦν φλυάρων καθάπερ τῶν παλαιῶν ὑποδημάτων, τὰ μὲν ἄλλα ὑπὸ τῆς κακίας κατατέτριπται μόνη δὲ ἡ γλῶσσα περιλείπεται εἰς βλάβην. ταύτῃ τοι βιωφελέστατα ἡ σοφία παραινεῖ· „μὴ ἀδολέσχει ἐν πλήθει πρεσβυτέρων"†). ἄνωθεν δὲ ἡμῶν τὴν φλυαρίαν ἐκκόπτουσα, θεόθεν ἄρχουσα, μετριάζειν νομοθετοῦσα ὧδέ πως· „μὴ δευτερώσῃς λόγον ἐν προσευχῇ σού".

Poll. P.

§. 60. Ποππυσμὸς δὲ καὶ συριγμὸς καὶ οἱ διὰ τῶν δακτύλων ψόφοι τῶν οἰκετῶν οἱ προκλητικοὶ ἄλογοι σημασίαι οὖσαι λογικοῖς ἀνθρώποις ἐκκλιτέοι,

*) 3 Ioann. v. 15. **) Hom. Il. β, 212 sq. ***) Eccles. 9, 18. †) Ibid. 7, 14.

παραιτητέον δὲ καὶ τὸ συνεχὲς ἀποπτύειν καὶ τὸ χρέμπτεσθαι βιαιότερον μηδὲ ἀπομύττεσθαι παρὰ πόνον· στοχαστέον γὰρ ἀμηγέπῃ τῶν συνευωχουμένων, μὴ ἀποστέρξωσιν ἀπὸ ναυτίας τὴν τοιάνδε ἀκοσμίαν, ἣ κατήγορός ἐστιν ἀκρασίας· οὐ γὰρ κατὰ τὰ αὐτὰ τοῖς βουσὶν καὶ τοῖς ὄνοις ἡ φάτνη ἅμα καὶ ὁ κοπρών· καὶ γὰρ οἱ πολλοὶ ἀπομύττονται καὶ πτύουσιν ἅμα ἐν τῷ αὐτῷ καὶ δειπνοῦσι. πταρμὸς δὲ εἴ τῳ ἐπηγένοιτο, ὥσπερ ἀμέλει καὶ ἡ ἐρυγή, οὐκ ἐξηχεῖν δεήσει τοὺς πλησίον τῷ ψόφῳ τῆς αὐτῶν καταμαρτυροῦντας ἀπαιδευσίας, ἀλλ' ἡ μὲν παραπεμπτέα, ἡ ἐρυγή, ἡσυχῇ σὺν τῷ ἐκπνεομένῳ ἀέρι, σχηματιζομένῳ κοσμίως τῷ στόματι, οὐχὶ δὲ τραγικῶν δίκην προσωπείων διελκομένῳ καὶ κεχηνότι. πταρμοῦ δὲ τὸ ταρακτικὸν ἀφαιρετέον ἀπολαβομένοις πράως τὰς ἀναπνοάς· ταύτῃ γὰρ εὐσχημονέστατα τὴν ἀθρόαν τοῦ πνεύματος ἀπειλὴν ἐναποσβεστέον οἰκονομοῦντα τὴν διέξοδον, ὡς καὶ λαθεῖν πειρᾶσθαι, ἤν τι καὶ συνεξάξῃ ἐκβιαζόμενος ὁ ἀὴρ περίτρωμα. ἀγερωχίας δὲ καὶ ἀταξίας σύμβολον τὸ προσθεῖναι τοῖς ἤχοις ἐθέλειν, μὴ οὐχὶ ἀφαιρεῖν. οἱ δὲ δὴ γλύφοντες τοὺς ὀδόντας αἱμάσσοντες τὰ οὖλα σφῖσί τε αὐτοῖς εἰσὶν ἀηδεῖς καὶ τοῖς πλησίον ἀπεχθεῖς. ναὶ μὴν καὶ τῶν ὦτων οἱ γαργαλισμοὶ καὶ τῶν πταρμῶν οἱ ἐρεθισμοὶ ὕβρεις εἰσὶ κινησμοί, πορνείας ἀκολάστου μελετητικοί. καὶ τὰς ὑπ' ὄψιν δὲ ἀσχημοσύνας παραιτητέον καὶ τὰς αἰσχρολογίας αὐτῶν. καθεστὼς δὲ καὶ τὸ βλέμμα ἔστω· καὶ ἡ τοῦ τραχήλου ἐπιστροφὴ καὶ ἡ κίνησις εὐσταθὴς καὶ ἡ τῶν χειρῶν κατὰ τὰς ὁμιλίας προφορά. καθόλου γὰρ ὁ Χριστιανὸς ἠρεμίας καὶ ἡσυχίας καὶ γαλήνης καὶ εἰρήνης οἰκεῖός ἐστιν.

Cap. VIII.

P. 205 Potter.

Εἰ μύροις καὶ στεφάνοις χρηστέον.

§. 61. Στεφάνων δὲ ἡμῖν καὶ μύρων χρῆσις οὐκ ἀναγκαία. ἐξοκέλλει γὰρ εἰς ἡδονὰς καὶ ῥᾳθυμίας, μάλιστα γειτνιώσης τῆς νυκτός. οἶδ' ὅτι „ἀλάβαστρον μύρου"*) παρὰ τὸ δεῖπνον τὸ ἅγιον κομίσασα ἡ γυνὴ τοὺς πόδας ἤλειφεν τοῦ κυρίου καὶ ἤσεν P. 76 αὐτὸν, οἶδα δὲ καὶ χρυσῷ καὶ λίθῳ τιμίῳ τοὺς Sylb. παλαιοὺς τῶν Ἑβραίων ἀναδουμένους βασιλεῖς, ἀλλ' ἡ μὲν γυνὴ μηδέπω τοῦ λόγου μεταλαβοῦσα — ἔτι γὰρ ἦν ἁμαρτωλός — ὅπερ ἠγεῖτο τὸ κάλλιστον εἶναι παρ' αὐτῇ, τὸ μύρον, τούτῳ τετίμηκε τὸν δεσπότην, ἀμέλει καὶ τῷ κόσμῳ τοῦ σώματος, ταῖς θριξὶ ταῖς ἑαυτῆς, ἀπεψᾶτο τὸ περιττὸν τοῦ μύρου ἐπισπένδουσα τῷ κυρίῳ, μετανοίας δάκρυα. διὰ τοῦτο „ἀφέωνται αὐτῆς αἱ ἁμαρτίαι"**). δύναται δὲ τοῦτο σύμβολον εἶναι τῆς διδασκαλίας τῆς κυριακῆς καὶ τοῦ πάθους αὐτοῦ· μύρῳ γὰρ εὐώδει ἀλειφόμενοι οἱ πόδες θεϊκὴν αἰνίττονται διδασκαλίαν ἐπὶ τὰ πέρατα τῆς γῆς μετ' εὐκλείας ὑδεύουσαν· „ἐξῆλθεν γὰρ ὁ φθόγγος αὐτῶν ἐπὶ τὰ πέρατα τῆς γῆς"***). καὶ εἰ μὴ φορτικὸς εἶναι δοκῶ, οἱ πόδες οἱ τοῦ κυρίου οἱ μεμυρισμένοι ἀπόστολοί εἰσι προφητεία τῆς εὐωδίας τοῦ χρίσματος ἁγίου μεταλαβόντες πνεύματος.

§. 62. Οἱ γοῦν περινοστήσαντες τὴν οἰκουμένην ἀπόστολοι καὶ τὸ εὐαγγέλιον κηρύξαντες πόδες ἀλληγοροῦνται κυρίου, περὶ ὧν καὶ διὰ τοῦ ψαλμῳδοῦ προθεσπίζει τὸ πνεῦμα· „προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ"†), τουτέστιν, οὗ ἔφθασαν οἱ πόδες αὐτοῦ οἱ ἀπόστολοι, δι' ὧν κηρυσσόμενος ἐπὶ τὰ πέρατα ἦκεν τῆς γῆς. δάκρυα δὲ ἡ

*) Matth. 26, 7. Marc. 14, 3. Luc. 7, 37. **) Luc. 7, 47. ***) Psalm. 19, 5. Rom. 10, 18. †) Psalm. 132, 7.

μετάνοιά ἐστι, καὶ λελυμέναι τρίχες φιλοκοσμίας ἐκήρυσσον. ἀπαλλαγὴν καὶ τὴν μετὰ τοῦ κηρύγματος διὰ τὸν κύριον θλῖψιν ἐν ὑπομοναῖς τῆς παλαιᾶς ἐκείνης διὰ τὴν πίστιν τὴν νέαν λελυμένης κενοδοξίας, ἀλλὰ καὶ πάθος ἐμφαίνει δεσποτικόν. μυστικῶς ταύτῃ νοοῦσι τὸ ἔλαιον, ὃ αὐτός ἐστιν ὁ κύριος, ἀφ' οὗ τὸ ἔλεος τὸ ἐφ' ἡμᾶς, τὸ δὲ μύρον δεδολωμένον ἔλαιόν ἐστιν ὁ Ἰούδας ὁ προδότης, ᾧ τοὺς πόδας ἐχρίσθη κύριος τῆς ἐν κόσμῳ ἀναστροφῆς ἀπαλλατόμενος, μυρίζονται γὰρ οἱ νεκροί. δάκρυα δέ ἐσμεν οἱ ἁμαρτωλοὶ οἱ μετανενοηκότες οἱ εἰς αὐτὸν πεπιστευκότες, οἷς ἀφῆκεν τὰς ἁμαρτίας, καὶ αἱ τρίχες αἱ λελυμέναι πενθοῦσα Ἱερουσαλὴμ ἡ κατάλελειμμέ- P. 206
νη, δι' ἣν οἱ θρῆνοι οἱ προφητικοί. διδάσκει δὲ Pott.
ἡμᾶς αὐτὸς ὁ κύριος, ὅτι δεδολωμένος ὁ Ἰούδας ἐστίν· "ὃς ἂν ἐμβάψηται μετ' ἐμοῦ", λέγων, "εἰς τὸ τρυβλίον, οὗτός με παραδώσει"*). ὁρᾷς τὸν συμπότην τὸν δόλιον· καὶ αὐτὸς οὗτος ὁ Ἰούδας φιλήματι προῦδωκε τὸν διδάσκαλον· γέγονεν γὰρ ὁ αὐτὸς ὑποκριτὴς καὶ φίλημα δεδολωμένον ἔχων ἄλλον παλαιὸν μιμούμενος ὑποκριτήν· καὶ τὸν λαὸν ἐλέγχων ἐκεῖνον, δι' ὃν εἴρηται, "ὁ λαὸς οὗτος τοῖς χείλεσι φιλοῦσί με, ἡ δὲ καρδία αὐτῶν πορρωτέρω ἐστὶν ἀπ' ἐμοῦ"**).

§. 63. Οὐκ ἀπεικὸς οὖν αὐτὸν καταμηνύειν, ἔλαιον μέν, ὡς μαθητὴν ἠλεημένον, δολερὸν δέ, ὡς προδότην, ἔλαιον πεφαρμαγμένον. τοῦτο ἄρα ἦν, ὃ προεφήτευον οἱ μυριζόμενοι πόδες, τὴν Ἰούδα προδοσίαν εἰς πάθος ὁδεύοντος κυρίου. καὶ αὐτὸς ὁ σωτὴρ "ἀπονίπτων τοὺς πόδας"***) τῶν μαθητῶν εἰς τὰς καλὰς πράξεις ἀποστέλλων αὐτούς, τὴν ὁδοιπορίαν αὐτῶν τὴν εἰς τὰς εὐεργεσίας τῶν ἐθνῶν ἡνίξατο εὐπρεπῆ καὶ καθαρὰ προπαράσκευάσας τῇ ἰδίᾳ δυνάμει. ὥζεσέ τε τούτοις τὸ μύρον καὶ τὸ ἐπὶ πάν-

*) Matth. 26, 23. **) Ies. 29, 13. ***) Ioann. 13, 5 sq.

των φθάνον τῆς εὐωδίας ἔργον πεφήμισται· καὶ γὰρ πεπλήρωκεν τὸ πάθος τοῦ κυρίου, ἡμᾶς μὲν εὐωδίας, Ἑβραίους δὲ ἁμαρτίας. σαφέστατα τοῦτο ἀπέδειξεν ὁ ἀπόστολος εἰπών· „τῷ θεῷ χάρις τῷ πάντοτε θριαμβεύοντι ἡμᾶς ἐν τῷ Χριστῷ καὶ τὴν ὀσμὴν τῆς γνώσεως αὐτοῦ φανεροῦντι δι' ἡμῶν ἐν παντὶ τόπῳ, ὅτι κυρίου εὐωδία ἐσμὲν τῷ θεῷ ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις, οἷς μὲν γὰρ ὀσμὴ ἐκ θανάτου εἰς θάνατον, οἷς δὲ ὀσμὴ ἐκ ζωῆς εἰς ζωήν" *). βασιλεῖς δὲ οἱ Ἰουδαίων χρυσῷ καὶ λίθοις τιμίοις συνθέτῳ καὶ ποικίλῳ χρώμενοι στεφάνῳ, οἱ χριστοί, τὸν Χριστὸν ἐπὶ τῆς κεφαλῆς συμβολικῶς ἐπιφερόμενοι λελήθεσαν κεφαλῇ κυσμούμενοι κυρίου. λίθος γέ τοι τίμιος ἢ μαργαρίτης ἢ σμάραγδος αὐτὸν αἰνίττεται τὸν λόγον, χρυσὸς δὲ αὐτὸς πάλιν ὁ ἀδιάφθορος λόγος, ὁ τὸν ἰὸν τῆς φθορᾶς οὐκ ἐπιδεχόμενος. χρυσὸν γὰρ αὐτῷ γεννηθέντι βασιλείας σύμβολον προσεκόμισαν οἱ μάγοι· μένει δὲ ἀθάνατος ὁ στέφανος οὗτος κατ' εἰκόνα τοῦ κυρίου· οὐ γὰρ μαραίνεται ὡς ἄνθος.* P. 207

§. 64. *Οἶδα καὶ τὰ Ἀριστίππου τοῦ Κυρηναίου.* Pott. *ἀβροδίαιτος ἦν ὁ Ἀρίστιππος· σοφιστικὸν οὗτος ἐρωτᾷ τινὰ τοιοῦτον λόγον· ἵππος μύρῳ χριόμενος εἰς τὴν ἵππου ἀρετὴν οὐ βλάπτεται οὐδὲ κύων μυρισθεὶς εἰς τὴν κυνὸς ἀρετήν· οὐδ' ἄνθρωπος ἄρα, ἐπήγαγεν καὶ συνήγαγεν· ἀλλ' ἵππῳ μὲν καὶ κυνὶ οὐδὲ εἷς λόγος τοῦ μύρου, οἷς δὲ ἡ αἴσθησις λογικωτέρα, τούτοις ἡ ἀπόλαυσις ἐπιψογωτέρα κορασιώδεις ὀδμὰς ἐπιφερομένοις. τούτων δὲ τῶν μύρων ἄπειροι διαφοραί, βρένθιον καὶ μετάλλιον καὶ βασίλειον, πλαγονίου τε καὶ ψάγδας Αἰγυπτίας. Σιμωνίδης δὲ ἐν τοῖς ἰάμβοις οὐκ αἰδεῖται λέγων·*

κηλειφόμην μύροισι καὶ θυώμασι
καὶ βακκάρι· καὶ γάρ τις ἔμπορος παρῆν.

---

*) 2 Cor. 14 — 16.

ἐπιτηδεύουσι δὲ καὶ τὸ ἀπὸ κρίνων μύρον καὶ τὸ ἀπὸ τῆς κύπρου, καὶ ἡ νάρδος εὐδοκιμεῖ παρ' αὐτοῖς καὶ τὸ ἀπὸ τῶν ῥόδων ἄλειμμα καὶ τὰ ἄλλα, οἷς ἔτι χρῶνται γυναῖκες, ὑγρά τε καὶ ξηρὰ καὶ τὰ ἐπίπαστα καὶ ὑποθυμιώμενα μύρα· ἐπινοεῖται γὰρ αὐταῖς ὁσημέραι πρὸς τὸ ἄπληστον τῆς ἐπιθυμίας τὸ ἀκόρεστον τῆς εὐωδίας, διὸ καὶ πολλῆς τινὸς ἀπειροκαλίας ἀποπνέουσιν. αἳ δὲ καὶ τὰς ἐσθῆτας καὶ τὰς στρωμνὰς καὶ τοὺς οἴκους ὑποθυμιῶσί τε καὶ καταρραίνουσιν, μονονουχὶ δὲ καὶ τὰς ἀμίδας ὄζειν ἀναγκάζει τοῦ μύρου ἡ τρυφή. P. 208 Pott.

P. 77 §. 65. Εὖ μοι δοκοῦσι σχετλιάσαντες τῇ περὶ τοῦτο σπουδῇ τοσοῦτο τοῖς μύροις ἀποδιακεῖσθαί τινες, ὅτι τὴν ἀνδρωνῖτιν ἐκθηλύνουσιν, ὡς καὶ τοὺς τεχνίτας αὐτῶν, τοὺς μυρεψοὺς, τῶν εὐνομουμένων ἀπελαύνειν πόλεων καὶ τῶν ἀνθινῶν ἑρίων τοὺς βαφεῖς ἀπελαύνειν καὶ αὐτούς· οὐ γὰρ θέμις δολερὰ εἵματα καὶ χρίσματα εἰς τὴν ἀληθείας παρεισιέναι πόλιν. χρὴ δὲ καὶ μάλα τοὺς μὲν ἄνδρας τοὺς παρ' ἡμῖν μὴ μύρων, ἀλλὰ καλοκἀγαθίας ὄζειν, γυνὴ δὲ ἀποπνείτω Χριστοῦ τοῦ ἀλείμματος τοῦ βασιλικοῦ, μὴ διὰ πασμάτων καὶ μύρων, ἀεὶ δὲ τῷ σωφροσύνης ἀμβροσίῳ χρίσματι συναλειφέσθω, ἀγίῳ τερπομένη μύρῳ τῷ πνεύματι. τοῦτο σκευάζει Χριστὸς ἀνθρώποις γνωρίμοις, εὐωδίας ἄλειμμα, ἐκ τῶν οὐρανίων συντιθεὶς ἀρωμάτων τὸ μύρον. τούτῳ καὶ αὐτὸς ὁ κύριος συναλείφεται τῷ μύρῳ, ὡς διὰ Δαβὶδ μεμήνυται· „διὰ τοῦτο ἔχρισέ σε ὁ θεὸς, ὁ θεός σου, ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σοῦ· σμύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σοῦ" *).

§. 66. Ἀλλὰ γὰρ μὴ λάθωμεν ὥσπερ οἱ γῦπες τὰ μύρα βδελυττόμενοι ἢ οἱ κάνθαροι· τούτους γὰρ ῥοδίνῳ χρισθέντας μύρῳ τελευτᾶν λέγουσιν, καὶ τού-

*) Psalm. 45, 7 sq.

των ἐκκριτέον ὀλίγα τινὰ τῶν μύρων ταῖς γυναιξίν, ὅσα μὴ καρῶσι τὸν ἄνδρα· αἱ γὰρ ὑπέρμετροι χρίσεις τῶν μύρων κηδείας, οὐ συμβιώσεως ἀποπνέουσιν. καίτοι καὶ τὸ ἔλαιον αὐτὸ ταῖς μελίτταις καὶ τοῖς ἐντόμοις ἐστὶ πολέμιον ζώοις, ἀνθρώπων δὲ τοὺς μὲν ὤνησεν, ἔστι δὲ οὓς εἰς μάχην ἐξεκαλέσατο, καὶ τοὺς πρότερον φίλους ἀλληλιμμένους τοῦτο ἐν τοῖς σταδίοις ἐκτρέπει εἰς τὸ τῆς ἀγωνίας πάμμαχον. μαλθακὸν δὲ ἔλαιον τὸ μύρον ὂν οὐκ οἴεσθε τὰ ἤθη τὰ γεννικὰ ἐκθηλύνειν δύνασθαι; μάλιστα. ὥσπερ δὲ τὴν τρυφὴν καὶ τῆς γεύσεως ἀποκεκλίκαμεν, οὕτως ἀμέλει καὶ τῶν ὄψεων καὶ τῶν ὀσφρήσεων τὴν ἡδυπάθειαν ἐξορίζομεν, μὴ λάθωμεν ἣν ἐφυγαδεύ- P. 209
σαμεν ἀκολασίαν, κάθοδον αὐτῇ διδόντες εἰς ψυχὴν Pott.
διὰ τῶν αἰσθήσεων, οἱονεὶ διὰ θυρῶν ἀφρουρήτων.

§. 67. Εἰ γοῦν τῆς εὐωδίας „τὸ θυμίαμα“ *) τὸν μέγαν ἀρχιερέα, τὸν κύριον, ἀναφέρειν λέγοιεν τῷ θεῷ μὴ θυσίαν ταύτην καὶ εὐωδίαν θυμιάματος νοούντων, ἀλλὰ γὰρ τὸ τῆς ἀγάπης δεκτὸν ἀναφέρειν τὸν κύριον, τὴν πνευματικὴν εὐωδίαν, εἰς τὸ θυσιαστήριον παραδεχέσθων. αὔταρκες μὲν οὖν τὸ ἔλαιον αὐτὸ λιπᾶναί τε τὴν ἐπιφάνειαν καὶ ἀνεῖναι τὸ νευρῶδες καί τινα τοῦ σώματος ὀσμὴν ἀναστεῖλαι βαρυτέραν, εἰ καὶ πρὸς τοῦτο τοῦ ἐλαίου δεοίμεθα. ἡ δὲ ἐπιτήδευσις τῆς εὐωδίας δέλεάρ ἐστι ῥᾳθυμίας πόρρωθεν εἰς λίχνον ἐπιθυμίαν ἐπισπωμένης. πάντοθεν γὰρ ἀγώγιμος ὁ ἀκόλαστος καὶ ἀπὸ ἐδωδῆς καὶ ἀπὸ στρωμνῆς καὶ ἀπὸ συναναστροφῆς καὶ ἐκ τῶν ὀφθαλμῶν καὶ ἐκ τῶν ὤτων καὶ ἐκ τῶν γνάθων, ἀλλὰ καὶ ἐκ τῶν μυκτήρων. καθάπερ οἱ βόες τοῖς κρίκοις καὶ τοῖς σχοίνοις, οὕτω δὲ καὶ ὁ ἀκόλαστος θυμιάμασι καὶ μύροις καὶ ταῖς ἀπὸ τῶν στεφάνων εὐωδίαις περιέλκεται.

*) Exod. 30, 7.

§. 68. Ἐπεὶ δὲ οὐδεμίαν χώραν ἀπονέμομεν ἡδονῇ, πρὸς οὐδεμίαν συμπεπλεγμένῃ λυσιτελῇ τῷ βίῳ χρείαν, φέρε καὶ ταῦθα διαστειλώμεθα τὸ χρειῶδες αἱρούμενοι. εἰσὶ γάρ τινες εὐωδίαι οὐ καρωτικαὶ καὶ οὐδὲ ἐρωτικαί· οὔκουν συμπλοκῆς καὶ ἑταιρείας ἀκολάστου ἀποπνέουσαι, ὑγιειναὶ δὲ μετὰ σωφροσύνης καὶ τὸν μὲν ἐγκέφαλον ὑποτρέφουσαι, ὁπηνίκα ἂν κακεκτῇ, ῥωννύουσαι δὲ καὶ τὸν στόμαχον. πολλοῦ τοίνυν δεῖ τοῖς ἄνθεσιν ἐπιψύχειν αὐτὸν, ὁπότε ὀλισθαίνεσθαι ἐθέλει τὸ νευρῶδες· οὐ γὰρ κατὰ πάντα ἀποσκοραχιστέον τὴν χρῆσιν αὐτῶν, ἀλλ' ὥσπερ φαρμάκῳ καὶ βοηθήματι χρηστέον τῷ μύρῳ, πρός τε τὸ ἐπεγεῖραι τὴν ἀπαυδῶσαν δύναμιν καὶ πρὸς τοὺς καταῤῥους καὶ πρὸς τὰς καταψύξεις δυσαρέστησίν τε, καθὰ καὶ ὁ κωμικός φησί που·

μύροις
ὑπαλείφεται τὰς ῥῖνας, ὑγιείας μέρος
μέγιστον ὀσμὰς ἐγκεφάλῳ χρηστὰς ποιεῖν·

καὶ ἡ τῶν ποδῶν διὰ τοῦ λίπους τῶν ἀναθερμαινόντων ἢ ἐμψυχόντων μύρων ἀνάτριψις ὠφελείας ἕνεκεν ἐπιτηδεύεται, ὡς δὴ ἀπὸ τῆς κεφαλῆς τοῖς πεπληρωμένοις ὀλκήν τινα καὶ ὑποχώρησιν ἐπὶ τὰ μὴ P. 210 κύρια τῶν μερῶν γίνεσθαι. ἡδονὴ δέ, ᾗ μὴ πρόσ- Pott. εστι τὸ χρειῶδες, ἦθος ἐστὶν ἑταιρικοῦ διαβολὴ καὶ φάρμακον ἐρεθισμῶν. διαφέρει δὲ ὅλως τὸ μυραλοιφεῖν τοῦ μύρῳ χρίεσθαι, τὸ μὲν γὰρ θηλυδριῶδες, τὸ δὲ χρίεσθαι τῷ μύρῳ καὶ λυσιτελεῖ ἔσθ' ὅτε.

§. 69. Ἀρίστιππος γοῦν ὁ φιλόσοφος χρισάμενος μύρῳ κακοὺς κακῶς ἀπολωλέναι χρῆναι τοὺς κιναίδους ἔφασκεν τοῦ μύρου τὴν ὠφέλειαν εἰς λοιδορίαν διαβεβληκότας. „τίμα δὲ ἰατρὸν πρὸς χρείαν αὐτοῦ", φησὶν ἡ γραφή· „καὶ γὰρ αὐτὸν ἔκτισεν ὁ ὕψιστος, παρὰ δὲ κυρίου ἔστιν ἴασις"· εἶτα ἐπάγει· „καὶ μυρεψὸς ποιήσει μῖγμα"*), ὡς εἰς ὠφέλειαν

*) Eccles. 38, 1 sq.

δηλονότι, οὐκ εἰς ἡδυπάθειαν δεδομένων τῶν μύρων. οὐ γὰρ περὶ τὸ ἐρεθιστικὸν τῶν μύρων σπουδαστέον οὐδαμῶς, ἀλλὰ τὸ ὠφέλιμον ἐκλεκτέον, ὅπου γε καὶ τοῦ ἐλαίου τὴν γένεσιν ἀνῆκεν ὁ θεὸς ἀνθρώποις εἰς πόνων ἀρωγήν. αἱ δὲ ἀφραίνουσαι γυναῖκες βάπτουσαι μὲν τὰς πολιὰς, μυρίζουσαι δὲ τὰς τρίχας πολιώτεραι θᾶττον φαίνονται διὰ τὰ ἀρώματα ξηραντικὰ ὄντα, διὸ καὶ αὐχμηρότεροι γίνονται οἱ μυριζόμενοι, ὁ δὲ αὐχμὸς πολιωτέρους ποιεῖ. εἴτε γὰρ αὔανσις τριχὸς ἡ πολιὰ εἴτε ἔνδεια θερμοῦ τῆς ξηρότητος τὴν οἰκείαν τῆς τριχὸς ἐκπινούσης τροφὴν τὴν ὑγρὰν καὶ πολιοὺς ἀποτελούσης, πῶς ἂν εἰκό-
P. 78 τως ἔτι ἀγαπῷμεν τὰ μύρα, δι᾽ ἃ αἱ πολιαὶ, οἱ
Sylb. φεύγοντες πολιάς; καθάπερ δὲ οἱ κύνες ῥινηλατοῦντες ἐκ τῆς ὀδμῆς ἀνιχνεύουσι τὰ θηρία, οὕτως ἐκ τῆς περιέργου τῶν μύρων εὐωδίας θηρῶσιν οἱ σώ- P. 21
φρονες τοὺς ἀσελγεῖς. Pott

§. 70. Τοιαύτη δὲ καὶ τῶν στεφάνων ἡ χρῆσις κωμαστικὴ καὶ πάροινος ἄπερρε. μή μοι στέφανον ἀμφιθῇς κάρᾳ. ἦρος μὲν γὰρ ὥρᾳ λειμῶσιν ἐνδρόσοις καὶ μαλακοῖς ποικίλοις χλοάζουσιν ἄνθεσιν ἐνδιαιτᾶσθαι καλὸν αὐτοφυεῖ καὶ εἰλικρινεῖ τινὶ εὐωδίᾳ καθάπερ τὰς μελίττας τρεφομένους· τὸ δὲ πλεκτὸν στέφανον ἐξ ἀκηράτου λειμῶνος κοσμήσαντας οἴκοι περιφέρειν οὐ σωφρόνων· οὐ γὰρ ἁρμόδιον ῥόδων κάλυξιν ἢ ἴοις ἢ κρίνοις ἢ ἄλλοις τισὶ τοιούτοις ἄνθεσι χαίτην πυκάζεσθαι κωμαστικὴν διανθιζομένους τὴν χλόην. ἐμψύχει γὰρ χαίτην ἄλλως ὁ στέφανος περικείμενος καὶ δι᾽ ὑγρότητά τε καὶ δια ψυχρότητα. ταύτῃ καὶ οἱ ἰατροὶ ψυχρὸν εἶναι φυσιολογοῦντες τὸν ἐγκέφαλον μύρῳ χρίεσθαι ἀξιοῦσι τὰ στήθη καὶ μυκτῆρας ἄκρους, ὡς δυνηθῆναι τὴν πυρώδη ἀναθυμίασιν ἡσυχῇ διοδεύουσαν εὐρώστως ἀναθάλπειν τὴν ψυχρότητα. πολλοῦ τοίνυν δεῖ τοῖς ἄνθεσιν ἐπιψύχειν αὐτόν. ναὶ μὴν καὶ τὸ τερπνὸν τῆς ἀνθήσεως οἱ καταστεφθέντες ἀπολλύουσιν. οὔτε γὰρ ἀπολαύ-

ουσι τῆς ὄψεως οἱ ἀναδούμενοι τὸν στέφανον ὑπὲρ τὰς ὄψεις οὐδὲ μὴν τῆς εὐωδίας οἱ ἀπελαύνοντες ὑπὲρ τὰς ἀναπνοὰς τὰ ἄνθη· ἀναδιδούσης γὰρ ἄνω καὶ ἀναθυμιωμένης κατὰ φύσιν τῆς εὐωδίας ὑπὲρ τὴν κεφαλὴν ἔρημος τῆς ἀπολαύσεως ἡ ἀναπνοὴ καταλείπεται, ἀφαρπαζομένης τῆς εὐωδίας. ὥσπερ οὖν τὸ κάλλος, οὕτω καὶ τὸ ἄνθος τέρπει βλεπόμενον, καὶ χρὴ δι' ὄψεως ἀπολαύοντας τῶν καλῶν δοξάζειν τὸν δημιουργόν. ἡ χρῆσις δὲ αὐτῶν ἐπιβλαβὴς καὶ θᾶττον παρέρχεται μετανοίᾳ τιμωρουμένη. αὐτίκα δὴ μάλα καὶ διελέγχεται τὸ ἐφήμερον αὐτῶν· ἄμφω γὰρ μαραίνεσθον καὶ τὸ ἄνθος καὶ τὸ κάλλος.

§. 71. Ἀλλὰ καὶ τοὺς θιγγάνοντας αὐτοῖν τὸ μὲν ἐνέψυξεν, τὸ δὲ ἐξέκαυσεν. ἑνὶ δὲ λόγῳ ἡ παρὰ τὴν ὄψιν ἀπόλαυσις αὐτοῖν ὕβρις ἐστὶν, οὐ τρυφή· τρυφᾶν δὲ ἡμῖν, ὡς ἐν παραδείσῳ*), προσήκει σωφρόνως τῷ ὄντι παρεπομένους τῇ γραφῇ. στέ- P. 212
φανον μὲν γυναικὸς τὸν ἄνδρα ὑπολῃπτέον, ἀνδρὸς Pott.
δὲ τὸν γάμον, ἄνθη δὲ τοῦ γάμου τὰ τέκνα ἀμφοῖν, δῆ τῶν σαρκικῶν λειμώνων ὁ θεῖος δρέπεται γεωργός. „στέφανος δὲ γερόντων τέκνα τέκνων, δόξα δὲ παισὶν οἱ πατέρες“**), φησὶν, ἡμῖν δὲ ὁ πατὴρ τῶν ὅλων καὶ τῆς συμπάσης ἐκκλησίας στέφανος ὁ Χριστός. καθάπερ δὲ αἱ ῥίζαι καὶ αἱ βοτάναι, οὕτω δὲ καὶ τὰ ἄνθη ἰδίας ἔχει ποιότητας καὶ τὰς μὲν ἐπωφελεῖς, τὰς δὲ ἐπιβλαβεῖς, ἔστι δὲ ἃς καὶ ἐπισφαλεῖς. ὁ γοῦν κιττὸς ἐμψύχει, ἡ δὲ καρύα πνεῦμα ἀφίησι καρωτικὸν, ὡς ἐμφαίνει καὶ τοὔνομα ἐτυμολογούμενον. νάρκισσος δὲ βαρύοδμόν ἐστιν ἄνθος, ἐλέγχει δὲ αὐτὸ ἡ προσηγορία ναρκᾶν ἐμποιοῦν τοῖς νεύροις, αἱ δὲ τῶν ῥόδων καὶ τῶν ἴων ἀποφοραὶ ἡσυχῇ οὖσαι ψυχραὶ συστέλλουσι καὶ ἐπιστύφουσι τὰς καρηβαρίας, ἡμῖν δὲ οὐχ ὅπωστιοῦν συμμεθύειν, ἀλλ' οὐδὲ οἰνοῦσθαι ἐπιτέτραπται. ναὶ μὴν

*) Cf. Genes. 2, 15. **) Proverb. 15, 6.

ὁ κρόκος καὶ τῆς κύπρου τὸ ἄνθος εἰς ὕπνον ἄλυπον ὑπάγετον. πολλὰ δὲ αὐτῶν φύσει ψυχρὸν ὄντα τὸν ἐγκέφαλον ἀναθάλπει ταῖς ἀποφοραῖς λεπτύνοντα τῆς κεφαλῆς τὰ περιττεύματα. ἐντεῦθεν καὶ τὸ ῥόδον ἐπωνομάσθαί φασιν, ὅτι πάμπολυ τῆς ὀδμῆς ἀφίησι ῥεῦμα, διὸ καὶ θᾶττον μαραίνεται.

§. 72. Ἀλλ' οὐδὲ παρὰ τοῖς ἀρχαίοις τῶν Ἑλλήνων ἡ χρῆσις πω τῶν στεφάνων ἦν. οὔτε γὰρ οἱ μνήστορες οὔθ' οἱ ἀβροδίαιτοι κέχρηνται Φαίακες αὐτοῖς. ἐν δὲ τοῖς ἀγῶσι πρῶτον ἡ τῶν ἀθλη- P. 213
τῶν δόσις ἦν, δεύτερον δὲ ὁ ἐπαγερμὸς, τρίτον ἡ Pott.
φυλλοβολία, τελευταῖον ὁ στέφανος, ἐπίδοσιν λαβούσης εἰς τρυφὴν τῆς Ἑλλάδος μετὰ τὰ Μηδικά. εἴργονται τοίνυν στεφάνων οἱ τῷ λόγῳ παιδαγωγούμενοι, οὐκ ἐπικαταδεῖν δοκοῦσιν τὸν λόγον ἐν ἐγκεφάλῳ τοῦτον ἱδρυμένον, οὐδ' ὅτι κωμαστικῆς ἀγερωχίας σύμβολον ὁ στέφανος εἴη, ἀλλὰ γὰρ ὅτι τοῖς εἰδώλοις κατωνόμασται. ὁ γοῦν Σοφοκλῆς τὸν νάρκισσον ἀρχαῖον μεγάλων θεῶν στεφάνωμα προσεῖπε τῶν χθονίων λέγων, ῥόδῳ δὲ τὰς Μούσας Σαπφὼ κατάστεφει· οὐ γὰρ μετέχεις ῥόδων τῶν ἐκ Πιερίας· κρίνῳ δὲ ἥδεσθαι τὴν Ἥραν φασὶ καὶ τὴν Ἄρτεμιν μυρρίνῃ. εἰ γὰρ καὶ τὰ μάλιστα μὲν δὶ' ἄνθρωπον γέγονε τὰ ἄνθη, ταῦτα δὲ οἱ ἀνόητοι λαβόντες οὐκ εἰς τὴν ἰδίαν εὐχάριστον χρῆσιν, ἀλλ' εἰς τὴν τῶν δαιμονίων ἀχάριστον ὑπηρεσίαν κατεχρήσαντο· ἀφεκτέον αὐτῶν διὰ τὴν συνείδησιν *).

§. 73. Ἀοχλήτου δὲ ἀμεριμνίας ὁ στέφανος σύμβολον, ταύτῃ καὶ τοὺς νεκροὺς καταστεφανοῦσιν, ᾧ λόγῳ καὶ τὰ εἴδωλα, ἔργῳ προσμαρτυροῦντες αὐτοῖς τὸ εἶναι νεκροῖς, οἱ μὲν γὰρ βακχεύοντες οὐδὲ ἄνευ στεφάνων ὀργιάζουσιν, ἐπὰν δὲ ἀμφιθῶνται τὰ ἄνθη, πρὸς τὴν τελευτὴν ὑπερκόνται. οὐ δὴ κοινωνη- P. 21
τέον οὐδ' ὁπωστιοῦν δαίμοσιν, ἀλλ' οὐδὲ τὴν εἰ- Po

*) Cf. 1 Cor. 10, 28.

κόνα τοῦ θεοῦ τὴν ζῶσαν δίκην εἰδώλων τῶν νεκρῶν καταστεπτέον. ὁ γὰρ καλὸς τοῦ ἀμαράντου στέφανος ἀπόκειται τῷ καλῶς πεπολιτευμένῳ. τὸ ἄνθος τοῦτο γῆ βαστάζειν οὐ κεχώρηκεν· μόνον δὲ αὐτὸ καρποφορεῖν ἐπίσταται οὐρανός, πρὸς δὲ καὶ ἀλόγιστον ἀκηκοότας ἡμᾶς τὸν κύριον „ἀκάνθαις"*) ἐστεφανωμένον αὐτοὺς ἐντρυφῶντας τῷ σεμνῷ τοῦ κυρίου πάθει ἀναδεῖσθαι τοῖς ἄγθεσιν. ὁ μὲν γὰρ τοῦ κυρίου στέφανός ἡμᾶς ἠνίττετο προφητικῶς τοὺς ποτε ἀκάρπους τοὺς περικειμένους αὐτῷ διὰ τῆς ἐκκλησίας, 79 ἥς ἐστὶν κεφαλὴ· ἀλλὰ καὶ τῆς πίστεώς ἐστι τύπος, ζωῆς μὲν διὰ τὴν οὐσίαν τοῦ ξύλου, εὐφροσύνης δὲ διὰ τὴν προσηγορίαν τοῦ στεφάνου, κινδύνου δὲ διὰ τὴν ἄκανθαν· οὐδὲ γὰρ ἀναιμωτὶ προσιέναι τῷ λόγῳ ἔξεστιν, ὁ δὲ πλεκτὸς μαραίνεται στέφανος οὗτος καὶ τὸ πλέγμα τῆς σκολιότητος ἀναλύεται καὶ τὸ ἄνθος ξηραίνεται· μαραίνεται γὰρ ἡ δόξα τῶν τῷ κυρίῳ μὴ πεπιστευκότων. Ἰησοῦν δὲ ἐστεφάνωσαν ὑψωμένον τῆς αὐτῶν καταμαρτυροῦντες ἀμαθίας, οὐτοῦ· αὐτὸ γὰρ οἱ σκληροκάρδιοι προφητείαν οὖσαν σεσοφισμένην οὐ νοοῦσιν, ἣν αὐτοὶ ὕβριν καλοῦσιν κυρίου. „οὐκ ἔγνω τὸν κύριον ὁ λαὸς"**) ὁ πεπλανημένος, οὐ περιτέτμηται τὸν λογισμὸν, οὐ πεφώτισται τὸν σκοτισμὸν, οὐκ εἶδεν τὸν θεὸν, τὸν κύριον ἠρνήσατο, ἀπολώλεκεν τὸ εἶναι Ἰσραὴλ, ἐδίωξεν τὸν θεὸν, καθυβρίζειν ἤλπισε τὸν λόγον, καὶ ὃν ἐστανρώσεν ὡς κακοῦργον ἀνέστεψεν ὡς βασιλέα.

§. 74. *Διὰ τοῦτό τοι εἰς ὃν οὐκ ἐπίστευσαν ἄνθρωπον, τὸν φιλάνθρωπον θεὸν ἐπιγνώσονται κύριον καὶ δίκαιον, ὃν αὐτοὶ παρεπίκραναν****) ἐπιδείσασθαι τὸν κύριον, τούτῳ αὐτῷ ὑψουμένῳ μεμαρτυρήκασι τὸ διάδημα τῆς δικαιοσύνης τὸ ὑπὲρ πάντα νόμια †) ἐπηρμένῳ περιάψαντες διὰ τῆς ἀειθαλοῦς

*) Matth. 27, 29. Ioann. 19, 2. **) Isa. 1, 3. ***) Cf. Matth. 27, 42. †) Cf. Philipp. 2, 9.

ἀκάνθης· τὸ διάδημα τοῦτο τοῖς ἐπιβουλεύουσι πολέμιον ἐκώλυσεν αὐτοὺς, τοῖς συνεκκλησιάζουσιν φίλον ἐθρίγκωσεν αὐτοὺς, ὁ στέφανος οὗτος ἄνθος ἐστὶ τῶν πεπιστευκότων εἰς τὸν δεδοξασμένον, αἱμάσσει δὲ καὶ κολάζει τοὺς ἠπιστηκότας. ναὶ μὴν καὶ P. 215 σύμβολόν ἐστι δεσποτικοῦ κατορθώματος βαστάσαντος αὐτοῦ τῇ κεφαλῇ καὶ τῷ ἡγεμονικῷ τοῦ σώματος πάντα ἡμῶν τὰ πονηρὰ, δι' ὧν ἐκεντούμεθα· αὐτὸς γὰρ τῷ ἰδίῳ πάθει ῥυσάμενος ἡμᾶς ἀπὸ σκανδάλων καὶ ἁμαρτιῶν καὶ τῶν τοιούτων ἀκανθῶν καὶ τὸν διάβολον καταργήσας εἰκότως ἐπευχόμενος εἴρηκεν· „ποῦ σοὺ, θάνατε, τὸ κέντρον"*); καὶ ἡμεῖς μὲν ἐξ ἀκανθῶν τρυγῶμεν σταφυλὴν καὶ σῦκα ἀπὸ βάτων**), οἱ δὲ εἰς τραύματα καταξαίνονται, ἐφ' οὓς ἐξεπέτασε τὰς χεῖρας ἐπὶ λαὸν ἀπειθῆ καὶ ἄκαρπον***). Pott.

§. 75. Ἔχοιμ' ἄν σοι καὶ ἄλλο μυστικὸν ἐνταῦθα εἰπεῖν· ἐπεὶ γὰρ ὁ παγκρατὴς κύριος τῶν ὅλων ὁπηνίκα νομοθετεῖν ἤρχετο τῷ λόγῳ καὶ τῷ Μωϋσεῖ καταφανῆ ἐβούλετο γενέσθαι τὴν αὑτοῦ δύναμιν, ὄψις αὐτῷ δείκνυται θεοειδὴς φωτὸς μεμορφωμένου ἐπὶ φλεγομένῃ βάτῳ — τὸ δὲ ἀκανθῶδες φυτόν ἐστιν, ὁ βάτος —, ἐπειδὴ ἐπαύσατο τῆς νομοθεσίας καὶ τῆς εἰς ἀνθρώπους ἐπιδημίας ὁ λόγος, ὁ κύριος μυστικῶς αὖθις ἀναστέφεται ἀκάνθῃ, ἐνθένδε ἀπιὼν ἐκεῖσε, ὅθεν κατῆλθεν, ἀνακεφαλαιούμενος τὴν ἀρχὴν τῆς καθόδου τῆς παλαιᾶς· ὅπως ὁ διὰ βάτου τὸ πρῶτον ὀφθεὶς ὁ λόγος διὰ τῆς ἀκάνθης ὕστερον ἀναληφθεὶς μιᾶς ἔργον τὰ πάντα δείξῃ δυνάμεως, εἷς ὢν ἑνὸς ὄντος τοῦ πατρὸς, ἀρχὴ καὶ τέλος αἰῶνος.

§. 76. Ἀλλ' ἐξέβην γὰρ τοῦ παιδαγωγικοῦ τύπου τὸ διδασκαλικὸν εἶδος παρεισάγων, αὖθις οὖν

---

*) 1 Cor. 15, 55. **) Cf. Luc. 4, 44. ***) Cf. Rom. 10, 21.

ἐπὶ τὸ προκείμενον ἐπάνειμι. ὡς μὲν οὖν ἐν φαρμάκου μοίρᾳ ἰάσεως ἕνεκα, ἔσθ' ὅπη δὲ καὶ διαχύσεως σώφρονος, οὐκ ἀποβλητέον τὴν ἀπὸ τῶν ἀνθῶν τέρψιν καὶ τὴν ἀπὸ τῶν μύρων τε καὶ θυμιαμάτων ὠφέλειαν δεδηλώκαμεν, εἰ δὲ καὶ λέγοιέν τινες, τίς οὖν ἔτι χάρις ἀνθῶν τοῖς μὴ χρωμένοις αὐτοῖς; ἔστιν ὡς ἄρα καὶ τὰ μύρα ἐξ αὐτῶν σκευάζεται καὶ ἔστι πολυωφελῆ, σούσινον μὲν ἐκ κρίνων καὶ λιρίων, ἔστι δὲ θερμαντικὸν, ἀναστομωτικὸν, ἑλκυστικὸν, ὑγραντικὸν, σμηκτικὸν, λεπτομερὲς, χολῆς κινητικὸν, μαλακτικόν· ναρκίσσινον δὲ τὸ ἐκ ναρκίσσου ἐπ' ἴσης ὀνίνησι τῷ σουσίνῳ· μύρσινον δὲ τὸ ἐκ μύρτων καὶ μυρρίνης στυπτικὸν, παρακατέχον τὰς ἀπὸ τοῦ σώματος ἀποφοράς· τὸ δὲ ἐκ ῥόδων ἐμψυκτικόν. καθόλου δὲ καὶ ταῦτα εἰς τὴν ἡμετέραν εὐχρηστίαν δεδημιούργηται. „εἰσακούσατέ μου", φησὶ, „καὶ ὡς ῥόδον πεφυτευμένον ἐπὶ ῥευμάτων ὑδάτων βλαστήσατε, ὡς λίβανος εὐωδιάσατε ὄσμὴν καὶ εὐλογήσατε κύριον ἐπὶ τὰ ἔργα αὐτοῦ" *). καὶ πολὺς ἂν εἴη ὁ περὶ τούτων λόγος εἰς τὰς ἀναγκαίας ὠφελείας λεγόντων ἡμῶν τὰ ἄνθη καὶ τὰ ἀρώματα, οὐκ εἰς τὰς ὕβρεις τῆς τρυφῆς γεγονέναι. εἰ δὲ καὶ ἄρα τι συγχωρητέον, ἀπόχρη τῆς ὀδμῆς ἀπολαύειν αὐτοῖς τῶν ἀνθῶν, μὴ καταστεφέτωσαν δέ· πολυωρεῖ γὰρ τὸν ἄνθρωπον ὁ πατὴρ καὶ τὴν ἰδίαν αὐτοῦ τέχνην τούτῳ παρέχει μάνῳ. λέγει γοῦν ἡ γραφή· „ὕδωρ καὶ πῦρ καὶ σίδηρος καὶ γάλα, σεμίδαλις πυροῦ καὶ μέλι, αἷμα σταφυλῆς καὶ ἔλαιον καὶ ἱμάτιον, ταῦτα πάντα τοῖς εὐσεβέσιν εἰς ἀγαθά" **).

Cap. IX.

Πῶς τῷ ὕπνῳ προσενεκτέον.

§. 77. Ὅπως δὲ ἐντεῦθεν ἐπὶ τὸν ὕπνον ἴωμεν τῶν σωφροσύνης μεμνημένοι παραγγελμάτων, τοῦτο

*) Eccles. 49, 13 sq. **) Ibid. v. 26 sq.

ἤδη λεκτέον. μετὰ γὰρ τὴν εὐωχίαν εὐλογήσαντες τὸν θεὸν ἐπὶ τῇ μεταδόσει τῶν ἀπολαύσεων καὶ τῇ διεκδρομῇ τῆς ἡμέρας ἐπὶ τὸν ὕπνον παρακλητέον τὸν λόγον τὴν πολυτέλειαν τῶν ὑποστρωννυμένων τὰς χρυσοπάστους τάπιδας καὶ χρυσοποικίλτους ψιλόδαπιδας, ξυστίδας τε ἁλουργὰς καὶ τοὺς γαυνάκας τοὺς πολυτιμήτους, τά τε ποιητικὰ ῥήγεα, τὰ πορφυρᾶ, χλαίνας θ' ἑφ' ὕπερθεν οὔλας*) καὶ τὰς ὕπνου μα-
P. 80 λακωτέρας εὐνὰς πάραπεμπομένους. πρὸς γὰρ τῷ
Sylb. ἐπιψόγῳ τῆς ἡδυπαθείας ἐπιβλαβὴς ἡ ἐν τοῖς χνοώδεσι τῶν πτίλων ἐγκοίμησις, καθάπερ εἰς ἀχανὲς ἐπιπιπτόντων τῶν σωμάτων, διὰ τὴν μαλακίαν τῶν στρωμάτων. οὐδὲ γὰρ συνέχει ἐπιστρεφομένοις τοῖς εὐναζομένοις ἐν αὐτοῖς διὰ τὴν παρ' ἑκάτερα τοῦ
P. 21 σώματος ὀχθώδη τῆς εὐνῆς ἐπανάστασιν, οὐδὲ ἐπιτρέπει πέττεσθαι σιτία, εἰ μὴ καὶ συγκαίειν μᾶλ-Pott λον, ὃ δὴ διαφθείρειν τὴν τροφήν. αἱ δὲ ἐπικλίσεις ναῖς ὁμαλαῖς εὐναῖς οἷον ὕπνου γυμνάσιον ὑπάρχουσαι φυσικὸν συνεργοῦσι πρὸς τὴν κατάταξιν τῆς τροφῆς, οἱ δὲ ἐπικυλίεσθαι δυνάμενοι ἄλλαις εὐναῖς οἷον ὕπνου γυμνάσιον τοῦτο ἔχοντες φυσικὸν ῥᾷον κατατάττουσι τὰς τροφὰς καὶ σφᾶς ἐπιτηδειοτέρους πρὸς τὰς περιστάσεις παρασκευάζουσιν. ἔτι γε μὴν οἱ ἀργυρόποδες σκίμποδες πολλῆς ἀλαζονείας εἰσὶ κατήγοροι, καὶ ὁ ἐν τοῖς κλινιδίοις ἐλέφας ἀπολελοιπότος ψυχὴν σώματος οὐκ εὐαγὲς ἄγιοις ἀνθρώποις ἀναπαύσεως τέχνασμα βλακικόν.

§. 78. Οὐ σπουδαστέον ἄρα περὶ αὐτά. οὐ γὰρ ἀπείρηται τοῖς κεκτημένοις ἡ χρῆσις, ἀλλ' ἡ περὶ αὐτὰ ἐπιτήδευσις κεκώλυται· οὐ γὰρ ἐν τούτοις τὸ εὔδαιμον. πάλιν τε αὖ κενοδοξίας ἐστὶ Κυνικῆς καθάπερ τὸν Διομήδη ἐπιτηδεύειν εὔδειν,

ὑπὸ δ' ἔστρωτο ῥινὸν βοὸς ἀργαύλοιο**),

---

*) Cf. Hom. Iliad. ω. 645. Od. δ. 298 sq. η. 337 sq.

**) Hom. Il. κ. 155.

πλὴν εἰ μὴ ἄρα ἡ περίστασις ἀναγκάζοι. ὁ δὲ Ὀδυσσεὺς τῆς νυμφιδίου κλίνης τὸ σκάζον λίθῳ ἐπανωρθοῦτο. τοσαύτη τις εὐτέλεια καὶ αὐτουργία οὐ παρὰ τοῖς ἰδιώταις μόνον, ἀλλὰ καὶ παρὰ τοῖς ἡγουμένοις τῶν παλαιῶν Ἑλλήνων ἠσκεῖτο. καὶ τί μοι τούτων λόγος; ὁ Ἰακὼβ ἐκάθευδεν χαμαὶ καὶ λίθος αὐτῷ προσκεφάλαιον ἦν. τότε καὶ τὴν ὄψιν τὴν ὑπὲρ ἄνθρωπον ἰδεῖν κατηξίωται· ἡμῖν δὲ χρηστέον ἀκολούθως τῷ λόγῳ ἀφελεῖ τῇ εὐνῇ καὶ λιτῇ σύμμετρον ἐχούσῃ τὸ παρηγοροῦν, εἰ θέρος εἴη, τὸ σκέπον, εἰ χρύος εἴη, τὸ θάλπον. ἡ κλίνη δὲ ἀπερίεργος ἔστω καὶ λείους ἐχέτω τοὺς πόδας· αἱ γὰρ περίεργοι τορνεύσεις τῶν ἑρπυστικῶν ἔσθ' ὅτε γίγνονται τρίβοι ζώων περὶ τὰς ἐντομὰς τῆς τέχνης ἐφελισσομένων αὐτῶν καὶ μὴ ἀπολισθανόντων. μάλιστα δὲ τῆς κοίτης τὸ μαλθακὸν συμμέτρως ἀρρενιστέον· οὐ γὰρ ἔκλυσιν χρὴ τοῦ σώματος εἶναι παντελῆ τὸν ὕπνον, ἀλλὰ ἄνεσιν. διὸ καὶ παραλαμβάνεσθαί φημι δεῖν αὐτὸν οὐκ ἐπὶ ῥᾳθυμίᾳ, ἀλλ' ἐπὶ τῇ τῶν πρά- P. 218 ξεων ἀναπαύλῃ. Pott.

§. 79. Ἐπεγερτικῶς οὖν ἀπονυστακτέον. „ἔστωσαν γὰρ", φησὶν, „ὑμῶν αἱ ὀσφύες περιεζωσμέναι καὶ οἱ λύχνοι καιόμενοι καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν, ὅτε ἀναλύσει ἐκ τῶν γάμων, ἵνα ἐλθόντος καὶ κρούσαντος ἀνοίξωσιν εὐθέως αὐτῷ· μακάριοι οἱ δοῦλοι ἐκεῖνοι, οὓς ἐλθὼν ὁ κύριος ἐγρηγορότας εὕρῃ" *). οὐδὲν γὰρ ἀνδρὸς ὄφελος καθεύδοντος ὥσπερ οὐδὲ τεθνεῶτος. διὸ πολλάκις καὶ τῆς νυκτὸς ἀνεγερτέον τῆς κοίτης καὶ τὸν θεὸν εὐλογητέον· μακάριοι γὰρ οἱ ἐγρηγορότες εἰς αὐτὸν σφᾶς αὐτοὺς ἀπεικάζοντες ἀγγέλοις, οὓς ἐγρηγόρους καλοῦμεν. καθεύδων δὲ ἄνθρωπος οὐδεὶς οὐδενὸς ἄξιος οὐδὲν μᾶλλον τοῦ μὴ ζῶντος· ὁ δὲ τὸ φῶς ἔχων ἐγρήγορε καὶ ἡ σκοτία αὐτὸν οὐ καταλαμ-

*) Luc. 12, 35 — 37.

βάνει*), οὐδὲ μὴν ὕπνος, ἐπεὶ μὴ σκότος. ἐγρήγορεν ἄρα πρὸς τὸν θεὸν ὁ πεφωτισμένος, ὁ δὲ τοιοῦτος ζῇ· „ὃ γὰρ γέγονεν ἐν αὐτῷ, ζωὴ ἦν"**). „μακάριος ἄνθρωπος", φησὶν ἡ σοφία, „ὃς εἰσακούσεταί μου, καὶ ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει ἀγρυπνῶν ἐπ' ἐμαῖς θύραις, καθ' ἡμέραν τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων"***).

§. 80. „Ἆρ' οὖν μὴ καθεύδωμεν ὡς οἱ λοιποί, ἀλλὰ γρηγορῶμεν", φησὶν ἡ γραφή; „καὶ νήφωμεν· οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσιν καὶ οἱ μεθύοντες νυκτὸς μεθύσκονται", τουτέστιν ἐν τῷ τῆς ἀγνοίας σκότῳ, „ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν πάντες" γὰρ „ὑμεῖς υἱοὶ φωτός ἐστε καὶ υἱοὶ ἡμέρας· οὐκ ἐσμὲν νυκτὸς οὐδὲ σκότους"†), ἀλλ' ὃς ἐστὶν ἡμῖν τοῦ ζῆν τοῦ ἀληθινοῦ καὶ τοῦ φρονεῖν γνησίως μάλιστα κηδεμὼν ἐγρήγορε χρόνον ὡς πλεῖστον, τὸ πρὸς ὑγείαν αὐτοῦ μόνον φυλάττων ἐνταῦθα χρήσιμον· ἔστι δὲ οὐ πολὺ καλῶς εἰς ἔθος ἰόν. μελέτη δὲ ἀσκήσεως ἀΐδιον ἐγρήγορσιν ἐκ πόνων γεννᾷ. μὴ οὖν ἡμεῖς ῥείτων αἱ τροφαὶ, ἐπικουφιζόντων δὲ, ἵν' ὅτι μάλιστα μὴ βλαπτώμεθα τῷ ὕπνῳ, καθάπερ τῶν νενικημένων οἱ ἐξηρτημένοι τὰ βάρη· ἔμπαλιν δὲ οἱ ἀβύσσου κάτωθεν τὸ νηφάλιον ἡμᾶς ἀνακουφίσουσι τὰς ἐπιβολὰς τῆς ἐγρηγόρσεως. ἔοικεν γὰρ ἡ ὕπνου καταφορὰ θανάτῳ, δι' ἄνοιαν εἰς ἀναισθησίαν ὑποφερομένη, τῶν βλεφάρων τῇ ἐπιμύσει τῷ φῶς ἀποτεμνομένη. τὸ οὖν φῶς τοῦτο οἱ τοῦ θεοῦ υἱοὶ μὴ ἀποκλείσωμεν· θύραζε ἔνδον δὲ εἰς ἡμᾶς ἀποστρέψαντες τοῦ κεκρυμμένου τὰς ὄψεις ἀνθρώπου φωτίσαντες τήν τε ἀλήθειαν αὐτὴν ἐποπτεύσαντες καὶ τῶν ταύτης ῥευμάτων μεταλαμβάνοντες τοὺς ἀληθεῖς τῶν ὀνείρων ἐνθουσιασμοὺς καὶ φρονίμως ἀποκαλυπτώμεθα.

---

*) Cf. Ioann. 1, 5. **) Ibid. 1, 2 sq. ***) Prov. 8, 32 sq. †) 1 Thessal. 5, 5—8.

§. 81. Ἔρυγαὶ δὲ οἰνοβαρούντων καὶ τῶν ἀποσεσαγμένων ταῖς τροφαῖς οἱ ῥωχμοὶ καὶ τὸ ῥέγχειν τοῖς στρώμασιν ἐνειλημμένον γαστέρων τε στενοχωρουμένων κορκορυγμοὶ τὸ διορατικὸν τῆς ψυχῆς κατέχωσαν ὄμμα φαντασιῶν μυρίων τῆς διανοίας ἐμπιπλαμένης. αἰτία δὲ ἡ περιττὴ τροφὴ τὸ λογιστικὸν εἰς ἀναισθησίαν καθέλκουσα· ὕπνος γὰρ δὴ πολὺς οὔτε τοῖς σώμασιν οὔτε ταῖς ψυχαῖς ἡμῶν ὠφέλειαν ἐπιφέρων οὐδ' αὖ ταῖς περὶ τὴν ἀλήθειαν πράξεσι πάντα ἀρμόττων ἐστίν, εἰ καὶ κατὰ φύσιν ἐστίν.
P. 81 Λωΐ δὲ ὁ δίκαιος — παραπέμπομαι γὰρ νῦν
8ylb. τῆς παλιγγενεσίου οἰκονομίας τὴν ἐξήγησιν — οὐκ ἂν ἐπὶ τὴν ἄθεσμον ἐκείνην προήχθη μῖξιν, μὴ οὐχὶ καταμεθυσθεὶς πρὸς τῶν θυγατέρων καὶ ὕπνῳ κα-
15ρωθείς. ἦν οὖν τὰ αἴτια τῆς πολλῆς εἰς ὕπνον περικόπτωμεν καταφορᾶς, νηφαλιώτερον κοιμηθησόμεθα· οὐ γὰρ χρὴ παννύχιον εὕδειν *) τοὺς ἔνοικον ἔχοντας τὸν λόγον τὸν ἐγρήγορον, ἐπεγερτέον δὲ νύκτωρ, μάλιστα ὁπότε αἱ ἡμέραι φθίνουσιν· καὶ τῷ
20μὲν φιλολογητέον, τῷ δὲ τῆς αὐτοῦ τέχνης ἀπαρκτέον, γυναιξὶ δὲ ταλασίας ἐφαπτέον, πᾶσι δὲ ὡς ἔπος εἰπεῖν διαμαχητέον ἡμῖν πρὸς τὸν ὕπνον ἠρέμα ἐκ προσαγωγῆς ἐθίζουσιν, ὡς πλείονα χρόνον τοῦ ζῆν διὰ τὴν ἐγρήγορσιν μεταλαμβάνειν· ὁ γὰρ ὕπνος ὥσ-
25περ τελώνης τὸν ἥμισυν ἡμῖν τοῦ βίου συνδιαιρεῖται χρόνον. πολλοῦ γε δεῖν μεθ' ἡμέραν ἐπιτρέπειν καθεύδειν τοῖς καὶ τῆς νυκτὸς τὸ πλεῖστον εἰς ἐγρήγορσιν ἀποτεμνομένοις. ἄλυες δὲ καὶ νυσταγμοὶ καὶ διεκτάσεις καὶ χάσμαι δυσαρεστίαι ψυχῆς εἰσὶν ἀβέβαιοι.
30 §. 82. Χρὴ δὲ καὶ τοῦτο ἐπὶ πᾶσιν εἰδέναι, ὡς οὐ ψυχῆς τὸ δεόμενον ὕπνου ἐστὶν — ἀεικίνητος γὰρ αὕτη —, ἀλλὰ τὸ σῶμα ἀναπαύλαις διαβασταζόμενον παρίεται, μὴ ἐνεργούσης ἔτι σωματικῶς τῆς ψυχῆς, ἀλλὰ καθ' αὑτὴν ἐννοουμένης, ἢ καὶ τῶν ὀνεί-

*) Cf. Hom. Il. β. 24.

ρων οἱ ἀληθεῖς ὀρθῶς λογιζομένῳ νηφούσης τέ εἰσι ψυχῆς λογισμοὶ ἀπερισπάστου τὸ τηνικάδε οὔσης περὶ τὰς τοῦ σώματος συμπαθείας καὶ αὐτῆς αὖ- P. 220 τῇ τὰ κράτιστα συμβουλευούσης, ψυχῆς δὲ ὅλε- Pott.
θρος τὸ ἀτρεμῆσαι αὐτῇ· διόπερ ἀεὶ τὸν θεὸν ἐννοουμένη διὰ τῆς συνεχοῦς προσομιλήσεως ἐγκαταλέγουσα τῷ σώματι τὴν ἐγρήγορσιν ἀγγελικῇ τὸν ἄνθρωπον ἐξισάζει χάριτι, τῆς ζωῆς τὸ ἄϊδιον ἐκ τῆς τοῦ ἐγρηγορέναι μελέτης προσλαμβάνουσα.

Cap. X.

Τίνα διαληπτέον περὶ παιδοποιίας.

§. 83. Συνουσίας δὲ τὸν καιρὸν μόνοις τοῖς γεγαμηκόσιν ἀπολέλειπται σκοπεῖν, τοῖς δὲ γεγαμηκόσι σκοπὸς ἡ παιδοποιία, τέλος δὲ ἡ εὐτεκνία, καθάπερ καὶ τῷ γεωργῷ τῆς τῶν σπερμάτων καταβολῆς αἰτία μὲν ἡ τῆς τροφῆς προμήθεια, τέλος δὲ αὐτῷ τῆς γεωργίας ἡ τῶν καρπῶν συγκομιδή. μακρῷ δὲ ἀμείνων γεωργὸς ὁ ἔμψυχον σπείρων ἄρουραν· ὁ μὲν γὰρ ἐπικαίρου τροφῆς ὀριγνώμενος, ὁ δὲ τῆς τοῦ παντὸς διαμονῆς προμηθούμενος γεωργεῖ, καὶ ὁ μὲν δι' ἑαυτὸν, ὁ δὲ διὰ τὸν θεὸν φυτουργεῖ· „πληθύνεσθε" γὰρ εἴρηκεν, καὶ ὑπακουστέον, „καὶ κατὰ τοῦτο εἰκὼν ὁ ἄνθρωπος γίνεται τοῦ θεοῦ, καθὸ εἰς γένεσιν ἀνθρώπου ἄνθρωπος συνεργεῖ" *). οὐ πᾶσα γῆ οὖν εὔθετος εἰς σπερμάτων ὑποδοχὴν, εἰ δὲ καὶ πᾶσα, ἀλλ' οὐχὶ τῷ αὐτῷ γεωργῷ, οὐδὲ μὴν πέτρα σπαρτέον οὐδὲ καθυβριστέον τὸ σπέρμα ἀρχηγὸν γενέσεως οὐσίαν συνεσπαρμένην ἔχουσαν τῆς φύσεως τοὺς λογισμοὺς, τοὺς δὲ κατὰ φύσιν λογισμοὺς ἀλόγως εἰς

*) Genes. 1, 28.

τοὺς παρὰ φύσιν καταισχύνειν πόρους ἄθεον κομιδῆ. ὁρᾶτε γοῦν ὁ πάνσοφος Μωϋσῆς ὅπως ποτὲ συμβολικῶς τὴν ἄκαρπον ἀποκρούεται σποράν· „οὐκ ἔδεσαι" λέγων „τὸν λαγὼν οὐδὲ τὴν ὕαιναν". οὐ βούλεται τῆς ποιότητος αὐτῶν μεταλαμβάνειν τὸν ἄνθρωπον οὐδὲ μὴν τῆς ἴσης ἀσελγείας ἀπογεύσασθαι· κατακόρως γάρτοι περὶ τὰς μίξεις τὰ ζῶα ταῦτα ἐπτόηνται· καὶ τὸν μὲν λαγὼν κατ' ἔτος πλεονε- P. 221
κτεῖν φασὶ τὴν ἀφόδευσιν, ἰσαρίθμους οἷς βέβίω- Pott.
κεν ἔτεσιν ἴσχοντα τρύπας· ταύτῃ ἄρα καὶ τὴν κώλυσιν τῆς ἐδωδῆς τοῦ λαγὼ παιδεραστίας ἐμφαίνειν ἀποτροπὴν, τὴν δὲ ὕαιναν ἐναλλὰξ ἀμείβειν τὸ ἄρρεν εἰς τὸ θῆλυ παρ' ἔτος ἕκαστον, αἰνίττεσθαι δὲ μὴ χρῆν ἐπὶ μοιχίας ὁρμᾶν τὸν τῆς ὑαίνης ἀπεχόμενον.

§. 84. Ἀλλὰ τὸ μὲν μὴ δεῖν ἐξομοιοῦσθαι τοῖσδε τοῖς ζώοις διὰ τῆς προκειμένης ἀπαγορεύσεως ὁμολογουμένως τὸν πάνσοφον Μωϋσέα αἰνίττεσθαι σύμφημι κἀγώ· οὐ μέντοι τῇδε τῇ ἐξηγήσει τῶν συμβολικῶς εἰρημένων συγκατατίθεμαι. οὐ γὰρ ἄν ποτε βιασθείη φύσις εἰς μεταβολὴν, τὸ δὲ ἅπαξ πεπλασμένον εἰς αὐτὴν οὐ θέμις ἀντιπλασθῆναι πάθει· τὸ γὰρ πάθος οὐ φύσις, παραχαράττειν δὲ οὐ μετακοσμεῖν τὸ πάθος εἴωθε τὴν πλάσιν· εἰ γὰρ καὶ τῶν ὀρνέων πολλὰ μεταβάλλειν κατὰ τὰς ὥρας λέγεται καὶ τὸ χρῶμα καὶ τὴν φωνὴν, οἷον ὁ κόσσυφος ξανθὸς μὲν ἐκ μέλανος, παταγητικὸς δὲ ἐξ ᾠδικοῦ γενόμενος, ὡσαύτως δὲ καὶ ἡ ἀηδὼν καὶ τὸ χρῶμα καὶ τὴν ᾠδὴν συμμεταβάλλει ταῖς τροπαῖς· ἀλλ' οὔτι γε τὴν φύσιν αὐτὴν ἀμείβουσιν, ὡς καὶ θῆλυ γίγνεσθαι ἐκ τοῦ ἄρρενος κατὰ μετασχηματισμόν· ἀλλ' ἡ μὲν τῶν πτερῶν νεοφυῖα νεαρᾶς ἐσθῆτος δίκην ἐξανθεῖ βαφήν τινα πτερῶν, ὀλίγῳ δ' ὕστερον διαπνεῖ κατὰ τὴν χειμέριον ἀπειλὴν, καθάπερ ἄνθος μαραινομένης τῆς χρόας, ἡ φωνὴ δὲ καὶ αὐτὴ τὸν ὅμοιον τρόπον τῷ κρύει πεπογημένη μαραίνεται· πυκνουμένης γὰρ τῆς ἐπιφανείας ἐκ τοῦ περιέχοντος αἱ περὶ

τὸν αἰχένα πιεζόμεναί τε καὶ πυκνούμεναι ἀρτηρίαι προσαναθλίβουσι τὸ πνεῦμα, στενοχωρούμενον δὲ ἄγαν τοῦτο πνιγόμενον ἀποδίδωσι τὸν ἦχον.

§. 85. Λύθις οὖν συνεξομοιούμενον τῷ περιέχοντι καὶ τῷ ἠρι συγχαλώμενον ἐλευθεροῦται μὲν τῆς στενοχωρίας τὸ πνεῦμα φερόμενον δι' εὐρυχώρων τῶν τέως μεμυκότων ἀρτηριῶν· οὐ μιυρίζει δὲ ἔτι τὸ μέλος τὸ μεμαρμαμμένον, ἀνθεῖ δὲ ἤδη λιγυρὸν καὶ χεῖται πλατύτερον τὸ φθέγμα αὐτῶν, καὶ ἤδη γίνεται τῆς φωνῆς τῶν ὀρνέων ἔαρ, ἡ ᾠδή. οὐκουν οὐδὲ τὴν ὕαιναν μεταβάλλειν τὴν φύσιν πιστευτέον ποτέ· οὐδὲ γὰρ αἰδοῖα ἔχει τὸ αὐτὸ ζῶον ἅμα ἄμφω, ἄρρενος καὶ θήλεος, καθὼς ὑπειλήφασί τινες ἑρμαφροδίτους τερατολογοῦντες καὶ τρίτην ταύτην μεταξὺ θηλείας καὶ ἄρρενος ἀνδρόγυνον καινοτομοῦντες φύσιν. ἀπατῶνται δὲ εὖ μάλα τὸ φιλότεκνον τῆς παμμήτορος καὶ γενεσιουργοῦ φύσεως μὴ νοήσαντες, ἐπεὶ γάρ ἐστι τοῦτο λαγνίστατον τὸ ζῶον ἡ ὕαινα, ὑπὸ τὴν κέρκον πρὸ τοῦ πόρου τῆς περιτώσεως πέφυκεν αὐτῇ ἐξοχή τις σαρκικὴ παραπλησία τῷ σχήματι αἰδοίῳ θηλυκῷ, πόρον δὲ οὐδένα ἔχει τοῦτο τῆς σαρκὸς τὸ σχῆμα εἴς τι χρειῶδες ἀπολῆγον ἢ εἰς μήτραν ἢ εἰς ἀπευθυσμένον λέγω· μόνην δὲ ἄρα κοιλότητα ἔχει πολλὴν, ᾗ τὴν λαγνείαν ὑποδέχεται τὴν κενήν, ὅταν ἀποστραφῶσι περὶ τὴν ἀποκύησιν ἀσχολούμενοι τῆς ἀποτέξεως οἱ πόροι.

§. 86. Τὸ δὲ αὐτὸ τοῦτο ἄρρενί τε καὶ θηλείᾳ προσπέφυκεν ὑαίνῃ διὰ τὸν ὑπερβάλλοντα πασχητιασμόν· ἀλληλίζει γὰρ καὶ ὁ ἄρρην, ὅθεν καὶ σπανιαίτατα θήλειαν ἔστιν ὕαιναν λαβεῖν· οὐ γὰρ συνεχεῖς αἱ κυήσεις τῷ ζώῳ γίγνονται τούτῳ πλεοναζούσης ἐν αὐτοῖς ἀδεῶς τῆς παρὰ φύσιν σπορᾶς. ταύτῃ μοι δοκεῖ καὶ ὁ Πλάτων ἐν Φαίδρῳ τὴν παιδεραστίαν ἀποχρουόμενος θηρίον αὐτὴν προσειπεῖν, ὅτι τὸν χαλινὸν ἐνδακόντες οἱ ταῖς ἡδοναῖς ἔκδοτοι λάγνοι τετραπύδων νόμῳ βαίνουσιν καὶ παιδοσπορεῖν ἐπιχει-

P. 82 Sylb.

P. 222 Pott.

ροῦσιν· τοὺς δὲ ἀθέους „παρέδωκεν ὁ θεὸς", ὡς φησιν ὁ ἀπόστολος, „εἰς πάθη ἀτιμίας· αἵ τε γὰρ θήλειαι αὐτῶν μετήλλαξαν τὴν φυσικὴν χρῆσιν εἰς τὴν παρὰ φύσιν, ὁμοίως δὲ καὶ οἱ ἄρρενες αὐτῶν ἀφέντες τὴν φυσικὴν χρῆσιν ἐξεκαύθησαν ἐν τῇ ὀρέξει αὐτῶν εἰς ἀλλήλους, ἄρρενες ἐν ἄρρεσι τὴν ἀσχημοσύνην κατεργαζόμενοι, καὶ τὴν ἀντιμισθίαν, ἣν ἔδει, τῆς πλάνης αὐτῶν ἐν ἑαυτοῖς ἀπολαμβάνοντες"*).

§. 87. Καίτοι οὐδὲ τοῖς λαγιστάτοις τῶν ζώων συνεχώρησεν ἡ φύσις τὸν τῆς περιττώσεως πόρον ἐπιθοροῦν· τὸ μὲν γὰρ οὖρον εἰς κύστιν ἀποκρίνεται, ἡ δὲ ἐξυγρασμένη τροφὴ εἰς κοιλίαν, τὸ δάκρυον δὲ εἰς ὄμμα, αἷμα εἰς φλέβας, ὑγρὸς εἰς ὦτα, μύξαι ἐπὶ τὰς ῥῖνας καταφέρονται· συνεχὴς δὲ ἄρα ἡ ἔδρα τῷ πέρατι τοῦ ἀπευθυσμένου, δι' ἧς ἀποπτύεται τὰ περιττώματα. μόνη δὲ ἄρα ἐπὶ τῶν ὑαινῶν ἡ ποικίλη φύσις ταῖς ὀχείαις ταῖς περιττοῖς μόριόν τι τοῦτο ἐπινενόηκε περιττόν. διὸ καὶ μέχρι τινὸς κοῖλόν ἐστιν εἰς διακονίαν κνησιώντων μορίων, ἀποτυφλοῦται δὲ ἐντεῦθεν ἡ κοιλότης, οὐ γὰρ εἰς γένεσιν δεδημιούργηται. ἐντεῦθεν συμφανὲς ἡμῖν ὁμολογουμένως παραιτεῖσθαι δεῖν τὰς ἀρρενομιξίας καὶ τὰς ἀκάρπους σπορὰς καὶ τὰς κατόπιν εὐνὰς καὶ τὰς ἀσυμφυεῖς ἀνδρογύνους κοινωνίας, ἑπομένους τῇ φύσει αὐτῇ ἀπαγορευούσῃ διὰ τῆς τῶν μορίων κατασκευῆς, οὐκ εἰς παραδοχὴν σπέρματος, εἰς δὲ τὴν πρόεσιν αὐτοῦ τὸ ἄρρεν ἀνδρωσάσῃ. ὁ δὲ Ἱερεμίας ὀπηνίκα ἂν φῇ, τοῦτ' ἔστι δι' αὐτοῦ τὸ πνεῦμα· „σπήλαιον ὑαίνης γέγονεν ὁ οἶκός μου"**), τὴν ἐκ τῶν νεκρῶν σωμάτων μυσαττόμενος τροφὴν ἀλληγορίᾳ σοφῇ τὴν εἰδωλολατρίαν διαβέβληκεν· δεῖ γὰρ ὡς ἀληθῶς ἁγνὸν εἰδώλων τὸν τοῦ ζῶντος οἶκον εἶναι θεοῦ.

§. 88. Πάλιν ὁ Μωϋσῆς καὶ τὸν λαγὼν ἐσθίειν ἀπαγορεύει· ὀχεύει γὰρ πᾶσαν τὴν ὥραν ὁ λαγώς,

*) Rom. 1, 26 sq. **) Ierem. 12, 9.

καὶ ἐπιβαίνει συγκαθεσθείσης τῇ θηλείας κατόπιν ἐπιών· ἔστι γὰρ ὀπισθοβατικὸν, κύει δὲ κατὰ μῆνα καὶ ἐπικύΐσκεται· ὀχεύεται δὲ καὶ τίκτει. τεκοῦσα δὲ εὐθὺς ὀχεύεται ὑφ' οὗ ὂν τύχῃ λαγωοῦ· οὐ γὰρ ἐνὶ ἀρκεῖται γάμῳ. καὶ συλλαμβάνει πάλιν ἔτι θηλαζομένη· ἔχει γὰρ τὴν ὑστέραν δικρόαν. καὶ οὐχὶ τὸ κένωμα μόνον τῆς ὑστέρας ἱκανὸν αὐτῇ γίνεται συνουσίας ὁρμητήριον· τὸ γὰρ κενὸν πᾶν ἐπιθυμεῖ πληρώσεως· συμβαίνει δ' ὅταν κυῶσι, θάτερον μέρος τῆς ὑστέρας κατέχεσθαι τῇ ἐπιθυμίᾳ καὶ ὀργᾶν. διὰ τοῦτο ἐπικυήσεις γίνονται αὐτοῖς. ἀπέχεσθαι τοίνυν σφοδρῶν τε ὀρέξεων καὶ ἐπαλλήλων συνουσιῶν καὶ τῆς πρὸς τὰς ἐγκύους ὁμιλίας καὶ ἀλληλοβασίας καὶ παιδοφθορίας καὶ μοιχείας καὶ λαγνείας ἡ τοῦ αἰνίγματος τοῦδε ἀπαγόρευσις παρήνεσεν.

§. 89. *Ταύτῃ τοι ἀναφανδὸν οὐ δι' αἰνιγμάτων ἔτι ὁ αὐτὸς ἀπηγόρευσεν Μωϋσῆς γυμνῇ τῇ κεφαλῇ· „οὐ πορνεύσεις, οὐ μοιχεύσεις, οὐ παιδοφθορήσεις"*) λέγων. τὸ δὴ διάταγμα τοῦ λόγου παντὶ διατηρητέον σθένει καὶ οὐδὲν οὐδαμῶς παρανομητέον οὐδὲ ἀκυρωτέον τὰς ἐντολάς· ἐπιθυμία γὰρ κακῇ ὄνομα ὕβρις, καὶ τὸν τῆς ἐπιθυμίας ἵππον ὑβριστὴν ὁ Πλάτων προσεῖπεν, „ἵπποι θηλυμανεῖς ἐγενήθητέ μοι"**) ἀναγνούς. τὴν δὲ ἐπὶ τῇ ὕβρει δίκην γνωριοῦσιν ἡμῖν οἱ εἰς τὰ Σόδομα παραγεγονότες ἄγγελοι. οὗτοι τοὺς περᾶν ἐθελήσαντας σφᾶς ἐπισχεῖν αὐτῇ πόλει κατέφλεξαν, δεῖγμα ἐναργὲς τοῦ τὸ λαγνείας ἐπικάρπιον τὸ πῦρ ὑπογράφοντες· τὰ γὰρ τῶν παλαιῶν συμπτώματα, ὡς καὶ πρόσθεν εἴπομεν, εἰς τὴν ἡμετέραν ἀναγεγράφαται νουθεσίαν***), ὡς μὴ τοῖς αὐτοῖς ἐνσχεθῆναι, φυλάξασθαι δὲ μὴ περιπεσεῖν τοῖς ἴσοις.* P. 22 Pot

§. 90. *Χρὴ δὲ υἱοὺς μὲν ἡγεῖσθαι τοὺς παῖδας, εἰς δὲ τὰς γυναῖκας τὰς ἀλλοτρίας ὡς ἰδίας ἀφορᾶν*

*) Exod. 22, 14. **) Ierem. 5, 8. ***) Cf. 1 Cor. 10, 11.

θυγατέρας, κρατεῖν δὲ ἡδονῶν, γαστρός τε ἔτι καὶ
τῶν ὑπὸ γαστέρα δεσπόζειν ἀρχικώτατον. εἰ γὰρ οὐ-
P. 83 δὲ τὸν δάκτυλον ὡς ἔτυχε σαλεύειν τῷ σοφῷ ὁ
Sylb. λόγος ἐπιτρέπει, ὡς ὁμολογοῦσιν οἱ Στωϊκοὶ, πῶς
οὐχὶ πολὺ πλέον τοῦ συνουσιαστικοῦ ἐπικρατητέον μο-
ρίου τοῖς σοφίαν διώκουσιν; ταύτῃ μοὶ δοκεῖ καὶ
ὠνομᾶσθαι αἰδοῖον, ὅτι χρὴ παντὸς μᾶλλον τούτῳ
τοῦ σώματος τῷ μέρει χρῆσθαι μετὰ αἰδοῦς· ἡ γὰρ
φύσις ὥσπερ καὶ ταῖς τροφαῖς, οὕτω δὲ καὶ τοῖς κατὰ
νόμον γάμοις ὅσον οἰκεῖον καὶ χρήσιμον καὶ εὐπρεπὲς
χρῆσθαι ἐπέτρεψεν ἡμῖν, ἐπέτρεψεν δὲ ὀρέγεσθαι παι-
δοποιίας. ὅσοι δὲ τὴν ὑπερβολὴν διώκουσι, πταίουσι
περὶ τὸ κατὰ φύσιν, σφᾶς αὐτοὺς βλάπτοντες κατὰ
τὰς παρανόμους συνουσίας. ἔχει γὰρ ὀρθῶς παντὸς
μᾶλλον μή ποτε κοινωνεῖν καθάπερ θηλειῶν πρὸς μῖ-
ξιν ἀφροδισίων τοῖς νέοις. διὸ καὶ „μὴ εἰς πέτρας
τε καὶ λίθους σπείρειν", φησὶν ὁ ἐκ Μωϋσέως φιλό-
σοφος, „ὅτι μήποτε φύσιν τὴν αὐτοῦ ῥίζοθεν λήψε-
ται γόνιμον" *).

§. 91. Πάνυ γοῦν ἐμφανέστατα διὰ Μωϋσέως
ὁ λόγος παρήγγειλεν· „καὶ μετὰ ἄρρενος οὐ κοιμη-
θήσῃ κοίτην γυναικείαν, βδέλυγμα γάρ ἐστι". πρὸς
δὲ καὶ ἀρούρης θηλείας ἀπέχεσθαι πάσης, ὅτι μὴ
τῆς ἰδίας ὁ καλὸς ἐκ τῶν θείων ἀναλεγόμενος γρα-
φῶν συνεβούλευσε Πλάτων ἐκεῖθεν τὸ νόμιμον ἐκλα-
βών. „καὶ πρὸς τὴν γυναῖκα τοῦ πλησίον σου οὐ
δώσεις κοίτην σοῦ σπέρματος τοῦ ἐκμιανθῆναι πρὸς
αὐτήν" **). ἄθυτα δὲ παλλακίδων σπέρματα καὶ νό-
θα. μὴ σπεῖρε οὖ μὴ βούλοιο ἂν σοι φύεσθαι τὸ
σπαρέν, μηδὲ μὴν ἅπτεσθαί τινος πλὴν γαμετῆς τὸ
παράπαν τῆς σεαυτοῦ γυναικὸς, ἐξ ἧς μόνης P. 225
καρποῦσθαι τὰς σαρκὸς ἡδονὰς δίκαιον εἰς διαδο- Pott.
χὰς γνησίας. νόμιμα γὰρ ταῦτα μόνα τῷ λόγῳ.
θείας γέ τοι μοίρας τῆς δημιουργικῆς μεταλαβόντας

*) Levit. 18, 22. **) Ibid. v. 20.

σπέρμα οὐκ ἐκριπτέον οὐδὲ καθυβριστέον οὐδὲ μὴν κεραυβόλα σπαρτέον.

§. 92, Ὁ γοῦν αὐτὸς οὗτος Μωϋσῆς καὶ ταῖς γαμεταῖς αὐταῖς ἀπαγορεύει πλησιάζειν, ἢν ταῖς ἐπιμηνίοις καθάρσεσιν ἐνεσχημέναι τύχωσιν. οὐ γάρ πω εὔλογον τῷ ἀποκαθάρματι τοῦ σώματος τὸ γονιμώτατον τοῦ σπέρματος καὶ μετ' ὀλίγον ἄνθρωπον μολύνειν, οὐδὲ μὴν ἀποκλύζειν τῷ ῥυπορῷ τῆς ὕλης ῥεύματι καὶ ἀποκαθάρματι· σπέρμα δὲ γενέσεως εὐφυᾶ τῶν τῆς μήτρας ἀποστερούμενον αὐλάκων. οὐδέ τινα τῶν παλαιῶν Ἑβραίων ἐγκύμονι τῇ αὐτοῦ γυναικὶ συνιόντα παρήγαγεν· ψιλὴ γὰρ ἡδονὴ κἂν ἐν γάμῳ παραληφθῇ, παράνομός ἐστι καὶ ἄδικος καὶ ἄλογος· ἔμπαλιν δὲ ὁ Μωϋσῆς ἀπάγει τῶν ἐγκύων τοὺς ἄνδρας ἄχρις ἂν ἀποκυήσωσιν· τῷ ὄντι γὰρ ἡ ὑστέρα ὑποκειμένη μὲν τῇ κύστει, ἐπικειμένη δὲ τῷ ἐντέρῳ τῷ καλουμένῳ ἀρχῷ ἐκτείνει τὸν τράχηλον μεταξὺ τῶν ὤμων ἐν τῇ κύστει, καὶ τὸ στόμιον τοῦ τραχήλου, ᾧ προσίεται τὸ σπέρμα, πεπληρωμένον μέμυκεν, αὖθίς τε ἀποκενοῦται καθαιρομένη κυήσει, ἀποθεμένη δὲ τὸν καρπὸν εἶτα ἐπιδέχεται τὸν σπόρον. οὐκ αἰσχρὸν δὲ ἡμῖν ἐπ' ὠφελείᾳ τῶν ἀκουόντων τὰ κυητικὰ ὀνομάζειν ὄργανα, ὧν οὐκ ἐπῃσχύνθη τὴν δημιουργίαν ὁ Θεός.

§. 93. Διψῶσα τοίνυν ἡ ὑστέρα παιδοποιίας προσίεται τὴν σποράν, καὶ τὸ ἐπίψογον τῆς συνουσίας ἀρνεῖται, μετὰ τὴν σποράν ἀποκλείουσα τέλεον ἤδη τὴν ἀσέλγειαν μεμυκότι τῷ στόματι. αἱ δὲ ὀρέξεις αὐτῆς αἱ τέως περὶ τὰς φιλοστόργους συμπλοκὰς δεδονημέναι, ἀποστραφεῖσαι ἔνδον περὶ τὴν παιδοποιίαν ἀσχολούμεναι, συνεργοῦσι τῷ δημιουργῷ. οὐ δὴ θέμις ἐργαζομένην τὴν φύσιν ἤδη ἐνοχλεῖν ἔτι περιττεύοντας εἰς ὕβριν· ὕβρις δὲ ἡ πολυώνυμος καὶ πολυειδής, ἐπειδὰν ἐκτραπῇ κατὰ τοῦτο τῆς ἀταξίας τὸ μέρος τὸ κατὰ τὴν ἀφροδίτην, λαγνεία κέκληται· τὸ λαγνικὸν τὸ δημῶδες καὶ ἄναγνον τὸ περὶ

τὰς ὀχείας τὸ καταφερὲς ἐμφαίνοντος τοῦ ὀνόματος, ἐξ ὧν αὐξηθέντων τὸ πολὺ τῶν νοσημάτων πλῆθος ἐπισυμβαίνει, φιλοψία, φιλοινία, φιλογυνία καὶ δὴ καὶ ἀσωτία καὶ φιληδονία πᾶσα, ὧν τυραννεύει P. 226
ἐπιθυμία. μυρία δὲ τούτοις αὔξεται ἀδελφὰ παθή- Pott.
ματα, ἐξ ὧν τὸ ἀκόλαστον κορυφοῦται ἦθος· λέγει δὲ ἡ γραφή· „ἑτοιμάζονται ἀκολάστοις μάστιγες καὶ τιμωρίαι ὠμοις ἀφρόνων"*), τὴν ἰσχὺν τῆς ἀκολασίας καὶ τὴν εὔτονον ὑπομονὴν „ὦμους ἀφρόνων" κα-
λοῦσα. διὰ τοῦτό τοι „ἀπόστησον ἀπὸ τῶν δούλων σοὺ ἐλπίδας κενὰς, καὶ ἐπιθυμίας", φησὶν, „ἀπρεπεῖς ἀπόστρεψον ἀπ' ἐμοῦ, κοιλίας ὄρεξις καὶ συνουσιασμὸς μὴ καταλαβέτωσάν με"**). πόρρωθεν οὖν ἀπερύκειν χρὴ τὴν πολλὴν τῶν ἐπιβούλων κακουργίαν· οὐ γὰρ εἰς τὴν Κράτητος πήραν μόνην ἀλλ' οὐδὲ εἰς τὴν ἡμετέραν πόλιν εἰσπλεῖ οὐ μωρὸς παράσιτος, οὐδὲ λίχνος πόρνος πυγῇ ἀγαλλόμενος, οὐ δολερὰ πόρνη, ἀλλ' οὐδὲ ἄλλο τι τοιοῦτον ἡδονῆς θηρίον. πολλὴ οὖν ἡμῖν ἐγκατεσπάρθω παρ' ὅλον τὸν βίον ἀξιοπραγία.

§. 94. *Καθόλου μὲν οὖν ἡ γαμητέον ἢ γάμον εἰς τὸ παντελὲς καθαρευτέον· ἔχεται γὰρ ζητήσεως καὶ τοῦτο ἐν τῷ περὶ ἐγκρατείας ἡμῖν δεδήλωται. εἰ δὲ αὐτὸ τοῦτο εἰ γαμητέον ἐδέησε σκέψεως, πῶς ἂν ἐπιτραπείη ἀνέδην καθάπερ τροφῇ, οὕτω δὲ καὶ συνουσία ὡς ἀναγκαίῳ κεχρῆσθαι ἑκάστοτε; ἔστι γοῦν συνιδεῖν ἐξ αὐτῆς καθάπερ στήμονας τὰ νεῦρα διαφορούμενα καὶ περὶ τὴν ἐπίτασιν τῆς ὁμιλίας διαρρηγνύμενα, ναὶ μὴν καὶ ἀχλὺν περισκεδάννυσι τοῖς* P. 227
αἰσθητηρίοις, κόπτει δὲ καὶ τοὺς τόνους. σαφὲς τοῦτο καὶ ἐπὶ τῶν ἀλόγων ζώων καὶ ἐπὶ τῶν ἐν ἀσκήσει σωμάτων, ὧν οἱ ἀπεχόμενοι ἐν τοῖς ἀγῶσι τῶν P. 84
ἀντιπάλων περιγίνονται, τὰ δὲ ἀπάγεται τῆς Sylb.
ὀχείας περιελκόμενα, μονονουχὶ συρόμενα, ἰσχύος

*) Proverb. 19, 29. **) Eccles. 23, 4—6.

ἀπάσης καὶ ὀρούσεως τέλεον κεκενωμένα. μικρὰν
ἐπιλήψιαν τὴν συνουσίαν ὁ Ἀβδηρίτης ἔλεγε σο- P. 227
φιστὴς, νόσον ἀνίατον ἡγούμενος. ἢ γὰρ οὐχὶ καὶ Pott.
ἐκλύσεις παρέπονται τῷ μεγέθει τῆς ἀπουσίας ἀνατι-
θέμεναι; ἄνθρωπος γὰρ ἐξ ἀνθρώπου ἐκφύεταί τε
καὶ ἀποσπᾶται. ὅρα τὸ μέγεθος τῆς βλάβης· ὅλος
ἄνθρωπος ἀποσπᾶται κατὰ συνουσίας ἀπουσίαν· φη-
σὶ γὰρ, „τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου, καὶ
σὰρξ ἐκ τῆς σαρκός μου"*). τοσοῦτον ἄρα ὁ ἄν-
θρωπος κενοῦται τῷ σπέρματι, ὅσος ὁρᾶται τῷ σώ-
ματι· ἀρχὴ γὰρ γενέσεως τὸ ἀπαλλαττόμενον, ἀλλὰ
καὶ τῆς ὕλης ὁ βρασμὸς ἐκταράττει καὶ συγκρούει
τὴν ἁρμονίαν τοῦ σώματος.

§. 95. Ἀστεῖος οὖν μάλα ἐκεῖνος ὁ πρὸς τὸν
ἐρόμενον πῶς ἔχοι πρὸς τὰ ἀφροδίσια, εὐφήμει, φή-
σας, ἄνθρωπε, ἀσμενέστατα μέντοι αὐτὰ ἀπέφυγον
ὥσπερ λυττῶντα καὶ ἄγριον δεσπότην. ἀλλ' ἐγκεκρί-
σθω δὴ ὁ γάμος καὶ ἐγκατατετάχθω· πληθύνεσθαι
γὰρ ὁ κύριος βούλεται τὴν ἀνθρωπότητα, ἀλλ' οὐκ
ἀσελγαίνετε λέγει οὐδὲ σφᾶς αὐτοὺς καθάπερ εἰς ὀχείαν
γεγονότας ἐκδίδοσθαι ἡδοναῖς ἠθέλησεν. δυσωπείτω
δὲ ἡμᾶς ὁ παιδαγωγὸς δι' Ἐζεκιὴλ βοῶν· „περιτέ-
μνεσθε τὴν πορνείαν ὑμῶν"**). ἔχει τινὰ καιρὸν
εὔθετον εἰς σπόρον καὶ τὰ ἄλογα τῶν ζώων. τὸ δὲ
μὴ εἰς παίδων γονὴν συνιέναι ἐνυβρίζειν ἐστὶ τῇ φύ-
σει, ἣν χρὴ διδάσκαλον ἐπιγραφομένους τὰς σοφὰς
τοῦ καιροῦ ἐπιτηρεῖν παιδαγωγίας, τὸ γῆρας λέγω
καὶ τὴν παιδικὴν ἡλικίαν παρεισάγουσαν· τοῖς μὲν
γὰρ οὐδέπω συνεχώρησεν, τοὺς δὲ οὐκέτι βούλεται
γαμεῖν, πλὴν οὐ πάντοτε γαμεῖν. γάμος δὲ ἢ παι
δοποιίας ὄρεξις, οὐχ ἡ τοῦ σπέρματος ἄτακτος ἔκ
κρισις ἢ παράνομος καὶ ἡ παράλογος.

§. 96. Κατὰ φύσιν δ' ἂν ἡμῖν συγχωροίη
βίος ἅπας κρατοῦσι τῶν ἐπιθυμιῶν ἄνωθεν μὴ κτε

*) Genes. 2, 23. **) Cf. Ezech. 43, 9. 44, 7.

νουσί τε τὸ ἐκ προνοίας θεϊκῆς φυόμενον τῶν ἀνθρώπων γένος κακοτέχνοις μηχαναῖς· αὗται γὰρ πορνείας ἐπὶ καλύμματι τοῖς ἐς παντελῆ κατασπῶσι φθορὰν φθορίοις συγχρώμεναι φαρμάκοις ἐξαναλίσκουσιν ἅμα τῷ ἐμβρύῳ τὴν φιλανθρωπίαν. ἀλλ' οἷς γε συγκεχώρηται γῆμαι, τούτοις ἐδέησεν παιδαγωγοῦ, ὡς μὴ μεθ' ἡμέραν τὰ μυστικὰ τῆς φύσεως ἐκτελεῖ- P. 228
σθαι ὄργια, μηδὲ ἐξ ἐκκλησίας, φέρε, ἢ ἀγορᾶς Pott.
ἥκοντα ἐωθινὸν ἀλεκτρυόνος ὀχεύειν δίκην, ὁπηνίκα εὐχῆς καὶ ἀναγνώσεως καὶ τῶν μεθ' ἡμέραν εὐεργῶν ἔργων ὁ καιρός· ἑσπέρας δὲ ἀναπαύσασθαι προσκαθήκει μετὰ τὴν ἑστίασιν καὶ μετὰ τὴν ἐπὶ ταῖς ἀπολαύσεσιν εὐχαριστίαν.

§. 97. Οὐκ ἀεὶ δὲ καιρὸν ἐνδίδωσιν ἡ φύσις τὴν ἔντευξιν τοῦ γάμου τελειοῦσθαι· καὶ γὰρ ποθεινοτέρα ἡ χρονιωτέρα συμπλοκή. οὐ μὴν οὐδ' ὡς ἐν σκότῳ νύκτωρ ἀκολαστητέον, ἀλλ' ἐγκαθειρκτέον τῇ ψυχῇ τὸ αἰδῆμον οἱονεὶ φῶς τοῦ λογισμοῦ· οὐδὲν γὰρ τῆς ἱστουργούσης Πηνελόπης διοισομεν, μεθ' ἡμέραν μὲν τὰ σωφροσύνης ἐξυφαίνοντες δόγματα, νυκτὸς δὲ ἀναλύοντες, ἐπὴν εἰς κοίτην ἴωμεν· εἰ γὰρ σεμνότητα ἀσκητέον, ὥσπερ οὖν πολὺ πλέον τῇ γυναικὶ τῇ ἑαυτοῦ τὴν σεμνότητα ἐπιδεικτέον τὰς ἀσχήμονας συμπλοκὰς παραιτούμενον· καὶ τῆς πρὸς τοὺς πλησίον ἀγνείας ἡ ἐχέγγυος πίστις οἴκοθεν παραγινέσθω. οὐ γάρ ἐστιν οὐκέτι σεμνὸν παρ' ἐκείνῃ νομισθῆναι, παρ' ἧ τὸ σεμνὸν οὐκ ἐμμάρτυρον δείκνυται ἐν αὐταῖς ἐκείναις ταῖς ὀξείαις ἡδοναῖς. εὔνοια δὲ ὁλισθηρῶς εἰς συνουσίαν ἔχειν ὁμολογοῦσα ὀλίγον ἀνθεῖ καὶ συγγηράσκει τῷ σώματι, ἔσθ' ὅτε δὲ καὶ προγηράσκει μαρανθείσης τῆς ἐπιθυμίας, ὁπόταν τὴν γαμήλιον σωφροσύνην ἑταιρικαὶ καθυβρίσωσιν ἡδοναί· πτηναὶ γὰρ αἱ τῶν ἐρώντων καρδίαι καὶ σβέννυται μετανοίᾳ τὰ φίλτρα, τρέπεται δὲ πολλάκις τὸ φιλεῖν εἰς τὸ μισεῖν, ὁπόταν αἴσθηται τῆς καταγνώσεως ὁ κόρος.

§. 98. Ῥημάτων δὲ ἀκολάστων καὶ σχημάτων ἀσχημόνων ἑταιρικῶν φιλημάτων τε ὀνόματα πορνικὰ καὶ τοιουτωνί τινων λαγνευμάτων οὐδὲ ἐπιμνηστέον, τῷ μακαρίῳ πειθόμενοι ἀποστόλῳ, διαρρήδην λέγοντί· „πορνεία δὲ καὶ ἀκαθαρσία πᾶσα ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν καθὼς πρέπει ἁγίοις"*). εὖ γοῦν τις εἰρηκέναι φαίνεται, συνουσία ὤνησε μὲν οὐδένα, ἀγαπητὸν δὲ εἰ μὴ ἔβλαψεν· ἢ μὲν γὰρ κατὰ νόμον σφαλερὰ, εἰ μὴ ὅσον αὐτῆς ἐπὶ παιδοποιᾳ, περὶ δὲ τῆς παρανόμου ἡ γραφὴ λέγει· „γυνὴ μισθία ἴση σιάλῳ λογισθήσεται, ὕπανδρος δὲ πύργος θανάτου τοῖς χρωμένοις"**). κάπρῳ ἢ συῒ τὸ ἑταιρικὸν ἀπείκασε πάθος, θάνατον δὲ ζητούμενον εὗρηκε τὴν μοιχείαν ἐπὶ πόρνῃ τηρουμένῃ, οἶκον δὲ καὶ πόλιν, ἐν ᾗ ἀσελγαίνουσιν. P. 229 Pott.

§. 99. Ναὶ μὴν καὶ ἡ παρ' ἡμῖν ποιητικὴ ὀνειδίζουσά πως γράφει·

μοιχεία παρὰ σοί τε καὶ ἀνδρῶν μίξις ἄθεσμος
θηλυγενὴς ἄδικός τε, κακήπολι, πάντ' ἀκάθαρτε·

ἔμπαλιν δὲ ἄγαται τοὺς σώφρονας,

οὔτε ἐπ' ἀλλοτρίᾳ κοίτῃ πόθον αἰσχρὸν ἔχοντας
οὐδὲ ἐπ' ἄρρενος ὕβριν ἀπεχθέα τε στυγερήν τε
ὁρμωμένους,

ὅτι παρὰ φύσιν ταύτας ἡγοῦνται οἱ πολλοὶ τρυφὰς τὰς ἑαυτῶν ἁμαρτίας, οἱ δὲ τούτων ἐπιεικέστεροι γνωρίζουσι μὲν οὖσας αὐτὰς ἁμαρτίας, ἡττῶνται δὲ τῶν ἡδονῶν. καὶ τὸ σκότος αὐτοῖς ἐστὶ προκάλυμμα τῶν παθῶν· μοιχεύει γὰρ τὸν ἑαυτοῦ γάμον ὁ ἑταιριζόμενος αὐτὸν καὶ οὐκ ἀκούει τοῦ παιδαγωγοῦ βοῶντος, „ὁ ἄνθρωπος ὁ ἀναβαίνων ἐπὶ τῆς κλίνης αὐτοῦ, ὁ λέγων ἐν τῇ ψυχῇ, τίς με ὁρᾷ; σκότος κύκλῳ μου καὶ οἱ τοῖχοι σκέπη μου, καὶ οὐθεὶς βλέπει τὰς ἁμαρτίας μου· τί εὐλαβοῦμαι μὴ μνησθήσεται ὁ ὕψιστος"***); ταλάντατος μὲν οὗτος, ὀφθαλμοὺς ἀνθρώπων δεδιὼς Sylb.

*) Ephes. 5, 3. **) Eccles. 26, 22. ***) Eccles. 23, 18 sq.

μόνους, λήσειν δὲ τὸν Θεὸν ὑπονοῶν. „οὐ γὰρ γινώσκει", φησὶν ἡ γραφὴ, „ὅτι ὀφθαλμοὶ κυρίου ὑψίστου μυριοπλασίως ἡλίου φωτεινότεροί εἰσιν, οἳ ἐπιβλέπουσι πάσας ὁδοὺς ἀνθρώπων καὶ κατανοοῦσιν εἰς ἀπόκρυφα μέρη"*). ταύτῃ τε πάλιν ὁ παιδαγωγὸς αὐτοῖς ἀπειλεῖ διὰ Ἡσαΐου λέγων· „οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες, καὶ ἐροῦσι· τίς ἡμᾶς ὁρᾷ"**); λήσεται μὲν γὰρ ἴσως τὸ αἰσθητὸν φῶς τις, τὸ δὲ νοητὸν ἀδύνατόν ἐστιν, ἢ ὡς φησιν Ἡράκλειτος, τὸ μὴ δῦνόν ποτε πῶς ἄν τις λάθοι; μηδαμῶς τοίνυν ἐπικαλυπτώμεθα τὸ σκότος, τὸ γὰρ φῶς ἔνοικον ἡμῖν· „καὶ ἡ σκοτία", φησὶν, „αὐτὸ οὐ καταλαμβάνει" ***), κατανυγάζεται δὲ αὐτὸ ἡ νὺξ τῷ σώφρονι λογισμῷ· λογισμοὺς δὲ ἀνδρῶν ἀγαθῶν οὓς ἀκοιμήτους λύχνους†) ὠνόμασεν ἡ γραφή. P. 230 Pott.

§. 100. Καίτοι τό γε πειρᾶσθαι λανθάνειν ἐφ' οἷς πράττει τις ὁμολογούντως ἁμαρτάνειν ἐστὶν, πᾶς δὲ ὃς ἁμαρτάνει, καὶ ἀδικεῖ εὐθὺς οὐχ οὕτως τὸν πέλας, ἂν μοιχεύῃ ὡς ἑαυτὸν, ὅτι μεμοίχευκεν, ἀλλὰ πάντως αὐτὸν χείρονα ἀποφαίνει καὶ ἀτιμότερον. ὁ γὰρ ἁμαρτάνων παρ' ὅσον ἁμαρτάνει χείρων καὶ ἀτιμότερος αὐτὸς αὑτοῦ, πάντως δὲ ἤδη ποὺ καὶ ἀκολασία πρόσεστι τῷ ἡττωμένῳ αἰσχρᾶς ἡδονῆς· διὸ καὶ πάντως ὁ πορνεύων ἀπέθανεν Θεῷ καὶ καταλέλειπται ὑπὸ τοῦ λόγου καθάπερ ὑπὸ τοῦ πνεύματος νεκρός. βδελύττεται γὰρ τὸ ἅγιον μολύνεσθαι, ὥσπερ οὖν εἰκός. ἀεὶ δὲ καθαρῷ καθαροῦ θέμις θιγγάνειν· μὴ δὴ ἅμα χιτῶνι ἀποδυομένῳ ἀποδυσώμεθα καὶ τὴν αἰδῶ ποτὲ, ἐπεὶ οὐδέποτε τῷ δικαίῳ σωφροσύνην ἀποδύσασθαι θέμις. ἰδοὺ γὰρ τὸ φθαρτὸν τοῦτο ἐπενδύεται ἀφθαρσίαν, ὅπηνίκα ἂν τὸ ἀκόρεστον τῆς ἐπιθυμίας††), τὸ εἰς ἀσέλγειαν ῥέον ἐγκρατείᾳ παιδαγωγούμενον, ἀνέραστον γενόμενον τῆς

*) Eccles. 23, 18 sq. **) Is. 29, 15. ***) Ioann. 1, 5. †) Cf. Sapient. 7, 10. ††) Cf. 1 Cor. 15, 53.

φθορᾶς, ἀϊδίῳ σωφροσύνῃ παραχωρήσῃ τὸν ἄνθρωπον· „ἐν γὰρ τῷ αἰῶνι τούτῳ γαμοῦσι καὶ γαμίσκονται" *), καταργήσαντες δὲ τὰ τῆς σαρκὸς ἔργα, αὐτῇ καθαρᾷ τῇ σαρκὶ ἐπενδυσάμενοι τὴν ἀφθαρσίαν τὸ πρὸς μέτρον τῶν ἀγγέλων διώκομεν. ταύτῃ τοι καὶ Πλάτων ἐν Φιλήβῳ ὁ τῆς βαρβάρου μαθητὴς φιλοσοφίας ἀθέους κέκληκε. μυστικῶς τοὺς τὸν θεὸν τὸν ἔνοικον αὐτοῖς, τὸν λόγον, διαφθείροντας καὶ μιαίνοντας τὸ ὅσον ἐφ' ἑαυτοῖς ἐν τῇ τῶν παθῶν οἰκειώσει.

§. 101. Οὐκ ἄρα ποτὲ θνητῶς βιωτέον ἁγιαζομένους θεῷ, οὐδὲ μὴν, ὡς φησιν ὁ Παῦλος, „οὐ χρὴ πόρνης ποιεῖν μέλη τὰ τοῦ Χριστοῦ μέλη, οὐδὲ μὴν νεῶν τῶν παθῶν τῶν αἰσχρῶν τὸν νεὼν τοῦ θεοῦ ποιητέον" **). μέμνησθε γὰρ τὰς τέσσαρας καὶ εἴκοσι χιλιάδας διὰ πορνείαν ἀπωσμένας, τὰ δὲ παθήματα τῶν πορνευσάντων, ὡς ἤδη μοι λέλεκται, „τύποι" ***) παιδαγωγοῦντες ἡμῶν τὰς ἐπιθυμίας εἰσίν. ἡμῖν δὲ ὁ παιδαγωγὸς παραινεῖ σαφέστατα· „ὀπίσω τῶν ἐπιθυμιῶν σου μὴ πορεύου, καὶ ἀπὸ τῶν ὀρέξεών σου κώλυου" †)· οἶνος γὰρ καὶ γυναῖκες ἀποστήσουσι συνετοὺς, καὶ ὁ κολλώμενος P. πόρναις τολμηρότερος ἐκβήσεται, „σῆψις καὶ σκώληξ κληρονομήσουσιν αὐτὸν καὶ ἐξαρθήσεται ἐν παραδειγματισμῷ μείζονι" ††), καὶ πάλιν — οὐ γὰρ ἀποκάμνει ὠφελῶν — „ὁ δὲ ἀντοφθαλμῶν ἡδονῇ στεφανοῖ τὴν ζωὴν αὐτοῦ" †††).

§. 102. Οὔκουν ἀφροδισίων ἠττᾶσθαι δίκαιον οὐδὲ μὴν κεχηνέναι περὶ τὰς ἐπιθυμίας, ἀλλ' οὐκ ἐκπαθαίνεσθαι περὶ τὰς ἀλόγους ὀρέξεις οὐδὲ ἐπιθυμεῖν μολύνεσθαι, σπείρειν δὲ μόνον ἐπιτέτραπται τ γήμαντι ὡς γεωργῷ τὸ τηνικάδε, ὁπηνίκα ὃ καιρὸ

*) Matth. 22, 30. (Luc. 20, 34. **) 1 Cor. 6, 15. 1
***) Ibid. 10, 6. †) Eccles. 18, 30. ††) Ibid. 19, 2 a
†††) Ibid. v. 5.

δέχεται τὸν σπόρον. πρὸς δὲ δὴ τὴν ἄλλην ἀκρασίαν ἄριστον μὲν ὁ λόγος φάρμακον, βοηθεῖ δὲ καὶ ἡ ἔνδεια τοῦ κόρου, δι' οὗ φλεγμαίνουσαι αἱ ἐπιθυμίαι σκιρτῶσι περὶ τὰς ἡδονάς. οὔκουν οὐδὲ ἐσθῆτος ἀντιποιητέον πολυτελοῦς καθάπερ οὐδὲ τροφῆς ποικίλης. αὐτὸς γοῦν ὁ κύριος διαιρῶν τὰς ὑποθήκας εἷς τε ψυχὴν καὶ σῶμα καὶ τρίτον τὰ ἐκτὸς, διὰ μὲν τὸ σῶμα τὰ ἐκτὸς πορίζεσθαι συμβουλεύει, διοικεῖ δὲ τὸ σῶμα τῇ ψυχῇ, παιδαγωγεῖ δὲ τὴν ψυχὴν „μὴ μεριμνᾶτε" λέγων „τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι ὑμῶν τί ἐνδύσησθε· ἡ γὰρ ψυχὴ πλείων ἐστὶ τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος". καὶ τῆς διδασκαλίας ἐναργὲς ὑπόδειγμα ἐπιφέρει· „κατανοήσατε τοὺς κόρακας ὅτι οὐ σπείρουσιν οὐδὲ θερίζουσιν, οἷς οὐκ ἔστι ταμιεῖον καὶ ἀποθήκη καὶ ὁ θεὸς τρέφει αὐτούς. οὐχ ὑμεῖς διαφέρετε τῶν πτηνῶν"*); καὶ ταῦτα μὲν περὶ τροφῆς· ὁμοίως δὲ καὶ περὶ ἐσθῆτος παρεγγυᾷ, ἢ τῶν τρίτων μετελήφθη τῶν ἐκτὸς, „κατανοήσατε" λέγων „τὰ κρίνα πῶς οὔτε νήθει οὔτε ὑφαίνει, λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομὼν περιεβάλετο ὡς ἓν τούτων"**). σφόδρα δὲ ἐπὶ πλούτῳ ἐκόμα ὁ Σολομὼν ὁ βασιλεύς.

§. 103. Τί οὖν ὡραιότερον καὶ εὐανθέστερον ἀνθέων; τί δαὶ ἐπιτερπέστερον κρίνων ἢ μύρων ἢ ῥόδων; „εἰ δὲ τὸν χόρτον σήμερον ἐν ἀγρῷ ὄντα καὶ αὔριον εἰς κλίβανον βαλλόμενον ὁ θεὸς οὕτως ἀμφιέννυσι, πόσῳ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι; καὶ ὑμεῖς μὴ ζητεῖτε τί φάγητε ἢ τί πίητε"***). ἐνταῦθα τὸ „τί" μόριον τὴν ποικιλίαν τῆς τροφῆς ἐκβέβληκε, σημαίνεται γὰρ ἐκ τῆς γραφῆς τοῦτο· μὴ μεριμνᾶτε ποῖα φάγητε ἢ ποῖα πίητε· πλεονεξία γὰρ καὶ τρυφὴ μεριμνᾶν ταῦτα, τὸ δὲ φαγεῖν μόνον ψιλῶς νοούμενον ἀνάγκης ἐστὶ τεκμήριον, τὸ πλήρωμα,

*) Luc. 12, 22 — 24. **) Ibid. v. 27. ***) Ibid. v. 28 sq.

ὡς ἔφαμεν, τῆς ἐνδείας, τὸ δὲ „τί" τὸ ἐκ πε- P. 232
P. 86 ρισσοῦ, τὸ δὲ περιττὸν ἐκ τοῦ διαβόλου μεμή- Pott.
Sylb. νυκεν ἡ γραφή*). σαφηνίζει δὲ τὴν διάνοιαν ἡ ἐπιφερομένη λέξις. „μὴ γὰρ ζητεῖτε τί φάγητε ἢ τί πίητε" εἰπὼν ἐπήγαγεν, „καὶ μὴ μετεωρίζεσθε". μετεώρους δὲ ἀπὸ τῆς ἀληθείας ἀλαζονεία καὶ τρυφὴ ποιεῖ καὶ ἡ εἰς τὰ περιττὰ ἀπασχολοῦσα ἡδυπάθεια ἀπάγει τῆς ἀληθείας, διὸ καί φησι παγκάλως· „ταῦτα δὲ πάντα τὰ ἔθνη τοῦ κόσμου ζητεῖ"**). οἱ ἄτακτοι καὶ ἀνόητοι τὰ ἔθνη εἰσίν. τίνα δὲ λέγει ταῦτα; τὴν τρυφὴν, τὴν ἡδυπάθειαν, τὴν καρυκείαν, τὴν ὀψοφαγίαν, τὴν λαιμαργίαν, ταῦτά ἐστι τὸ „τί". περὶ δὲ ψιλῆς τῆς τροφῆς τῆς τε ξηρᾶς καὶ τῆς ὑγρᾶς ὡς ἀναγκαίων οὐσῶν „οἶδε" φησὶν „ὁ πατὴρ ὑμῶν, ὅτι χρήζετε"***). εἰ δὲ ὅλως ζητητικοὶ γεγόναμεν, μὴ εἰς τρυφὴν τὸ ζητητικὸν ἀπολύωμεν, ἀλλὰ εἰς τὴν εὕρεσιν τῆς ἀληθείας ἀναζωπυρήσωμεν. „ζητεῖτε γὰρ", φησὶ, „τὴν βασιλείαν τοῦ θεοῦ, καὶ τὰ τῆς τροφῆς προστεθήσεται ὑμῖν"†).

§. 104. Εἰ τοίνυν ἐσθῆτος καὶ τροφῆς καὶ τῶν περιττῶν ἁπαξαπλῶς ὡς οὐκ ἀναγκαίων ἀφαιρεῖται τὴν μέριμναν, τί χρὴ νοεῖν ἐρεῖν αὐτὸν περὶ φιλοκοσμίας βαφῆς τε ἐρίων καὶ ποικιλίας χρωμάτων καὶ λίθων περιεργίας καὶ χρυσίου ἐξεργασίας πλοκάμων τε ἔτι ἐπιτεχνητῶν καὶ βοστρύχων ἑλικτῶν, πρὸς δὲ καὶ ὀφθαλμῶν ὑπογραφῆς παρατίλσεών τε καὶ παραφυκισμῶν καὶ ψιμυθισμοῦ καὶ βαφῆς τριχῶν καὶ τῶν περὶ τὰς ἀπάτας ταύτας κακοτεχνιῶν; οὐχὶ εὖ μάλα ἐκεῖνο δὴ ὑποτοπητέον, τὸ μικρῷ πρόσθεν εἰρημένον ἐπὶ τοῦ χόρτου μὴ καὶ ἐπὶ τῶν ἀκόσμων φιλοκόσμων τούτων ἐληλεγμένων; ἀγρὸς γὰρ ὁ κόσμος, καὶ πόα ἡμεῖς οἱ τῇ χάριτι δροσιζόμενοι τοῦ θεοῦ, καρέντες δὲ αὖθις ἀνατέλλομεν, ὡς ἐν τῷ περὶ ἀναστάσεως

*) Cf. Matth. 5, 37. **) Luc. 12, 30. ***) Ibidem.
†) Ibid. v. 31.

διὰ πλειόνων δηλωθήσεται, χόρτος δὲ ὁ χυδαῖος ἀλληγορεῖται ὄχλος, ὁ τῆς ἐφημέρου εὐφροσύνης οἰκεῖος, ἢ πρὸς ὀλίγον ἀνθῶν, ὁ φιλόκοσμος καὶ φιλόδοξος καὶ πάντα μᾶλλον ἢ φιλαλήθης, εἰς οὐδὲν, ἀλλ' ἢ εἰς ὑπέκκαυμα εὔθετος πυρός.

§. 105. „Ἄνθρωπος γοῦν ἦν τις", ὁ κύριος διηγούμενος λέγει, „πλούσιος σφόδρα, ὃς ἐνεδιδύσκετο πορφύραν καὶ βύσσον, εὐφραινόμενος καθ' ἡμέραν λαμπρῶς", οὗτος ὁ χόρτος ἦν· „πτωχὸς δέ τις P. 233 ὀνόματι Λάζαρος ἐβέβλητο εἰς τὸν πυλῶνα τοῦ Pott. πλουσίου ἠλκωμένος, ἐπιθυμῶν χορτασθῆναι ἐκ τῶν πιπτόντων τῆς τραπέζης τοῦ πλουσίου" *), οὗτός ἐστιν ἡ πόα. ἀλλ' ὁ μὲν ἐκολάζετο ἐν Ἅιδου ὁ πλούσιος μετέχων τοῦ πυρὸς, ὁ δὲ ἀνέθαλλεν ἐν κόλποις τοῦ πατρός. ἄγαμαι τῶν Λακεδαιμονίων τὴν πόλιν τὴν παλαιὰν, ἣ μόναις ταῖς ἑταίραις ἀνθίνας ἐσθῆτας καὶ χρυσοῦν κόσμον ἐπέτρεπεν φορεῖν ἀφαιρουμένη τῶν δοκίμων γυναικῶν τὴν φιλοκοσμίαν τῷ μόναις ἐφεῖναι καλλωπίζεσθαι ταῖς ἑταιρούσαις. Ἀθηναίων δὲ ἔμπαλιν οἱ ἄρχοντες οἱ τὸ ἀστικὸν πολίτευμα ἐζηλωκότες ἐκλυθόμενοι τῆς ἀνδρωνίτιδος ἐχρυσοφόρουν, ποδήρεις χιτῶνας ἐνδυόμενοι καὶ ποδήρεις ἠμπίσχοντο· καὶ κρωβύλον, ὃ ἐμπλοκῆς ἐστὶν εἶδος, ἀνεδοῦντο χρυσῶν ἐνέρσει τεττίγων κοσμούμενοι, τὸ γηγενὲς ὡς ἀληθῶς ἀπειροκαλίᾳ κιναιδίας ἐνδεικνύμενοι, ὁ δὲ τῶν ἀρχόντων τούτων ζῆλος καὶ εἰς τοὺς ἄλλους Ἴωνας διικνεῖτο, οὓς Ὅμηρος ἐκθηλύνων ἑλκεσιπέπλους καλεῖ.

§. 106. Εἴδωλον οὖν τοῦ καλοῦ τὴν φιλοκοσμίαν, οὐχὶ δὲ αὐτὸ τὸ καλὸν προστρεπομένους, δι' ὀνόματος ὡραίου πάλιν εἰδωλολατροῦντας, πόρρω τῆς ἀληθείας ἀποικιστέον, δόξῃ, οὐκ ἐπιστήμῃ, ὀνειροπολοῦντας τοῦ καλοῦ τὴν φύσιν. καὶ ἔστιν αὐτοῖς ὃ τῇδε βίος ἀγνοίας ὕπνος βαθὺς, οὗ χρὴ ἐξεγειρομέ-

*) Luc. 16, 19—22.

νους ἡμᾶς ἐπὶ τὸ ὄντως καλὸν καὶ κόσμιον σπεύδειν καὶ τούτου μόνου ἐφάπτεσθαι γλίχεσθαι καταλείποντας τὰ τῇδε κόσμια αὐτῷ κόσμῳ χαίροντα πρὶν ἢ τέλεον καταδραθεῖν. φημὶ τοίνυν οὐκ ἄλλου τινὸς ἕνεκα δεηθῆναι ὑφασμάτων τὸν ἄνθρωπον, ἢ σκέπης σώματος, πρὸς ἀπαλέξησιν κρυμῶν τε ὑπερβο- P. 234
λῆς καὶ καυμάτων ἐπιτάσεως, μή τι ἡμᾶς παρα- Pott.
λυποίη τοῦ περιέχοντος ἡ ἀμετρία. εἰ δὴ οὗτός ἐστι τῆς ἐσθῆτος ὁ σκοπὸς, ὅρα μὴ οὐκ ἄλλη μὲν ἀνδράσιν, ἄλλη δὲ ἐσθὴς ἀπονεμητέα γυναιξίν· κοινὸν γὰρ ἀμφοῖν τὸ σκέπεσθαι κατὰ τὰ αὐτὰ τῷ ἐσθίειν καὶ πίνειν.

§. 107. Κοινῆς οὖν οὔσης τῆς χρείας τὴν ὁμοίαν κατασκευὴν δοκιμάζομεν. ὡς γὰρ τὸ δεῖσθαι τῶν σκεπόντων κοινὸν ἑκατέροις, οὕτως καὶ τὰ σκέποντα παραπλήσια εἶναι χρὴ, εἰ δὲ καὶ σκέπην ταύτην παραληπτέον, καθ' ἣν κρύπτειν ὅμοιόν ἐστι θηλειῶν χρεών. εἰ γὰρ καὶ πλεονεκτεῖ τὸ θῆλυ διὰ τὴν ἀσθένειαν, τὸ ἔθος τῆς ἀγωγῆς τῆς κακῆς αἰτιατέον, δι' ἣν πολλάκις φαύλοις διαίταις ἐντρεφόμενοι ἄνδρες γυναικῶν γεγόνασι θηλύτεροι· οὐ δὴ καθυφεῖναι χρὴ τούτου. εἰ δὲ συμπεριφέρεσθαι χρὴ, ὀλίγον ἐνδοτέον αὐταῖς μαλακωτέροις χρῆσθαι τοῖς ὑφάσμασιν μόνον τὰς μεμωρημένας λεπτουργίας καὶ τὰς ἐν ταῖς ὑφαῖς περιέργους πλοκὰς ἐκ ποδῶν μεθιστάντας, νῆμα χρυσοῦ καὶ σῆρας Ἰνδικοὺς καὶ τοὺς περιέργους βόμβυκας χαίρειν ἐῶντας, ὃς σκώληξ φύεται τὸ πρῶτον, εἶτα ἐξ αὐτοῦ δασεῖα ἀναφαίνεται κάμπη, μεθ' ἣν εἰς τρίτην μεταμόρφωσιν νεοχμοῦται βομβύλιον — οἱ δὲ νεκύδαλον αὐτὸ καλοῦσιν — ἐξ οὗ μακρὸς τίκτεται στήμων, καθάπερ ἐκ τῆς ἀράχνης ὁ τῆς ἀράχνης μίτος· τὰ γὰρ περιττὰ ταῦτα καὶ διαφανῆ ἔλεγχός ἐστι διανοίας οὐκ ἐρρωμένης ὀλίγῳ παραπετάσματι τὴν αἰσχύνην τοῦ σώματος προαγωγεύοντα. οὐ γὰρ ἔτι σκέπη ἡ ἀβροδίαιτός ἐστιν ἐσθὴς τὸ σχῆμα τῆς γυμνότητος κρύπτειν μὴ δυναμένη, προσπίπτουσα γὰρ

P. 87 ἡ τοιαύτη ἐσθὴς τῷ σώματι προστυποῦται αὐτῷ
Sylb. ὑγρότερον καὶ προσαναπλάττεται σαρκικῶς ἐμφῦσα τῷ σχήματι, καὶ τὸν τύπον ἐκμάττεται τῆς γυναικὸς, ὥστ' οὐχ ὁρῶντι τὴν ὅλην τοῦ σώματος εἶναι φανερὰν διάθεσιν.

§. 108. Παραιτητέον δὲ τῆς ἐσθῆτος καὶ τὰς βαφάς· αὗται γὰρ πόρρω καὶ τῆς χρείας καὶ τῆς ἀληθείας πρὸς τὸ καὶ διαβολὴν τοῦ ἤθους ἐξανθεῖν· οὔτε γὰρ ἡ χρῆσις ὠφέλιμος — οὐ γὰρ πρὸς τὸ κρύος εὔθετος —, οὔτε πρὸς σκέπην ἔχει τι περιττὸν παρὰ τὴν ἄλλην ἐσθῆτα ἢ τὸν ψόγον μόνον, καὶ τὸ ἐπιτερπὲς τῆς χροιᾶς τοὺς λίχνους ἀνιᾷ εἰς τὴν ἀόρατον ὀφθαλμίαν ἐρεθίζον, τοὺς δὲ λευκοὺς καὶ οὐ νόθους τὰ ἔνδον λευκαῖς καὶ ἀπεριέργοις ἁρμοδιώτατον ἐσθήσεσι χρῆσθαι. σαφῶς γοῦν καὶ καθαρῶς Δανιὴλ ὁ προφήτης „ἐτέθησαν" φησὶ „θρόνοι καὶ ἐκάθισεν ἐπ' αὐτῶν ὡσεὶ παλαιὸς ἡμερῶν, P. 235 καὶ τὸ ἔνδυμα αὐτοῦ ὡσεὶ χιὼν λευκόν" *). τοι- Pott. αύτη χρώμενον στολῇ τὸν κύριον ἐν ὁράματι θεωρεῖν καὶ ἡ ἀποκάλυψίς φησιν· „εἶδον τὰς ψυχὰς τῶν μεμαρτυρηκότων ὑποκάτω τοῦ θυσιαστηρίου, καὶ ἐδόθη ἑκάστῳ στολὴ λευκή" **). εἰ δὲ καὶ ἄλλο τι δέοι χρῶμα ζητεῖν, τὸ αὐτοφυὲς τῆς ἀληθείας ἀπόχρη βάμμα, αἱ δὲ τοῖς ἄνθεσιν ἐοικυῖαι ἐσθῆτες βακχικοῖς καὶ τελεστικοῖς καταλειπτέαι λήροις, πρὸς δὲ καὶ ἡ πορφύρα καὶ τὰ ἀργυρώματα, ὡς φησιν ὁ κωμικὸς,

εἰς τοὺς τραγῳδοὺς χρήσιμα κοὐκ εἰς τὸν βίον,
τὸν δὲ ἡμέτερον βίον πάντα μᾶλλον ἢ πομπὴν εἶναι χρεών. βάμμα γοῦν Σαρδηνιακὸν καὶ ἄλλο ὁμφάκινον καὶ χλωρὸν ἕτερον, ῥοδομιγὲς καὶ κοκκοβαφὲς καὶ ἄλλα μυρία διὰ σπουδῆς βάμματα ἐπινενόηται ταῖς ἐξώλεσιν ἡδυπαθείαις.

§. 109. Ὄψεως, οὐ σκέπης ἡ ἐσθὴς αὕτη. τά

*) Daniel. 7, 9. **) Apocal. 6, 9. 11.

τε χρυσῷ πεποικιλμένα καὶ τὰ ἁλουργοβαφῆ, καὶ ζώων τε προσήνεμόν γέ τι τρύφημα τούτῳ, τόν τε μυροβαφῆ ἐκεῖνον κροκωτὸν καὶ τῶν ὑμενίων τῶν περιύπτων τὰ πολυτελῆ καὶ ποικίλα ἱμάτια ἔχοντα ζώδια ἐν τῇ πορφύρᾳ αὐτῇ τέχνῃ χαίρειν ἑαυτόν· τί γὰρ φρόνιμον γυναῖκες ἐργάσαιντο

ἢ λαμπρὸν, αἳ καθήμεθα,
φησὶν ἡ κωμῳδία,

ἐξηνθισμέναι,

κροκωτοφοροῦσαι καὶ κεκαλλωπισμέναι;

παραινεῖ δὲ διαρρήδην ὁ παιδαγωγὸς, „ἐν περιβολῇ ἱματίου οὐ μὴ καυχήσῃ, μηδὲ ἐπαίρου ἐν δόξῃ πάσῃ" παρανόμῳ οὔσῃ. ἐπισκώπτων γοῦν τοὺς τοῖς μαλακοῖς ἡμφιεσμένους ἱματίοις ἐν τῷ εὐαγγελίῳ λέγει· „ἰδοὺ, οἱ ἐν ἱματισμῷ ἐνδόξῳ καὶ ἐν τρυφῇ διάγοντες ἐν τοῖς βασιλείοις εἰσὶ τοῖς ἐπιγείοις", βασιλείοις λέγει τοῖς φθαρτοῖς, ἔνθα δόξοκαλία καὶ δοξοκοπία καὶ κολακεία καὶ πλάνη· οἳ δὲ τὴν*) οὐρανιον θεραπεύοντες αὐλὴν περὶ τὸν πάντων βασιλέα τὴν ἀκήρατον τῆς ψυχῆς ἑσθῆτα, τὴν σάρκα, ἁγιάζονται, καὶ ταύτῃ ἐπενδύονται ἀφθαρσίαν. καθάπερ οὖν ἡ ἄγαμος μόνῳ σχολάζει τῷ θεῷ καὶ φροντὶς αὐτῆς οὐ περισχίζεται, γημαμένη δὲ ἡ σώφρων διαιρεῖται τὸν βίον καὶ πρὸς τὸν θεὸν καὶ πρὸς τὸν ἄνδρα**), ἡ δὲ ἄλλως φερομένη ὅλη γίνεται τοῦ γάμου, τουτέστι τοῦ πάθους· τὸν αὐτὸν οἶμαι τρόπον ἡ σώφρων γυνὴ σχολάζουσα μὲν ἀνδρὶ ἀνυποκρίτως θεοσεβεῖ, φιλοκοσμοῦσα δὲ ἀπέπτωκεν καὶ τοῦ θεοῦ καὶ τοῦ γάμου τοῦ σώφρονος τὸν κόσμον ἀντικαταλλαττομένη τἀνδρὸς κατὰ τὰ αὐτὰ τῇ Ἀργείᾳ ἑταίρᾳ, τῇ Ἐριφύλῃ λέγω,

ἣ χρυσὸν φίλου ἀνδρὸς ἐδέξατο τιμήεντα***)

§. 110. Ταύτῃ καὶ τὸν Κεῖον ἀποδέχομαι φιστὴν τὰς οἰκείας καὶ καταλλήλους ἀρετῇς καὶ

*) Luc. 7, 25. **) Cf. 1 Cor. 7, 34. ***) Odyss. λ

κίας εἰκόνας ὑπογράφοντα· τὴν μὲν γὰρ αὐταῖν ἀφελῶς ἱσταμένην ἐποίησε καὶ λευχείμονα καὶ καθάριον τὴν ἀρετὴν αἰδοῖ μόνῃ κεκοσμημένην — τοιαύτην εἶναι χρὴ τὴν πιστὴν ἐνάρετον μετ' αἰδοῦς —, θατέραν δὲ τοὐναντίον εἰσάγει τὴν κακίαν, πιριττῇ μὲν ἐσθῆτι ἠμφιεσμένην, ἀλλοτρίῳ δὲ χρώματι γεγανωμένην, καὶ ἡ κίνησις αὐτῆς καὶ ἡ σχέσις πρὸς τὸ ἐπιτερπὲς ἐπιτηδευομένη ταῖς μαχλώσαις ἔγκειται σκιαγραφία γυναιξίν. πρὸς οὐδεμίαν δὲ ὅλως ὁ ἑπόμενος τῷ λόγῳ αἰσχρὰν ἡδονὴν οἰκειώσεται, διὸ καὶ τῆς ἐσθῆτος τὸ χρειῶδες προκριτέον κἂν ὁ λόγος τοῦτο ψάλλῃ διὰ Δαβὶδ περὶ τοῦ κυρίου λέγων· „ἐβφρανάν σε θυγατέρες βασιλέων ἐν τῇ τιμῇ, παρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου ἐν ἱματισμῷ διαχρύσῳ σου καὶ κροσσωτοῖς χρυσοῖς περιβεβλημένη"*), οὐκ ἐσθῆτα τὴν τρυφητικὴν μεμήνυκεν, ἀλλὰ τὸν ἐκ πίστεως συνυφασμένον ἀκήρατον τῶν ἠλεημένων κόσμον τῆς ἐκκλησίας δεδήλωκεν, ἐν ᾗ ὁ ἄδολος Ἰησοῦς**) ὡς χρυσὸς διαπρέπει, καὶ οἱ κροσσοὶ, οἱ ἐκλεκτοὶ, οἱ P. 237 Pott. χρυσοῖ.

§. 111. Εἰ δὲ καὶ ὑφῆναι χρὴ τοῦτον διὰ τὰς γυναῖκας, ἥδεῖαν τὴν ἐσθῆτα καὶ προσηνῆ πρὸς τὴν ἁφὴν ἐξυφαντέον, οὐχὶ δὲ καθάπερ τὰς γραφὰς πρὸς τὸ τερπνὸν τῆς ὄψεως ἐξανθιστέον· ἐξίτηλος μὲν γὰρ ἡ γραφὴ τῷ χρόνῳ γίνεται, αἱ δὲ ῥύψεις καὶ αἱ στύψεις τοῖς φαρμακώδεσι τῆς βαφῆς χυμοῖς ἐκτήκουσαι τὰ ἔρια τῶν ἀμπεχονῶν τὰς ὑφάνσεις ἀσθενεῖς ἀποτελοῦσι, τὸ δὲ οὐδ' εἰς οἰκονομίαν εὔδετον. ἀπειροκαλία δὲ ἡ μεγίστη τοσοῦτον ἐπτοῆσθαι περὶ τοὺς πέπλους καὶ τὰς ξυστίδας καὶ τὰς ἐφαπτίδας χλαίνας τε καὶ χιτῶνας τά τ' αἰδῶ ἀμφικαλύπτει, Ὁμηρός φησιν***). αἰσχύνομαι γὰρ ὡς ἀληθῶς ὁρῶν τοσοῦτον ἐκχεόμενον πλοῦτον εἰς τὴν αἰδοίων σκέπην. ὃ

*) Psalm. 45, 8 sq. **) Cf. 1 Petr. 2, 22. ***) Hom. β. 262.

γάρτοι ἀρχαῖος ἄνθρωπος ὁ ἐν τῷ παραδείσῳ κλάδοις καὶ φύλλοις τὴν σκέπην τῆς αἰσχύνης παρεμέτρει, νυνὶ δὲ ἐπεὶ τὰ πρόβατα ἡμῖν δεδημιούργηται, μὴ κατὰ τὰ αὐτὰ τοῖς προβάτοις ἀφραίνωμεν, παι-
P. 88 δαγωγούμενοι δὲ τῷ λόγῳ τὸ πολυτελὲς τῆς ἐσθῆτος
Sylb. διελέγχωμεν ἐπιλέγοντες· τρίχες ἐστὲ προβάτων, κἂν Μίλητος αὐχῇ, κἂν Ἰταλία δοξάζηται, κἂν ὑπὸ διφθέραις φυλάττωνται αἱ τρίχες, περὶ ἃς μεμήνασιν οἱ πολλοί, ἀλλὰ ἡμῖν γε οὐ σπουδαστέον.

§. 112. Ὁ δὲ μακάριος Ἰωάννης καὶ τῶν προβάτων ὑπεριδὼν τὰς τρίχας ὀζούσας τρυφῆς „τὰς τῶν καμήλων" εἵλετο τρίχας καὶ ταύτας ἠμπίσχετο, τὸ εὐτελὲς καὶ ἄδολον τοῦ βίου ὑποτυπούμενος. καὶ γὰρ „μέλι ἤσθιεν καὶ ἀκρίδας" *), γλυκεῖαν καὶ πνευματικὴν τροφὴν, ἀτύφους καὶ σώφρονας τὰς ὁδοὺς τοῦ κυρίου παρασκευάζων. ἦ που γὰρ ἂν ἀλουργὴν χλανίδα περιεβάλετο ὁ τὴν ἀλαζονείαν τὴν πολιτικὴν ἐκτραπεὶς, εἰς δὲ τὴν ἔρημον τῆς ἐρημίας κατὰ γαλήνην Θεῷ πεπολιτευμένος ἐκτὸς πάσης κενοσπουδίας, ἀπειραγαθίας, μικροπρεπείας. μηλωτῇ δὲ ἐχρῆτο Ἠλίας ἐνδύματι καὶ „ζώνῃ τὴν μηλωτὴν κατέσφιγγεν ἐκ τριχῶν πεποιημένῃ" **). Ἡσαΐας δὲ ἄλλος οὗτος προφήτης „γυμνός τε καὶ ἀνυπόδετος ἦν" ***), πολλάκις δὲ καὶ σάκκον ἠμπίσχετο ταπεινοφροσύνης ἔνδυμα.

§. 113. Εἰ δὲ καὶ Ἱερεμίαν καλεῖς, „λινοῦν" οὗτος περίζωμα †) εἶχε μόνον. ὡς δὲ τὰ εὐτραφῆ τῶν σωμάτων γυμνούμενα φανερωτέραν δείκνυσι τὴν ἀκμὴν, οὕτως καὶ τῶν ἡθῶν τὸ κάλλος μὴ ἐνει-
P. 23 λούμενον ἀπειροκάλοις φλυαρίαις τὸ μεγαλοπρεπὲς
Pot ἐνδείκνυται. τὸ δὲ καὶ σύρειν τὰς ἐσθῆτας ἐπ' ἄκρους καθιέντας τοὺς πόδας κομιδῇ ἀλαζονικὸν, ἐμποδὼν τῇ ἐνεργείᾳ τοῦ περιπατεῖν γινόμενον, καλλύντρου δί-

*) Marc. 1, 6. **) 4 Reg. 1, 8. 2, 18. ***) Ies. 20, 2. †) Ierem. 13, 1.

κην ἐπισυρομένης τῆς ἐσθῆτος τὰς ἐπιπολαίους τῆς γῆς ἀχυρμιάς, οὐδὲ τῶν κατεαγότων τούτων δὴ τῶν τὴν κινωδίαν τὴν ἄφωνον ἐπὶ ταῖς σκηναῖς μετιόντων ὀρχηστῶν ἀπορρέουσαν εἰς τοσοῦτον ὕβρεως τὴν ἐσθῆτα περιορῶντες, οἷς οἱ ἐπιμελεῖς στολισμοὶ καὶ τῶν κρασπέδων αἱ ἀπαιωρήσεις καὶ τῶν σχημάτων οἱ περίεργοι ῥυθμοὶ βλακείας σμικρολόγου ἐπισυρμὸν ἐμφαίνουσιν. κἂν τὸν ποδήρη τις παραφέρῃ τὸν κυρίου, ὁ ποικιλανθὴς ἐκεῖνος χιτὼν τὰ τῆς σοφίας ἄνθη δεικνύει, τὰς ποικίλας καὶ μὴ μαραινομένας γραφάς, τὰ λόγια τὰ τοῦ κυρίου ταῖς τῆς ἀληθείας ἀπαστράπτοντα αὐγαῖς. τοιαύτην ἄλλην τὸν κύριον ἐσθῆτα διὰ τοῦ Δαβὶδ ἠμφίεσεν τὸ πνεῦμα ὧδέ πως ψάλλον· „ἐξομολόγησιν καὶ εὐπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον“ *).

§. 114. Καθάπερ οὖν περὶ τὴν κατασκευὴν τῶν ἐσθήτων καθαρευτέον πάσης ἀτοπίας, οὕτως δὲ καὶ τῆς χρήσεως τὴν ἀμετρίαν εὐλαβητέον. οὐδὲ γὰρ ὑπὲρ γόνυ καθάπερ τὰς Λακαίνας φασὶ παρθένους ἱστολίσθαι καλόν· οὐδὲν γὰρ μέρος ὅτιοῦν ἀπογυμνοῦσθαι γυναικὸς εὐπρεπές. καίτοι δυνατὸν ἀποφθέγξασθαι μάλα κοσμίως τὴν ἀστείαν ἐκείνην φωνὴν πρὸς εἰπόντα· ‚καλὸς ὁ πῆχυς‘, „ἀλλ᾽ οὐ δημόσιος“, καὶ ‚κνῆμαι καλαὶ‘, „ἀλλὰ μόνου“, φάναι, „τοῦ ἀνδρὸς, τοῦ ἀνδρὸς τοῦ ἐμοῦ“, καὶ ‚πρόσωπον εὐπρεπὲς‘, „ἀλλὰ μόνου τοῦ γεγαμηκότος“. ἐγὼ δὲ οὐδὲ τὴν αἰτίαν τῶν τοιούτων ἐπαίνων θέλω παρέχειν τὰς σώφρονας τοῖς διὰ τῶν ἐπαίνων θηρωμένοις τὰ ἐπίψογα, καὶ οὐδ᾽ ὅτι γε παραγυμνοῦν τὸ σφυρὸν κεκώλυται μόνον, ἐγκεκαλύφθαι δὲ καὶ τὴν κεφαλὴν καὶ τὸ πρόσωπον ἐπεσκιάσθαι προστέτακται. οὐ γὰρ ὅσιον εἶναι θήρατρον ἀνθρώπων τὸ κάλλος τοῦ σώματος. οὐδὲ ἀλουργῷ παρασκεπάσματι χρωμένην περίβλεπτον εἶναι γίνεσθαι τὴν γυναῖκα εὔλογον. εἴθε γὰρ καὶ

*) Psalm. 104, 1 sq.

τῆς ἐσθῆτος οἷόν τε ἦν ἐξελεῖν τὴν πορφύραν, ὡς μὴ ἐπὶ τὸ πρόσωπον τῶν χρωμένων τοὺς θεατὰς P. 239 ἐπιστρέφειν, αἱ δὲ ὀλίγον κομιδῇ τὸ λοιπὸν τῆς ἀμ- Pott. πεχόνης ὑφαίνουσαι τὸ πᾶν ἀλουργὲς εἰργάσαντο ἐκφλέγουσαι τὰς ῥαθυμίας καὶ δῆτα αὐτὰς περὶ τὰς μεμωρημένας ταύτας καὶ ἁβρὰς ἀλυούσας πορφύρας κατὰ τὸ ποιητικὸν δὴ ἐκεῖνο,

ἔλλαβε πορφύρεος θάνατος*).

§. 115. Διὰ ταύτην γοῦν τὴν πορφύραν ἡ Τύρος καὶ ἡ Σιδὼν καὶ τῆς Λακωνικῆς ἡ γείτων τῆς θαλάσσης ποθεινόταται, ἀνάγονται δὲ εὖ μάλα καὶ σὶ βαφεῖς αὐτῶν καὶ οἱ πορφυρευταὶ καὶ αὐτὰ τὰ κογχύλια· διὰ τὸ τὸ αἷμα τούτων ἐξανθεῖν τὴν πορφύραν, ἀλλὰ καὶ τοῖς λίχνοις ὑφάσμασιν ἐγκαταμιγνύουσαι οἱ δολεραὶ γυναῖκες καὶ τῶν ἀνδρῶν οἱ γυναικώδεις τὰς δολερὰς βαφὰς μαργαίνουσιν περὶ τὴν ἀμετρίαν, οὐκέτι τὰς ὀθόνας τὰς ἀπ' Αἰγύπτου, ἄλλας δέ τινας ἐκ γῆς Ἑβραίων καὶ Κιλίκων ἐκποριζόμενοι γῆς. τὰ δὲ ἀμόργινα καὶ τὰ βύσσινα σωπῶ, ὑπερεκπέπαικεν ἡ τρυφὴ καὶ τὴν ἀνομασίαν. δεῖ δὲ τὴν σκέπην, οἶμαι, αὐτὸ αὐτοῦ κρεῖττον ἀποφαίνειν τὸ σκεπόμενον, ὡς τὸ ἄγαλμα τοῦ νεὼ καὶ τὴν ψυχὴν τοῦ σώματος καὶ τῆς ἐσθῆτος τὸ σῶμα. νυνὶ δὲ πᾶν τοὐναντίον, τὸ μὲν σῶμα αὐταῖς εἰ πιπράσκοιτο, οὐκ ἄν ποτε χιλίας εὕροι Ἀττικὰς, μίαν δέ που ἐσθῆτα μυρίων ταλάντων ὠνούμεναι σφᾶς αὐτὰς ἀχρειοτέρας καὶ ἀτιμοτέρας τῶν ὑφασμάτων ἐλέγχουσιν. τί ποτ' οὖν διώκετε τὰ σπάνια καὶ πολυτελῆ πρὸ τῶν ἐν μέσῳ καὶ τῶν εὐτελῶν; ὅτι ἀγνοεῖτε τὸ ὄντως καλὸν καὶ τὸ ὄντως ἀγαθὸν, καὶ ἀντὶ τῶν ὄντων τὰ δοκοῦντα παρὰ τοῖς ἀνοήτοις σπουδάζετε, οἳ τοῖς μεμηνόσιν ἐπίσης τὰ λευκὰ ὡς μέλανα φαντάζονται.

*) Hom. Il. ε. 83.

Cap. XI.

P. 240 Pott.

Περὶ ὑποδέσεως.

§. 116. Παραπλήσιαι δὲ καὶ περὶ τὰς ὑποδέσεις
). 89 εἶσὶν αἱ ἀλαζόνες τὴν πολλὴν βλακείαν κἀνταῦθα
ylb. ἐπιδεικνύμεναι. αἰσχρὰ γοῦν ἀληθῶς τὰ σανδάλια
ἐκεῖνα, ἐφ' οἷς ἐστὶ τὰ χρυσᾶ ἄνθεμα, ἀλλὰ καὶ τοὺς
ἥλους ἑλικοειδῶς τοῖς καττύμασιν ἐγκατακρούειν
ἀξιοῦσιν, πολλαὶ δὲ καὶ ἐρωτικοὺς ἀσπασμοὺς ἐγχα-
ράττουσιν αὐτοῖς, ὡς ἂν ἐκ τῆς ἐπιβάσεως ῥυθμί-
10ζουσαι τὴν γῆν καὶ τὸ ἑταιρικὸν τοῦ φρονήματος
ἐκ τοῦ βαδίσματος ἐναποσφραγίσωνται. χαίρειν
οὖν ἐατέον τὰς ἐπιχρύσους καὶ διαλίθους τῶν σαν-
δαλίων ματαιοτεχνίας καὶ κρηπῖδας Ἀττικὰς, καὶ
τὰς Σικυωνίας καὶ τοὺς κοθόρνους Περσικάς τε καὶ
5Τυρρηνικὰς, προθεμένους δὲ καθὼς ἔθος τῇ ἀλη-
θείᾳ ἡμῶν τὸν σκοπὸν τὸν ὀρθὸν τὸ κατὰ φύσιν
ἐκλέγειν χρή. ἡ γὰρ χρῆσις τῶν ὑποδημάτων ἡ
μὲν αὐτῶν εἰς σκέπην ποδῶν, ἡ δὲ εἰς προφυλα-
κὴν τῶν προσπαισμάτων καὶ τῶν ὀρειβατικῶν τρα-
)χυτήτων τὴν πέλμα ποδὸς σώζουσαν.

§. 117. Γυναιξὶ μὲν οὖν τὸ λευκὸν ὑπόδημα
συγχωρητέον, πλὴν εἰ μὴ ὀδεύοιεν, τότε δὲ τῷ
ἀλειπτῷ χρηστέον. ἡλωμένων δὲ δέονται τῶν κατ-
τυμάτων αἱ ὀδεύουσαι. πλὴν τὰ πολλὰ ὑποδήμασι
χρηστέον αὐταῖς· οὐ γὰρ ἁρμόζει γυμνὸν ἐπιδείκνυ-
σθαι τὸν πόδα, ἄλλως τε καὶ εὐαίσθητον εἰς βλά-
βην ἡ γυνή. ἀνδρὶ δὲ εὖ μάλα ἁρμόδιον ἀνυποδη-
σία, πλὴν εἰ μὴ στρατεύοιτο. καὶ γάρ πως ἐγγὺς
τὸ ὑποδεδέσθαι τῷ δεδέσθαι. ἀσκητικώτατόν γέ τοι
γυμνοῖς. χρῆσθαι τοῖς ποσὶν καὶ πρὸς ὑγείαν καὶ εὐ-
κολίαν εὔθετον, ἔνθα μὴ ἀνάγκη τις διακωλύοι. εἰ
δὲ μὴ ὀδεύοιμεν, ἀλλὰ μηδὲ φέροιμεν τὴν ἀνυ- P. 241
ποδησίαν, βλαύταις ἢ φαικασίοις χρηστέον, κρνί- Pott.
ποδας αὐτὰς ἐκάλουν οἱ Ἀττικοὶ, διὰ τὸ πελάζειν
τοῖ δοκεῖ τῇ κόνει τῷ πόδε. τῆς λιτῆς ὑποδέσεως

ἀπόχρη μάρτυς Ἰωάννης. οὐκ ἄξιος εἶναι ὁμολογῶν τὸν ἰμάντα τῶν ὑποδημάτων λύειν τοῦ κυρίου *). οὐ γάρ τι τῶν περιέργων ὑπεδέδετο ὁ τῆς ἀληθοῦς Ἑβραίοις φιλοσοφίας ὑποδεικνύμενος τὸν τύπον. τοῦτο δὲ εἰ καὶ αἰνίττεταί τι, ἐν ἄλλοις δηλωθήσεται.

Cap. XII.

Ὅτι οὐ χρὴ περὶ τοὺς λίθους καὶ τὸν χρυσοῦν ἐπτοῆσθαι κόσμον.

§. 118. *Λίθους δὲ πελίους ἢ χλωροὺς καὶ τῆς ἀπεξενωμένης θαλάσσης τὰ ἐκβράσματα καὶ τῆς γῆς τὰ ἐκψήγματα μειρακιῶδές ἐστι τεθηπέναι. ἐπὶ γὰρ τὰ διαυγῆ τῶν λιθιδίων καὶ τὰς ἰδιαζούσας χρόας ὕελους τε ἕεσθαι ποικίλας οὐδὲν ἀλλ' ἢ ἀνοήτων ἐστὶν ἀνθρώπων ὑπὸ τῶν πληκτικὴν ἐχόντων φαντασίαν ἑλκομένων. ταύτῃ καὶ τὸ πῦρ τὰ παιδία θεασάμενα φέρεται ἐπ' αὐτὸ τῇ λαμπρύτητι ἀγόμενα, τῆς δὲ ἐπαφήσεως τὸ ἐπισφαλὲς διὰ τὴν ἄνοιαν οὐ κατανενοηκότα. τοιοῦτοι ταῖς ἠλιθίαις οἱ λίθοις γυναιξὶ περιδούμενοι τοῖς ὅρμοις καὶ τοῖς περιδεραίοις ἐγκατακλειόμενοι ἀμέθυστοι καὶ κεραυνῖται καὶ ἰάσπιδες καὶ τοπάζιον, ἥ τε Μιλησία*

σμάραγδος, ἐμπόλημα τιμιέστατον.

*ὁ δὲ πολυτίμητος μαργαρίτης ὑπερφυῶς τῇ γυναικωνίτιδι εἰσεκώμασεν, γίνεται δὲ οὗτος ἐν ὀστρείῳ τινὶ παραπλησίῳ ταῖς πίνναις, μέγεθος δὲ ἡλίκον ἰχθύος ὀφθαλμὸς εὐμεγέθης. καὶ οὐκ αἰσχύνονται αἱ κακοδαίμονες περὶ ὄστρειον ὀλίγον τοῦτο χὴν πᾶσαν σπουδὴν πεποιημέναι, ἐξὸν ἁγίῳ κοσμεῖσθαι λίθῳ, τῷ λόγῳ τοῦ Θεοῦ, ὃν „μαργαρίτην" **) γραφὴ κέκληκέν που, τὸν διαυγῆ καὶ καθαρὸν Ἰ*

*) Cf. Marc. 1, 7. Luc. 3, 16. **) Matth. 13, 4

σοῦν, τὸν ἐν σαρκὶ ἐπόπτην ὀφθαλμὸν, τὸν λόγον τὸν διαφανῆ, δι' οὗ ἡ σὰρξ τιμία ὕδατι ἀναγεννωμένη. καὶ γὰρ τὸ ὄστρειον ἐκεῖνο ἐν ὕδατι γιγνόμενον περιστέγει τὴν σάρκα· ἐκ δὲ ταύτης ὁ μαργαρίτης κυΐσκεται.

§. 119. *Λίθοις δὲ ἁγίοις τὴν ἄνω Ἱερουσαλὴμ τετειχίσθαι*) παρειλήφαμεν, καὶ τὰς δώδεκα P. 242 τῆς οὐρανοπόλεως πύλας τιμίοις ἀπεικασμένας λίθοις Rom. τὸ περίοπτον τῆς ἀποστολικῆς φωνῆς αἰνίττεσθαι θαρρούντως ἐκδεχόμεθα. ἐπὶ γὰρ τῶν λίθων τῶν πολυτελῶν αἱ χρόαι τετάχαται, τίμιαι δὲ αὗται, τὰ δ' ἄλλα ὕλη γεώδης καταλείπονται. συμβολικῶς τούτοις εἰκότως τειχίζεται τῶν ἁγίων ἡ πόλις πνευματικῶς οἰκοδομουμένη. πρὸς τὸ ἄνθος οὖν τῶν λίθων ὅτι ἀμίμητον τὸ ἄνθος τὸ πνεύματος τὸ ἀκήρατον καὶ ἅγιον τῆς οὐσίας νενοήκασιν· αἱ δὲ μὴ συνιεῖσαι τὸ συμβολικὸν τῶν γραφῶν ὅλαι περικεχήνασιν τοῖς λίθοις τὸν θαυμάσιον ἐκεῖνον ἀπολογισμὸν προφερόμεναι, ὃν καὶ ἔδειξεν ὁ Θεὸς, διὰ τί μὴ χρησόμεθα; καὶ πάρεστί μοι, διὰ τί μὴ τρυφήσω; καὶ τίσιν οὖν ταῦτα γέγονεν, εἰ μὴ ἡμῖν; τελέως δὲ ἠγνοηκότων τὸ θέλημα τοῦ Θεοῦ αἱ τοιαῦται φωναί. πρῶτον μὲν γὰρ τὰ ἀναγκαῖα καθάπερ τὸ ὕδωρ καὶ τὸν ἀέρα προφανῆ πᾶσι χορηγεῖται, τὰ δὲ ὅσα μὴ ἀναγκαῖα γῇ τε καὶ ὕδατι ἔκρυψεν.

§. 120. *Διὰ τοῦτό τοι μύρμηκες χρυσωρυχοῦσι καὶ γρῦπες χρυσοφυλακοῦσι καὶ ἡ θάλασσα τὸν μαργαρίτην ἔκρυψεν λίθον, ὑμεῖς δὲ περίεργοι εἰς ἃ μὴ δεῖ. ἰδοὺ ὅλος ἀναπέπταται οὐρανὸς καὶ οὐ ζητεῖτε τὸν Θεὸν, τὸ δὲ κεκρυμμένον χρυσίον καὶ τοὺς λίθους οἱ τὴν ἐπὶ θανάτῳ κεκριμένοι γεωρυχοῦσι παρ' ὑμῖν. ἀλλὰ καὶ τῇ γραφῇ ἀντάδετε βοώσῃ ἐκείνῃ διαρρήδην, „ζητεῖτε πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν"* **).

*) Apoc. 21, 18 sq. **) Matth. 6, 33.

εἰ δὲ καὶ πάντα ὑμῖν δεδώρηται καὶ εἰ πάντα ὑμῖν συγκεχώρηται καὶ εἰ „πάντα ὑμῖν ἔξεστι", φησὶν ὁ ἀπόστολος, „ἀλλ' οὐ πάντα συμφέρει"*). πα-
P. 90 ρήγαγεν δὲ τὸ γένος ἡμῶν ἐπὶ κοινωνίᾳ ὁ Θεὸς
Sylb. αὐτὸς τῶν ἑαυτοῦ πρότερος μεταδούς καὶ κοινὸν πᾶσιν ἀνθρώποις τὸν ἑαυτοῦ ἐπικουρήσας λόγον, πάντα ποιήσας ὑπὲρ πάντων. κοινὰ οὖν τὰ πάντα καὶ μὴ πλεονεκτούντων οἱ πλούσιοι. τὸ οὖν πά-
P. 243 ρεστί μοι καὶ πλεονάζει μοι, διὰ τί μὴ τρυφή-
Pott σω; οὐκ ἀνθρώπινον οὐδὲ κοινωνικόν, ἐκεῖνο δὲ μᾶλλον ἀγαπητικόν, πάρεστί μοι, διὰ τί μὴ μεταδῶ τοῖς δεομένοις; ὁ γὰρ τοιοῦτος ὃ τὸ „ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτὸν"**) πληρώσας. αὕτη γὰρ ἡ ἀληθὴς τρυφὴ ἡ θησαυριζομένη πολυτέλεια, ἡ δὲ εἰς τὰς ματαίους ἐπιθυμίας ἀνάλωσις ἀπωλείας, οὐ δαπάνης ἐπέχει λόγον. δέδωκε γὰρ ὁ Θεὸς οἶδ' ὅτι τῆς χρήσεως ἡμῖν τὴν ἐξουσίαν, ἀλλὰ μέχρι τοῦ ἀναγκαίου, καὶ τὴν χρῆσιν κοινὴν εἶναι βεβούλευται. ἄτοπον δὲ ἕνα τρυφᾶν πενομένων πλειόνων. πόσῳ μὲν γὰρ εὐκλεέστερον τοῦ πολυτελῶς οἰκεῖν τὸ πολλοὺς εὐεργετεῖν; πόσῳ δὲ συνετώτερον τοῦ εἰς λίθους καὶ χρυσίον τὸ εἰς ἀνθρώπους ἀναλίσκειν; πόσῳ δὲ ὠφελιμώτερον τῶν ἀψύχων κοσμίων τὸ φίλους κεκτῆσθαι κοσμίους; τίνα δὲ ἂν ἀγροὶ τοσοῦτον ὅσον τὸ χαρίζεσθαι ὠφελήσειαν;

§. 121. Λείπεται τοίνυν ἡμῖν κἀκεῖνο ἐπιλῦσαι τὸ φερόμενον, τίσιν οὖν τὰ πολυτελέστερα, ἃν αἱρῶνται πάντες τὰ εὐτελέστερα; τοῖς ἀνθρώποις, φήσαιμ' ἄν, ἐὰν χωρὶς προσπαθείας καὶ διαφορᾶς χρώμεθα αὐτοῖς. εἰ δὲ ἁμήχανον πάντας σωφρονεῖν, ἀλλὰ καὶ διὰ τὴν τῶν ἀναγκαίων χρείαν τὰ εὐπόριστα μεταδιωκτέον μακρὰ τοῖς περιττοῖς τούτοις χαίρειν φράσασιν. καθόλου μὲν οὖν τὰ κόσμια ὥσπερ κοροκόσμια ἀποσκορακιστέον ὅλον καὶ αὐτὸν παραι-

*) 1 Cor. 10, 23. **) Matth. 19, 19.

τουμέναις τὸν κόσμον. χρὴ γὰρ εἶναι κοσμίας ἔνδοθεν καὶ τὴν τῶν ἔσω γυναῖκα δεικνύναι καλήν· ἐν μόνῃ γὰρ τῇ ψυχῇ καταφαίνεσθαι καὶ τὸ κάλλος καὶ τὸ αἶσχος. διὸ καὶ μόνος ὁ σπουδαῖος καλὸς κἀγαθὸς ὄντως ἐστὶν, καὶ μόνον τὸ καλὸν ἀγαθὸν δογματίζεται, ἡ δὲ ἀρετὴ μόνη καὶ διὰ καλοῦ τοῦ σώματος καταφαίνεται καὶ ἐπανθεῖ τῇ σαρκὶ τὸ ὡραῖον τῆς σωφροσύνης ἀξιέραστον δεικνύουσα, ὅταν οἱονεὶ φέγγος ἐπιλάμπῃ τῇ μορφῇ τὸ ἦθος. τὸ γὰρ ἑκάστου καὶ φυτοῦ καὶ ζώου κάλλος ἐν τῇ ἑκάστου ἀρετῇ εἶναι συμβέβηκεν. ἀνθρώπου δὲ ἀρετὴ, δικαιοσύνη καὶ σωφροσύνη καὶ ἀνδρία καὶ εὐσέβεια. καλὸς ἄρα ἄνθρωπος ὁ δίκαιος καὶ σώφρων καὶ συλλήβδην ὁ ἀγαθὸς, οὐχ ὁ πλούσιος. ἤδη δὲ P. 244 καὶ οἱ στρατιῶται χρυσίῳ κεκοσμῆσθαι βούλονται, οὐδὲ ἐκεῖνο ἀνεγνωκότες τὸ ποιητικὸν, Pott.

ὃς καὶ χρυσὸν ἔχων πόλεμον κίεν ἠΰτε κούρη νηπίη *).

§. 122. Ἀλλὰ γὰρ τὴν μὲν φιλοκοσμίαν ἥκιστα ἀρετῆς ἐπιμελουμένην, σώματος δὲ ἀντιποιουμένην ἐκτραπέντος τοῦ φιλοκάλου περὶ τὴν κενοδοξίαν ἄρδην ἐκβλητέον. τὰ γὰρ μὴ οἰκεῖα τῷ σώματι ὡς οἰκεῖα προσάπτουσα μελέτην τοῦ ψεύδεσθαι καὶ ἔθος ἀπάτης ἐνεγέννησεν οὔτι τὸ σεμνὸν καὶ ἄπλαστον καὶ νήπιον ὡς ἀληθῶς, τὸ σοβαρὸν δὲ καὶ θρυπτικὸν καὶ ἁβροδίαιτον φαίνουσα· αἱ δὲ ἀμαυροῦσι τὸ κάλλος τὸ ἀληθινὸν ἐπισκιάζουσαι χρυσίῳ· καὶ οὐκ ἴσασι τὸ πλημμέλημα οἷόν ἐστι δεσμὰ ἑαυταῖς περιθεῖσαι πλούσια μυρία· καθάπερ καὶ

παρὰ τοῖς βαρβάροις
φασὶν δεδέσθαι τοὺς κακούργους χρυσίῳ.

τούτους ἐζηλωκέναι δοκοῦσί μοι αἱ γυναῖκες τοὺς δεσμώτας τοὺς πλουσίους· ἢ γὰρ οὐχὶ κλοιὸς τὸ χρυ-

*) Hom. Iliad. β. 872 sq.

σοῦν ἐστὶ περιδέραιον, καὶ οἱ στρεπτοὶ οἵ τε καθετῆρες καλούμενοι ἀλύσεων ἐπέχοντες τρόπον καὶ παρὰ τοῖς Ἀττικοῖς αὐτῷ τούτῳ τῷ ὀνόματι ἀλύσεις κέκληνται. πέδας δὲ περισφυρίους τὴν περὶ τοὺς πόδας ἀκοσμίαν τῶν γυναικῶν Φιλήμων ἐν συνεφήβῳ προσεῖπεν·

ἱμάτια διαφαίνοντα καὶ πέδην τινὰ χρυσῆν.

§. 123. Τί οὖν ἔτι ὁ καλλωπισμὸς ὁ ζηλωτὸς ἢ ἐθέλειν ὑμᾶς, ὦ γυναῖκες, σφᾶς αὐτὰς φαίνεσθαι πεπεδημένας; εἰ γὰρ ἡ ὕλη τὸ ὄνειδος ὑπεκλύει, τὸ πάθος ἀδιάφορον. ἔμοιγ' οὖν δοκοῦσιν ἑκουσίως περιπίπτουσαι δεσμοῖς αὐχεῖν ἐπὶ συμφοραῖς πλουσίαις. ἴσως δὲ καὶ ὁ ποιητικὸς μῦθος τοιούτους δεσμοὺς μοιχευομένῃ τῇ Ἀφροδίτῃ περιβεβλῆσθαι λέγει, οὐδὲν ἀλλ' ἢ μοιχείας σύμβολον αἰνιττόμενος τὰ κόσμια· χρυσοῦς γὰρ εἶπε κἀκείνους Ὅμηρος τοὺς δεσμούς. ἤδη δὲ τὰ φανερώτατα τοῦ πονηροῦ σύμβολα οὐκ αἰσχύνονται περικείμεναι. ὡς γὰρ τὴν Εὔαν ὁ ὄφις ἠπάτησεν, οὕτω δὲ καὶ P. 245 τὰς ἄλλας γυναῖκας ὁ κόσμος ὁ χρυσοῦς δελέατι Pott. προσχρώμενος τοῦ ὄφεως τῷ σχήματι ἐξέμηνεν εἰς ὕβρεις, σμυραίνας τινὰς καὶ ὄφεις ἀποπλαττομένας εἰς εὐπρέπειαν. λέγει γοῦν ὁ κωμικὸς Νικόστρατος,

ἀλύσεις, καθετῆρας, δακτυλίους, βουβάλι', ὄφεις, περισκελίδας, ἐλλέβορον.

§. 124. Πάνυ γοῦν ἐπιψόγως πάντα τὸν γυναικεῖον καταλεγόμενος κόσμον Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ὑποδείκνυσιν. παραθήσομαι δὲ αὐτὰς τοῦ κωμικοῦ τὰς λέξεις διελεγχούσας ἀκριβῶς τὸ φορτικὸν ὑμῶν τῆς ἀπειραγαθίας·

α. μίτρας, ἀναδήματα, λίτρον, κίσηριν, στρόφον, ὀπισθοσφενδόνην, κάλυμμα, φῦκος, περιδέραι', ὑπογράμματα, τρυφοκαλάσιριν, * * *, κεκρύφαλον,

ζῶμ', ἀμπέχονον, τρύφημα, παρυφὲς, ξυστίδα, χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον· τὰ μέγιστα δ' οὐκ εἴρηκα τούτων. β. εἶτα τί; α. διόπας, διάλιθον, πλάστρα, μαλάχιον, βότρυν, χλίδωνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας, P. 246 P. 91 σφραγῖδας, ἅλύσεις, δακτυλίους, καταπλά- Pott. Sylb. σματα, πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια, ὑποδερίδας, ἑλικτῆρας.

ἐγὼ μὲν ἔκαμον καὶ ἄχθομαι λέγων τὸ πλῆθος τῶν κοσμίων, τὰς δὲ καὶ θαυμάζειν ἔπεισί μοι, ὡς ἄρα οὐκ ἀποκναίονται τοσοῦτον ἄχθος βαστάζουσαι.

§. 125. Ὦ τῆς κενῆς πολυπραγμοσύνης, ὦ τῆς ματαίας δοξομανίας· ἐκχέουσιν ἑταιρικῶς τὸν πλοῦτον εἰς ὄνειδος, καὶ τοῦ θεοῦ τὰ δωρήματα ἀπειροκαλίᾳ παραχαράττουσι ζηλοῦσαι τοῦ πονηροῦ τὴν τέχνην. σαφῶς δὲ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ τὸν πλούσιον τὸν θησαυρίζοντα εἰς τὰς ἀποθήκας καὶ πρὸς ἑαυτὸν λέγοντα „ἔχεις ἀγαθὰ πολλὰ ἀποκείμενα εἰς ἔτη πολλά, φάγε, πίε, εὐφραίνου", ἄφρονα ἐκάλεσεν, „ταύτῃ γὰρ τῇ νυκτὶ τὴν ψυχήν σου παραλαμβάνουσιν. ἃ οὖν ἡτοίμασας, τίνος γένηται"*); Ἀπελλῆς ὁ ζωγράφος θεασάμενός τινα τῶν μαθητῶν Ἑλένην ὀνόματι πολύχρυσον γράψαντα, ὦ μειράκιον, εἶπεν, μὴ δυνάμενος γράψαι καλὴν πλουσίαν πεποιηκας. τοιαῦται τοίνυν Ἑλέναι αἱ νῦν εἰσὶ γυναῖκες, οὐ καλαὶ γνησίως, πεπλασμέναι δὲ πλουσίως.

§. 126. Ταύταις προφητεύει διὰ τοῦ Σοφονίου τὸ πνεῦμα· „καὶ τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς κυρίου"**). ταῖς δὲ ὑπὸ Χριστοῦ παιδαγωγουμέναις οὐ χρυσίῳ κοσμεῖσθαι προσήκει, ἀλλὰ τῷ λόγῳ, δι' οὗ μόνου καταφαίνεται τὸ χρυσίον.

*) Luc. 12, 19 sq. **) Sophon. 1, 18.

μακάριοι μέν τἂν ἦσαν οἱ παλαιοὶ τῶν Ἑβραίων, εἰ περιελόμενοι τὸν κόσμον τῶν γυναικῶν ἔρριψαν ἢ ἐχώνευσαν μόνον, νυνὶ δὲ εἰς βοῦν χρυσοχοήσαντες καὶ τούτῳ εἰδωλολατρήσαντες αὐτοὶ μὲν οὖν οὐκ ὤναντο οὔτε τῆς τέχνης οὔτε τῆς ἐπιβολῆς, ἐδίδαξαν δὲ ἡμῶν τὰς γυναῖκας τυπικώτατα κοσμίων ἀπεσχῆσθαι. τὸ γοῦν ἐκπορνεῦσαν τῆς ἐπιθυμίας εἰς χρύσιον εἴδωλον γίνεται βασανιζόμενον πυρὶ, ᾧ μόνῳ τηρεῖται τρυφὴ καθάπερ εἴδωλον, οὐκ ἀλήθεια. ἐντεῦθεν ὀνειδίζων ὁ λόγος διὰ τοῦ προφήτου τοὺς Ἑβραίους, „ἀργυρᾷ καὶ χρυσᾷ", φησὶν, „ἐποίησαν τῇ Βαάλ"*), κόσμια δηλονότι, καὶ ἐναργέστατα ἐπαπειλῶν „καὶ ἐκδικήσω", λέγει, „ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλείμ, ἐν αἷς ἐπέθυσαν αὐτῇ καὶ περιετίθετο τὰ ἐνώτια ἑαυτῆς καὶ τὰ καθόρμια αὐτῆς"**). καὶ τὴν αἰτίαν τοῦ κοσμήματος ἐπήγαγεν εἰπών· „καὶ ἐπορεύετο ὀπίσω τῶν ἐραστῶν αὐτῆς, ἐμοῦ δὲ ἐπελάθετο, λέγει κύριος". P. 247

§. 127. Ἀποθέμενοι τοίνυν τοὺς λήρους Pott. αὐτῷ πονηρῷ σοφιστῇ τοῦ ἑταιρικοῦ τούτου μὴ μετεχόντων καλλωπισμοῦ μηδὲ εἰδωλολατρούντων διὰ παραπετάσματος εὑρεποῦς. πάνυ γοῦν θαυμασίως ὁ Πέτρος ὁ μακάριος, „γυναῖκας", φησὶν, „ὡσαύτως μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ἃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν σφᾶς αὐτὰς κοσμούσῶν"***). καὶ γὰρ εἰκότως ἀπεῖναι αὐτῶν τὸν καλλωπισμὸν κελεύει, εἰ μὲν γὰρ καλαὶ εἶεν, ἀπόχρη ἡ φύσις, μὴ φιλονικείτω ἡ τέχνη πρὸς τὴν φύσιν, τουτέστιν ἀπάτη ἀληθείᾳ μὴ ἐριζέτω· εἰ δὲ αἰσχραὶ φύσει, ἐλέγχουσιν ἐξ ὧν προσάπτουσιν ἃ μὴ ἔχουσιν.

§. 128. Προσήκει τοίνυν λιτότητα ἀσπάζεσθαι

*) Hos. 2, 8. **) Ibid. v. 13. ***) 1 Timoth. 2, 9 sq.

τὰς Χριστῷ λατρευούσας. τῷ ὄντι γὰρ ἡ λιτότης ἁγιοσύνης προμηθεῖται ἐξισοῦσα τὰς πλεονεξίας καὶ διὰ τῶν τυχόντων τὴν ἀπὸ τῶν περιττῶν κομιζομένη χρείαν. τὸ γὰρ λιτὸν, ἢ καὶ τοὔνομα ἐμφαίνει, οὐκ ἐξέχει οὐδὲ κατᾶ τι ὀγκοῦται ἢ τυφοῦται, ὁμαλὸν δὲ ὅλον καὶ λεῖον καὶ ἴσον καὶ ἀπέριττον καὶ ταύτῃ ἱκανόν ἐστιν, ἱκανότης δὲ ἕξις ἐστὶν ἐξικνουμένη πρὸς τὸ οἰκεῖον πέρας ἀνελλιπῶς καὶ ἀπεριττως· μήτηρ δὲ αὐτῶν ἡ δικαιοσύνη, τιθηνὴ δὲ ἡ αὐτάρκεια. αὕτη γοῦν τοι ἕξις ἐστὶν ἀρκουμένη οἷς δεῖ καὶ δι' αὐτῆς πορισικὴ τῶν πρὸς τὸν μακάριον συντελούντων βίον.

§. 129. Ἔστω οὖν ἐπὶ μὲν καρποῖς τῶν χειρῶν ὑμῶν κόσμος ἅγιος, εὐμετάδοτος κοινωνία καὶ ἔργα οἰκουρίας. „ὁ γὰρ διδοὺς πτωχῷ δανείζει θεῷ"*), καὶ „χεῖρες ἀνδρείων πλουτίζουσιν"**). ἀνδρείους τοὺς καταφρονοῦντας χρημάτων καὶ περὶ τὰς μεταδόσεις εὐκόλους εἴρηκεν. ἐπὶ δὲ τῶν ποδῶν ἡ ἄοκνος πρὸς εὔποιαν ἑτοιμότης ἐπιφαινέσθω καὶ ἡ πρὸς δικαιοσύνην ὁδοιπορία. καθετῆρες δὲ καὶ περιδέραια αἰδὼς καὶ σωφροσύνη εἰσίν. τοιούτους ὅρμους χρυσοχοεῖ ὁ θεός. „μακάριος ἄνθρωπος, ὃς εὗρεν σοφίαν, καὶ θνητὸς, ὃς οἶδε φρόνησιν," διὰ Σολομῶντος τὸ πνεῦμα, „κρεῖσσον γὰρ αὐτὴν ἐμπορευθῆναι ἢ χρυσίου καὶ ἀργυρίου θησαυροὺς, τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν"***). αὕτη γὰρ ἡ ἀληθινὴ εὐκοσμία. τὰ δὲ ὦτα αὐταῖς P. 248 παρὰ φύσιν μὴ τιτράσθω εἰς ἀπάρτησιν ἑλλοβίων καὶ Pott. πλάστρων· οὔτε γὰρ θέμις βιάζεσθαι τὴν φύσιν, παρ' ὃ βεβούληται, οὔτε μὴν ἄλλος ἀμείνων ἂν εἴη τῶν ὤτων κόσμος εἰς τοὺς κατὰ φύσιν τῆς ἀκοῆς καταβαίνων πόρους κατηχήσεως ἀληθοῦς. ὀφθαλ-

*) Proverb. 19, 17. **) Ibid. 10, 4. ***) Ibid. 4, 13 — 15.

μοὶ δὲ ὑπαληλιμμένοι λόγῳ καὶ ὦτα εἰς αἴσθησιν διατετρημένα θείων ἀκουστὴν καὶ ἁγίων ἐποπτὴν παρασκευάζουσιν δεικνύντος ὡς ἀληθῶς τοῦ λόγου τὸ κάλλος τὸ ἀληθινὸν, „ὃ ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσε πρότερον"*).

Κλήμεντος παιδαγωγοῦ τῶν εἰς τρία τὸ δεύτερον.

---

*) 1 Cor. 2, 9.

ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΠΑΙΔΑΓΩΓΟΥ ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

P. 92 Sylb. **CLEMENTIS ALEXANDRINI** P. 250 Pott.

PAEDAGOGI LIBER TERTIUS.

Argumentum.

Cap. I. De vera pulcritudine (§. 1 — 3.). C. II. Non esse fuco vtendum (§. 4 — 14.). C. III. Aduersus viros, qui formam nimium colant (§. 15 — 25.). C. IV. Quorum consuetudine vtamur (§. 26 — 30.). C. V. Quomodo in balneis se gerere oporteat (§. 31 — 33.). C. VI. Solum divitem esse Christianum (§. 34 — 36.). C. VII. Pulcrum viaticum Christiano esse frugalitatem (§. 37—40.). C. VIII. Similitudines et exempla esse rectae doctrinae partem maximam (§. 41 — 45.). C. IX. Quanam de caussa sit ad balneum accedendum (§. 46 — 48.). C. X. Exercitia quoque esse eligenda iis, qui vitam agunt rationi consentaneam (§. 49 — 52.). C. XI. Compendiosa optimae vitae pertractatio (§. 53 — 83.). C. XII. Percursio eiusdem modi breuis optimae vitae; et quot loci scripturae sacrae vitam Christianorum describant (§. 84 — 100.).

Cap. I.

Περὶ τοῦ κάλλους τοῦ ἀληθινοῦ.

§. 1. *Ἦν ἄρα ὡς ἔοικε πάντων μέγιστον μαθημάτων τὸ γνῶναι αὐτόν· ἑαυτὸν γὰρ τις ἐὰν γνῷ, θεὸν εἴσεται, θεὸν δὲ εἰδὼς**) *ἐξομοιω-*

*) Cf. 1 Ioann. 3, 2.

θήσεται θεῷ, οὐ χρυσοφορῶν οὐδὲ ποδηροφορῶν, ἀλλὰ ἀγαθοεργῶν καὶ ὅτι μάλιστα ὀλιγίστων δεόμενος, ἀνενδεὴς δὲ μόνος ὁ θεὸς καὶ χαίρει μάλιστα μὲν καθαρεύοντας ἡμᾶς ὁρῶν τῷ τῆς διανοίας κόσμῳ, ἔπειτα δὲ καὶ τῷ τοῦ σώματος ἁγνὴν στολήν, σωφροσύνην, περιβεβλημένῳ. τριγενοῦς οὖν ὑπαρχούσης τῆς ψυχῆς τὸ νοερὸν, ὃ δὴ λογιστικὸν καλεῖται, ὁ ἄνθρωπός ἐστιν ὁ ἔνδον, ὁ τοῦ φαινομένου τοῦδε ἄρχων ἀνθρώπου, αὐτὸν δὲ ἐκεῖνον ἄλλος ἄγει, ὁ θεός· τὸ δὲ θυμικὸν θηριῶδες ὂν πλησίον μανίας οἰκεῖ, πολύμορφον δὲ τὸ ἐπιθυμητικὸν καὶ τρίτον ὑπὲρ τὸν Πρωτέα τὸν Θαλάττιον δαίμονα ποικίλον, ἄλλοτε ἄλλως μετασχηματιζόμενον εἰς μοιχείας καὶ λαγνείας καὶ εἰς φθορὰς ἐξαρεσκευόμενον· ἤτοι μὲν πρώτιστα λέων γένετ' ἠϋγένειος *), P. 251 Pott.
ἔτι φέρων τὸν καλλωπισμὸν ἄνδρα δέκνυσιν ἡ τοῦ γενείου κόμη· αὐτὰρ ἔπειτα δράκων ἢ πάρδαλις ἠδὲ μέγας σῦς, κατώλισθεν εἰς τὴν ἀσέλγειαν ἡ φιλοκοσμία. οὐκέτι καρτερῷ θηρίῳ ἄνθρωπος φαίνεται, γίγνετο δ' ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον. ἐκχεῖται τὰ πάθη, ἐκβλύζονται αἱ ἡδοναὶ, μαραίνεται τὸ κάλλος καὶ θᾶττον ἀποπίπτει τοῦ πετάλου χαμαὶ, ὅταν αὐτοῦ καταπνεύσωσιν αἱ ἐρωτικαὶ τῆς ὕβρεως λαίλαπες καὶ πρὶν ἢ τὸ μετόπωρον ἐλθεῖν μαραίνεται τῇ φθορᾷ· πάντα γὰρ ἡ ἐπιθυμία γίνεταί τε καὶ πλάττεται καὶ φενακίζειν βούλεται, ἵνα κατακρύψῃ τὸν ἄνθρωπον, ὁ δὲ ἄνθρωπος ἐκεῖνος, ᾧ σύνοικος ὁ λόγος, οὐ ποικίλλεται, οὐ πλάττεται, μορφὴν ἔχει τὴν τοῦ λόγου, ἐξομοιοῦται τῷ θεῷ, καλός ἐστιν, οὐ καλλωπίζεται· κάλλος ἐστὶ τὸ ἀληθινὸν, καὶ γὰρ ὁ θεὸς ἐστιν· θεὸς δὲ ἐκεῖνος ὁ ἄνθρωπος γίνεται, ὅτι βούλεται ὁ θεός.

§. 2. Ὀρθῶς ἄρα εἶπεν Ἡράκλειτος, ἄνθρω-

*) Hom. Od. δ. 457 sqq.

ποι θεοὶ, θεοὶ ἄνθρωποι· λόγος γὰρ οὗτος μυστήριον ἐμφανές. θεὸς ἐν ἀνθρώπῳ καὶ ὁ ἄνθρωπος θεὸς καὶ τὸ θέλημα τοῦ πατρὸς ὁ μεσίτης ἐκτελεῖ· μεσίτης γὰρ ὁ λόγος ὁ κοινὸς ἀμφοῖν, θεοῦ μὲν υἱὸς, σωτὴρ δὲ ἀνθρώπων, καὶ τοῦ μὲν διάκονος, ἡμῶν δὲ παιδαγωγός. δούλης δὲ οὔσης τῆς σαρκὸς, καθὼς καὶ ὁ Παῦλος μαρτυρεῖ, πῶς ἄν τις εἰκότως τὴν θεράπαιναν κοσμοίη προαγωγοῦ δίκην; ὅτι γὰρ δούλου μορφὴ τὸ σαρκικὸν, ἐπὶ τοῦ κυρίου φησὶν ὁ ἀπόστολος, „ὅτι ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβών"*), τὸν ἐκτὸς ἄνθρωπον, δοῦλον προσειπὼν πρὶν ἢ δουλεῦσαι καὶ σαρκοφορῆσαι τὸν κύριον. ὁ δὲ συμπαθὴς θεὸς αὐτὸς ἠλευθέρωσεν τὴν σάρκα τῆς φθορᾶς καὶ δουλείας τῆς θανατηφόρου καὶ δικαίως ἀπαλλάξας τὴν ἀφθαρσίαν περιέθηκεν αὐτῇ, ἅγιον τοῦτο τῇ σαρκὶ καὶ ἀϊδιότητος καλλώπισμα περιθεὶς, τὴν ἀθανασίαν.

§. 3. Ἔστι δὲ καὶ ἄλλο κάλλος ἀνθρώπων ἀγάπη· „ἀγάπη δὲ" κατὰ τὸν ἀπόστολον „μακροθυμεῖ, χρηστεύεται, οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται"**). περπερεία γὰρ ὁ καλλωπισμὸς περιττότητος καὶ ἀχρειότητος ἔχων ἔμφασιν. διὸ καὶ ἐπιφέρει· „οὐκ ἀσχημονεῖ", ἄσχημον γὰρ τὸ ἀλλό- P. 252
τριον καὶ μὴ κατὰ φύσιν σχῆμα, τὸ δ' ἐπίπλα- Rom.
στον ἀλλότριον, ὅπερ ἐξηγεῖται σαφῶς „οὐ ζητεῖ" φήσας „τὸ μὴ ἑαυτῆς", τὸ γὰρ ἴδιον ἡ ἀλήθεια τὸ οἰκεῖον κυλεῖ, τὸ δ' ἀλλότριον ἡ φιλοκοσμία ζητεῖ ἐκτὸς οὖσα καὶ τοῦ θεοῦ καὶ τοῦ λόγου καὶ τῆς ἀγάπης. τὸν δὲ κύριον αὐτὸν τὴν ὄψιν αἰσχρὸν γενέναι διὰ Ἡσαΐου τὸ πνεῦμα μαρτυρεῖ· „καὶ εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς ἀνθρώπους"***). καὶ τίς ἀμείνων ἦν κυρίου; ἀλλ' οὐ τὸ κάλλος τῆς σαρκὸς τὸ φανταστικὸν, τὸ δὲ ἀληθινὸν

*) Philipp. 2, 7. **) 1 Cor. 13, 4 sq. ***) Jes. 53, 2 sq.

καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἐνεδείξατο κάλλος, τῆς μὲν τὸ εὐεργετικὸν, τὸ δὲ ἀθάνατον τῆς σαρκός.

Cap. II.

Ὅτι οὐ χρὴ καλλωπίζεσθαι.

§. 4. Οὐκ ἄρα ἡ πρόσοψις τοῦ ἐκτὸς ἀνθρώπου, ἀλλὰ ἡ ψυχὴ καλλωπιστέα τῷ τῆς καλοκἀγαθίας κοσμήματι. εἴη δ' ἂν καὶ τὴν σάρκα εἰπεῖν τῷ τῆς ἐγκρατείας κόσμῳ. αἱ δὲ τὴν ἐπιφάνειαν καλλωπιζόμεναι καὶ τὰ βάθη χερσούμεναι λελήθασι σφᾶς αὐτὰς κατὰ τοὺς Αἰγυπτίων κόσμους, οἷς ναοὶ καὶ προπύλαια παρ' αὐτοῖς καὶ προτεμενίσματα ἐξήσκηται ἄλση τε καὶ ὀργάδες κἰσοί τε παμπόλλοις ἐστεφάνωνται αἱ αὐλαὶ, τοῖχοι δὲ ἀποστίλβουσι ξενικοῖς λίθοις καὶ γραφῆς ἐντέχνου οἷς ἐνδεῖ οὐδὲ ἓν, χρυσῷ δὲ καὶ ἀργύρῳ καὶ ἠλέκτρῳ παραστίλβουσιν οἱ ναοὶ, καὶ τοῖς ἀπὸ Ἰνδίας καὶ Αἰθιοπίας πεποικιλμένοις μαρμαίρουσι λιθιδίοις, τὰ δὲ ἄδυτα χρυσοπάστοις ἐπισκιάζεται πέπλοις, ἀλλ' ἢν παρεισέλθῃς τὸ βάθος τοῦ περιβόλου καὶ σπεύδων ἐπὶ τὴν θέαν τοῦ κρείττονος ζητήσῃς τὸ ἄγαλμα τὸ ἔνοικον τοῦ P. 2 νεὼ, παστοφόρος δὲ ἤ τις ἄλλος τῶν ἱεροποιούντων P περὶ τὸ τέμενος σεμνὸν δεδορκὼς, παῖπαλα τῇ Αἰγυπτίων ᾄδων γλώσσῃ, ὀλίγον ἐπαναστείλας τοῦ καταπετάσματος, ὡς δείξων τὸν θεὸν, πλατὺν ἡμῖν ἐνδίδωσι γέλωτα τοῦ σεβάσματος. οὐ γὰρ θεὸς ὃ ζητούμενος ἔνδον εὑρεθήσεται, ἐφ' ᾧ ἐσπεύσαμεν, αἴλουρος δὲ ἢ κροκόδειλος ἢ αὐτόχθων ὄφις ἢ τε τοιοῦτον θηρίον, ἀνάξιον μὲν τοῦ νεὼ, χηραμοῦ δὲ φωλεοῦ ἢ βορβόρου ἀντάξιον· ὁ θεὸς Αἰγυπτίων ἐπ στρωμνῆς ἁλουργῆς καταφαίνεται κυλιόμενον θηρίον

§. 5. Ταύτῃ μοι δοκοῦσιν αἱ χρυσοφοροῦσα γυναῖκες τῶν πλοκάμων τοὺς ἐνουλισμοὺς ἀσκοῦσαι

χρίσματά τε παρειῶν καὶ ὑπογραφὰς ὀφθαλμῶν καὶ βαφὰς μετιοῦσαι τριχῶν καὶ τὴν ἄλλην βλακείαν κακομηχανώμεναι, κοσμοῦσαι τὸν περίβολον τὸν σαρκικὸν, αἰγυπτιάζουσαι ὡς ἀληθῶς ἐπισπᾶσθαι τοὺς δεισιδαίμονας ἐραστάς. ἀλλ' ἢν ἀποκαλύψῃ τις τὸ καταπέτασμα τοῦ νεὼ, τὸ κεκρύφαλον λέγω, τὴν βαφὴν, τὴν ἐσθῆτα, τὸ χρυσίον, τὸ φῦκος, τὰ ἐντρίμματα, τουτέστι τὸ ἐκ τούτων συγκείμενον ὕφος, τὸ καταπέτασμα, ὡς ἔνδον εὑρήσων τὸ κάλλος τὸ ἀληθινὸν, μυσάξεται, εὖ οἶδ' ἐγώ. οὐ γὰρ τὴν εἰκόνα τοῦ θεοῦ κατοικοῦσαν ἔνδον εὑρήσει τὴν ἀξιόλογον, πόρνη δὲ ἀντ' αὐτῆς καὶ μοιχαλὶς τῆς ψυχῆς κατείληφε τὸ ἄδυτον τό τε ἀληθινὸν θηρίον ἐλεγχθήσεται ψιμυθίῳ πίθηκος ἐντετριμμένος καὶ ὁ παλίμβολος ὄφις ἐκεῖνος διαβιβρώσκων τὸ νοερὸν τῆς ἀνθρώπου διὰ τῆς φιλοδοξίας χηραμὸν ἔχειν τὴν ψυχὴν· πάντα φαρμάκων ὀληθρίων ἐμπλήσας καὶ τὸν ἑαυτοῦ τῆς πλάνης ἐνερευξάμενος ἰὸν μετεσκεύασε τὰς γυναῖκας εἰς πόρνας ὁ προαγωγὸς οὗτος δράκων· οὐ γὰρ γυναικὸς, ἀλλ' ἑταίρας τὸ φιλόκοσμον, αἳ τῆς παρὰ μὲν [τοῖς] ἀνδράσιν οἰκουρίας ὀλίγον φροντίζουσιν, λύσασαι δὲ τὰνδρὸς τὸ βαλάντιον ἐκτρέπουσι τὰς χορηγίας εἰς ἐπιθυμίας, ὡς πολλοὺς ἔχοιεν τοῦ καλαὶ δοκεῖν εἶναι μάρτυρας, καὶ τὴν πᾶσαν ἡμέραν κομμωτικῇ προσκαθεζόμεναι ἀργυρώνητοις σχολάζουσιν ἀνδραπόδοις.

§. 6. Καθάπερ οὖν ὄψον πονηρὸν ἡδύνουσι τὴν σάρκα καὶ τὴν μὲν ἡμέραν κομμωτικῇ προστετήκασι θαλαμευόμεναι, μὴ ἐλεγχθῶσιν ἀνθιζόμεναι, ἑσπέρας δὲ καθάπερ ἐκ φωλεοῦ πρὸς τὸν λύχνον τὸ νόθον τοῦτο προσέρπει κάλλος· συνεργεῖ γὰρ καὶ P. 254 ἡ μέθη καὶ τὸ ἀμυδρὸν τοῦ φωτὸς πρὸς τὴν ἐπί- Pott. θεσιν αὐτῶν. καὶ τὴν μὲν ξανθίζουσαν τοὺς πλοκάμους ὁ κωμικὸς Μένανδρος εἴργει τῆς οἰκίας·

νῦν δ' ἔρπ' ἀπ' οἴκων τῶνδε· τὴν γυναῖκα γὰρ
τὴν σώφρον' οὐ δεῖ τὰς τρίχας ξανθὰς ποιεῖν,

ἀλλ᾽ οὐδὲ τὰς παρειὰς φοκοῦν οὐδὲ τοὺς ὀφθαλμοὺς ἐπογράφεσθαι. λελήθασι δὲ σφᾶς αἱ κακοδαίμονες τὸ οἰκεῖον ἀπυλλύουσαι κάλλος τοῦ ὀθνείου τῇ ἐπεισαγωγῇ, ἅμα γοῦν ἡμέρᾳ σπαρασσόμεναι καὶ ὑποτεινόμεναι καὶ φυράμασί τισι καταπλαττόμεναι ψύχουσι μὲν τὸν χρῶτα, ὀρύττουσι δὲ τὴν σάρκα τοῖς φαρμάκοις καὶ τῇ περιεργίᾳ τῶν ῥυμμάτων τὸ οἰκεῖον μαραίνουσαι ἄνθος. διὰ τοῦτό τοι ὠχραὶ μὲν ἐκ καταπλασμάτων καταφαίνονται, ἐβάλωτοι δὲ ὑπὸ νόσων γίνονται τακερὰν ἤδη τὴν σάρκα φαρμάκοις τὴν ἐσκιαγραφημένην ἔχουσαι, τῶν ἀνθρώπων τὸν δημιουργὸν ἀτιμάζουσαι, ὡς οὐ κατ᾽ ἀξίαν δεδωρημένον τὸ κάλλος· εἰκότως ἀργαὶ πρὸς οἰκουρίας γίνονται, καθάπερ ἐζωγραφημέναι, καθεζόμεναι εἰς θέαν, οὐκ εἰς οἰκουρίαν γεγενημέναι.

§. 7. Διὰ τοῦτό τοι καὶ ἡ παρὰ τῷ κωμικῷ ἐπιλογιστικὴ γυνὴ λέγει·

τί δ᾽ ἂν γυναῖκες φρόνιμον ἐργασαίμεθα
ἢ λαμπρόν, αἳ καθήμεθ᾽ ἐξηνθισμέναι,
τῶν ἐλευθέρων γυναικῶν λυμαινόμεναι τὸν χαρακτῆρα, οἴκων ἀνατροπὰς καὶ γάμων ἐκτροπὰς καὶ παίδων διαβολὰς περιποιούμεναι. τοῦτο αὐτὸ γάρτοι καὶ Ἀντιφάνης ὁ κωμικὸς ἐν μαθήκῃ τὸ ἑταιρικὸν τῶν γυναικῶν ἐπισκώπτει τὰ κοινὰ πάσαις ῥήματα εἰς τὴν κατατριβὴν ἐξηυρημένα λέγων·

P. 25 Po

ἔρχεται,
μετέρχετ᾽ αὖ, προσέρχετ᾽ αὖ, μετέρχεται,
ἥκει, πάρεστι, ῥύπτεται, προσέρχεται,
σμῆται, κτενίζει᾽, ἐκβέβηκε, τρίβεται,
λοῦται, σκοπεῖται, στέλλεται, μυρίζεται;
κοσμεῖτ᾽, ἀλείφετ᾽· ἂν δ᾽ ἔχῃ τι; ἀπάγχεται.

τρὶς γὰρ, οὐχ ὅπαξ ἀπολωλέναι δίκαιαι κροκοδείλων ἀποπάτοις χρώμεναι καὶ σηπεδόνων ἀφροῖς ἐγχριόμεναι, καὶ ταῖς ὀφρύσι τὴν ἀσβόλην ἀναματτόμεναι καὶ ψιμυθίῳ τὰς παρειὰς ἐντριβόμεναι.

§. 8. *Αἱ τοίνυν καὶ τοῖς ἐθνικοῖς πρόσκορεῖς ποιηταῖς διὰ τὸν τρόπον πῶς οὐκ ἂν ἀπόβλητοι τῇ ἀληθείᾳ γένοιντο; ἕτερος γοῦν κωμικὸς ἐλέγχων αὐτὰς, Ἄλεξις· καὶ γὰρ καὶ τούτου παραθήσομαι τὴν λέξιν δυσωποῦσαν τῷ περιέργῳ τῆς ἑρμηνείας τὸ ἀδιάτρεπτον τῆς ἀναισχυντίας· οὐ γὰρ εἰς τοσοῦτον περίεργος ἦν. ἐγὼ δὲ αἰσχύνομαι κωμῳδουμένης εἰς τοσοῦτον τῆς γυναικωνίτιδος εἰ βοηθὸς γενοίμην· εἶτα μέντοι προσαπολλύει καὶ τὸν ἄνδρα·*

πρῶτα μὲν γὰρ εἰς τὸ κέρδος καὶ τὸ συλᾶν τοὺς P. 256 Pott.
πέλας

πάντα τἄλλ' αὐταῖς πάρεργα γίγνεται * * * *
τυγχάνει μικρά τις οὖσα· φελλὸς ἐν ταῖς βαυκίσιν P. 94
ἐγκεκάττυται. μικρά τις· διάβαθρον λεπτὸν φορεῖ, Bylb.
τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ' ἐξέρχεται· τοῦτο τοῦ μήκους ἀφεῖλεν. οὐκ ἔχει τις ἰσχία· ὑπενέδυσ' ἐρραμμέν' αὐτὴν, ὥστε τὴν εὐπυγίαν ἀναβοᾶν τοὺς εἰσιόντας. κοιλίαν ἄδρὰν ἔχει· τιτθί' ἔστ' αὐταῖσι τούτων ὧν ἔχουσ' οἱ κωμικοί, ὀρθὰ προσθεῖσαι τοιαῦτα τοὔνδυτον τῆς κοιλίας ὥσπερεὶ κοντοῖσι τούτοις εἰς τὸ πρόσθ' ἀπήγαγον. τὰς ὀφρῦς πυρρὰς ἔχει τις· ζωγραφοῦσιν ἀσβόλῳ. συμβέβηκ' εἶναι μέλαιναν· κατέπλασε ψιμυθίῳ· λευκόχρως λίαν τις ἐστί· παιδέρωτ' ἐντρίβεται. καλὸν ἔχει τοῦ σώματός τι· τοῦτο γυμνὸν δείκνυται. εὐφυεῖς ὀδόντας ἔσχεν· ἐξ ἀνάγκης δεῖ γελᾶν, ἵνα θεωρῶσ' οἱ παρόντες τὸ στόμ' ὡς κομψὸν φορεῖ. ἂν δὲ μὴ χαίρῃ γελῶσα, διατελεῖ τὴν ἡμέραν [ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ' ἑκάστοτε, ἡνίκ' ἂν πωλῶσιν αἰγῶν κρανία,] ξυλήφιον μυρρίνης ἔχουσα λεπτὸν [ὀρθὸν] ἐν τοῖς χείλεσιν, ὥστε τῷ χρόνῳ σέσηρεν, ἂν τε βούλητ' ἂν τε μή.

§. 9. *Ταῦτα ὑμῖν εἰς τὴν ἀποτροπὴν τῆς φιλοκόσμου κακομηχανίας ἐκ σοφίας κοσμικῆς πα-* P. 257
ρατίθεμαι παμμάχως σώζειν ἐθελήσαντος ἡμᾶς τοῦ Pott.
λόγου, μετὰ μικρὸν δὲ καὶ ταῖς θείαις ἐπιστύφω γρα-

φαῖς. φιλεῖ δέ πως τὸ μὴ λανθάνον δι' αἰσχύνην τῶν ἐλέγχων ἀφίστασθαι τῶν ἁμαρτημάτων. ὡς δὲ ἡ καταπεπλασμένη χεὶρ καὶ ὁ περιαληλιμμένος ὀφθαλμὸς ὑπόνοιαν τοῦ νοσοῦντος ἐκ τῆς ὄψεως ἐνδείκνυται, οὕτως τὰ ἐντρίμματα καὶ αἱ βαφαὶ νοσοῦσαν ἐν βάθει τὴν ψυχὴν αἰνίττονται. ἡμῖν δὲ „παριέναι ποταμὸν ἀλλότριον" ὁ θεῖος παραινεῖ παιδαγωγὸς, τὴν ἀλλοτρίαν γυναῖκα, τὴν μάχλον, ποταμὸν ἀλλότριον ἀλληγορῶν, πᾶσιν ἐπιρρέουσαν, πᾶσιν δι' ἀσέλγειαν πορνικὴν εἰς τρυφὴν ἐκχεομένην· „ἀπὸ ὕδατος ἀλλοτρίου ἀπέχου", φησὶν, „καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς"*), τὸ ῥεῦμα τῆς ἡδυπαθείας φυλάξασθαι παραινῶν, ἵνα πολὺν ζήσωμεν χρόνον, προστεθῇ δὲ ἡμῖν ἔτη ζωῆς εἴτε ἀλλοτρίαν ἡδονὴν μὴ θηρωμένοις εἴτε καὶ τὰς αἱρέσεις ἐκτρεπομένοις.

§. 10. Φιλοψία μὲν οὖν καὶ φιλοινία εἰ καὶ πάθη μεγάλα, ἀλλ' οὐ τοσαῦτα τὸ μέγεθος, ὅπόση ἡ φιλοκοσμία. τράπεζα πλήρης καὶ κύλικες ἐπάλληλοι ἱκαναὶ πληρῶσαι τὴν λαιμαργίαν, τοῖς δὲ φιλοχρύσοις καὶ φιλοπορφύροις καὶ φιλολίθοις οὔτε ὃ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸς αὐτάρκης οὔτε ἡ Τυρίων θάλασσα οὔτε μὴν ὁ φόρτος ὁ ἀπ' Ἰνδῶν καὶ Αἰθιόπων, ἀλλ' οὐδὲ ὁ Πακτωλὸς ὁ ῥέων τὸν πλοῦτον, οὐδ' ἂν Μίδας τις αὐτῶν γένηται, πεπλήρωται, ἀλλὰ ἔτι πένης ἐστὶ πλοῦτον ἄλλον ποθῶν, ἕτοιμοι δὲ οὗτοι συναποθανεῖν χρυσίῳ. εἰ δὲ καὶ ὁ Πλοῦτος τυφλὸς ὥσπερ οὖν αἱ περὶ αὐτὸν ἐπτοημέναι καὶ συμπαθοῦσαι πῶς οὐ τυφλώττουσιν; ὅρον γοῦν ἐπιθυμίας οὐκ ἔχουσαι εἰς ἀναισχυντίαν ἐξοκέλλουσιν· δεῖ γὰρ αὐταῖς καὶ θεάτρου καὶ πομπῆς καὶ πλήθους θεατῶν καὶ πλάνης ἐν ἱεροῖς καὶ τῆς ἐν ταῖς ἀμφόδοις διατριβῆς, ὡς πᾶσιν αὐτὰς γίνεσθαι καταφανεῖς. κοσμοῦνται γὰρ ἵνα ἄλλοις ἀρέσκοιεν αἱ ἐν προσώπῳ καυχώμε-

*) Proverb. 9, 18.

ται, οὐκ ἐν καρδίᾳ· ὡς γὰρ τὸν δραπέτην τὰ στίγματα, οὕτω τὴν μοιχαλίδα δείκνυσι τὰ ἀνθίσματα. „κἂν περιβάλῃ κόκκινον καὶ κοσμήσῃ κόσμῳ χρυσῷ, καὶ ἐὰν χρίσῃ στίμμι τοὺς ὀφθαλμούς σου, εἰς μάτην ὁ ὡραϊσμός σου" *), ὁ λόγος διὰ Ἱερεμίου φησίν. P. 258 Pott.

§. 11. Εἶτα οὐκ ἄτοπον ἵππους μὲν καὶ ὄρνεις καὶ τὰ ἄλλα ζῶα ἐκ τῆς χλόης καὶ τῶν λειμώνων ἀνίστασθαι καὶ ἀνίπτασθαι οἰκείῳ κόσμῳ χαίροντα, χαίτῃ ἱππικῇ καὶ χροιᾷ φυσικῇ καὶ πτερώσει ποικίλῃ· ὡς δὲ ἐνδεέστερον καὶ τῆς θηρίου φύσεως ἡ γυνὴ ἀκαλλὴς εἰς τοσοῦτον εἶναι οἴεται, ὡς ὀθνείου δεῖσθαι κάλλους, ὠνητοῦ καὶ σκιαγραφουμένου; κεκρύφαλοι μέν γε καὶ κεκρυφάλων διαφοραὶ καὶ περίεργοι πλοκαί, ἀλλὰ καὶ τῶν τριχῶν οἱ μυρίοι σχηματισμοὶ κατόπτρων τε πολυτίμητοι κατασκευαί, οἷς κατασχηματίζονται θηρῶσαι τοὺς δίκην παίδων ἀφρόνων περὶ τὰς μορφὰς ἐπτοημένους, τέλειον ἀπηρυθριακυιῶν ἐστὶ γυναικῶν, ἃς ἑταίρας καλῶν οὐκ ἄν τις ἁφαμάρτοι προσωπεῖα ποιούσας τὰ πρόσωπα. ἡμῖν δὲ ὁ λόγος παραινεῖ „μὴ σκοπεῖν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια" **). ὃ δὲ καὶ πέρα τῆς ἀτοπίας προβέβηκεν, τῆς ἐπιπλάστου μορφῆς τῆς ἑαυτῶν οἷον ἀνδραγαθήματός τινος ἢ ἐπανορθώματος κάτοπτρα ἐπινενοήκασιν, ἐφ' ᾗς ἀπάτης μάλιστα κάλυμμα ἐπιτιθέναι ἐχρῆν, οὐδὲ γὰρ, ὡς ὁ μῦθος Ἑλλήνων ἔχει, Ναρκίσσῳ προεχώρησεν τῷ καλῷ τῆς ἑαυτοῦ εἰκόνος γενέσθαι θεατήν.

§. 12. Εἰ δὲ οὐδεμίαν εἰκόνα ὁ Μωϋσῆς παραγγέλλει ποιεῖσθαι τοῖς ἀνθρώποις ἀντίτεχνον τῷ θεῷ, πῶς ἂν εὔλογος ποιοῖεν αἱ γυναῖκες αὗται σφῶν κατὰ ἀνάκλασιν ἀπομιμούμεναι τὰς εἰκόνας εἰς τοῦ προσώπου τὴν ψευδοποιίαν; ἀλλὰ καὶ τῷ Σαμουὴλ τῷ προφήτῃ, ὁπότε πέμπεται ἕνα χρίσαι τῶν υἱῶν Ἰεσσαὶ εἰς βασιλέα καὶ τὸν πρεσβύτατον τῶν παίδων

*) Ierem. 4, 30. **) 2 Cor. 4, 18.

ραῖς.
ῶν ἐλεγχι
ῆ κατ
κὸς ἰ
σονται
σαν ἐπ
ρέναι
δαγωγ
ταμὸν
σιν δι
ἀπὸ
πηγῆς
θείας
νον, π
νὴν μι
μένοις.

§.

πάθη
ἢ φιλο
λοι ἔκα
σοις καὶ
καὶ ὑπὸ
οὔτε μὴν
ὁ Παντ
κὐτῶν
τλοῦτον
σεῖν χρυ
νὸν αἰ π
ὐ τυφλα
ἰς ἀναισ
θεάτρου
ῆς ἐν
ὡς π
ἀρ

ποτε τὸ χρίσμα προσ-
αὐτῷ, „εἶπεν", φη-
ἐπιλείψῃς εἰς τὴν ὄψιν
τοῦ ἐσχάτους αὐτοῦ, ὅτι ἀπω-
εἰς ὀφθαλμοὺς ὄψε-
, καὶ οὐκ ἔχρισε τὸν
τὴν ψυχήν. εἰ P. 259
κάλλος ἔλαττον Pom.
περὶ τοῦ νόθου φρο-
; „διὰ πίστεως
ες"**). σαφέστατα
ἐδάσκει καὶ πατρὶ
καὶ πλούτου παι-
τῷ θεῷ, ποιήσας αὐ-
καὶ „φίλον"†) αὐτὸν
πάντα περιουσίας εὐ-
σφόδρα. τριακοσίοις
οἰκέτας ἰδίοις κεχείρωται
τοὺς αἰχμαλωτεύσαντας τὸν
τὴν Ἐσθὴρ $\frac{1}{111}$) δικαίως
ὑποπίπτει ὑποπτικῆς ἡ γυνὴ βασι-
τὸ κάλλος αὐτῆς ἐκεῖνο λίτρον
ἀπῆ.
ἀπαντας μὲν ταῖς γυναῖκας
τοὺς δὲ τοὺς ἄνδρας καὶ μον-
τοπικὸς ὅτι τὸ μέρος ὧδέ πως
ὁ τῶν θεῶν
Ἀρχιερεὺς ἔχει,
μὲν εἱματίων στολῇ
ποικίλῳ χλιδήματι,
ἐπωμίδος
ἐκθήμενον λαβίων

*) Genes. 12,
**) Esth.

ὦ κάλλους μοιχικοῦ· ἀνέτρεψε τὴν Ἑλλάδα ἡ βάρβαρος φιλοκοσμία καὶ ἡ ἀνδρόγυνος τρυφή· σωφροσύνην διέφθειρε Λακωνικὴν ἐσθὴς καὶ χλιδὴ καὶ κάλλος ὡραῖον· αἱ βάρβαροι φιλοκοσμίαι ἑταίραν ἤλεγξαν τὴν Διὸς θυγατέρα. οὐκ ἦν παιδαγωγὸς αὐτοῖς ἀνακόπτων τὰς ἐπιθυμίας, οὐδὲ μὲν ὁ λέγων, „μὴ μοιχεύσῃς", οὐδὲ „μὴ ἐπιθυμήσῃς" *) λέγων, μηδὲ εἰς μοιχείαν ὁδεύσῃς διὰ ἐπιθυμίας, ἀλλὰ μηδὲ τὰς ὁρέξεις ἐκκαύσῃς διὰ φιλοκοσμίας. οἷον αὐτοῖς τὸ ἐπὶ τούτοις ἐξηκολούθησε τέλος καὶ ὅσων ἀπέλαυσαν κακῶν οἱ φιλαυτίαν κωλῦσαι μὴ θελήσαντες ἤπειροι κεκίνηνται βύρ ἀπαιδεύτοις ἡδοναῖς καὶ κλονεῖται τὰ πάντα μειρακίῳ βαρβάρῳ· Ἑλλὰς ὅλη ναυτίλλεται, στενοχωρεῖται δὲ ἡ θάλασσα ἠπείρους φέρουσα· πόλεμος ἐκριπίζεται μακρὸς καὶ μάχαι καταρρήγνυνται καρτεραὶ καὶ νεκρῶν ἐμπίπλαται τὰ πεδία· ἐνυβρίζει τῷ ναυστάθμῳ ὁ βάρβαρος· ἀδικία κρατεῖ καὶ P. 260 τοῦ ποιητοῦ Διὸς ἐκείνου τὸ ὄμμα τοὺς Θρᾷκας Pott. βλέπει· εὐγενὲς αἷμα βάρβαρα πίνει πεδία καὶ ποταμῶν ῥεύματα σώμασιν ἵσταται νεκροῖς· στήθη κραύεται θρήνοις καὶ τὸ πένθος ἐπινέμεται τὴν γῆν, πάντες δὲ σείονται

πόδες πολυπιδάκου Ἴδης
καὶ κορυφαὶ Τρώων τε πόλεις καὶ νῆες Ἀχαιῶν **).

§. 14. Πῇ φύγωμεν, Ὅμηρε, καὶ στῶμεν; δεῖξον ἡμῖν γῆν μὴ κεκινημένην. μὴ θλίγης ἡνίων, παιδίον, ἄπειρος ὤν, μηδὲ ἀναβῇς τὸν δίφρον ἐλαύνειν μὴ μαθών. δυσὶν ἡνιόχοις οὐρμὸς ἥδεται, οἷς μόνοις ἐλαυνόμενον ἄγεται τὸ πῦρ· μετάγεται γὰρ ἡ διάνοια ὑπὸ ἡδονῆς, καὶ τὸ ἀκήρατον τοῦ λογισμοῦ μὴ παιδαγωγούμενον τῷ λόγῳ εἰς ἀσέλγειαν κατολι-

ιαθὼν τοῦ παριπτώματος τὸ ἀπόπτωμα
γμά σοι τούτων οἱ ἄγγελοι τοῦ θεοῦ
ιλελοιπότες διὰ κάλλος μαραινόμενον

, 13. 17. **) Hom. Il, v. 59 sq.

αὐτοῦ καλὸν καὶ μέγαν ἰδόντι, ὁπότε τὸ χρίσμα προσέβαλεν ὁ Σαμουὴλ, ἡσθεὶς ἐπ᾽ αὐτῷ, „εἶπεν", φησὶν, „ὁ κύριος αὐτῷ· μὴ ἐπιβλέψῃς εἰς τὴν ὄψιν αὐτοῦ καὶ τὸ ὕψος τοῦ μεγέθους αὐτοῦ, ὅτι ἀπώσμαι αὐτόν. ἄνθρωπος μὲν γὰρ εἰς ὀφθαλμοὺς ὄψεται καὶ κύριος εἰς καρδίαν"*), καὶ οὐκ ἔχρισε τὸν P. 95 καλὸν τὸ σῶμα, ἀλλὰ τὸν καλὸν τὴν ψυχήν. εἰ P. 259 Sylb. οὖν τὸ φυσικὸν τοῦ σώματος κάλλος ἔλαττον Pott. τοῦ ψυχικοῦ λογίζεται κύριος, τί περὶ τοῦ νόθου φρονεῖ ἅπαν τὸ ψεῦσμα ἄρδην ἐκβαλών; „διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους"**). σαφέστατα γοῦν ὁ κύριος διὰ τοῦ Ἀβραὰμ διδάσκει καὶ πατρίδος***) καὶ συγγενῶν καὶ κτήσεως καὶ πλούτου παντὸς καταφρονεῖν τὸν ἑπόμενον τῷ θεῷ, ποιήσας αὐτὸν ἐπήλυν, καὶ διὰ τοῦτο καὶ „φίλον"†) αὐτὸν ὠνόμασεν τῆς οἰκοι καταφρονήσαντα περιουσίας· εὐπατρίδης γὰρ ἦν καὶ εὔπορος σφόδρα. τριακοσίοις γοῦν καὶ ὀκτὼ καὶ δέκα††) οἰκέταις ἰδίοις κεχείρωται τοὺς τέσσαρας βασιλεῖς τοὺς αἰχμαλωτεύσαντας τὸν Λώτ. μόνην εὑρίσκομεν τὴν Ἐσθὴρ †††) δικαίως κοσμουμένην. ἐκαλλωπίζετο μυστικῶς ἡ γυνὴ βασιλεῖ τῷ ἑαυτῆς, ἀλλὰ τὸ κάλλος αὐτῆς ἐκεῖνο λύτρον εὑρίσκεται φονευομένου λαοῦ.

§. 13. Ὅτι δὲ ἑταίρας μὲν ποιεῖ τὰς γυναῖκας ὁ καλλωπισμὸς, ἀνδρογύνους δὲ τοὺς ἄνδρας καὶ μοιχικούς, μάρτυς ἡμῖν ὁ τραγικὸς διηγούμενος ὧδέ πως·

ἐλθὼν δ᾽ ἐκ Φρυγῶν ὁ τὰς θεὰς
κρίνων ὅδ᾽, ὡς ὁ μῦθος Ἀργείων ἔχει,
Λακεδαίμον᾽, ἀνθηρὸς μὲν εἱμάτων στολῇ
χρυσῷ τε λαμπρὸς βαρβάρῳ χλιδήματι,
ἑρῶν ἑρῶσαν ὦχετ᾽ ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ᾽ ἔκδημον λαβὼν
Μενέλαον.

*) 1 Reg. 16, 7. **) 2 Cor. 5, 7. ***) Genes. 12, 1 sq. †) Iac. 2, 23. ††) Genes. 14, 14 sq. †††) Esth. c. 5.

ὦ κάλλους μοιχικοῦ· ἀνέτρεψε τὴν Ἑλλάδα ἡ βάρβαρος φιλοκοσμία καὶ ἡ ἀνδρόγυνος τρυφή· σωφροσύνην διέφθειρε Λακωνικὴν ἐσθὴς καὶ χλιδὴ καὶ κάλλος ὡραῖον· αἱ βάρβαροι φιλοκοσμίαι ἐταίρων ἠλεύθερων τὴν Διὸς θυγατέρα. οὐκ ἦν παιδαγωγὸς αὐτοῖς ἀνακόπτων τὰς ἐπιθυμίας, οὐδὲ μὲν ὃ λέγων, „μὴ μοιχεύσῃς", οὐδὲ „μὴ ἐπιθυμήσῃς" *) λέγων, μηδὲ εἰς μοιχείαν ὁδεύσῃς διὰ ἐπιθυμίας, ἀλλὰ μηδὲ τὰς ὀρέξεις ἐκκαύσῃς διὰ φιλοκοσμίας. οἷον αὐτοῖς τὸ ἐπὶ τούτοις ἐξηκολούθησε τέλος καὶ ὅσων ἀπέλαυσαν κακῶν οἱ φιλαυτίαν κωλῦσαι μὴ θελήσαντες ἤπειροι κεκίνηνται δύο ἀπαιδεύτοις ἡδοναῖς καὶ κλονεῖται τὰ πάντα μειρακίῳ βαρβάρῳ· Ἑλλὰς ὅλη ναυτίλλεται, στενοχωρεῖται δὲ ἡ θάλασσα ἠπείρους φέρουσα· πόλεμος ἐκριπίζεται μακρὸς καὶ μάχαι καταρρήγνυνται καρτεραὶ καὶ νεκρῶν ἐμπίπλαται τὰ πεδία· ἐνυβρίζει τῷ ναυστάθμῳ ὁ βάρβαρος· ἀδικία κρατεῖ καὶ P. 260 τοῦ ποιητοῦ Διὸς ἐκείνου τὸ ὄμμα τοὺς Ὡρᾴκας Pott. βλέπει· εὐγενὲς αἷμα βάρβαρα πίνει πεδία καὶ ποταμῶν ῥεύματα σώμασιν ἵσταται νεκροῖς· στήθη κρούεται θρήνοις καὶ τὸ πένθος ἐπινέμεται τὴν γῆν, πάντες δὲ σείονται

πόδες πολυπιδάκου Ἴδης
καὶ κορυφαὶ Τρώων τε πόλεις καὶ νῆες Ἀχαιῶν **).

§. 14. Πῇ φύγωμεν, Ὁμηρε, καὶ στῶμεν; δεῖξον ἡμῖν γῆν μὴ κεκινημένην. μὴ θίγῃς ἡνίων, παιδίον, ἄπειρος ὤν, μηδὲ ἀναβῇς τὸν δίφρον ἐλαύνειν μὴ μαθών. δυσὶν ἡνιόχοις οὐρανὸς ἥδεται, οἷς μόνοις ἐλαυνόμενον ἄγεται τὸ πῦρ· μετάγεται γὰρ ἡ διάνοια ὑπὸ ἡδονῆς, καὶ τὸ ἀκήρατον τοῦ λογισμοῦ μὴ παιδαγωγούμενον τῷ λόγῳ εἰς ἀσέλγειαν κατολισθαίνει καὶ μιᾷ θὴν τοῦ παραπτώματος τὸ ἀπόπτωμα λαμβάνει. δεῖγμά σοι τούτων οἱ ἄγγελοι τοῦ θεοῦ τὸ κάλλος κατιλελοιπότες διὰ κάλλος μαραινόμενον

*) Exod. 20, 13. 17. **) Hom. Il, v. 59 sq.

αὐτοῦ καλὸν καὶ μέγαν ἰδόντι, ὅπότε τὸ χρίσμα προσέβαλεν ὁ Σαμουὴλ, ἡσθεὶς ἐπ᾽ αὐτῷ, „εἶπεν", φησὶν, „ὁ κύριος αὐτῷ· μὴ ἐπιβλέψῃς εἰς τὴν ὄψιν αὐτοῦ καὶ τὸ ὕψος τοῦ μεγέθους αὐτοῦ, ὅτι ἀπῶσμαι αὐτόν. ἄνθρωπος μὲν γὰρ εἰς ὀφθαλμοὺς ὄψεται καὶ κύριος εἰς καρδίαν"*), καὶ οὐκ ἔχρισε τὸν P. 95 καλὸν τὸ σῶμα, ἀλλὰ τὸν καλὸν τὴν ψυχήν. εἰ P. 259 Sylb. οὖν τὸ φυσικὸν τοῦ σώματος κάλλος ἔλαττον Pott. τοῦ ψυχικοῦ λογίζεται κύριος, τί περὶ τοῦ νόθου φρονεῖ ἅπαν τὸ ψεῦσμα ἄρδην ἐκβαλών; „διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους"**). σαφέστατα γοῦν ὁ κύριος διὰ τοῦ Ἀβραὰμ διδάσκει καὶ πατρίδος***) καὶ συγγενῶν καὶ κτήσεως καὶ πλούτου παντὸς καταφρονεῖν τὸν ἑπόμενον τῷ θεῷ, ποιήσας αὐτὸν ἔπηλυν, καὶ διὰ τοῦτο καὶ „φίλον"†) αὐτὸν ὠνόμασεν τῆς οἰκοι καταφρονήσαντα περιουσίας· εὐπατρίδης γὰρ ἦν καὶ εὔπορος σφόδρα. τριακοσίοις γοῦν καὶ ὀκτὼ καὶ δέκα††) οἰκέταις ἰδίοις κεχείρωται τοὺς τέσσαρας βασιλεῖς τοὺς αἰχμαλωτεύσαντας τὸν Λώτ. μόνην εὑρίσκομεν τὴν Ἐσθὴρ †††) δικαίως κοσμουμένην. ἐκαλλωπίζετο μυστικῶς ἡ γυνὴ βασιλεῖ τῷ ἑαυτῆς, ἀλλὰ τὸ κάλλος αὐτῆς ἐκεῖνο λύτρον εὑρίσκεται φονευομένου λαοῦ.

§. 13. Ὅτι δὲ ἑταίρας μὲν ποιεῖ τὰς γυναῖκας ὁ καλλωπισμὸς, ἀνδρογύνους δὲ τοὺς ἄνδρας καὶ μοιχικοὺς, μάρτυς ἡμῖν ὁ τραγικὸς διηγούμενος ὧδέ πως·

ἐλθὼν δ᾽ ἐκ Φρυγῶν ὁ τὰς θεὰς
κρίνων ὅθ᾽, ὡς ὁ μῦθος Ἀργείων ἔχει,
Λακεδαίμον᾽, ἀνθηρὸς μὲν εἱμάτων στολῇ
χρυσῷ τε λαμπρὸς βαρβάρῳ χλιδήματι,
ἑρῶν ἑρῶσαν ὤχετ᾽ ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ᾽ ἔκδημον λαβὼν
Μενέλαον.

*) 1 Reg. 16, 7. **) 2 Cor. 5, 7. ***) Genes. 12, 1 sq. †) Iac. 2, 23. ††) Genes. 14, 14 sq. †††) Esth. c. 5.

ὦ κάλλους μοιχικοῦ· ἀνέτρεψε τὴν Ἑλλάδα ἡ βάρβαρος φιλοκοσμία καὶ ἡ ἀνδρόγυνος τρυφή· σωφροσύνην διέφθειρε Λυκωνικὴν ἐσθὴς καὶ χλιδὴ καὶ κάλλος ὡραῖον· αἱ βάρβαροι φιλοκοσμίαι ἑταίρων ἤλεγξαν τὴν Διὸς θυγατέρα. οὐκ ἦν παιδαγωγὸς αὐτοῖς ἀνακόπτων τὰς ἐπιθυμίας, οὐδὲ μὲν ὃ λέγων, „μὴ μοιχεύσῃς", οὐδὲ „μὴ ἐπιθυμήσῃς" *) λέγων, μηδὲ εἰς μοιχείαν ὁδεύσῃς διὰ ἐπιθυμίας, ἀλλὰ μηδὲ τὰς ὀρέξεις ἐκκαύσῃς διὰ φιλοκοσμίας. οἷον αὐτοῖς τὸ ἐπὶ τούτοις ἐξηκολούθησε τέλος καὶ ὅσων ἀπέλαυσαν κακῶν οἱ φιλαυτίαν κωλῦσαι μὴ θελήσαντες ἤπειροι κεκίνηνται δύο ἀπαιδεύτοις ἡδοναῖς καὶ κλονεῖται τὰ πάντα μειρακίῳ βαρβάρῳ· Ἑλλὰς ὅλη ναυτίλλεται, στενοχωρεῖται δὲ ἡ θάλασσα ἠπείρους φέρουσα· πόλεμος ἐκριπίζεται μακρὸς καὶ μάχαι καταρρήγνυνται καρτεραὶ καὶ νεκρῶν ἐμπίπλαται τὰ πεδία· ἐνυβρίζει τῷ ναυστάθμῳ ὁ βάρβαρος· ἀδικία κρατεῖ καὶ P. 260 τοῦ ποιητοῦ Διὸς ἐκείνου τὸ ὄμμα τοὺς Θρᾷκας Pott. βλέπει· εὐγενὲς αἷμα βάρβαρα πίνει πεδία καὶ ποταμῶν ῥεύματα σώμασιν ἵσταται νεκροῖς· στήθη κρούεται θρήνοις καὶ τὸ πένθος ἐπινέμεται τὴν γῆν, πάντες δὲ σείονται

πόδες πολυπιδάκου Ἴδης
καὶ κορυφαὶ Τρώων τε πόλεις καὶ νῆες Ἀχαιῶν **).

§. 14. Πῇ φύγωμεν, Ὅμηρε, καὶ στῶμεν; δεῖξον ἡμῖν γῆν μὴ κεκινημένην. μὴ θίγῃς ἡνίων, παιδίον, ἄπειρος ὤν, μηδὲ ἀναβῇς τὸν δίφρον ἐλαύνειν μὴ μαθών. δυσὶν ἡνιόχοις οὐρανὸς ἥδεται, οἷς μόνοις ἐλαυνόμενον ἄγεται τὸ πῦρ· μετάγεται γὰρ ἡ διάνοια ὑπὸ ἡδονῆς, καὶ τὸ ἀκήρατον τοῦ λογισμοῦ μὴ παιδαγωγούμενον τῷ λόγῳ εἰς ἀσέλγειαν κατολισθαίνει καὶ μισθὸν τοῦ παραπτώματος τὸ ἀπόπτωμα λαμβάνει. δεῖγμά σοι τούτων οἱ ἄγγελοι τοῦ θεοῦ τὸ κάλλος καταλελοιπότες διὰ κάλλος μαραινόμενον

*) Exod. 20, 13. 17. **) Hom. Il, v. 59 sq.

καὶ τοσοῦτον ἐξ οὐρανῶν ἀποπεσόντες χαμαί. ἀλλὰ καὶ Σκιμῖται κολάζονται καταπεπτωκότες τὴν ἁγίαν ὑβρίζοντες παρθένον, τάφος ἡ κόλασις αὐτοῖς καὶ τὸ μνημόσυνον τῆς ἐπιτιμίας εἰς σωτηρίαν παιδαγωγεῖ.

Cap. III.

P. 261 Potter.

Πρὸς τοὺς καλλωπιζομένους τῶν ἀνδρῶν.

§. 15. Εἰς τοσοῦτον δὲ ἄρα ἐλήλακεν ἡ χλιδὴ, ὡς μὴ τὸ θῆλυ μόνον νοσεῖν περὶ τὴν κενοσπουδίαν ταύτην, ἀλλὰ καὶ τοὺς ἄνδρας ζηλοῦν τὴν νόσον. μὴ γὰρ καθαρεύοντες καλλωπισμοῦ οὐχ ὑγιαίνουσιν, πρὸς δὲ τὸ μαλθακώτερον ἀποκλίναντες γυναικίζονται, κουρὰς μὲν ἀγεννεῖς καὶ πορνικὰς ἀποκειρόμενοι, χλανίσι δὲ διαφανέσι

περιπεπεμμένοι,

καὶ μαστίχην τρώγοντες, ὄζοντες μύρου.

τί ἂν τις φαίη τούτους ἰδών; ἀτεχνῶς καθάπερ μετωποσκόπος ἐκ τοῦ σχήματος αὐτοὺς καταμαντεύεται μοιχούς τε καὶ ἀνδρογύνους, ἀμφοτέραν ἀφροδίτην θηρωμένους, μισότριχας, ἄτριχας, τὸ ἄνθος τὸ ἀνδρικὸν μυσαττομένους, τὰς κόμας δὲ, ὥσπερ αἱ γυναῖκες, κοσμουμένους. ἐπ' οὐχ ὁσίοις δὲ τόλμαις οἱ παλίμβολοι

ζῶντας ῥέζουσιν ἀτάσθαλα καὶ κακὰ ἔργα,

φησὶν ἡ Σίβυλλα. διὰ τούτους γοῦν πλήρεις αἱ πόλεις πιττούντων, ζυρούντων, παρατιλλόντων τοὺς θηλυδρίας τούτους, ἐργαστήρια δὲ κατεσκεύασται καὶ ἀνέῳκται πάντη καὶ τεχνῖται τῆς ἑταιρικῆς ταύτης πορνείας συχνὸν ἐμπολῶσιν ἀργύριον ἐμφανῶς, οἱ σφᾶς καταπιττοῦσιν, καὶ τὰς τρίχας τοῖς ἀνασπῶσι πάντα τρόπον παρέχουσιν, οὐδὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας οὐδὲ τοὺς παριόντας, ἀλλ' οὐδὲ ἑαυτοὺς ἄνδρας ὄντας· τοιοῦτοι γὰρ οἱ τῶν ἀγενεστέρων ζη-

λωταὶ παθῶν ἅπαν τὸ σῶμα τοῖς βιαίοις τῆς πίττης ὁλκοῖς λελειουργημένοι.

§. 16. Μέλει δὲ οὐδ' ὁπωστιοῦν περαιτέρω τῆς τοιαύτης προβαίνειν ἀναισχυντίας. εἰ γὰρ μηδὲν ἄπρακτον αὐτοῖς ὑπολείπεται, οὐδὲ ἐμοὶ ἄρρητον. ἕνα τινὰ τούτων τῶν ἀγεννῶν παιδαγωγικῶς P. 96 ἐπιπλήττων ὁ Διογένης ὁπηνίκα ἐπιπράσκετο, ἀν- 8ylb. δρείως σφόδρα, ἦκε, εἶπεν, μειράκιον, ἄνδρα ὠνήσαι σαυτῷ, ἀμφιβάλῳ λόγῳ τὸ πορνικὸν ἐκεῖνον σωφρονίζων. τὸ γὰρ ἄνδρας ὄντας ξυρᾶσθαι καὶ λαίνεσθαι πῶς οὐκ ἀγεννές; βαφὰς δέ τινας τριχῶν καὶ χρίσματα πολιῶν καὶ ξανθίσματα ἀνδρογύνων ἐξωλῶν ἐπιτηδεύματα, καὶ τοὺς διακτενισμοὺς αὐτῶν τοὺς θηλυδριώδεις μεθετέον. ἡγοῦνται γὰρ P. 262 καθάπερ ὄφις τῆς κεφαλῆς ἀπεκδύσασθαι τὸ γῆρας Pott. μεταγράφοντες ἑαυτοὺς καὶ νεοποιοῦντες, εἰ καὶ σοφίσονται τὰς τρίχας, ἀλλ' οὐ τὰς ῥυτίδας διαφεύξονται, ἀλλ' οὐ λήσονται τὸν θάνατον σοφιζόμενοι τὸν χρόνον. οὐ γὰρ δεινὸν, οὐ δεινὸν γέροντ' ἂν δοκεῖν τὸ εἶναι λαθεῖν μὴ δυνάμενον. ὅσῳ γοῦν ὁ ἄνθρωπος σπεύδει πρὸς τὸ τέλος, τοσούτῳ τιμιώτερος πρὸς ἀλήθειαν, μόνον ἔχων αὐτοῦ πρεσβύτερον τὸν θεὸν, ἐπεὶ κἀκεῖνος ἀΐδιος γέρων ὁ τῶν ὄντων πρεσβύτερος· „παλαιὸν ἡμερῶν" κέκληκεν αὐτὸν ἡ προφητεία, „καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν"*), ὁ προφήτης λέγει. οὐδεὶς δὲ ἄλλος, φησὶν ὁ κύριος, „δύναται ποιῆσαι τρίχα λευκὴν ἢ μέλαιναν"**).

§. 17. Πῶς οὖν ἀντιδημιουργοῦσι τῷ θεῷ, μᾶλλον δὲ ἀντικεῖσθαι βιάζονται οἱ ἄθεοι τὴν ὑπ' αὐτοῦ πεπολιωμένην παραχαράττοντες τρίχα; „στέφανος δὲ γερόντων πολυπειρία"***), φησὶν ἡ γραφὴ, καὶ τοῦ προσώπου ἡ πολιὰ ἄνθος πολυπειρίας· οἱ δὲ

*) Dan. 7, 9. **) Matth. 5, 36. ***) Eccles. 25, 6.

τὸ πρέσβειον τῆς ἡλικίας, τὸν πολιέα, καταισχύνουσιν. οὐκ ἔστι δὲ, οὐκ ἔστιν ἀληθινὴν ἐνδεικνύναι τὴν ψυχὴν τὸν κίβδηλον ἔχοντα κεφαλήν. „ὑμεῖς δὲ οὐχ οὕτως", φησὶν, „ἐμάθετε τὸν Χριστὸν, εἴ γε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον", οὐ τὸν πολιὸν, ἀλλὰ „τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀνανεοῦσθαι δὲ", μὴ βαφαῖς καὶ καλλωπίσμασιν, ἀλλὰ „τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας" *). ἄνδρα δὲ ὄντα κτενίζεσθαι καὶ ἀποκείρεσθαι ξυρῷ πρὸς εὐπρέπειαν καὶ πρὸς τὸ ἔσοπτρον διατιθέμενον τὰς τρίχας, ξύρεσθαί τε καὶ ἀποτίλλεσθαι καὶ λειαίνεσθαι τὰς γένυς πῶς σὺ γυναικεῖον; καὶ εἰ μή τις αὐτοὺς γυμνοὺς ἴδοι, κἂν γυναῖκας ὑπολάβοι. εἰ γὰρ μὴ χρυσοφορεῖν καὶ αὐτοῖς ἐφεῖται, ἀλλ' οὖν γε διὰ τὴν θηλυδριώδη ἐπιθυμίαν ἰμάντας καὶ λώματα χρυσίου περιπτύξαντες πετάλοις ἤ τινα σφαιρικὰ τῆς αὐτῆς ὕλης ποιησάμενοι σχήματα σφυρῶν ἀπαρτῶνται καὶ τραχήλων ἀπαιωροῦσι.

§. 18. Σόφισμα τοῦτο κατεαγότων ἀνθρώπων εἰς τὴν γυναικωνῖτιν κατασυρομένων ἀμφιβίων καὶ λάγνων θηρίων· πορνικὸς τῆς ἐνέδρας ὁ τρόπος καὶ ἄθεος οὗτος. ὁ γὰρ θεὸς τὴν μὲν γυναῖκα λείαν P. 1 ἠθέλησεν εἶναι, αὐτοφυῆ τῇ κόμῃ μόνῃ ὥσπερ ἵπ- P πον τῇ χαίτῃ γαυρουμένην, τὸν δὲ ἄνδρα καθάπερ τοὺς λέοντας γενείοις κοσμήσας καὶ τοῖς λασίοις ἤν- δρωσε στήθεσι· δεῖγμα τοῦτο ἀλκῆς καὶ ἀρχῆς. ταύτῃ καὶ τοὺς ἀλεκτρυόνας τοὺς ὑπερμαχοῦντας τῶν ἀρνίθων καθάπερ κόρυσι τοῖς κάλλεσιν ἐκαλλώπισεν. καὶ οὕτως περὶ πολλοῦ τὰς τρίχας ταύτας θεὸς ἠγεῖται, ὥστε ἅμα φρονήσει κελεύειν παραγίνε

*) Ephes. 4, 20—24.

σθαι αὐτὰς τοῖς ἀνδράσι, καὶ δὴ ἀγασθεὶς τῇ σεμνότητι τὸ βλοσυρὸν τοῦ θεάματος γεραρᾷ τετίμηκεν πολιᾷ. φρόνησις δὲ καὶ ἀκριβεῖς λογισμοὶ πολιοὶ συνέσει συνακμάζουσι τῷ χρόνῳ, καὶ τὸ γῆρας ἐνισχύουσι τῷ τόνῳ τῆς πολυπειρίας ἄνθος ἀξιέραστον φρονήσεως σεμνῆς εἰς πίστιν εὔλογον προτείνοντες πολιάν.

§. 19. Τοῦτο οὖν τοῦ ἀνδρὸς τὸ σύνθημα, τὸ γένειον, δι' οὗ καταφαίνεται ὃ ἀνὴρ, πρεσβύτερόν ἐστι τῆς Εὔας καὶ σύμβολον τῆς κρείττονος φύσεως· τούτῳ πρέπειν ἐδικαίωσε τὸ λάσιον θεὸς καὶ διέσπειρεν παρὰ πᾶν τὸ σῶμα τοῦ ἀνδρὸς τὰς τρίχας, τὸ δὲ ὅσον λεῖον αὐτοῦ καὶ μαλθακὸν ἀφείλετο τῆς πλευρᾶς εἰς ὑποδοχὴν σπέρματος εὐαφῆ τὴν Εὔαν δημιουργήσας γυναῖκα βοηθὸν οὖσαν γενέσεως καὶ οἰκουρίας. ὃ δὲ, προήκατο γὰρ τὸ λεῖον, ἔμεινέν τε ἀνὴρ καὶ τὸν ἄνδρα δεικνύει· καὶ τὸ ὁρᾶν αὐτῷ συγκεχώρηται, ὡς ἐκείνῃ τὸ πάσχειν. ξηρότερα γὰρ φύσει καὶ θερμότερα τὰ δασέα τῶν ψιλῶν ἐστίν. διὸ καὶ τὰ ἄρρενα τῶν θηλειῶν καὶ τὰ ἔνορχα τῶν ἐκτομίων καὶ τὰ τέλεια τῶν ἀτελῶν δασύτερά τέ ἐστιν καὶ θερμότερα. τὸ οὖν τῆς ἀνδρώδους φύσεως σύμβολον, τὸ λάσιον, παρανομεῖν ἀνόσιον, τὸ δὲ καλλώπισμα τῆς λειάνσεως, θερμαίνομαι γὰρ ὑπὸ τοῦ λόγου, εἰ μὲν ἐπὶ τοὺς ἄνδρας, θηλυδρίου, εἰ δὲ ἐπὶ τὰς γυναῖκας, μοιχοῦ· ἄμφω δὲ ὅτι μάλιστα πορρωτάτω τῆς ἡμετέρας ἐκτοπιστέον πολιτείας. „ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠριθμημέναι εἰσὶν“ *), φησὶν ὁ κύριος· ἠρίθμηνται δὲ καὶ ἐπὶ τῷ γενείῳ καὶ μὴν καὶ αἱ παρ' ὅλον τὸ σῶμα.

§. 20. Οὐδ' ὁπωστιοῦν ἐκτιλτέον παρὰ τὴν προαίρεσιν τοῦ θεοῦ τὴν ἐγκατηριθμημένην τῷ αὐτοῦ θελήματι „εἰ μή τι οὐκ ἐπιγινώσκετε ἑαυτούς“, φησὶν ὁ ἀπόστολος, „ὅτι Χριστὸς Ἰησοῦς ἐν ὑμῖν“ **),

*) Matth. 10, 30. **) 2 Cor. 13, 5.

καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἐνεδείξατο κάλλος, τῆς μὲν τὸ εὐεργετικὸν, τὸ δὲ ἀθάνατον τῆς σαρκός.

Cap. II.

Ὅτι οὐ χρὴ καλλωπίζεσθαι.

§. 4. Οὐκ ἄρα ἡ πρόσοψις τοῦ ἐκτὸς ἀνθρώπου, ἀλλὰ ἡ ψυχὴ καλλωπιστέα τῷ τῆς καλοκἀγαθίας κοσμήματι. εἰη δ' ἂν καὶ τὴν σάρκα εἰπεῖν τῷ τῆς ἐγκρατείας κόσμῳ. αἱ δὲ τὴν ἐπιφάνειαν καλλωπιζόμεναι καὶ τὰ βάθη χερσούμεναι λελήθασι σφᾶς αὐτὰς κατὰ τοὺς Αἰγυπτίων κόσμους, οἷς ναοὶ καὶ προπύλαια παρ' αὐτοῖς καὶ προτεμενίσματα ἐξήσκηται ἄλση τε καὶ ὀργάδες κἰοσί τε παμπόλλοις ἐστεφάνωνται αἱ αὐλαὶ, τοῖχοι δὲ ἀποστίλβουσι ξενικοῖς
P. 93 λίθοις καὶ γραφῆς ἐντέχνου οἷς ἐνδεῖ οὐδὲ ἓν,
Sylb. χρυσῷ δὲ καὶ ἀργύρῳ καὶ ἠλέκτρῳ παραστίλβουσιν οἱ ναοὶ, καὶ τοῖς ἀπὸ Ἰνδίας καὶ Αἰθιοπίας πεποικιλμένοις μαρμαίρουσι λιθιδίοις, τὰ δὲ ἄδυτα χρυσοπάστοις ἐπισκιάζεται πέπλοις, ἀλλ' ἢν παρεισέλθῃς τὸ βάθος τοῦ περιβόλου καὶ σπεύδων ἐπὶ τὴν θέαν τοῦ κρείττονος ζητήσῃς τὸ ἄγαλμα τὸ ἔνοικον τοῦ P. 25
νεὼ, παστοφόρος δὲ ἤ τις ἄλλος τῶν ἱεροποιούντων Pet
περὶ τὸ τέμενος σεμνὸν δεδορκὼς, παιᾶνα τῇ Αἰγυπτίων ᾠδῶν γλώσσῃ, ὀλίγον ἐπαναστείλας τοῦ καταπετάσματος, ὡς δείξων τὸν θεὸν, πλατὺν ἡμῖν ἐνδίδωσι γέλωτα τοῦ σεβάσματος. οὐ γὰρ θεὸς ὁ ζητούμενος ἔνδον εὑρεθήσεται, ἐφ' ᾧ ἐσπεύσαμεν, αἴλουρος δὲ ἢ κροκόδειλος ἢ αὐτόχθων ὄφις ἢ τι τοιοῦτον θηρίον, ἀνάξιον μὲν τοῦ νεὼ, χηραμοῦ δὲ ἢ φωλεοῦ ἢ βορβόρου ἀντάξιον· ὁ θεὸς Αἰγυπτίων ἐπὶ στρωμνῆς ἁλουργῆς καταφαίνεται κυλιόμενον θηρίον.

§. 5. Ταύτῃ μοι δοκοῦσιν αἱ χρυσοφοροῦσαι γυναῖκες τῶν πλοκάμων τοὺς ἐνοὐλισμοὺς ἀσκοῦσαι,

χρίσματά τε παρειῶν καὶ ὑπογραφὰς ὀφθαλμῶν καὶ βαφὰς μετιοῦσαι τριχῶν καὶ τὴν ἄλλην βλακείαν κακομηχανώμεναι, κοσμοῦσαι τὸν περίβολον τὸν σαρκικὸν, αἰγυπτιάζουσαι ὡς ἀληθῶς ἐπισπᾶσθαι τοὺς δεισιδαίμονας ἐραστάς. ἀλλ' ἢν ἀποκαλύψῃ τις τὸ καταπέτασμα τοῦ νεὼ, τὸ κεκρύφαλον λέγω, τὴν βαφὴν, τὴν ἐσθῆτα, τὸ χρυσίον, τὸ φῦκος, τὰ ἐντρίμματα, τουτέστι τὸ ἐκ τούτων συγκείμενον ὕφος, τὸ καταπέτασμα, ὡς ἔνδον εὑρήσων τὸ κάλλος τὸ ἀληθινὸν, μυσάξεται, εὖ οἶδ' ἐγώ. οὐ γὰρ τὴν εἰκόνα τοῦ Θεοῦ κατοικοῦσαν ἔνδον εὑρήσει τὴν ἀξιόλογον, πόρνη δὲ ἀντ' αὐτῆς καὶ μοιχαλὶς τῆς ψυχῆς κατείληφε τὸ ἄδυτον· τό τε ἀληθινὸν θηρίον ἐλεγχθήσεται ψιμυθίῳ πίθηκος ἐντετριμμένος καὶ ὁ παλίμβολος ὄφις ἐκεῖνος διαβιβρώσκων τὸ νοερὸν τῆς ἀνθρώπου διὰ τῆς φιλοδοξίας χηραμὸν ἔχειν τὴν ψυχήν· πάντα φαρμάκων ὀληθρίων ἐμπλήσας καὶ τὸν ἑαυτοῦ τῆς πλάνης ἐνερευξάμενος ἰὸν μετεσκεύασε τὰς γυναῖκας εἰς πόρνας ὁ προαγωγὸς οὗτος δράκων· οὐ γὰρ γυναικὸς, ἀλλ' ἑταίρας τὸ φιλόκοσμον, αἳ τῆς παρὰ μὲν [τοῖς] ἀνδράσιν οἰκουρίας ὀλίγον φροντίζουσιν, λύσασαι δὲ τὰνδρὸς τὸ βαλάντιον ἐκτρέπουσι τὰς χορηγίας εἰς ἐπιθυμίας, ὡς πολλοὺς ἔχοιεν τοῦ καλαὶ δοκεῖν εἶναι μάρτυρας, καὶ τὴν πᾶσαν ἡμέραν κομμωτικῇ προσκαθεζόμεναι ἀργυρώνητοις σχολάζουσιν ἀνδραπόδοις.

§. 6. *Καθάπερ οὖν ὄψον πονηρὸν ἡδύνουσι τὴν σάρκα καὶ τὴν μὲν ἡμέραν κομμωτικῇ προστετήκασι θαλαμευόμεναι, μὴ ἐλεγχθῶσιν ἀνθιζόμεναι, ἑσπέρας δὲ καθάπερ ἐκ φωλεοῦ πρὸς τὸν λύχνον τὸ νόθον τοῦτο προαέρπει κάλλος· συνεργεῖ γὰρ καὶ* P. 254 *ἡ μέθη καὶ τὸ ἀμυδρὸν τοῦ φωτὸς πρὸς τὴν ἐπί-* Pott. *θεσιν αὐτῶν. καὶ τὴν μὲν ξανθίζουσαν τοὺς πλοκάμους ὁ κωμικὸς Μένανδρος εἴργει τῆς οἰκίας·*

νῦν δ' ἔρπ' ἀπ' οἴκων τῶνδε· τὴν γυναῖκα γὰρ
τὴν σώφρον' οὐ δεῖ τὰς τρίχας ξανθὰς ποιεῖν,

ἀλλ᾽ οὐδὲ τὰς παρειὰς φοκοῦν οὐδὲ τοὺς ὀφθαλμοὺς ὑπογράφεσθαι. λελήθασι δὲ σφᾶς αἱ κακοδαίμονες τὸ οἰκεῖον ἀπυλλύουσαι κάλλος τοῦ ὀθνείου τῇ ἐπεισαγωγῇ, ἅμα γοῦν ἡμέρᾳ σπαρασσόμεναι καὶ ἀποτεινόμεναι καὶ φυράμασί τισι καταπλαττόμεναι ψύχουσι μὲν τὸν χρῶτα, ὀρύττουσι δὲ τὴν σάρκα τοῖς φαρμάκοις καὶ τῇ περιεργίᾳ τῶν ῥυμμάτων τὸ οἰκεῖον μαραίνουσαι ἄνθος. διὰ τοῦτό τοι ὠχραὶ μὲν ἐκ καταπλασμάτων καταφαίνονται, εὐάλωτοι δὲ ὑπὸ νόσων γίνονται τακερὰν ἤδη τὴν σάρκα φαρμάκοις τὴν ἐσκιαγραφημένην ἔχουσαι, τῶν ἀνθρώπων τὸν δημιουργὸν ἀτιμάζουσαι, ὡς οὐ κατ᾽ ἀξίαν δεδωρημένον τὸ κάλλος. εἰκότως ἀργαὶ πρὸς οἰκουρίας γίνονται, καθάπερ ἐζωγραφημέναι, καθεζόμεναι εἰς θέαν, οὐκ εἰς οἰκουρίαν γεγενημέναι.

§. 7. *Διὰ τοῦτό τοι καὶ ἡ παρὰ τῷ κωμικῷ ἐπιλογιστικὴ γυνὴ λέγει·*

τί δ᾽ ἂν γυναῖκες φρόνιμον ἐργασαίμεθα
ἢ λαμπρόν, αἳ καθήμεθ᾽ ἐξηνθισμέναι,
τῶν ἐλευθέρων γυναικῶν λυμαινόμεναι τὸν χαρακτῆρα, οἴκων ἀνατροπὰς καὶ γάμων ἐκτροπὰς καὶ παίδων διαβολὰς περιποιούμεναι. τοῦτο αὐτὸ γάρτοι καὶ Ἀντιφάνης ὁ κωμικὸς ἐν μαλθακῇ τὸ ἑταιρικὸν τῶν γυναικῶν ἐπισκώπτει τὰ κοινὰ πάσαις ῥήματα εἰς τὴν κατατριβὴν ἐξηυρημένα λέγων· P. 255 Pott.

ἔρχεταί, μετέρχετ᾽ αὖ, προσέρχετ᾽ αὖ, μέτερχεταῖ,
ἥκει, πάρεστι, ῥύπτεται, προσέρχεται,
σμᾶται, κτενίζετ᾽, ἐκβέβηκε, τρίβεται,
λοῦται, σκοπεῖται, στέλλεται, μυρίζεται,
κοσμεῖτ᾽, ἀλείφετ᾽· ἂν δ᾽ ἔχῃ τι, ἀπάγχεται.

τρὶς γὰρ, οὐχ ὅπαξ ἀπολωλέναι δίκαιαι κροκοδείλων ἀποπάτοις χρώμεναι καὶ σηπεδόνων ἀφροῖς ἐγχριόμεναι, καὶ ταῖς ὀφρύσι τὴν ἀσβόλην ἀναματτόμεναι καὶ ψιμυθίῳ τὰς παρειὰς ἐντριβόμεναι.

§. 8. *Αἱ τοίνυν καὶ τοῖς ἐθνικοῖς προσκορεῖς ποιηταῖς διὰ τὸν τρόπον πῶς οὐκ ἂν ἀπόβλητοι τῇ ἀληθείᾳ γένοιντο; ἕτερος γοῦν κωμικὸς ἐλέγχων αὐτὰς, Ἄλεξις· καὶ γὰρ καὶ τούτου παραθήσομαι τὴν λέξιν δυσωποῦσαν τῷ περιέργῳ τῆς ἑρμηνείας τὸ ἀδιάτρεπτον τῆς ἀναισχυντίας· οὐ γὰρ εἰς τοσοῦτον περίεργος ἦν. ἐγὼ δὲ αἰσχύνομαι κωμῳδουμένης εἰς τοσοῦτον τῆς γυναικωνίτιδος εἰ βοηθὸς γενοίμην· εἶτα μέντοι προσαπολλύει καὶ τὸν ἄνδρα·*

πρῶτα μὲν γὰρ εἰς τὸ κέρδος καὶ τὸ συλᾶν τοὺς P. 256 Pott.
πέλας

πάντα τἄλλ' αὐταῖς πάρεργα γίγνεται * * * *
τυγχάνει μικρά τις οὖσα· φελλὸς ἐν ταῖς βαυκίσιν P. 94
ἐγκεκάττυται. μικρά τις· διάβαθρον λεπτὸν φορεῖ, Sylb.
τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ' ἐξέρχεται· τοῦτο τοῦ μήκους ἀφεῖλεν. οὐκ ἔχει τις ἰσχία· ὑπενέδυσ' ἐρραμμέν' αὐτὴν, ὥστε τὴν εὐπυγίαν ἀναβοᾶν τοὺς εἰσιδόντας. κοιλίαν ἁδρὰν ἔχει· τιθ' ἕστ' αὐταῖσι τούτων ὧν ἔχουσ' οἱ κωμικοὶ, ὀρθὰ προσθεῖσαι τοιαῦτα τοὔνδυτον τῆς κοιλίας ὥσπερεὶ κοντοῖσι τούτοις εἰς τὸ πρόσθ' ἀπήγαγον. τὰς ὀρρῦς πυρρὰς ἔχει τις· ζωγραφοῦσιν ἀσβόλῳ. συμβέβηκ' εἶναι μέλαιναν· κατέπλασε ψιμυθίῳ· λευκόχρως λίαν τις ἐστὶ παιδέρωτ' ἐντρίβεται. καλὸν ἔχει τοῦ σώματός τι· τοῦτο γυμνὸν δείκνυται. ἐφυεῖς ὀδόντας ἔσχεν· ἐξ ἀνάγκης δεῖ γελᾶν, ἵνα θεωρῶσ' οἱ παρόντες τὸ στόμ' ὡς κομψὸν φορεῖ. ἂν δὲ μὴ χαίρῃ γελῶσα, διατελεῖ τὴν ἡμέραν [ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ' ἑκάστοτε, ἡνίκ' ἂν πωλῶσιν αἰγῶν κρανία,] ξυλήφιον μυρρίνης ἔχουσα λεπτὸν [ὀρθὸν] ἐν τοῖς χείλεσιν, ὥστε τῷ χρόνῳ σέσηρεν, ἄν τε βούλητ' ἄν τε μή.

§. 9. *Ταῦτα ὑμῖν εἰς τὴν ἀποτροπὴν τῆς φιλοκόσμου κακομηχανίας ἐκ σοφίας κοσμικῆς πα-* P. 257
ρατίθεμαι παμμάχως σώζειν ἐθελήσαντος ἡμᾶς τοῦ Pott.
λόγου, μετὰ μικρὸν δὲ καὶ ταῖς θείαις ἐπιστύφω γρα-

ἀλλ᾽ οὐδὲ τὰς παρειὰς φυκοῦν οὐδὲ τοὺς ὀφθαλμοὺς ἐπογράφεσθαι. λελήθασι δὲ σφᾶς αἱ καποδαίμονες τὸ οἰκεῖον ἀπυλλύουσαι κάλλος τοῦ ὀθνείου τῇ ἐπεισαγωγῇ, ἅμα γοῦν ἡμέρᾳ σπαρασσόμεναι καὶ ἀποτινόμεναι καὶ φυράμασί τισι καταπλαττόμεναι ψύχουσι μὲν τὸν χρῶτα, ὀρύττουσι δὲ τὴν σάρκα τοῖς φαρμάκοις καὶ τῇ περιεργίᾳ τῶν ὑμμάτων τὸ οἰκεῖον μαραίνουσαι ἄνθος. διὰ τοῦτό τοι ὠχραὶ μὲν ἐκ καταπλασμάτων καταφαίνονται, ἐβάλωτοι δὲ ὑπὸ νόσων γίνονται τακερὰν ἤδη τὴν σάρκα φαρμάκοις τὴν ἐσκιαγραφημένην ἔχουσαι, τῶν ἀνθρώπων τὸν δημιουργὸν ἀτιμάζουσαι, ὡς οὐ κατ᾽ ἀξίαν δεδωρημένον τὸ κάλλος. εἰκότως ἀργαὶ πρὸς οἰκουρίας γίνονται, καθάπερ ἐζωγραφημέναι, καθεζόμεναι εἰς θέαν, οὐκ εἰς οἰκουρίαν γεγενημέναι.

§. 7. *Διὰ τοῦτό τοι καὶ ἡ παρὰ τῷ κωμικῷ ἐπιλογιστικὴ γυνὴ λέγει*

τί δ᾽ ἂν γυναῖκες φρόνιμον ἐργασαίμεθα
ἢ λαμπρὸν, αἳ καθήμεθ᾽ ἐξηνθισμέναι,
τῶν ἐλευθέρων γυναικῶν λυμαινόμεναι τὸν χαρακτῆρα, οἴκων ἀνατροπὰς καὶ γάμων ἐκτροπὰς καὶ παίδων διαβολὰς περιποιούμεναι. τοῦτο αὐτὸ γάρτοι καὶ Ἀντιφάνης ὁ κωμικὸς ἐν μαλθακῇ τὸ ἑταιρικὸν τῶν γυναικῶν ἐπισκώπτει τὰ κοινὰ πάσαις ῥήματα εἰς τὴν κατατριβὴν ἐξηυρημένα λέγων·

ἔρχεται,
μετέρχετ᾽ αὖ, [illegible]ρχετ᾽ αὖ, μετέρχεται,
ἥκει, πάρεστι, [illegible]ται, προσέρχεται,
σμῆται, κτε[illegible]βηκε, τρίβεται,
λοῦται, σκο[illegible]λλεται, μυρίζεται,
κοσμεῖτ᾽, [illegible] δ᾽ ἔχῃ τι, ἀπάγχε[illegible]
τρὶς γὰρ [illegible]ολωλέναι δίκαιοι
ἀποπάτοι[illegible]οὶ σκηπιδόνιον ἀ[illegible]
ναι, κα[illegible]ν ἀμβλὺν
καὶ ψιμ[illegible]ωνὰς ἐντριβῆ

§. 8. Αἱ τοίνυν [illegible] ν τὰ P. 258
ποιηταῖς διὰ τὸν [illegible] νθίσμα- Pott.
ἀλήθεια γενοίντο; [illegible] μῳ χρυσῷ,
τὰς, Ἀλέξις [illegible] υ, εἰς μά-
λεξιν [illegible] ίου φησίν.
[illegible] καὶ ὄρνεις
[illegible] λειμώνων
[illegible] χαίροντα,
[illegible] σει ποικίλῃ·
[illegible] ος ἡ γυνὴ
[illegible] νείου δεῖ-
[illegible] υ; κεκρύ-
[illegible] αὶ περίερ-
[illegible] οι σχημα-
[illegible] ὶ, οἷς κα-
[illegible] ον ἀφρό-
[illegible] ν ἀπηρυ-
[illegible] ν οὐκ ἂν
[illegible] τὰ. ἡμῖν
[illegible] να, ἀλλὰ
[illegible] ι" **). ὃ
[illegible] ιπλάστου
[illegible] τινος ἢ
[illegible] ῆς ἀπά-
[illegible] οὐδὲ γὰρ,
[illegible] ροεχώρησεν
[illegible] εατήν.
[illegible] Μωϋσῆς πα-
[illegible] ἀντίτεχνον τῷ
[illegible] ναῖκες αὗται σ[illegible]
[illegible] ὰς εἰκόνας εἰ
[illegible] λὰ καὶ τῷ Σα[illegible]
[illegible] ι ἕνα χρίσαι τῶν
[illegible] πρεσβύτατον τῶν π

**) 2 Cor. 4, 18.

φαῖς. φιλεῖ δέ πως τὸ μὴ λανθάνον δι' αἰσχύνην τῶν ἐλέγχων ἀφίστασθαι τῶν ἁμαρτημάτων. ὡς δὲ ἡ καταπεπλασμένη χεὶρ καὶ ὁ περιαληλιμμένος ὀφθαλμὸς ὑπόνοιαν τοῦ νοσοῦντος ἐκ τῆς ὄψεως ἐνδείκνυται, οὕτως τὰ ἐντρίμματα καὶ αἱ βαφαὶ νοσοῦσαν ἐν βάθει τὴν ψυχὴν αἰνίττονται. ἡμῖν δὲ "παριέναι ποταμὸν ἀλλότριον" ὁ θεῖος παραινεῖ παιδαγωγὸς, τὴν ἀλλοτρίαν γυναῖκα, τὴν μάχλον, ποταμὸν ἀλλότριον ἀλληγορῶν, πᾶσιν ἐπιρρέουσαν, πᾶσιν δι' ἀσέλγειαν πορνικὴν εἰς τρυφὴν ἐκχεομένην· "ἀπὸ ὕδατος ἀλλοτρίου ἀπέχου", φησὶν, "καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς"*), τὸ ῥεῦμα τῆς ἡδυπαθείας φυλάξασθαι παραινῶν, ἵνα πολὺν ζήσωμεν χρόνον, προστεθῇ δὲ ἡμῖν ἔτη ζωῆς εἴτε ἀλλοτρίαν ἡδονὴν μὴ θηρωμένοις εἴτε καὶ τὰς αἱρέσεις ἐκτρεπομένοις.

§. 10. Φιλοψία μὲν οὖν καὶ φιλοινία εἴ καὶ πάθη μεγάλα, ἀλλ' οὐ τοσαῦτα τὸ μέγεθος, ὁπόση ἡ φιλοκοσμία. τράπεζα πλήρης καὶ κύλικες ἐπάλληλοι ἱκαναὶ πληρῶσαι τὴν λαιμαργίαν, τοῖς δὲ φιλοχρύσοις καὶ φιλοπορφύροις καὶ φιλολίθοις οὔτε ὁ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸς αὐτάρκης οὔτε ἡ Τυρίων θάλασσα οὔτε μὴν ὁ φόρτος ὁ ἀπ' Ἰνδῶν καὶ Αἰθιόπων, ἀλλ' οὐδὲ ὁ Πακτωλὸς ὁ ῥέων τὸν πλοῦτον, οὐδ' ἂν Μίδας τις αὐτῶν γένηται, πεπλήρωται, ἀλλὰ ἔτι πένης ἐστὶ πλοῦτον ἄλλον ποθῶν, ἕτοιμοι δὲ οὗτοι συναποθανεῖν χρυσίῳ. εἰ δὲ καὶ ὁ Πλοῦτος τυφλὸς ὥσπερ οὖν αἱ περὶ αὐτὸν ἐπτοημέναι καὶ συμπαθοῦσαι πῶς οὐ τυφλώττουσιν; ὅρον γοῦν ἐπιθυμίας οὐκ ἔχουσαι εἰς ἀναισχυντίαν ἐξοκέλλουσιν· δεῖ γὰρ αὐταῖς καὶ [illegible] καὶ πλήθους θεατῶν καὶ πλά[illegible] τῆς ἐν ταῖς ἀμφόδοις διατριβῆς, [illegible] γίνεσθαι καταφανεῖς. κοσμοῦνται [illegible] ῥέσκοιεν αἱ ἐν προσώπῳ καυχώμε-

ται, οὐκ ἐν καρδίᾳ· ὡς γὰρ τὸν δραπέτην τὰ στίγματα, οὕτω τὴν μοιχαλίδα δείκνυσι τὰ ἀνθίσματα. „κἂν περιβάλῃ κόκκινον καὶ κοσμήσῃ κόσμῳ χρυσῷ, καὶ ἐὰν χρίσῃ στίμμι τοὺς ὀφθαλμούς σου, εἰς μάτην ὁ ὡραϊσμός σου" *), ὁ λόγος διὰ Ἱερεμίου φησίν. P. 258 Pott.

§. 11. Εἶτα οὐκ ἄτοπον ἵππους μὲν καὶ ὄρνεις καὶ τὰ ἄλλα ζῶα ἐκ τῆς χλόης καὶ τῶν λειμώνων ἀνίστασθαι καὶ ἀνίπτασθαι οἰκείῳ κόσμῳ χαίροντα, χαίτῃ ἱππικῇ καὶ χροιᾷ φυσικῇ καὶ πτερώσει ποικίλῃ· ὡς δὲ ἐνδεέστερον καὶ τῆς θηρίου φύσεως ἡ γυνὴ ἀκαλλὴς εἰς τοσοῦτον εἶναι οἴεται, ὡς ὀθνείου δεῖσθαι κάλλους, ὠνητοῦ καὶ σκιαγραφουμένου; κεκρύφαλοι μέν γε καὶ κεκρυφάλων διαφοραὶ καὶ περίεργοι πλοκαί, ἀλλὰ καὶ τῶν τριχῶν οἱ μυρίοι σχηματισμοὶ κατόπτρων τε πολυτίμητοι κατασκευαί, οἷς κατασχηματίζονται θηρῶσαι τοὺς δίκην παίδων ἀφρόνων περὶ τὰς μορφὰς ἐπτοημένους, τέλειον ἀπηρυθριακνιῶν ἐστὶ γυναικῶν, ἃς ἑταίρας καλῶν οὐκ ἄν τις ἁφαμάρτοι προσωπεῖα ποιούσας τὰ πρόσωπα. ἡμῖν δὲ ὁ λόγος παραινεῖ „μὴ σκοπεῖν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια" **). ὃ δὲ καὶ πέρα τῆς ἀτοπίας προβέβηκεν, τῆς ἐπιπλάστου μορφῆς τῆς ἑαυτῶν οἷον ἀνδραγαθήματός τινος ἢ ἐπανορθώματος κάτοπτρα ἐπινενοήκασιν, ἐφ' ἧς ἁπάντης μάλιστα κάλυμμα ἐπιτιθέναι ἐχρῆν, οὐδὲ γάρ, ὡς ὁ μῦθος Ἑλλήνων ἔχει, Ναρκίσσῳ προεχώρησεν τῷ καλῷ τῆς ἑαυτοῦ εἰκόνος γενέσθαι θεατήν.

§. 12. Εἰ δὲ οὐδεμίαν εἰκόνα ὁ Μωϋσῆς παραγγέλλει ποιεῖσθαι τοῖς ἀνθρώποις ἀντίτεχνον τῷ θεῷ, πῶς ἂν εὐλόγως ποιοῖεν αἱ γυναῖκες αὗται σφῶν κατὰ ἀνάκλασιν ἀπομιμούμεναι τὰς εἰκόνας εἰς τοῦ προσώπου τὴν ψευδοποιίαν; ἀλλὰ καὶ τῷ Σαμουὴλ τῷ προφήτῃ, ὁπότε πέμπεται ἕνα χρίσαι τῶν υἱῶν Ἰεσσαὶ εἰς βασιλέα καὶ τὸν πρεσβύτατον τῶν παίδων

*) Ierem. 4, 30. **) 2 Cor. 4, 18.

αὐτοῦ καλὸν καὶ μέγαν ἰδόντι, ὁπότε τὸ χρίσμα προσέβαλεν ὁ Σαμουὴλ, ἠσθεὶς ἐπ᾽ αὐτῷ, „εἶπεν", φησὶν, „ὁ κύριος αὐτῷ· μὴ ἐπιβλέψῃς εἰς τὴν ὄψιν αὐτοῦ καὶ τὸ ὕψος τοῦ μεγέθους αὐτοῦ, ὅτι ἀπώσμαι αὐτόν. ἄνθρωπος μὲν γὰρ εἰς ὀφθαλμοὺς ὄψεται καὶ κύριος εἰς καρδίαν"*), καὶ οὐκ ἔχρισε τὸν P. 95 καλὸν τὸ σῶμα, ἀλλὰ τὸν καλὸν τὴν ψυχήν. εἰ P. 259 Sylb. οὖν τὸ φυσικὸν τοῦ σώματος κάλλος ἔλαττον Pott. τοῦ ψυχικοῦ λογίζεται κύριος, τί περὶ τοῦ νόθου φρονεῖ ἅπαν τὸ ψεῦσμα ἄρδην ἐκβαλών; „διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους"**). σαφέστατα γοῦν ὁ κύριος διὰ τοῦ Ἀβραὰμ διδάσκει καὶ πατρίδος***) καὶ συγγενῶν καὶ κτήσεως καὶ πλούτου παντὸς καταφρονεῖν τὸν ἑπόμενον τῷ θεῷ, ποιήσας αὐτὸν ἐπήλυν, καὶ διὰ τοῦτο καὶ „φίλον"†) φίτὸν ὠνόμασεν τῆς οἰκοι καταφρονήσαντα περιουσίας· εὐπατρίδης γὰρ ἦν καὶ εὔπορος σφόδρα. τριακοσίοις γοῦν καὶ ὀκτὼ καὶ δέκα††) οἰκέταις ἰδίοις κεχείρωται τοὺς τέσσαρας βασιλεῖς τοὺς αἰχμαλωτεύσαντας τὸν Λώτ. μόνην εὑρίσκομεν τὴν Ἐσθὴρ †††) δικαίως κοσμουμένην. ἐκαλλωπίζετο μυστικῶς ἡ γυνὴ βασιλεῖ τῷ ἑαυτῆς, ἀλλὰ τὸ κάλλος αὐτῆς ἐκεῖνο λύτρον εὑρίσκεται φονευομένου λαοῦ.

§. 13. Ὅτι δὲ ἑταίρας μὲν ποιεῖ τὰς γυναῖκας ὁ καλλωπισμὸς, ἀνδρογύνους δὲ τοὺς ἄνδρας καὶ μοιχικούς, μάρτυς ἡμῖν ὁ τραγικὸς διηγούμενος ὧδέ πως·

ἐλθὼν δ᾽ ἐκ Φρυγῶν ὁ τὰς θεὰς
κρίνων ὅδ᾽, ὡς ὁ μῦθος Ἀργείων ἔχει,
Λακεδαίμον᾽, ἀνθηρὸς μὲν εἱμάτων στολῇ
χρυσῷ τε λαμπρὸς βαρβάρῳ χλιδήματι,
ἐρῶν ἐρῶσαν ὦχετ᾽ ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ᾽ ἔκδημον λαβὼν
Μενέλαον.

*) 1 Reg. 16, 7. **) 2 Cor. 5, 7. ***) Genes. 12, 1 sq. †) Iac. 2, 23. ††) Genes. 14, 14 sq. †††) Esth. c. 5.

ὦ κάλλους μοιχικοῦ· ἀνέτρεψε τὴν Ἑλλάδα ἡ βάρβαρος φιλοκοσμία καὶ ἡ ἀνδρόγυνος τρυφή· σωφροσύνην διέφθειρε Λυκωνικὴν ἐσθὴς καὶ χλιδὴ καὶ κάλλος ὡραῖον· αἱ βάρβαροι φιλοκοσμίαι ἑταίραν ἠλεγξαν τὴν Διὸς θυγατέρα. οὐκ ἦν παιδαγωγὸς αὐτοῖς ἀνακόπτων τὰς ἐπιθυμίας, οὐδὲ μὲν ὃ λέγων, „μὴ μοιχεύσῃς", οὐδὲ „μὴ ἐπιθυμήσῃς" *) λέγων, μηδὲ εἰς μοιχείαν ὁδεύσῃς διὰ ἐπιθυμίας, ἀλλὰ μηδὲ τὰς ὀρέξεις ἐκκαύσῃς διὰ φιλοκοσμίας. οἷον αὐτοῖς τὸ ἐπὶ τούτοις ἐξηκολούθησε τέλος καὶ ὅσων ἀπέλαυσαν κακῶν οἱ φιλαυτίαν κωλῦσαι μὴ θελήσαντες ἤπειροι κεκίνηνται δύο ἀπαιδεύτοις ἡδοναῖς καὶ κλονεῖται τὰ πάντα μειρακίῳ βαρβάρῳ· Ἑλλὰς ὅλη ναυτιλλεται, στενοχωρεῖται δὲ ἡ θάλασσα ἠπείρους φέρουσα· πόλεμος ἐκριπίζεται μακρὸς καὶ μάχαι καταρρήγνυνται καρτεραὶ καὶ νεκρῶν ἐμπίπλαται τὰ πεδία· ἐνυβρίζει τῷ ναυστάθμῳ ὁ βάρβαρος· ἀδικία κρατεῖ καὶ P. 260 τοῦ ποιητοῦ Διὸς ἐκείνου τὸ ὄμμα τοὺς Θρᾷκας Pott. βλέπει· εὐγενὲς αἷμα βάρβαρα πίνει πεδία καὶ ποταμῶν ῥεύματα σώματα ἵσταται νεκροῖς· στήθη κρούεται θρήνοις καὶ τὸ πένθος ἐπινέμεται τὴν γῆν, πάντες δὲ σείονται

πόδες πολυπιδάκου Ἴδης
καὶ κορυφαὶ Τρώων τε πόλεις καὶ νῆες Ἀχαιῶν **).

§. 14. Πῇ φύγωμεν, Ὅμηρε, καὶ στῶμεν; δεῖξον ἡμῖν γῆν μὴ κεκινημένην. μὴ θίγῃς ἡνίων, παιδίον, ἄπειρος ὤν, μηδὲ ἀναβῇς τὸν δίφρον ἐλαύνειν μὴ μαθών. δυσὶν ἡνιόχοις οὐρανὸς ᾖδεται, οἷς μόνοις ἐλαυνόμενον ἄγεται τὸ πῦρ· μετάγεται γὰρ ἡ διάνοια ὑπὸ ἡδονῆς, καὶ τὸ ἀκήρατον τοῦ λογισμοῦ μὴ παιδαγωγούμενον τῷ λόγῳ εἰς ἀσέλγειαν κατολισθαίνει καὶ μιᾶθὴν τοῦ παραπτώματος τὸ ἀπόπτωμα λαμβάνει. δεῖγμά σοι τούτων οἱ ἄγγελοι τοῦ θεοῦ τὸ κάλλος καταλελοιπότες διὰ κάλλος μαραινόμενον

*) Exod. 20, 13, 17. **) Hom. Il, v. 59 sq.

καὶ τοσοῦτον ἐξ οὐρανῶν ἀποπεσόντες χαμαί. ἀλλὰ καὶ Σκιμῖται κολάζονται καταπεπτωκότες τὴν ἁγίαν ὑβρίζοντες παρθένον, τάφος ἡ κόλασις αὐτοῖς καὶ τὸ μνημόσυνον τῆς ἐπιτιμίας εἰς σωτηρίαν παιδαγωγεῖ.

Cap. III.

P. 261 Pott.

Πρὸς τοὺς καλλωπιζομένους τῶν ἀνδρῶν.

§. 15. Εἰς τοσοῦτον δὲ ἄρα ἐλήλακεν ἡ χλιδὴ, ὡς μὴ τὸ θῆλυ μόνον νοσεῖν περὶ τὴν κενοσπουδίαν ταύτην, ἀλλὰ καὶ τοὺς ἄνδρας ζηλοῦν τὴν νόσον. μὴ γὰρ καθαρεύοντες καλλωπισμοῦ οὐχ ὑγιαίνουσιν, πρὸς δὲ τὸ μαλθακώτερον ἀποκλίναντες γυναικίζονται, κουρὰς μὲν ἀγεννεῖς καὶ πορνικὰς ἀποκειρόμενοι, χλανίσι δὲ διαφανέσι

περιπεπεμμένοι,

καὶ μαστίχην τρώγοντες, ὄζοντες μύρου.

τί ἂν τις φαίη τούτους ἰδών; ἀτεχνῶς καθάπερ μετωποσκόπος ἐκ τοῦ σχήματος αὐτοὺς καταμαντεύεται μοιχούς τε καὶ ἀνδρογύνους, ἀμφοτέραν ἀφροδίτην θηρωμένους, μισότριχας, ἄτριχας, τὸ ἄνθος τὸ ἀνδρικὸν μυσαττομένους, τὰς κόμας δὲ, ὥσπερ αἱ γυναῖκες, κοσμουμένους. ἐπ' οὐχ ὁσίοις δὲ τόλμαις οἱ παλίμβολοι

ζῶντας ῥέζουσιν ἀτάσθαλα καὶ κακὰ ἔργα,

φησὶν ἡ Σίβυλλα. διὰ τούτους γοῦν πλήρεις αἱ πόλεις πιττούντων, ζυρούντων, παρατιλλόντων τοὺς θηλυδρίας τούτους, ἐργαστήρια δὲ κατεσκεύασται καὶ ἀνέῳκται πάντη καὶ τεχνῖται τῆς ἑταιρικῆς ταύτης πορνείας συχνὸν ἐμπολῶσιν ἀργύριον ἐμφανῶς, οἳ σφᾶς καταπιττοῦσιν, καὶ τὰς τρίχας τοῖς ἀνασπῶσι πάντα τρόπον παρέχουσιν, οὐδὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας οὐδὲ τοὺς παριόντας, ἀλλ' οὐδὲ ἑαυτοὺς ἄνδρας ὄντας· τοιοῦτοι γὰρ οἱ τῶν ἀγενεστέρων ζη-

λωταὶ παθῶν ἅπαν τὸ σῶμα τοῖς βιαίοις τῆς πίττης ὁλκοῖς λελειουργημένοι.

§. 16. Μέλει δὲ οὐδ' ὁπωστιοῦν περαιτέρω τῆς τοιαύτης προβαίνειν ἀναισχυντίας. εἰ γὰρ μηδὲν ἄπρακτον αὐτοῖς ὑπολείπεται, οὐδὲ ἐμοὶ ἄρρητον. ἕνα τινὰ τούτων τῶν ἀγεννῶν παιδαγωγικῶς ἐπιπλήττων ὁ Διογένης ὀπηνίκα ἐπιπράσκετο, ἀνδρεῖως σφόδρα, ἦκε, εἶπεν, μειράκιον, ἄνδρα ὤνησαι σαυτῷ, ἀμφιβόλῳ λόγῳ τὸ πορνικὸν ἐκείνου σωφρονίζων. τὸ γὰρ ἄνδρας ὄντας ξυρᾶσθαι καὶ λαίνεσθαι πῶς οὐκ ἀγεννές; βαφὰς δέ τινας τριχῶν καὶ χρίσματα πολιῶν καὶ ξανθίσματα ἀνδρογύνων ἐξωλῶν ἐπιτηδεύματα, καὶ τοὺς διακτενισμοὺς αὐτῶν τοὺς θηλυδριώδεις μεθετέον. ἡγοῦνται γὰρ καθάπερ ὄφις τῆς κεφαλῆς ἀπεκδύσασθαι τὸ γῆρας μεταγράφοντες ἑαυτοὺς καὶ νεοποιοῦντες, εἰ καὶ σοφίσονται τὰς τρίχας, ἀλλ' οὐ τὰς ῥυτίδας διαφεύξονται, ἀλλ' οὐ λήσονται τὸν θάνατον σοφιζόμενοι τὸν χρόνον. οὐ γὰρ δεινὸν, οὐ δεινὸν γέροντ' ἂν δοκεῖν τὸ εἶναι λαθεῖν μὴ δυνάμενον. ὅσῳ γοῦν ὁ ἄνθρωπος σπεύδει πρὸς τὸ τέλος, τοσούτῳ τιμιώτερος πρὸς ἀλήθειαν, μόνον ἔχων αὐτοῦ πρεσβύτερον τὸν θεὸν, ἐπεὶ κἀκεῖνος ἀΐδιος γέρων ὢν τῶν ὄντων πρεσβύτερος· „παλαιὸν ἡμερῶν" κέκληκεν αὐτὸν ἡ προφητεία, „καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν"*), ὁ προφήτης λέγει. οὐδεὶς δὲ ἄλλος, φησὶν ὁ κύριος, „δύναται ποιῆσαι τρίχα λευκὴν ἢ μέλαιναν"**).

§. 17. Πῶς οὖν ἀντιδημιουργοῦσι τῷ θεῷ, μᾶλλον δὲ ἀντικεῖσθαι βιάζονται οἱ ἄθεοι τὴν ὑπ' αὐτοῦ πεπολιωμένην παραχαράττοντες τρίχα; „στέφανος δὲ γερόντων πολυπειρία"***), φησὶν ἡ γραφὴ, καὶ τοῦ προσώπου ἡ πολιὰ ἄνθος πολυπειρίας· οἱ δὲ

*) Dan. 7, 9. **) Matth. 5, 36. ***) Eccles. 25, 6.

καὶ τοσοῦτον ἐξ οὐρανῶν ἀποπεσόντες χαμαί. ἀλλὰ καὶ Σκιμῖται κολάζονται καταπεπτωκότες τὴν ἁγίαν ὑβρίζοντες παρθένον, τάφος ἡ κόλασις αὐτοῖς καὶ τὸ μνημόσυνον τῆς ἐπιτιμίας εἰς σωτηρίαν παιδαγωγεῖ.

Cap. III.

P. 261 Pott.

Πρὸς τοὺς καλλωπιζομένους τῶν ἀνδρῶν.

§. 15. *Εἰς τοσοῦτον δὲ ἄρα ἐλήλακεν ἡ χλιδὴ, ὡς μὴ τὸ θῆλυ μόνον νοσεῖν περὶ τὴν κενοσπουδίαν ταύτην, ἀλλὰ καὶ τοὺς ἄνδρας ζηλοῦν τὴν νόσον. μὴ γὰρ καθαρεύοντες καλλωπισμοῦ οὐχ ὑγιαίνουσιν, πρὸς δὲ τὸ μαλθακώτερον ἀποκλίναντες γυναικίζονται, κουρὰς μὲν ἀγεννεῖς καὶ πορνικὰς ἀποκειρόμενοι, χλανίσι δὲ διαφανέσι*

περιπεπεμμένοι,

καὶ μαστίχην τρώγοντες, ὄζοντες μύρου.

τί ἂν τις φαίη τούτους ἰδών; ἀτεχνῶς καθάπερ μετωποσκόπος ἐκ τοῦ σχήματος αὐτοὺς καταμαντεύεται μοιχούς τε καὶ ἀνδρογύνους, ἀμφοτέραν ἀφροδίτην θηρωμένους, μισότριχας, ἄτριχας, τὸ ἄνθος τὸ ἀνδρικὸν μυσαττομένους, τὰς κόμας δὲ, ὥσπερ αἱ γυναῖκες, κοσμουμένους. ἐπ' οὐχ ὁσίοις δὲ τόλμαις οἱ παλίμβολοι

ζῶντας ῥέζουσιν ἀτάσθαλα καὶ κακὰ ἔργα,

φησὶν ἡ Σίβυλλα. διὰ τούτους γοῦν πλήρεις αἱ πόλεις πιττούντων, ζυρούντων, παρατιλλόντων τοὺς θηλυδρίας τούτους, ἐργαστήρια δὲ κατεσκεύασται καὶ ἀνέῳκται πάντη καὶ τεχνῖται τῆς ἑταιρικῆς ταύτης πορνείας συχνὸν ἐμπολῶσιν ἀργύριον ἐμφανῶς, οἱ σφᾶς καταπιττοῦσιν, καὶ τὰς τρίχας τοῖς ἀνασπῶσι πάντα τρόπον παρέχουσιν, οὐδὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας οὐδὲ τοὺς παριόντας, ἀλλ' οὐδὲ ἑαυτοὺς ἄνδρας ὄντας· τοιοῦτοι γὰρ οἱ τῶν ἀγενεστέρων ζη-

λωταὶ παθῶν ἅπαν τὸ σῶμα τοῖς βιαίοις τῆς πίττης ὁλκοῖς λελειουργημένοι.

§. 16. Μέλει δὲ οὐδ' ὁπωστιοῦν περαιτέρω τῆς τοιαύτης προβαίνειν ἀναισχυντίας. εἰ γὰρ μηδὲν ἄπρακτον αὐτοῖς ὑπολείπεται, οὐδὲ ἐμοὶ ἄρρητον. ἕνα τινὰ τούτων τῶν ἀγεννῶν παιδαγωγικῶς P. 96 ἐπιπλήττων ὁ Διογένης ὀπηνίκα ἐπιπράσκετο, ἀν- 8yib. δρείως σφόδρα, ἦκε, εἶπεν, μειράκιον, ἄνδρα ὠνησαι σαυτῷ, ἀμφιβάλῳ λόγῳ τὸ πορνικὸν ἐκείνου σωφρονίζων. τὸ γὰρ ἄνδρας ὄντας ξυρᾶσθαι καὶ λαίνεσθαι πῶς οὐκ ἀγεννές; βαφὰς δέ τινας τριχῶν καὶ χρίσματα πολιῶν καὶ ξανθίσματα ἀνδρογύνων ἐξωλῶν ἐπιτηδεύματα, καὶ τοὺς διακτενισμοὺς αὐτῶν τοὺς θηλυδριώδεις μεθετέον. ἡγοῦνται γὰρ P. 262 καθάπερ ὄφις τῆς κεφαλῆς ἀπεκδύσασθαι τὸ γῆρας Pott. μεταγράφοντες ἑαυτοὺς καὶ νεοποιοῦντες, εἰ καὶ σοφίσονται τὰς τρίχας, ἀλλ' οὐ τὰς ῥυτίδας διαφεύξονται, ἀλλ' οὐ λήσονται τὸν θάνατον σοφιζόμενοι τὸν χρόνον. οὐ γὰρ δεινὸν, οὐ δεινὸν γέροντ' εἶν δοκεῖν τὸ εἶναι λαθεῖν μὴ δυνάμενον. ὅσῳ γοῦν ὁ ἄνθρωπος σπεύδει πρὸς τὸ τέλος, τοσούτῳ τιμιώτερος πρὸς ἀλήθειαν, μόνον ἔχων αὐτοῦ πρεσβύτερον τὸν θεὸν, ἐπεὶ κἀκεῖνος ἀΐδιος γέρων ὢν τῶν ὄντων πρεσβύτερος· „παλαιὸν ἡμερῶν" κέκληκεν αὐτὸν ἡ προφητεία, „καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν"*), ὁ προφήτης λέγει. οὐδεὶς δὲ ἄλλος, φησὶν ὁ κύριος, „δύναται ποιῆσαι τρίχα λευκὴν ἢ μέλαιναν"**).

§. 17. Πῶς οὖν ἀντιδημιουργοῦσι τῷ θεῷ, μᾶλλον δὲ ἀντικεῖσθαι βιάζονται οἱ ἄθεοι τὴν ὑπ' αὐτοῦ πεποιλωμένην παραχαράττοντες τρίχα; „στέφανος δὲ γερόντων πολυπειρία"***), φησὶν ἡ γραφὴ, καὶ τοῦ προσώπου ἡ πολιὰ ἄνθος πολυπειρίας· οἱ δὲ

*) Dan. 7, 9. **) Matth. 5, 36. ***) Eccles. 25, 6.

σοῦν ἐστὶ περιδέραιον, καὶ οἱ στρεπτοὶ οἵ τε καθετῆρες καλούμενοι ἁλύσεων ἐπέχοντες τρόπον καὶ παρὰ τοῖς Ἀττικοῖς αὐτῷ τούτῳ τῷ ὀνόματι ἁλύσεις κέκληνται. πέδας δὲ περισφυρίους τὴν περὶ τοὺς πόδας ἀκοσμίαν τῶν γυναικῶν Φιλήμων ἐν συνεφήβῳ προσεῖπεν·

ἱμάτια διαφαίνοντα καὶ πέδην τινὰ χρυσῆν.

§. 123. Τί οὖν ἔτι ὁ καλλωπισμὸς ὁ ζηλωτὸς ἢ ἐθέλειν ὑμᾶς, ὦ γυναῖκες, σφᾶς αὐτὰς φαίνεσθαι πεπεδημένας; εἰ γὰρ ἡ ὕλη τὸ ὄνειδος ὑπεκλύει, τὸ πάθος ἀδιάφορον. ἔμοιγ' οὖν δοκοῦσιν ἑκουσίως περιπίπτουσαι δεσμοῖς αὐχεῖν ἐπὶ συμφοραῖς πλουσίαις. ἴσως δὲ καὶ ὁ ποιητικὸς μῦθος τοιούτους δεσμοὺς μοιχευομένῃ τῇ Ἀφροδίτῃ περιβεβλῆσθαι λέγει, οὐδὲν ἀλλ' ἢ μοιχείας σύμβολον αἰνιττόμενος τὰ κόσμια· χρυσοῦς γὰρ εἶπε κἀκείνους Ὅμηρος τοὺς δεσμούς. ἤδη δὲ τὰ φανερώτατα τοῦ πονηροῦ σύμβολα οὐκ αἰσχύνονται περικείμενοι. ὡς γὰρ τὴν Εὔαν ὁ ὄφις ἠπάτησεν, οὕτω δὲ καὶ P. 245 τὰς ἄλλας γυναῖκας ὁ κόσμος ὁ χρυσοῦς δελέατι Pott. προσχρώμενος τοῦ ὄφεως τῷ σχήματι ἐξέμηνεν εἰς ὕβρεις, σμυραίνας τινὰς καὶ ὄφεις ἀποπλαττομένας εἰς εὐπρέπειαν. λέγει γοῦν ὁ κωμικὸς Νικόστρατος,

ἁλύσεις, καθετῆρας, δακτυλίους, βουβάλι', ὄφεις, περισκελίδας, ἑλλέβορον.

§. 124. Πάνυ γοῦν ἐπιψόγως πάντα τὸν γυναικεῖον καταλεγόμενος κόσμον Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ὑποδείκνυσιν. παραθήσομαι δὲ αὐτὰς τοῦ κωμικοῦ τὰς λέξεις διελεγχούσας ἀκριβῶς τὸ φορτικὸν ὑμῶν τῆς ἀπειραγαθίας·

α. μίτρας, ἀναδήματα, λίτρον, κίσηριν, στρόφον, ὀπισθοσφενδόνην, κάλυμμα, φῦκος, περιδέραι', ὑπογράμματα, τρυφοκαλάσιριν, * * *, κεκρύφαλον,

ζῶμ', ἀμπέχονον, τρύφημα, παρυφὲς, ξυστίδα, χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον· τὰ μέγιστα δ' οὐκ εἴρηκα τούτων. β. εἶτα τί; α. διόπας, διάλιθον, πλάστρα, μαλάχιον, βότρυν, χλίδωνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας, P. 246 P. 91 σφραγῖδας, ἁλύσεις, δακτυλίους, καταπλά- Pott. Sylb. σματα, πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια, ὑποδερίδας, ἑλικτῆρας. ἐγὼ μὲν ἔκαμον καὶ ἄχθομαι λέγων τὸ πλῆθος τῶν κοσμίων, τὰς δὲ καὶ θαυμάζειν ἔπεισί μοι, ὡς ἄρα οὐκ ἀποκναίονται τοσοῦτον ἄχθος βαστάζουσαι.

§. 125. Ὦ τῆς κενῆς πολυπραγμοσύνης, ὦ τῆς ματαίας δοξομανίας· ἐκχέουσιν ἑταιρικῶς τὸν πλοῦτον εἰς ὄνειδος, καὶ τοῦ θεοῦ τὰ δωρήματα ἀπεκαλίᾳ παραχαράττουσι ζηλοῦσαι τοῦ πονηροῦ τὴν τέχνην. σαφῶς δὲ ὁ κύριος ἐν τῷ εὐαγγελίῳ τὸν πλούσιον τὸν θησαυρίζοντα εἰς τὰς ἀποθήκας καὶ πρὸς ἑαυτὸν λέγοντα „ἔχεις ἀγαθὰ πολλὰ ἀποκείμενα εἰς ἔτη πολλά, φάγε, πίε, εὐφραίνου", ἄφρονα ἐκάλεσεν, „ταύτῃ γὰρ τῇ νυκτὶ τὴν ψυχήν σου παραλαμβάνουσιν. ἃ οὖν ἡτοίμασας, τίνος γένηται"*); Ἀπελλῆς ὁ ζωγράφος θεασάμενός τινα τῶν μαθητῶν Ἑλένην ὀνόματι πολύχρυσον γράψαντα, ὦ μειράκιον, εἶπεν, μὴ δυνάμενος γράψαι καλὴν πλουσίαν πεποιήκας. τοιαῦται τοίνυν Ἑλέναι αἱ νῦν εἰσὶ γυναῖκες, οὐ καλαὶ γνησίως, πεπλασμέναι δὲ πλουσίως.

§. 126. Ταύταις προφητεύει διὰ τοῦ Σοφονίου τὸ πνεῦμα· „καὶ τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον αὐτῶν οὐ μὴ δύνηται ἐξελέσθαι αὐτοὺς ἐν ἡμέρᾳ ὀργῆς κυρίου"**). ταῖς δὲ ὑπὸ Χριστοῦ παιδαγωγουμέναις οὐ χρυσίῳ κοσμεῖσθαι προσήκει, ἀλλὰ τῷ λόγῳ, δι' οὗ μόνου καταφαίνεται τὸ χρυσίον.

*) Luc. 12, 19 sq. **) Sophon. 1, 18.

μακάριοι μέν τἂν ἦσαν οἱ παλαιοὶ τῶν Ἑβραίων, εἰ περιελόμενοι τὸν κόσμον τῶν γυναικῶν ἔρριψαν ἢ ἐχώνευσαν μόναν, νυνὶ δὲ εἰς βοῦν χρυσοχοήσαντες καὶ τούτῳ εἰδωλολατρήσαντες αὐτοὶ μὲν οὖν οὐκ ὤναντο οὔτε τῆς τέχνης οὔτε τῆς ἐπιβολῆς, ἐδίδαξαν δὲ ἡμῶν τὰς γυναῖκας τυπικώτατα κοσμίων ἀπεσχῆσθαι. τὸ γοῦν ἐκπορνεῦσαν τῆς ἐπιθυμίας εἰς χρύσιον εἴδωλον γίνεται βασανιζόμενον πυρὶ, ᾧ μόνῳ τηρεῖται τρυφὴ καθάπερ εἰδώλου, οὐκ ἀλήθεια. ἐντεῦθεν ὀνειδίζων ὁ λόγος διὰ τοῦ προφήτου τοὺς Ἑβραίους, „ἀργυρᾶ καὶ χρυσᾶ", φησὶν, „ἐποίησαν τῇ Βαάλ"*), κόσμια δηλονότι, καὶ ἐναργέστατα ἐπαπειλῶν „καὶ ἐκδικήσω", λέγει, „ἐπ' αὐτὴν τὰς ἡμέρας τῶν Βααλείμ, ἐν αἷς ἐπέθυσαν αὐτῇ καὶ περιεστέλλετο τὰ ἐνώτια ἑαυτῆς καὶ τὰ καθόρμια αὐτῆς"**). καὶ τὴν αἰτίαν τοῦ κοσμήματος ἐπήγαγεν εἰπών· „καὶ ἐπορεύετο ὀπίσω τῶν ἐραστῶν αὐτῆς, ἐμοῦ δὲ ἐπελάθετο, λέγει κύριος". P. 247

§. 127. Ἀποθέμενοι τοίνυν τοὺς λήρους Pott.
αὐτῷ πονηρῷ σοφιστῇ τοῦ ἑταιρικοῦ τούτου μὴ μετεχόντων καλλωπισμοῦ μηδὲ εἰδωλολατρούντων διὰ παραπετάσματος εὐπρεποῦς. πάνυ γοῦν θαυμασίως ὁ Πέτρος ὁ μακάριος, „γυναῖκας", φησὶν, „ὡσαύτως μὴ ἐν πλέγμασιν ἢ χρυσῷ ἢ μαργαρίταις ἢ ἱματισμῷ πολυτελεῖ, ἀλλ' ὃ πρέπει γυναιξὶν ἐπαγγελλομέναις θεοσέβειαν, δι' ἔργων ἀγαθῶν σφᾶς αὐτὰς κοσμουσῶν"***). καὶ γὰρ εἰκότως ἀπεῖναι αὐτῶν τὸν καλλωπισμὸν κελεύει, εἰ μὲν γὰρ καλαὶ εἶεν, ἀπόχρη ἡ φύσις, μὴ φιλονικείτω ἡ τέχνη πρὸς τὴν φύσιν, τουτέστιν ἀπάτη ἀληθείᾳ μὴ ἐριζέτω· εἰ δὲ αἰσχραὶ φύσει, ἐλέγχουσιν ἐξ ὧν προσάπτουσιν ἃ μὴ ἔχουσιν.

§. 128. Προσήκει τοίνυν λιτότητα ἀσπάζεσθαι

*) Hos. 2, 8. **) Ibid. v. 13. ***) 1 Timoth. 2, 9 sq.

τὰς Χριστῷ λατρευούσας. τῷ ὄντι γὰρ ἡ λιτότης ἀγιοσύνης προμηθεῖται ἐξισοῦσα τὰς πλεονεξίας καὶ διὰ τῶν τυχόντων τὴν ἀπὸ τῶν περιττῶν κομιζομένη χρείαν. τὸ γὰρ λιτὸν, ἢ καὶ τοὔνομα ἐμφαίνει, οὐκ ἐξέχει οὐδὲ κατᾶ τι ὀγκοῦται ἢ τνφοῦται, ὁμαλὸν δὲ ὅλον καὶ λεῖον καὶ ἴσον καὶ ἀπέριττον καὶ ταύτῃ ἱκανόν ἐστιν, ἱκανότης δὲ ἕξις ἐστὶν ἐξικνουμένη πρὸς τὸ οἰκεῖον πέρας ἀνελλιπῶς καὶ ἀπερίττως· μήτηρ δὲ αὐτῶν ἡ δικαιοσύνη, τιθηνὴ δὲ ἡ αὐτάρκεια. αὕτη γοῦν τοί ἕξις ἐστὶν ἀρκουμένη οἷς δεῖ καὶ δι' αὐτῆς πορισικὴ τῶν πρὸς τὸν μακάριον συντελούντων βίον.

§. 129. Ἔστω οὖν ἐπὶ μὲν καρποῖς τῶν χειρῶν ὑμῶν κόσμος ἅγιος, εὐμετάδοτος κοινωνία καὶ ἔργα οἰκουρίας. „ὁ γὰρ διδοὺς πτωχῷ δανείζει θεῷ"*), καὶ „χεῖρες ἀνδρείων πλουτίζουσιν"**). ἀνδρείους τοὺς καταφρονοῦντας χρημάτων καὶ περὶ τὰς μεταδόσεις εὐκόλους εἴρηκεν. ἐπὶ δὲ τῶν ποδῶν ἡ ἄοκνος πρὸς εὐποιΐαν ἑτοιμότης ἐπιφαινέσθω καὶ ἡ πρὸς δικαιοσύνην ὁδοιπορία. καθετῆρες δὲ καὶ περιδέραια αἰδὼς καὶ σωφροσύνη εἰσίν. τοιούτους ὅρμους χρυσοχοεῖ ὁ θεός. „μακάριος ἄνθρωπος, ὃς εὗρεν σοφίαν, καὶ ἄνητὸς, ὃς οἶδε φρόνησιν," διὰ Σολομῶντος τὸ πνεῦμα, „κρεῖσσον γὰρ αὐτὴν ἐμπορευθῆναι ἢ χρυσίου καὶ ἀργυρίου θησαυροὺς, τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν"***). αὕτη γὰρ ἡ ἀληθινὴ εὐκοσμία. τὰ δὲ ὦτα αὐταῖς P. 248 παρὰ φύσιν μὴ τιτράσθω εἰς ἀπάρτησιν ἐλλοβίων καὶ Pott. πλάστρων· οὔτε γὰρ θέμις βιάζεσθαι τὴν φύσιν, παρ' ὃ βεβούληται, οὔτε μὴν ἄλλος ἀμείνων ἂν εἴη τῶν ὠτῶν κόσμος εἰς τοὺς κατὰ φύσιν τῆς ἀκοῆς καταβαίνων πόρους κατηχήσεως ἀληθοῦς. ὀφθαλ-

*) Proverb. 19, 17. **) Ibid. 10, 4. ***) Ibid. 3, 13 — 15.

μοὶ δὲ ὑπαληλιμμένοι λόγῳ καὶ ὦτα εἰς αἴσθησιν διατετρημένα θείων ἀκουστὴν καὶ ἁγίων ἐπόπτην παρασκευάζουσιν δεικνύντος ὡς ἀληθῶς τοῦ λόγου τὸ κάλλος τὸ ἀληθινὸν, „ὃ ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οὖς ἤκουσε πρότερον“ *).

Κλήμεντος παιδαγωγοῦ τῶν εἰς τρία τὸ δεύτερον.

*) 1 Cor. 2, 9.

ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΠΑΙΔΑΓΩΓΟΥ ΛΟΓΟΣ ΤΡΙΤΟΣ.

P. 92 Sylb. **CLEMENTIS ALEXANDRINI** P. 250 Pott.

PAEDAGOGI LIBER TERTIUS.

Argumentum.

Cap. I. De vera pulcritudine (§. 1 — 3.). C. II. Non esse fuco vtendum (§. 4 — 14.). C. III. Aduersus viros, qui formam nimium colant (§. 15 — 25.). C. IV. Quorum consuetudine vtamur (§. 26 — 30.). C. V. Quomodo in balneis se gerere oporteat (§. 31 — 33.). C. VI. Solum diuitem esse Christianum (§. 34 — 36.). C. VII. Pulcrum viaticum Christiano esse frugalitatem (§. 37—40.). C. VIII. Similitudines et exempla esse rectae doctrinae partem maximam (§. 41 — 45.). C. IX. Quanam de caussa sit ad balneum accedendum (§. 46 — 48.). C. X. Exercitia quoque esse eligenda iis, qui vitam agunt rationi consentaneam (§. 49 — 52.). C. XI. Compendiosa optimae vitae pertractatio (§. 53 — 83.). C. XII. Percursio eiusdem modi breuis optimae vitae; et quot loci scripturae sacrae vitam Christianorum describant (§. 84 — 100.).

Cap. I.

Περὶ τοῦ κάλλους τοῦ ἀληθινοῦ.

§. 1. *Ἦν ἄρα ὡς ἔοικε πάντων μέγιστον μαθημάτων τὸ γνῶναι αὐτόν· ἑαυτὸν γὰρ τις ἐὰν γνῷ, θεὸν εἴσεται, θεὸν δὲ εἰδὼς**) *ἐξομοιω-*

*) Cf. 1 Ioann. 3, 2.

θήσεται θεῷ, οὐ χρυσοφορῶν οὐδὲ ποδηροφορῶν, ἀλλὰ ἀγαθοεργῶν καὶ ὅτι μάλιστα ὀλιγίστων δεόμενος, ἀνενδεὴς δὲ μόνος ὁ θεὸς καὶ χαίρει μάλιστα μὲν καθαρεύοντας ἡμᾶς ὁρῶν τῷ τῆς διανοίας κόσμῳ, ἔπειτα δὲ καὶ τῷ τοῦ σώματος ἁγνὴν στολὴν, σωφροσύνην, περιβεβλημένῳ. τριγενοῦς οὖν ὑπαρχούσης τῆς ψυχῆς τὸ νοερὸν, ὃ δὴ λογιστικὸν καλεῖται, ὁ ἄνθρωπός ἐστιν ὁ ἔνδον, ὁ τοῦ φαινομένου τοῦδε ἄρχων ἀνθρώπου, αὐτὸν δὲ ἐκεῖνον ἄλλος ἄγει, ὁ θεός· τὸ δὲ θυμικὸν θηριῶδες ὂν πλησίον μανίας οἰκεῖ, πολύμορφον δὲ τὸ ἐπιθυμητικὸν καὶ τρίτον ὑπὲρ τὸν Πρωτέα τὸν θαλάττιον δαίμονα ποικίλον, ἄλλοτε ἄλλως μετασχηματιζόμενον εἰς μοιχείας καὶ λαγνείας καὶ εἰς φθορὰς ἐξαρεσκευόμενον· ἤτοι μὲν πρώτιστα λέων γένετ' ἠϋγένειος *), P. 251 Pott.
ἔτι φέρων τὸν καλλωπισμὸν ἄνδρα δεῖκνυσιν ἡ τοῦ γενείου κόμη· αὐτὰρ ἔπειτα δράκων ἢ πάρδαλις ἠδὲ μέγας σῦς, κατώλισθεν εἰς τὴν ἀσέλγειαν ἡ φιλοκοσμία. οὐκέτι καρτερῷ θηρίῳ ἄνθρωπος φαίνεται, γίγνετο δ' ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον. ἐκχεῖται τὰ πάθη, ἐκβλύζονται αἱ ἡδοναὶ, μαραίνεται τὸ κάλλος καὶ θᾶττον ἀποπίπτει τοῦ πετάλου χάμαι, ὅταν αὐτοῦ καταπνεύσωσιν αἱ ἐρωτικαὶ τῆς ὕβρεως λαίλαπες καὶ πρὶν ἢ τὸ μετόπωρον ἐλθεῖν μαραίνεται τῇ φθορᾷ· πάντα γὰρ ἡ ἐπιθυμία γίνεταί τε καὶ πλάττεται καὶ φενακίζειν βούλεται, ἵνα κατακρύψῃ τὸν ἄνθρωπον, ὁ δὲ ἄνθρωπος ἐκεῖνος, ᾧ συνοικος ὁ λόγος, οὐ ποικίλλεται, οὐ πλάττεται, μορφὴν ἔχει τὴν τοῦ λόγου, ἐξομοιοῦται τῷ θεῷ, καλός ἐστιν, οὐ καλλωπίζεται· κάλλος ἐστὶ τὸ ἀληθινὸν, καὶ γὰρ ὁ θεὸς ἐστιν· θεὸς δὲ ἐκεῖνος ὁ ἄνθρωπος γίνεται, ὅτι βούλεται ὁ θεός.

§. 2. Ὀρθῶς ἄρα εἶπεν Ἡράκλειτος, ἄνθρω-

*) Hom. Od. δ. 457 sqq.

ποι θεοὶ, θεοὶ ἄνθρωποι· λόγος γὰρ οὐτὸς μυστήριον ἐμφανές. θεὸς ἐν ἀνθρώπῳ καὶ ὁ ἄνθρωπος θεὸς καὶ τὸ θέλημα τοῦ πατρὸς ὁ μεσίτης ἐκτελεῖ· μεσίτης γὰρ ὁ λόγος ὁ κοινὸς ἀμφοῖν, θεοῦ μὲν υἱὸς, σωτὴρ δὲ ἀνθρώπων, καὶ τοῦ μὲν διάκονος, ἡμῶν δὲ παιδαγωγός. δούλης δὲ οὔσης τῆς σαρκὸς, καθὼς καὶ ὁ Παῦλος μαρτυρεῖ, πῶς ἄν τις εἰκότως τὴν θεράπαιναν κοσμοίη προαγωγοῦ δίκην; ὅτι γὰρ δούλου μορφὴ τὸ σαρκικὸν, ἐπὶ τοῦ κυρίου φησὶν ὁ ἀπόστολος, „ὅτι ἐκένωσεν ἑαυτὸν μορφὴν δούλου λαβὼν"*), τὸν ἐκτὸς ἄνθρωπον, δοῦλον προσειπὼν πρὶν ἢ δουλεῦσαι καὶ σαρκοφορῆσαι τὸν κύριον. ὁ δὲ συμπαθὴς θεὸς αὐτὸς ἠλευθέρωσεν τὴν σάρκα τῆς φθορᾶς καὶ δουλείας τῆς θανατηφόρου καὶ πικρᾶς ἀπαλλάξας τὴν ἀφθαρσίαν περιέθηκεν αὐτῇ, ἅγιον τοῦτο τῇ σαρκὶ καὶ ἀϊδιότητος καλλώπισμα περιθεὶς, τὴν ἀθανασίαν.

§. 3. Ἔστι δὲ καὶ ἄλλο κάλλος ἀνθρώπων ἀγάπη· „ἀγάπη δὲ" κατὰ τὸν ἀπόστολον „μακροθυμεῖ, χρηστεύεται, οὐ ζηλοῖ, οὐ περπερεύεται, οὐ φυσιοῦται"**). περπερεία γὰρ ὁ καλλωπισμὸς περιττότητος καὶ ἀχρειότητος ἔχων ἔμφασιν. διὸ καὶ ἐπιφέρει· „οὐκ ἀσχημονεῖ", ἄσχημον γὰρ τὸ ἀλλότριον καὶ μὴ κατὰ φύσιν σχῆμα, τὸ δ' ἐπίπλαστον ἀλλότριον, ὅπερ ἐξηγεῖται σαφῶς „οὐ ζητεῖ" φήσας „τὸ μὴ ἑαυτῆς", τὸ γὰρ ἴδιον ἡ ἀληθεια τὸ οἰκεῖον κυλεῖ, τὸ δ' ἀλλότριον ἡ φιλοκοσμία ζητεῖ ἐκτὸς οὖσα καὶ τοῦ θεοῦ καὶ τοῦ λόγου καὶ τῆς ἀγάπης. τὸν δὲ κύριον αὐτὸν τὴν ὄψιν αἰσχρὸν γενόμενον διὰ Ἡσαΐου τὸ πνεῦμα μαρτυρεῖ· „καὶ εἴδομεν αὐτὸν καὶ οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον παρὰ τοὺς ἀνθρώπους"***). καὶ τίς ἀμείνων ἦν κυρίου; ἀλλ' οὐ τὸ κάλλος τῆς σαρκὸς τὸ φανταστικὸν, τὸ δὲ ἀληθινὸν

*) Philipp. 2, 7. **) 1 Cor. 13, 4 sq. ***) Isa. 53, 2 sq.

καὶ τῆς ψυχῆς καὶ τοῦ σώματος ἐνεδείξατο κάλλος, τῆς μὲν τὸ ἐνεργετικὸν, τὸ δὲ ἀθάνατον τῆς σαρκός.

Cap. II.

Ὅτι οὐ χρὴ καλλωπίζεσθαι.

§. 4. Οὐκ ἄρα ἡ πρόσοψις τοῦ ἐκτὸς ἀνθρώ-
5 που, ἀλλὰ ἡ ψυχὴ καλλωπιστέα τῷ τῆς καλοκἀγαθίας κοσμήματι. εἰη δ' ἂν καὶ τὴν σάρκα εἰπεῖν τῷ τῆς ἐγκρατείας κόσμῳ. αἱ δὲ τὴν ἐπιφάνειαν καλλωπιζόμεναι καὶ τὰ βάθη χερσούμεναι λελήθασι σφᾶς αὐτὰς κατὰ τοὺς Αἰγυπτίων κόσμους, οἷς ναοὶ καὶ
10προπύλαια παρ' αὐτοῖς καὶ προτεμενίσματα ἐξήσκηται ἄλση τε καὶ ὀργάδες κίοσί τε παμπόλλοις ἐστεφάνωνται αἱ αὐλαὶ, τοῖχοι δὲ ἀποστίλβουσι ξενικοῖς
P. 93 λίθοις καὶ γραφῆς ἐντέχνου οἷς ἐνδεῖ οὐδὲ ἓν,
Sylb. χρυσῷ δὲ καὶ ἀργύρῳ καὶ ἠλέκτρῳ παραστίλβου-
15σιν οἱ ναοὶ, καὶ τοῖς ἀπὸ Ἰνδίας καὶ Αἰθιοπίας πεποικιλμένοις μαρμαίρουσι λιθιδίοις, τὰ δὲ ἄδυτα χρυσοπάστοις ἐπισκιάζεται πέπλοις, ἀλλ' ἢν παρεισέλθῃς τὸ βάθος τοῦ περιβόλου καὶ σπεύδων ἐπὶ τὴν θέαν τοῦ κρείττονος ζητήσῃς τὸ ἄγαλμα τὸ ἔνοικον τοῦ P. 2
20νεὼ, παστοφόρος δὲ ἤ τις ἄλλος τῶν ἱεροποιούντων P
περὶ τὸ τέμενος σεμνὸν δεδορκὼς, παιᾶνα τῇ Αἰγυπτίων ᾠδῶν γλώσσῃ, ὀλίγον ἐπαναστείλας τοῦ καταπετάσματος, ὡς δείξων τὸν θεὸν, πλατὺν ἡμῖν ἐνδίδωσι γέλωτα τοῦ σεβάσματος. οὐ γὰρ θεὸς ὁ ζη-
25τούμενος ἔνδον εὑρεθήσεται, ἐφ' ᾧ ἐσπεύσαμεν, αἴλουρος δὲ ἢ κροκόδειλος ἢ αὐτόχθων ὄφις ἢ τι τοιοῦτον θηρίον, ἀνάξιον μὲν τοῦ νεὼ, χηραμοῦ δὲ ἰ
φωλεοῦ ἢ βορβόρου ἀντάξιον· ὁ θεὸς Αἰγυπτίων ἐπ
στρωμνῆς ἁλουργῆς καταφαίνεται κυλιόμενον θηρίον
30 §. 5. Ταύτῃ μοὶ δοκοῦσιν αἱ χρυσοφοροῦσα γυναῖκες τῶν πλοκάμων τοὺς ἐνουλισμοὺς ἀσκοῦσαι

χρίσματά τε παρειῶν καὶ ὑπογραφὰς ὀφθαλμῶν καὶ βαφὰς μετιοῦσαι τριχῶν καὶ τὴν ἄλλην βλακείαν κακομηχανώμεναι, κοσμοῦσαι τὸν περίβολον τὸν σαρκικὸν, αἰγυπτιάζουσαι ὡς ἀληθῶς ἐπισπᾶσθαι τοὺς δεισιδαίμονας ἐραστάς. ἀλλ' ἢν ἀποκαλύψῃ τις τὸ καταπέτασμα τοῦ νεὼ, τὸ κεκρύφαλον λέγω, τὴν βαφὴν, τὴν ἐσθῆτα, τὸ χρυσίον, τὸ φῦκος, τὰ ἐντρίμματα, τουτέστι τὸ ἐκ τούτων συγκείμενον ὕφος, τὸ καταπέτασμα, ὡς ἔνδον εὑρήσων τὸ κάλλος τὸ ἀληθινὸν, μυσάξεται, εὖ οἶδ' ἐγώ. οὐ γὰρ τὴν εἰκόνα τοῦ θεοῦ κατοικοῦσαν ἔνδον εὑρήσει τὴν ἀξιόλογον, πόρνη δὲ ἀντ' αὐτῆς καὶ μοιχαλὶς τῆς ψυχῆς κατείληφε τὸ ἄδυτον τό τε ἀληθινὸν θηρίον ἐλεγχθήσεται ψιμυθίῳ πίθηκος ἐντετριμμένος καὶ ὁ παλίμβολος ὄφις ἐκεῖνος διαβιβρώσκων τὸ νοερὸν τῆς ἀνθρώπου διὰ τῆς φιλοδοξίας χηραμὸν ἔχειν τὴν ψυχὴν· πάντα φαρμάκων ὀληθρίων ἐμπλήσας καὶ τὸν ἑαυτοῦ τῆς πλάνης ἐνευξάμενος ἰὸν μετεσκεύασε τὰς γυναῖκας εἰς πόρνας ὁ προαγωγὸς οὗτος δράκων· οὐ γὰρ γυναικὸς, ἀλλ' ἑταίρως τὸ φιλόκοσμον, αἳ τῆς παρὰ μὲν [τοῖς] ἀνδράσιν οἰκουρίας ὀλίγον φροντίζουσιν, λύσασαι δὲ τὰνδρὸς τὸ βαλάντιον ἐκτρέπουσι τὰς χορηγίας εἰς ἐπιθυμίας, ὡς πολλοὺς ἔχοιεν τοῦ καλαὶ δοκεῖν εἶναι μάρτυρας, καὶ τὴν πᾶσαν ἡμέραν κομμωτικῇ προσκαθεζόμεναι ἀργυρώνητοις σχολάζουσιν ἀνδραπόδοις.

§. 6. Καθάπερ οὖν ὄψον πονηρὸν ἡδύνουσι τὴν σάρκα καὶ τὴν μὲν ἡμέραν κομμωτικῇ προστετήκασι θαλαμευόμεναι, μὴ ἐλεγχθῶσιν ἀνθιζόμεναι, ὑσπέρας δὲ καθάπερ ἐκ φωλεοῦ πρὸς τὸν λύχνον τὸ νόθον τοῦτο προσέρπει κάλλος· συνεργεῖ γὰρ καὶ P. 254 ἡ μέθη καὶ τὸ ἀμυδρὸν τοῦ φωτὸς πρὸς τὴν ἐπί- Pott. θεσιν αὐτῶν. καὶ τὴν μὲν ξανθίζουσαν τοὺς πλοκάμους ὁ κωμικὸς Μένανδρος εἴργει τῆς οἰκίας·

νῦν δ' ἔρπ' ἀπ' οἴκων τῶνδε· τὴν γυναῖκα γὰρ
τὴν σώφρον' οὐ δεῖ τὰς τρίχας ξανθὰς ποιεῖν,

ἀλλ᾽ οὐδὲ τὰς παρειὰς φοκοῦν οὐδὲ τοὺς ὀφθαλμοὺς ὑπογράφεσθαι. λελήθασι δὲ σφᾶς αἱ κακοδαίμονες τὸ οἰκεῖον ἀπυλλύουσαι κάλλος τοῦ ὀθνείου τῇ ἐπισαγωγῇ, ἅμα γοῦν ἡμέρᾳ σπαρασσόμεναι καὶ ἀποτεινόμεναι καὶ φυράμασί τισι καταπλαττόμεναι ψύχουσι μὲν τὸν χρῶτα, ὀρύττουσι δὲ τὴν σάρκα τοῖς φαρμάκοις καὶ τῇ περιεργίᾳ τῶν ῥυμμάτων τὸ οἰκεῖον μαραίνουσαι ἄνθος. διὰ τοῦτό τοι ὠχραὶ μὲν ἐκ καταπλασμάτων καταφαίνονται, εὐάλωτοι δὲ ὑπὸ νόσων γίνονται τακερὰν ἤδη τὴν σάρκα φαρμάκοις τὴν ἐσκιαγραφημένην ἔχουσαι, τῶν ἀνθρώπων τὸν δημιουργὸν ἀτιμάζουσαι, ὡς οὐ κατ᾽ ἀξίαν δεδωρημένον τὸ κάλλος. εἰκότως ἀργαὶ πρὸς οἰκουρίας γίνονται, καθάπερ ἐζωγραφημέναι, καθεζόμεναι εἰς θέαν, οὐκ εἰς οἰκουρίαν γεγενημέναι.

§. 7. Διὰ τοῦτό τοι καὶ ἡ παρὰ τῷ κωμικῷ ἐπιλογιστικὴ γυνὴ λέγει·

τί δ᾽ ἂν γυναῖκες φρόνιμον ἐργασαίμεθα
ἢ λαμπρόν, αἳ καθήμεθ᾽ ἐξηνθισμέναι,
τῶν ἐλευθέρων γυναικῶν λυμαινόμεναι τὸν χαρακτῆρα, οἴκων ἀνατροπὰς καὶ γάμων ἐκτροπὰς καὶ παίδων διαβολὰς περιποιούμεναι. τοῦτο αὐτὸ γάρτοι καὶ Ἀντιφάνης ὁ κωμικὸς ἐν μαθάκῃ τὸ ἑταιρικὸν τῶν γυναικῶν ἐπισκώπτει τὰ κοινὰ πάσαις ῥήματα εἰς τὴν κατατριβὴν ἐξηυρημένα λέγων· P. 255 Pou

ἔρχεταί, μετέρχετ᾽ αὖ, προσέρχετ᾽ αὖ, μετέρχεταί,
ἥκει, πάρεστι, ῥύπτεται, προσέρχεται,
σμῆται, κτενίζει᾽, ἐκβέβηκε, τρίβεται,
λοῦται, σκοπεῖται, στέλλεται, μυθίζεται,
κοσμεῖτ᾽, ἀλείφετ᾽· ἂν δ᾽ ἔχῃ τι; ἀπάγχεται.

τρὶς γὰρ, οὐχ ὅπαξ ἀπολωλέναι δίκαιαι κροκοδείλων ἀποπάτοις χρώμεναι καὶ σηπεδόνων ἀφροῖς ἐγχριόμεναι, καὶ ταῖς ὀφρύσι τὴν ἀσβόλην ἀναματτόμεναι καὶ ψιμυθίῳ τὰς παρειὰς ἐντριβόμεναι.

§. 8. Αἱ τοίνυν καὶ τοῖς ἐθνικοῖς προσκορεῖς ποιηταῖς διὰ τὸν τρόπον πῶς οὐκ ἂν ἀπόβλητοι τῇ ἀληθείᾳ γένοιντο; ἕτερος γοῦν κωμικὸς ἐλέγχων αὐτὰς, Ἄλεξις· καὶ γὰρ καὶ τούτου παραθήσομαι τὴν λέξιν δυσωποῦσαν τῷ περιέργῳ τῆς ἑρμηνείας τὸ ἀδιάτρεπτον τῆς ἀναισχυντίας· οὐ γὰρ εἰς τοσοῦτον περίεργος ἦν. ἐγὼ δὲ αἰσχύνομαι κωμῳδουμένης εἰς τοσοῦτον τῆς γυναικωνίτιδος εἰ βοηθὸς γενοίμην· εἶτα μέντοι προσαπολλύει καὶ τὸν ἄνδρα·

πρῶτα μὲν γὰρ εἰς τὸ κέρδος καὶ τὸ συλᾶν τοὺς P. 256
πέλας Pott.

πάντα τἄλλ' αὐταῖς πάρεργα γίγνεται * * * *
τυγχάνει μικρά τις οὖσα· φελλὸς ἐν ταῖς βαυκίσιν
P. 94 ἐγκεκάττυνται. μικρά τις· διάβαθρον λεπτὸν φορεῖ,
Sylb. τήν τε κεφαλὴν ἐπὶ τὸν ὦμον καταβαλοῦσ' ἐξέρχεται· τοῦτο τοῦ μήκους ἀφεῖλεν. οὐκ ἔχει τις ἰσχία· ὑπενέδυσ' ἐρραμμέν' αὐτὴν, ὥστε τὴν εὐπυγίαν ἀναβοᾶν τοὺς εἰσιόντας. κοιλίαν ἁδρὰν ἔχει· τιθῇ' ἔστ' αὐταῖσι τούτων ὧν ἔχουσ' οἱ κωμικοί, ὀρθὰ προσθεῖσαι τοιαῦτα τοὔνθυτον τῆς κοιλίας ὥσπερεὶ κοντοῖσι τούτοις εἰς τὸ πρόσθ' ἀπήγαγον. τὰς ὀφρῦς πυρρὰς ἔχει τις· ζωγραφοῦσιν ἀσβόλῳ. συμβέβηκ' εἶναι μέλαιναν· κατέπλασε ψιμυθίῳ· λευκόχρως λίαν τις ἐστὶ παιδέρωτ' ἐντρίβεται. καλὸν ἔχει τοῦ σώματός τι· τοῦτο γυμνὸν δείκνυται. εὐφυεῖς ὀδόντας ἔσχεν· ἐξ ἀνάγκης δεῖ γελᾶν, ἵνα θεωρῶσ' οἱ παρόντες τὸ στόμ' ὡς κομψὸν φορεῖ. ἂν δὲ μὴ χαίρῃ γελῶσα, διατελεῖ τὴν ἡμέραν [ἔνδον, ὥσπερ τοῖς μαγείροις ἃ παράκειθ' ἑκάστοτε, ἡνίκ' ἂν πωλῶσιν αἰγῶν κρανία,] ξυλήφιον μυρρίνης ἔχουσα λεπτὸν [ὀρθὸν] ἐν τοῖς χείλεσιν, ὥστε τῷ χρόνῳ σέσηρεν, ἄν τε βούλητ' ἄν τε μή.

§. 9. Ταῦτα ὑμῖν εἰς τὴν ἀποτροπὴν τῆς φιλοκόσμου κακομηχανίας ἐκ σοφίας κοσμικῆς πα- P. 257
ρατίθεμαι παμμάχως σώζειν ἐθελήσαντος ἡμᾶς τοῦ Pott.
λόγου, μετὰ μικρὸν δὲ καὶ ταῖς θείαις ἐπιστύφω γρα-

φαῖς. φιλεῖ δέ πως τὸ μὴ λανθάνον δι' αἰσχύνην τῶν ἐλέγχων ἀφίστασθαι τῶν ἁμαρτημάτων. ὡς δὲ ἡ καταπεπλασμένη χεὶρ καὶ ὁ περιαληλιμμένος ὀφθαλμὸς ὑπόνοιαν τοῦ νοσοῦντος ἐκ τῆς ὄψεως ἐνδείκνυται, οὕτως τὰ ἐντρίμματα καὶ αἱ βαφαὶ νοσοῦσαν ἐν βάθει τὴν ψυχὴν αἰνίττονται. ἡμῖν δὲ „παριέναι ποταμὸν ἀλλότριον" ὁ θεῖος παραινεῖ παιδαγωγὸς, τὴν ἀλλοτρίαν γυναῖκα, τὴν μάχλον, ποταμὸν ἀλλότριον ἀλληγορῶν, πᾶσιν ἐπιρρέουσαν, πᾶσιν δι' ἀσέλγειαν πορνικὴν εἰς τρυφὴν ἐκχεομένην· „ἀπὸ ὕδατος ἀλλοτρίου ἀπέχου", φησὶν, „καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς"*), τὸ ῥεῦμα τῆς ἡδυπαθείας φυλάξασθαι παραινῶν, ἵνα πολὺν ζήσωμεν χρόνον, προστεθῇ δὲ ἡμῖν ἔτη ζωῆς εἴτε ἀλλοτρίαν ἡδονὴν μὴ θηρωμένοις εἴτε καὶ τὰς αἱρέσεις ἐκτρεπομένοις.

§. 10. Φιλοψία μὲν οὖν καὶ φιλοινία εἰ καὶ πάθη μεγάλα, ἀλλ' οὐ τοσαῦτα τὸ μέγεθος, ὅπόση ἡ φιλοκοσμία. τράπεζα πλήρης καὶ κύλικες ἐπάλληλοι ἱκαναὶ πληρῶσαι τὴν λαιμαργίαν, τοῖς δὲ φιλοχρύσοις καὶ φιλοπορφύροις καὶ φιλολίθοις οὔτε ὁ ὑπὲρ γῆς καὶ ὑπὸ γῆν χρυσὸς αὐτάρκης οὔτε ἡ Τυρίων θάλασσα οὔτε μὴν ὁ φόρτος ὁ ἀπ' Ἰνδῶν καὶ Αἰθιόπων, ἀλλ' οὐδὲ ὁ Πακτωλὸς ὁ ῥέων τὸν πλοῦτον, οὐδ' ἂν Μίδας τις αὐτῶν γένηται, πεπλήρωται, ἀλλὰ ἔτι πένης ἐστὶ πλοῦτον ἄλλον ποθῶν, ἕτοιμοι δὲ οὗτοι συναποθανεῖν χρυσίῳ. εἰ δὲ καὶ ὁ Πλοῦτος τυφλὸς ὥσπερ οὖν αἱ περὶ αὐτὸν ἐπτοημέναι καὶ συμπαθοῦσαι πῶς οὐ τυφλώττουσιν; ὅρον γοῦν ἐπιθυμίας οὐκ ἔχουσαι εἰς ἀναισχυντίαν ἐξοκέλλουσιν· δεῖ γὰρ αὐταῖς καὶ θεάτρου καὶ πομπῆς καὶ πλήθους θεατῶν καὶ πλάνης ἐν ἱεροῖς καὶ τῆς ἐν ταῖς ἀμφόδοις διατριβῆς, ὡς πᾶσιν αὐτὰς γίνεσθαι καταφανεῖς. κοσμοῦνται γὰρ ἵνα ἄλλοις ἀρέσκοιεν αἱ ἐν προσώπῳ καυχώμε-

*) Proverb. 9, 18.

ναι, οὐκ ἐν καρδίᾳ· ὡς γὰρ τὸν δραπέτην τὰ στίγματα, οὕτω τὴν μοιχαλίδα δείκνυσι τὰ ἀνθίσματα. „κἂν περιβάλῃ κόκκινον καὶ κοσμήσῃ κόσμῳ χρυσῷ, καὶ ἐὰν χρίσῃ στίμμι τοὺς ὀφθαλμούς σου, εἰς μάτην ὁ ὡραϊσμός σου" *), ὁ λόγος διὰ Ἱερεμίου φησίν. P. 258 Pott.

§. 11. Εἶτα οὐκ ἄτοπον ἵππους μὲν καὶ ὄρνεις καὶ τὰ ἄλλα ζῶα ἐκ τῆς χλόης καὶ τῶν λειμώνων ἀνίστασθαι καὶ ἀνίπτασθαι οἰκείῳ κόσμῳ χαίροντα, χαίτῃ ἱππικῇ καὶ χροιᾷ φυσικῇ καὶ πτερώσει ποικίλῃ· ὡς δὲ ἐνδεέστερον καὶ τῆς θηρίου φύσεως ἡ γυνὴ ἀκαλλὴς εἰς τοσοῦτον εἶναι οἴεται, ὡς ὀθνείου δεῖσθαι κάλλους, ὠνητοῦ καὶ σκιαγραφουμένου; κεκρύφαλοι μέν γε καὶ κεκρυφάλων διαφοραὶ καὶ περίεργοι πλοκαί, ἀλλὰ καὶ τῶν τριχῶν οἱ μυρίοι σχηματισμοὶ κατόπτρων τε πολυτίμητοι κατασκευαί, οἷς κατασχηματίζονται θηρῶσαι τοὺς δίκην παίδων ἀφρόνων περὶ τὰς μορφὰς ἐπτοημένους, τέλειον ἀπηρυθριακυιῶν ἐστὶ γυναικῶν, ἃς ἑταίρας καλῶν οὐκ ἄν τις ἀφαμάρτοι προσωπεῖα ποιούσας τὰ πρόσωπα. ἡμῖν δὲ ὁ λόγος παραινεῖ „μὴ σκοπεῖν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια" **). ὃ δὲ καὶ πέρα τῆς ἀτοπίας προβέβηκεν, τῆς ἐπιπλάστου μορφῆς τῆς ἑαυτῶν οἷον ἀνδραγαθήματός τινος ἢ ἐπανορθώματος κάτοπτρα ἐπινενοήκασιν, ἐφ' ᾗς ἀπάτης μάλιστα κάλυμμα ἐπιτιθέναι ἐχρῆν, οὐδὲ γὰρ, ὡς ὁ μῦθος Ἑλλήνων ἔχει, Ναρκίσσῳ προεχώρησεν τῷ καλῷ τῆς ἑαυτοῦ εἰκόνος γενέσθαι θεατήν.

§. 12. Εἰ δὲ οὐδεμίαν εἰκόνα ὁ Μωϋσῆς παραγγέλλει ποιεῖσθαι τοῖς ἀνθρώποις ἀντίτεχνον τῷ θεῷ, πῶς ἂν εὔλογος ποιοῖεν αἱ γυναῖκες αὗται σφῶν κατὰ ἀνάκλασιν ἀπομιμούμεναι τὰς εἰκόνας εἰς τοῦ προσώπου τὴν ψευδοποιίαν; ἀλλὰ καὶ τῷ Σαμουὴλ τῷ προφήτῃ, ὁπότε πέμπεται ἕνα χρίσαι τῶν υἱῶν Ἰεσσαὶ εἰς βασιλέα καὶ τὸν πρεσβύτατον τῶν παίδων

*) Ierem. 4, 30. **) 2 Cor. 4, 18.

αὐτοῦ καλὸν καὶ μέγαν ἰδόντι, ὁπότε τὸ χρίσμα προσέβαλεν ὁ Σαμουὴλ, ἡσθεὶς ἐπ᾽ αὐτῷ, „εἶπεν", φησὶν, „ὁ κύριος αὐτῷ· μὴ ἐπιβλέψῃς εἰς τὴν ὄψιν αὐτοῦ καὶ τὸ ὕψος τοῦ μεγέθους αὐτοῦ, ὅτι ἀπώσμαι αὐτόν. ἄνθρωπος μὲν γὰρ εἰς ὀφθαλμοὺς ὄψεται καὶ κύριος εἰς καρδίαν"*), καὶ οὐκ ἔχρισε τὸν καλὸν τὸ σῶμα, ἀλλὰ τὸν καλὸν τὴν ψυχήν. εἰ P. 95 P. 259 Sylb. οὖν τὸ φυσικὸν τοῦ σώματος κάλλος ἔλαττον τοῦ ψυχικοῦ λογίζεται κύριος, τί περὶ τοῦ νόθου φρονεῖ ἅπαν τὸ ψεῦσμα ἄρδην ἐκβαλών; „διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους"**). σαφέστατα γοῦν ὁ κύριος διὰ τοῦ Ἀβραὰμ διδάσκει καὶ πατρίδος***) καὶ συγγενῶν καὶ κτήσεως καὶ πλούτου παντὸς καταφρονεῖν τὸν ἑπόμενον τῷ θεῷ, ποιήσας αὐτὸν ἔπηλυν, καὶ διὰ τοῦτο καὶ „φίλον"†) αὐτὸν ὠνόμασεν τῆς οἰκουμένης καταφρονήσαντα περιουσίας· εὐπατρίδης γὰρ ἦν καὶ εὔπορος σφόδρα. τριακοσίοις γοῦν καὶ ὀκτὼ καὶ δέκα††) οἰκέταις ἰδίοις κεχείρωται τοὺς τέσσαρας βασιλεῖς τοὺς αἰχμαλωτεύσαντας τὸν Λώτ. μόνην εὑρίσκομεν τὴν Ἐσθὴρ †††) δικαίως κοσμουμένην. ἐκαλλωπίζετο μυστικῶς ἡ γυνὴ βασιλεῖ τῷ ἑαυτῆς, ἀλλὰ τὸ κάλλος αὐτῆς ἐκεῖνο λύτρον εὑρίσκεται φονευομένου λαοῦ.

§. 13. Ὅτι δὲ ἑταίρας μὲν ποιεῖ τὰς γυναῖκας ὁ καλλωπισμὸς, ἀνδρογύνους δὲ τοὺς ἄνδρας καὶ μοιχικοὺς, μάρτυς ἡμῖν ὁ τραγικὸς διηγούμενος ὧδέ πως·

ἐλθὼν δ᾽ ἐκ Φρυγῶν ὁ τὰς θεὰς
κρίνων ὅδ᾽, ὡς ὁ μῦθος Ἀργείων ἔχει,
Λακεδαίμον᾽, ἀνθηρὸς μὲν εἱμάτων στολῇ
χρυσῷ τε λαμπρὸς βαρβάρῳ χλιδήματι,
ἑρῶν ἑρῶσαν ὦχετ᾽ ἐξαναρπάσας
Ἑλένην πρὸς Ἴδης βούσταθμ᾽ ἔκθημον λαβὼν
Μενέλαον.

*) 1 Reg. 16, 7. **) 2 Cor. 5, 7. ***) Genes. 12, 1 sq. †) Iac. 2, 23. ††) Genes. 14, 14 sq. †††) Esth. c. 5.

ὦ κάλλους μοιχικοῦ· ἀνέτρεψε τὴν Ἑλλάδα ἡ βάρβαρος φιλοκοσμία καὶ ἡ ἀνδρόγυνος τρυφή· σωφροσύνην διέφθειρε Λακωνικὴν ἐσθὴς καὶ χλιδὴ καὶ κάλλος ὡραῖον· αἱ βάρβαροι φιλοκοσμίαι ἑταίραν ἠλέγξαν τὴν Διὸς θυγατέρα. οὐκ ἦν παιδαγωγὸς αὐτοῖς ἀνακόπτων τὰς ἐπιθυμίας, οὐδὲ μὲν ὃ λέγων, „μὴ μοιχεύσῃς", οὐδὲ „μὴ ἐπιθυμήσῃς" *) λέγων, μηδὲ εἰς μοιχείαν ὁδεύσῃς διὰ ἐπιθυμίας, ἀλλὰ μηδὲ τὰς ὀρέξεις ἐκκαύσῃς διὰ φιλοκοσμίας. οἷον αὐτοῖς τὸ ἐπὶ τούτοις ἐξηκολούθησε τέλος καὶ ὅσων ἀπέλαυσαν κακῶν οἱ φιλαυτίαν κωλῦσαι μὴ θελήσαντες ἤπειροι κεκίνηνται δύρ ἀπαιδεύτοις ἡδοναῖς καὶ κλονεῖται τὰ πάντα μειρακίῳ βαρβάρῳ· Ἑλλὰς ὅλη ναυτιλλεται, στενοχωρεῖται δὲ ἡ θάλασσα ἠπείρους φέρουσα· πόλεμος ἐκριπίζεται μακρὸς καὶ μάχαι καταρρήγνυνται καρτεραὶ καὶ νεκρῶν ἐμπίπλαται τὰ πεδία· ἐνυβρίζει τῷ ναυστάθμῳ ὁ βάρβαρος· ἀδικία κρατεῖ καὶ P. 260 τοῦ ποιητοῦ Διὸς ἐκείνου τὸ ὄμμα τοὺς Θρᾷκας Pott. βλέπει· εὐγενὲς αἷμα βάρβαρα πίνει πεδία καὶ ποταμῶν ῥεύματα σώμασιν ἵσταται νεκροῖς· στήθη κρούεται θρήνοις καὶ τὸ πένθος ἐπινέμεται τὴν γῆν, πάντες δὲ σείονται

πόδες πολυπιδάκου Ἴδης
καὶ καρυφαὶ Τρώων τε πόλεις καὶ νῆες Ἀχαιῶν **).

§. 14. Ἴθι φάγωμεν, Ὅμηρε, καὶ στῶμεν; δεῖξον ἡμῖν γῆν μὴ κεκινημένην. μὴ θίγῃς ἡνίων, παιδίον, ἄπειρος ὤν, μηδὲ ἀναβῇς τὰν δίφρον ἐλαύνειν μὴ μαθών. δυσὶν ἡνιόχοις οὐρανὸς ᾖδεται, οἷς μόνοις ἐλαυνόμενον ἄγεται τὸ πῦρ· μετάγεται γὰρ ἡ διάνοια ὑπὸ ἡδονῆς, καὶ τὸ ἀκήρατον τοῦ λογισμοῦ μὴ παιδαγωγούμενον τῷ λόγῳ εἰς ἀσέλγειαν κατολισθαίνει καὶ μισθὸν τοῦ παραπτώματος τὸ ἀπόπτωμα λαμβάνει. δεῖγμά σοι τούτων οἱ ἄγγελοι τοῦ θεοῦ τὸ κάλλος καταλελοιπότες διὰ κάλλος μαραινόμενον

*) Exod. 20, 13. 17. **) Hom. Il, v. 59 sq.

καὶ τοσοῦτον ἐξ οὐρανῶν ἀποπεσόντες χαμαί. ἀλλὰ καὶ Σκιμῖται κολάζονται καταπεπτωκότες τὴν ἁγίαν ὑβρίζοντες παρθένον, τάφος ἡ κόλασις αὐτοῖς καὶ τὸ μνημόσυνον τῆς ἐπιτιμίας εἰς σωτηρίαν παιδαγωγεῖ.

Cap. III.

P. 261 Pott.

Πρὸς τοὺς καλλωπιζομένους τῶν ἀνδρῶν.

§. 15. Εἰς τοσοῦτον δὲ ἄρα ἐλήλακεν ἡ χλιδὴ, ὡς μὴ τὸ θῆλυ μόνον νοσεῖν περὶ τὴν κενοσπουδίαν ταύτην, ἀλλὰ καὶ τοὺς ἄνδρας ζηλοῦν τὴν νόσον. μὴ γὰρ καθαρεύοντες καλλωπισμοῦ οὐχ ὑγιαίνουσιν, πρὸς δὲ τὸ μαλθακώτερον ἀποκλίναντες γυναικίζονται, κουρὰς μὲν ἀγεννεῖς καὶ πορνικὰς ἀποκειρόμενοι, χλανίσι δὲ διαφανέσι

περιπεπεμμένοι,

καὶ μαστίχην τρώγοντες, ὄζοντες μύρου.

τί ἂν τις φαίη τούτους ἰδών; ἀτεχνῶς καθάπερ μετωποσκόπος ἐκ τοῦ σχήματος αὐτοὺς καταμαντεύεται μοιχούς τε καὶ ἀνδρογύνους, ἀμφοτέραν ἀφροδίτην θηρωμένους, μισότριχας, ἄτριχας, τὸ ἄνθος τὸ ἀνδρικὸν μυσαττομένους, τὰς κόμας δὲ, ὥσπερ αἱ γυναῖκες, κοσμουμένους. ἐπ' οὐχ ὁσίοις δὲ τόλμαις οἱ παλίμβολοι

ζῶντας ῥέζουσιν ἀτάσθαλα καὶ κακὰ ἔργα,

φησὶν ἡ Σίβυλλα. διὰ τούτους γοῦν πλήρεις αἱ πόλεις πιττούντων, ζυρούντων, παρατιλλόντων τοὺς θηλυδρίας τούτους, ἐργαστήρια δὲ κατεσκεύασται καὶ ἀνέῳκται πάντη καὶ τεχνῖται τῆς ἑταιρικῆς ταύτης πορνείας συχνὸν ἐμπολῶσιν ἀργύριον ἐμφανῶς, οἳ σφᾶς καταπιττοῦσιν, καὶ τὰς τρίχας τοῖς ἀνασπῶσι πάντα τρόπον παρέχουσιν, οὐδὲν αἰσχυνόμενοι τοὺς ὁρῶντας οὐδὲ τοὺς παριόντας, ἀλλ' οὐδὲ ἑαυτοὺς ἄνδρας ὄντας· τοιοῦτοι γὰρ οἱ τῶν ἀγενεστέρων ζη-

λωταὶ παθῶν ἅπαν τὸ σῶμα τοῖς βιαίοις τῆς πίττης ὁλκοῖς λελειουργημένοι.

§. 16. Μέλει δὲ οὐδ' ὅπωστιοῦν περαιτέρω τῆς τοιαύτης προβαίνειν ἀναισχυντίας. εἰ γὰρ μηδὲν ἄπρακτον αὐτοῖς ὑπολείπεται, οὐδὲ ἐμοὶ ἄρρητον. ἕνα τινὰ τούτων τῶν ἀγεννῶν παιδαγωγικῶς ἐπιπλήττων ὁ Διογένης ὀπηνίκα ἐπιπράσκετο, ἀνδρεῖος σφόδρα, ἦκε, εἶπεν, μειράκιον, ἄνδρα ὠνήσαι σαυτῷ, ἀμφιβάλῳ λόγῳ τὸ πορνικὸν ἐκεῖνον σωφρονίζων. τὸ γὰρ ἄνδρας ὄντας ξυρᾶσθαι καὶ λαίνεσθαι πῶς οὐκ ἀγεννές; βαφὰς δέ τινας τριχῶν καὶ χρίσματα πολιῶν καὶ ξανθίσματα ἀνδρογύνων ἐξωλῶν ἐπιτηδεύματα, καὶ τοὺς διακτενισμοὺς αὐτῶν τοὺς θηλυδριώδεις μεθετέον. ἡγοῦνται γὰρ καθάπερ ὄφις τῆς κεφαλῆς ἀπεκδύσασθαι τὸ γῆρας μεταγράφοντες ἑαυτοὺς καὶ νεοποιοῦντες, εἰ καὶ σοφίσονται τὰς τρίχας, ἀλλ' οὐ τὰς ῥυτίδας διαφεύξονται, ἀλλ' οὐ λήσονται τὸν θάνατον σοφιζόμενοι τὸν χρόνον. οὐ γὰρ δεινὸν, οὐ δεινὸν γέροντ' ὧν δοκεῖν τὸ εἶναι λαθεῖν μὴ δυνάμενον. ὅσῳ γοῦν ὁ ἄνθρωπος σπεύδει πρὸς τὸ τέλος, τοσούτῳ τιμιώτερος πρὸς ἀλήθειαν, μόνον ἔχων αὐτοῦ πρεσβύτερον τὸν θεὸν, ἐπεὶ κἀκεῖνος ἀΐδιος γέρων ὢν τῶν ὄντων πρεσβύτερος· „παλαιὸν ἡμερῶν" κέκληκεν αὐτὸν ἡ προφητεία, „καὶ ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ ὡσεὶ ἔριον καθαρὸν"*), ὁ προφήτης λέγει. οὐδεὶς δὲ ἄλλος, φησὶν ὁ κύριος, „δύναται ποιῆσαι τρίχα λευκὴν ἢ μέλαιναν"**).

§. 17. Πῶς οὖν ἀντιδημιουργοῦσι τῷ θεῷ, μᾶλλον δὲ ἀντικεῖσθαι βιάζονται οἱ ἄθεοι τὴν ὑπ' αὐτοῦ πεπολιωμένην παραχαράττοντες τρίχα; „στέφανος δὲ γερόντων πολυπειρία"***), φησὶν ἡ γραφὴ, καὶ τοῦ προσώπου ἡ πολιὰ ἄνθος πολυπειρίας· οἱ δὲ

*) Dan. 7, 9. **) Matth. 5, 36. ***) Eccles. 25, 6.

τὸ πρεσβεῖον τῆς ἡλικίας, τὸν πολιέα, καταισχύνουσιν. οὐκ ἔστι δὲ, οὐκ ἔστιν ἀληθινὴν ἐνδεικνύναι τὴν ψυχὴν τὸν κίβδηλον ἔχοντα κεφαλήν. „ὑμεῖς δὲ οὐχ οὕτως", φησὶν, „ἐμάθετε τὸν Χριστὸν, εἴ γε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν τῷ Ἰησοῦ ἀποθέσθαι ὑμᾶς κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον", οὐ τὸν πολιὸν, ἀλλὰ „τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀνανεοῦσθαι δὲ", μὴ βαφαῖς καὶ καλλωπίσμασιν, ἀλλὰ „τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας" *). ἄνδρα δὲ ὄντα κτενίζεσθαι καὶ ἀποκείρεσθαι ξυρῷ πρὸς εὐπρέπειαν καὶ πρὸς τὸ ἔσοπτρον διατιθέμενον τὰς τρίχας, ξύρεσθαί τε καὶ ἀποτίλλεσθαι καὶ λεαίνεσθαι τὰς γένυς πῶς οὐ γυναικεῖον; καὶ εἰ μή τις αὐτοὺς γυμνοὺς ἴδοι, κἂν γυναῖκας ὑπολάβοι. εἰ γὰρ μὴ χρυσοφορεῖν καὶ αὐτοῖς ἐφεῖται, ἀλλ' οὖν γε διὰ τὴν θηλυδριώδη ἐπιθυμίαν ἱμάντας καὶ λώματα χρυσίου περιπτύξαντες πετάλοις ἤ τινα σφαιρικὰ τῆς αὐτῆς ὕλης ποιησάμενοι σχήματα σφυρῶν ἀπαρτῶνται καὶ τραχήλων ἀπαιωροῦσι.

§. 18. Σόφισμα τοῦτο κατεαγότων ἀνθρώπων εἰς τὴν γυναικωνῖτιν κατασυρομένων ἀμφιβίων καὶ λάγνων θηρίων· ὀρνικὸς τῆς ἐνέδρας ὁ τρόπος καὶ ἄθεος οὗτος. ὁ γὰρ θεὸς τὴν μὲν γυναῖκα λείαν P. 2 ἠθέλησεν εἶναι, αὐτοφυῆ τῇ κόμῃ μόνῃ ὥσπερ ἔπ- Pa πον τῇ χαίτῃ γαυρουμένην, τὸν δὲ ἄνδρα καθάπερ τοὺς λέοντας γενείοις κοσμήσας καὶ τοῖς λασίοις ἤνδρωσε στήθεσι δεῖγμα τοῦτο ἀλκῆς καὶ ἀρχῆς. ταύτῃ καὶ τοὺς ἀλεκτρυόνας τοὺς ὑπερμαχοῦντας τῶν ὀρνίθων καθάπερ κόρυσι τοῖς κάλλεσιν ἐκαλλώπισεν. καὶ οὕτως περὶ πολλοῦ τὰς τρίχας ταύτας ὁ θεὸς ἡγεῖται, ὥστε ἅμα φρονήσει κελεύειν παραγίνε-

*) Ephes. 4, 20—24.

σθαι αὐτὰς τοῖς ἀνδράσι, καὶ δὴ ἀγασθεὶς τῇ σεμνότητι τὸ βλοσυρὸν τοῦ σώματος γεραρᾷ τετιμηκεν πολιᾷ. φρόνησις δὲ καὶ ἀκριβεῖς λογισμοὶ πολιοὶ συνέσει συναυξάνουσι τῷ χρόνῳ, καὶ τὸ γῆρας ἐνισχύουσι τῷ τόνῳ τῆς πολυπειρίας ἄνθος ἀξιέραστον φρονήσεως σεμνῆς εἰς πίστιν εὔλογον προτείνοντες πολιάν.

§. 19. Τοῦτο οἶν τοῦ ἀνδρὸς τὸ σύνθημα, τὸ γένειον, δι' οὗ καταφαίνεται ὁ ἀνὴρ, πρεσβύτερόν ἐστι τῆς Εὔας καὶ σύμβολον τῆς κρείττονος φύσεως· τούτῳ πρέπειν ἐδικαίωσε τὸ λάσιον Θεὸς καὶ διέσπειρεν παρὰ πᾶν τὸ σῶμα τοῦ ἀνδρὸς τὰς τρίχας, τὸ δὲ ὅσον λεῖον αὐτοῦ καὶ μαλθακὸν ἀφείλετο τῆς πλευρᾶς εἰς ὑποδοχὴν σπέρματος εὐαφῆ τὴν Εὔαν δημιουργήσας γυναῖκα βοηθὸν οὖσαν γενέσεως καὶ οἰκουρίας. ὃ δὲ, προήκατο γὰρ τὸ λεῖον, ἔμεινέν τε ἀνὴρ καὶ τὸν ἄνδρα δεικνύει· καὶ τὸ δρᾶν αὐτῷ συγκεχώρηται, ὡς ἐκείνῃ τὸ πάσχειν. ξηρότερα γὰρ φύσει καὶ θερμότερα τὰ δασέα τῶν ψιλῶν ἐστίν. διὸ καὶ τὰ ἄρρενα τῶν θηλειῶν καὶ τὰ ἔνορχα τῶν ἐκτομίων καὶ τὰ τέλεια τῶν ἀτελῶν δασύτερά τέ ἐστιν καὶ θερμότερα. τὸ οὖν τῆς ἀνδρώδους φύσεως σύμβολον, τὸ λάσιον, παρανομεῖν ἀνόσιον, τὸ δὲ καλλώπισμα τῆς λειάνσεως, θερμαίνομαι γὰρ ὑπὸ τοῦ λόγου, εἰ μὲν ἐπὶ τοὺς ἄνδρας, θηλυδρίου, εἰ δὲ ἐπὶ τὰς γυναῖκας, μοιχοῦ· ἄμφω δὲ ὅτι μάλιστα πορρωτάτω τῆς ἡμετέρας ἐκτοπιστέον πολιτείας. „ἀλλὰ καὶ αἱ τρίχες τῆς κεφαλῆς ὑμῶν πᾶσαι ἠριθμημέναι εἰσί“*), φησὶν ὁ κύριος· ἠρίθμηνται δὲ καὶ ἐπὶ τῷ γενείῳ καὶ μὴν καὶ αἱ παρ' ὅλον τὸ σῶμα.

§. 20. Οὐδ' ὁπωστιοῦν ἐκτιλτέον παρὰ τὴν προαίρεσιν τοῦ θεοῦ τὴν ἐγκατηριθμημένην τῷ αὐτοῦ θελήματι „εἰ μή τι οὐκ ἐπιγινώσκετε ἑαυτούς“, φησὶν ὁ ἀπόστολος, „ὅτι Χριστὸς Ἰησοῦς ἐν ὑμῖν“**),

*) Matth. 10, 30. **) 2 Cor. 13, 5.

ὂν εἰ ἐνοικοῦντα ᾔδειμεν, οὐκ οἶδ' ὅπως ἂν αὐτὸν λωβᾶσθαι τετολμήκειμεν. τὸ δὲ καὶ πιττοῦσθαι— ὀκνῶ καὶ λέγειν τὴν περὶ τοὔργον ἀσχημοσύνην— ἀπεστραμμένους καὶ κεκυφότας καὶ τῆς φύσεως τὰ ἀπόρρητα εἰς τὸ συμφανὲς ἀπογυμνοῦντας, ἐξορχουμένους καὶ λορδουμένους, ἀπερυθριῶσι σχήμασιν οὐκ ἀπερυθριῶντας αὐτούς, ἐν αὐτῇ νεολαίᾳ καὶ γυμνασίῳ μέσῳ, ἔνθα ἀρετὴ ἀνδρῶν ἐξετάζεται, ἀσχημονοῦντας, τὸ παρὰ φύσιν τοῦτο διώκοντας ἐπιτήδευμα, πῶς οὐχὶ τῆς ἐσχάτης ἀσελγείας ἐστίν; οἱ γὰρ ἐν τῷ φανερῷ τοιαῦτα διαπραττόμενοι σχολῇ γ' ἂν αἰδεσθεῖεν οἴκοι τινάς. καταμαρτυρεῖ δὲ αὐτῶν ἡ ἐν τῷ δημοσίῳ ἀναισχυντία τὴν ἐν τῷ ἀφανεῖ ἐπ' ἐξουσίας ἀκολασίαν· ὁ γὰρ ὑπὸ τὰς αὐγὰς τὸν ἄνδρα ἀρνούμενος πρόδηλός ἐστι νύκτωρ ἐλεγχόμενος γυνή. „οὐκ ἔσται δὲ", εἶπεν ὁ λόγος διὰ Μωϋσέως, „ἀπὸ θυγατέρων Ἰσραὴλ πόρνη καὶ οὐκ ἔσται ὁ πορνεύων ἀπὸ υἱῶν Ἰσραήλ"*). ἀλλ' ὠφελεῖ, φησίν, ἡ πίττα. ἀλλὰ διαβάλλει, φημί· οὐκ ἂν δὲ ἠθέλησέ τις εὖ φρονῶν πόρνος εἶναι δοκεῖν, μὴ νοσῶν, καὶ διαβάλλειν ἐπιτηδεύειν τὴν καλὴν εἰκόνα. οὔκουν ἑκὼν βουληθείη τις. „εἰ γὰρ τοὺς κατὰ πρόθεσιν κλητοὺς προέγνω ὁ θεὸς συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ", δι' οὗς κατὰ τὸν ἀπόστολον μακάριον ὥρισεν, „εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς"**), πῶς οὐκ ἄθεοι τὸ σύμμορφον τοῦ κυρίου λωβώμενοι σῶμα; ἀνδρὶ δὲ βουλομένῳ εἶναι καλῷ τὸ κάλλιστον ἐν ἀνθρώπῳ τὴν διάνοιαν κοσμητέον, ἣν καθ' ἑκάστην ἡμέραν εὐπρεπεστέραν ἐπιδεικτέον· παρατιλτέον δὲ οὐ τὰς τρίχας, ἀλλὰ τὰς ἐπιθυμίας.

§. 21. Ἐγὼ καὶ τῶν ἀνδροκαπήλων τὰ παιδάρια ἐλεῶ εἰς ὕβριν κοσμούμενα, ἀλλ' οὐχ ὑφ' ἑαυτῶν λελώβηται, κελευόμενα δὲ εἰς αἰσχροκέρδειαν τὰ δύστηνα καλλωπίζεται. οἱ δὲ ἑκόντες ταῦτα αἱρού-

*) Deuter. 23, 17. **) Rom. 8, 28 sq.

μενοι δρᾶν, ἃ κελευόμενοι, θανάτῳ ἂν ἐτιμήσαντο; εἰ ἄνδρες ἦσαν, πῶς οὐ κατάπτυστοι; καὶ νῦν μὲν εἰς τοσοῦτον ἀκολασίας ἐλήλακεν ὁ βίος ἐντρυφώσης ἀδικίας, καὶ τὸ λάγνον πᾶν ἐπικέχυται ταῖς πόλεσι νόμος γενόμενον· ἐπὶ τέγους ἑστᾶσι παρ' αὐτοῖς τὴν σάρκα τὴν ἑαυτῶν εἰς ὕβριν ἡδονῆς πιπράσκουσαι γυναῖκες, καὶ παῖδες ἀρνεῖσθαι τὴν φύσιν δεδιδαγμένοι προσποιοῦνται γυναῖκες. πάντα μετακεκίνηκεν ἡ τρυφὴ, κατῄσχυνε τὸν ἄνθρωπον, ἀβροδίαιτος πε-ριεργία πάντα ζητεῖ, πάντα ἐπιχειρεῖ, βιάζεται πάντα, συγχέει τὴν φύσιν, τὰ γυναικῶν οἱ ἄνδρες πεπόνθασιν καὶ γυναῖκες ἀνδρίζονται παρὰ φύσιν γαμούμεναί τε καὶ γαμοῦσαι γυναῖκες. πόρος δὲ P. 265 οὐδεὶς ἄβατος ἀκολασίας· κοινὴ δὲ αὐτοῖς ἀφροδίτη Pott. δημεύεται, συνέστιος τρυφή. ὦ τοῦ ἐλεεινοῦ θεάματος, ὦ τοῦ ἀρρήτου ἐπιτηδεύματος· τρόπαια ταῦτα τῆς πολιτικῆς ὑμῶν ἀκρασίας δείκνυται, τῶν ἔργων ὁ ἔλεγχος αἱ χαμαίτυπαι. φεῦ τῆς τοσαύτης ἀνομίας. ἀλλ' οὐδὲ συνίασιν οἱ ταλαίπωροι, ὡς τὸ ἄδηλον τῆς συνουσίας πολλὰς ἐργάζεται τραγῳδίας. παιδὶ πορνεύσαντι καὶ μαχλώσαις θυγατράσιν ἀγνοήσαντες πολλάκις μίγνυνται πατέρες, οὐ μεμνημένοι τῶν ἐκτεθέντων παιδίων, καὶ ἄνδρας δείκνυσι τοὺς γεγεννηκότας ἀκρασίας ἐξουσία.

§. 22. Ταῦτα οἱ σοφοὶ τῶν νόμων ἐπιτρέπουσιν, ἔξεστιν αὐτοῖς ἁμαρτεῖν κατὰ νόμον, καὶ τὸ ἀπόρρητον τῆς ἡδονῆς εὐκολίαν λέγουσιν. μοιχείας ἀπηλλάχθαι νομίζουσιν οἱ μοιχεύοντες τὴν φύσιν, ἕπεται δὲ αὐτοῖς τῶν τολμημάτων τιμωρὸς ἡ δίκη, καὶ καθ' ἑαυτῶν ἀπαραίτητον ἐπισπώμενοι συμφοράν, ὀλίγου νομίσματος ὠνοῦνται θάνατον. τούτων ἔμποροι τῶν φορτίων οἱ κακοδαίμονες πλέουσιν, ὡς σῖτον, ὡς οἶνον, πορνείαν ἀγώγιμον φέροντες. ἄλλοι δὲ ἀθλιώτεροι μακρῷ ὡς ἄρτον, ὡς ὄψον, ἀγοράζουσιν ἡδονάς, οὐδὲ ἐκεῖνο ἐν νῷ λαβόντες τὸ Μωϋσέως· „οὐ βεβηλώσεις τὴν θυγατέρα σου ἐκπορνεῦσαι αὐτὴν, καὶ

ρὺκ ἐκπορνεύσει ἡ γῆ καὶ ἡ γῆ πλησθήσεται ἀνομίας" *). ταῦτα προειφητεύετο πάλαι, ἀρίδηλος δὲ ἡ ἔκβασις· πᾶσα ἤδη πεπλήρωται γῆ καὶ πορνείας καὶ ἀνομίας.

§. 23. Ἄγαμαι τοὺς παλαιοὺς Ῥωμαίων νομοθέτας· ἀνδρόγυνον ἐμίσησαν ἐπιτήδευσιν οὗτοι, καὶ τοῦ σώματος τὴν πρὸς τὸ θῆλυ κοινωνίαν παρὰ τὸν τῆς φύσεως νόμον ὀρύγματος κατηξίωσαν P. 266 κατὰ τὸν τῆς δικαιοσύνης νόμον. αὐ γὰρ Θέμις Pott. ἐκτῖλαί ποτε τὸ γένειον, τὸ κάλλος τὸ σύμφυτον, τὸ γενναῖον κάλλος·

πρῶτον ὑπηνήτην, οὗπερ χαριεστάτη ἥβη **).

προβαίνων δὲ ἤδη ἐπαλείφεται γανούμενος πώγωνι, ἐφ' ὃν κατέβαινε τὸ μύρον τὸ προφητικὸν Ἀαρών τι-μωμένου ***). χρὴ δὲ τὸν ὀρθῶς παιδαγωγούμενον, ἐφ' ὃν ἡ εἰρήνη κατεσκήνωσεν καὶ πρὸς τὰς ἑαυτοῦ τρίχας εἰρήνην ἄγειν. τί τοίνυν οὐκ ἂν ἐπιτηδεύσειαν αἱ γυναῖκες αἱ εἰς μαλχοσύνην σπεύδουσαι, τοιαῦτα τολμῶσιν ἐνοπτριζόμεναι τοῖς ἀνδράσιν; μᾶλλον δὲ οὐκ ἄνδρας, βατάλους δὲ καὶ γύνιδας καλεῖν τούτους χρὴ, ὧν καὶ αἱ φωναὶ τεθρυμμέναι καὶ ἡ ἐσθὴς τεθηλυμμένη ἀφῇ καὶ βαφῇ. δῆλοι δὲ οἱ τοιοῦτοι ἐλεγχόμενοι τὸν τρόπον ἔξωθεν ἀμπεχόνῃ, ὑποδέσει, σχήματι, βαδίσματι, κουρᾷ, βλέμματι· „ἀπὸ ὁράσεως γὰρ ἐπιγνωσθήσεται ἀνὴρ", ἡ γραφὴ λέγει, „καὶ ἀπὸ ἀπαντήσεως ἀνθρώπου ἐπιγνωσθήσεται ἄνθρωπος, στολισμὸς ἀνδρὸς καὶ βῆμα ποδὸς καὶ γέλως ὀδόντων ἀναγγελεῖ τὰ περὶ αὐτοῦ" †). οὗτοι γὰρ καὶ τὰ μάλιστα πρὸς τὰς ἄλλας πεπολιωμέναι τρίχας μόνον τὰς ἐπὶ τῇ κεφαλῇ περιέπουσι, μικροῦ δεῖν ἀναδούμενοι κεκρυφάλοις, τὰς κόμας ὥσπερ αἱ γυναῖκες.

§. 24. Λέοντες μὲν οὖν αὐχοῦσι τὸ λάσιον αὐτῶν, ἀλλ' ἐπὶ τῆς ἀλκῆς ὁπλίζονται τῇ τριχὶ, κάπροι

*) Leuit. 19, 29. **) Hom. Od. x. 279. ***) Cf. Psalm. 133, 2. †) Eccles. 19, 29 sq.

δὲ καὶ αὐτοὶ σεμνύνονται λοφιᾷ, ἀλλὰ φρίσσοντας αὐτοὺς τὴν τρίχα δεδοίκασιν κυνηγοί.

εἰροπόκοι δ' ὅϊες μαλλοῖς καταβεβρίθασιν*), ἀλλὰ καὶ τούτων ἐπλήθυνεν τὰς τρίχας ὁ φιλάνθρωπος πατὴρ εἰς σήν, ἄνθρωπε, ὑπουργίαν κεῖραι P. 276 P. 98 διφάσας τοὺς πόκους. καὶ τῶν ἐθνῶν οἱ Κελ- Pott. Sylb. τοὶ καὶ οἱ Σκύθαι κομῶσιν, ἀλλ' οὐ κοσμοῦνται, ἔχει τι φοβερὸν τὸ εὔτριχον τοῦ βαρβάρου καὶ τὸ ξανθὸν αὐτοῦ πάλεμον ἀπειλεῖ συγγενές τι τὸ χρῶμα τῷ αἵματι. μεμισήκατον ἄμφω τούτω τὼ βαρβάρω τὴν τρυφὴν, μάρτυρας ἐπιδείξονται σαφεῖς τὸν Ῥῆνον ὁ Γερμανὸς, ὁ Σκύθης τὴν ἅμαξαν. ὀλιγωρεῖ δὲ ἔσθ' ὅτε καὶ τῆς ἁμάξης ὁ Σκύθης· πλοῦτος εἶναι δοκεῖ τῷ βαρβάρῳ τὸ μέγεθος αὐτῆς, καὶ καταλιπὼν τὴν τρυφὴν εὐτελὴς πολιτεύεται οἶκον αὐτάρκη καὶ τῆς ἁμάξης εὐζωνότερον, τὸν ἵππον λαβὼν Σκύθης ἀνὴρ, ἀναβὰς φέρεται οἷ βούλεται, κάμνων δὲ ἄρα λιμῷ αἰτεῖ τὸν ἵππον τροφὰς, ὁ δὲ ὑπέχει τὰς φλέβας· καὶ ὃ κέκτηται μόνον, τῷ κυρίῳ πὸ αἷμα χορηγεῖ, καὶ τῷ Νομάδι ὁ ἵππος ὄχημα γίνεται καὶ τροφή.

§. 25. Ἀραβίων δὲ — ἄλλοι οὗτοι Νομάδες — ἡ μάχιμος ἡλικία καμηλοβάται εἰσὶ, κυύσας οὗτοι τὰς καμήλους ἐφέζονται, αἱ δὲ νέμονται ἅμα καὶ θέουσιν ἀναλαμβάνουσαι τοὺς δεσπότας, καὶ τὸν οἶκον ἐπιφέρονται σὺν αὐτοῖς. εἰ δὲ καὶ ποτὸν ἐπιλίποι τοῖς βαρβάροις, ἀμέλγονται τοῦ γάλακτος, κενουμένης δὲ ἤδη τῆς τροφῆς, ἀλλ' οὐδὲ τοῦ αἵματος φείδονται, ᾗ φασὶ λυττήσαντας τοὺς λύκους. αἱ δὲ ἄρα ἡμερώτεραι τῶν βαρβάρων οὐ μνησικακοῦσιν ἀδικούμεναι, ἀλλὰ καὶ τὴν ἔρημον διεκθέουσι τεθαρρηκότως δεσπότας ὁμοῦ καὶ φέρουσαι καὶ τρέφουσαι. ὅλοιντο οὖν οἱ θῆρες οἱ φυλακτικοὶ, οἷς τὸ αἷμα ἡ τροφή· οὐδὲ γὰρ θέμις ἦν αἷμα τοῖς ἀνθρώποις

*) Hesiod. Ἔργ. 232.

οἷς τὸ σῶμα οὐδὲν ἀλλ' ἢ σάρξ ἐστιν αἵματι γεωργουμένη. μετέσχηκε τοῦ λόγου τὸ αἷμα τὸ ἀνθρώπινον καὶ τῆς χάριτος κοινωνεῖ τῷ πνεύματι, κἂν ἀδικήσῃ τις αὐτούς, οὐ λήσεται. ἔξεστιν αὐτῷ P. 268
καὶ γυμνῷ τοῦ σχήματος πρὸς τὸν κύριον λαλεῖν. Rott.
ἀποδέχομαι δὲ τῶν βαρβάρων τὴν λιτότητα, εὔζωνον ἀγαπήσαντες πολιτείαν οἱ βάρβαροι κατέλειψαν τὴν τρυφήν. τοιούτους ἡμᾶς ὁ κύριος καλεῖ γυμνοὺς ἀπειροκαλίας, γυμνοὺς κενοδοξίας, ἁμαρτιῶν ἀπεσπασμένους, μόνον ἐπιφερομένους τὸ ξύλον τῆς ζωῆς, μόνον ἐπέχοντας τὴν σωτηρίαν.

Cap. IV.

Τίσι συνδιατριπτέον.

§. 26. Ἀλλὰ γὰρ ἐλελήθειν παραπλεύσας τῷ πνεύματι τὴν ἀκολουθίαν, ἐφ' ἣν αὖθις παλινδρομητέον καὶ τῶν οἰκετῶν τὴν πολυκτημοσύνην ὀνειδιστέον. φεύγοντες γὰρ αὐτουργίαν καὶ αὐτοδιακονίαν ἐπὶ τοὺς θεράποντας καταφεύγουσιν, ὀψοποιῶν καὶ τραπεζοποιῶν καὶ τῶν ἐντέχνως εἰς μοίρας κατατεμνόντων τὰ κρέα τὸν πολὺν συνωνούμενοι ὄχλον. μεμέρισται δὲ αὐτοῖς ἡ θητεία πολυσχιδῶς· καὶ οἱ μὲν περὶ τὴν γαστρομαργίαν αὐτῶν πονοῦσι δαιτροί τε καὶ καρυκευταὶ καὶ οἱ τῶν πεμμάτων καὶ οἱ τῶν μελιπήκτων καὶ οἱ τῶν ῥοφημάτων συσκευασταί τε καὶ δημιουργοί, οἱ δὲ περὶ τὰς ἐσθῆτας ἀσχολοῦνται τὰς περιττάς, οἱ δὲ χρυσοφυλακοῦσιν ὡς γρῦπες, οἱ δὲ τὸν ἄργυρον φυλάττουσι καὶ σμήχουσι τὰ ἐκπώματα καὶ τὰς περὶ τὰς ἑστιάσεις παρασκευὰς εὐτρεπίζουσιν, ἄλλοι καταψήχουσι τὰ ὑποζύγια, οἰνοχόων τε ὅμιλος ἀσκεῖται παρ' αὐτοῖς καὶ μειρακίων ὡραίων ἀγέλαι καθάπερ θρεμμάτων, παρ' ὧν ἀμέλγονται τὸ κάλλος. κομμῶται δὲ καὶ κομμώτριαι

περὶ τὰς γυναῖκας ἀμφιπολεύουσιν, αἱ μὲν τὰ P. 269 κάτοπτρα, αἱ δὲ τοὺς κεκρυφάλους, ἄλλαι τοὺς Pott. κτένας, εὐνοῦχοι πολλοὶ καὶ οὗτοι μαστροποὶ, τῷ ἀξιοπίστῳ τοῦ μὴ δύνασθαι φιληδεῖν τοῖς εἰς ἡδονὰς ἐθέλουσι ῥᾳθυμεῖν ἀνυπόπτως διακονούμενοι. εὐνοῦχος*) δὲ ἀληθὴς οὐχ ὁ μὴ δυνάμενος, ἀλλ' ὁ μὴ βουλόμενος φιληδεῖν.

§. 27. Διαμαρτυρούμενος γοῦν ὁ λόγος διὰ τοῦ προφήτου Σαμουὴλ πρὸς τοὺς παραβεβηκότας τῶν Ἰουδαίων αἰτοῦντι τῷ λαῷ βασιλέα οὐ τὸν φιλάνθρωπον ὑπισχνεῖται κύριον, ἀλλά τινα αὐτοῖς αὐθάδη τύραννον ἀπειλεῖ τρυφητικὸν, „ὃς λήψεται", φησὶ, „τὰς θυγατέρας ὑμῶν εἰς μυρεψοὺς καὶ εἰς μαγειρίσσας καὶ εἰς πεσσούσας"**), νόμῳ πολέμου κρατήσας, οὐκ εἰρηνικὴν οἰκονομίαν ζηλώσας. οἱ δὲ τὰ φορεῖα εἰς ὕψος αἴροντες τῶν γυναικῶν καὶ φοράδην βαστάζοντες Κελτοὶ πολλοὶ, ἔριθοι δὲ καὶ ταλασίαι καὶ ἱστοπονίαι καὶ ἡ γυναικωνῖτις ἐργάνη καὶ οἰκουρία οὐδαμοῦ, ἀλλ' οἱ ψευδοποιοῦντες τὰς γυναῖκας διημερεύουσι μετ' αὐτῶν μύθους ἐρωτικοὺς ἀδολεσχοῦντες καὶ τὸ σῶμα καὶ τὰς ψυχὰς αὐτῶν διακναίοντες ψευδεργίᾳ καὶ ψευδολογίᾳ. „οὐκ ἔσῃ δὲ μετὰ πολλῶν", φησὶν, „ἐπὶ κακίᾳ, οὐδὲ προσθήσῃ μετὰ πλήθους"***), ὅτι ἡ σοφία ἐν ὀλίγοις, ἀταξία δὲ ἐν πλήθει καταφαίνεται. αἱ δὲ οὐ διὰ σεμνότητα τοῦ κατασκοπεῖσθαι μὴ βούλεσθαι συνωνοῦνται τοὺς φορεῖς, ἀγαπητὸν γὰρ ἦν ἂν, εἰ τῇ διαθέσει ταύτῃ προσεβάλλοντο τὴν σκέπην, ἀλλὰ θρυπτόμεναι ἐποχοῦνται τοῖς οἰκέταις ἐμπομπεύειν γλιχόμεναι.

§. 28. Ἀναπεπταμένης γοῦν τῆς αὐλαίας περιβλέπουσαι δριμύτερον τοὺς εἰς αὐτὰς ἀφορῶντας διελέγχονται τὸν τρόπον, πολλάκις δὲ καὶ προκύπτου-

*) Matth. 19, 12. **) 1 Reg. 8, 13. ***) Exod. 23 2.

σιν ἔνδοθεν τὴν ἐπιπόλαιον σεμνότητα καταισχύνουσαι τῇ ὀλισθαινούσῃ περιεργίᾳ. „μὴ περιβλέπου δὲ", φησὶν, „ἐν ῥύμαις πόλεως, μηδὲ πλανῶ ἐν ταῖς ἐρημίαις αὐτῆς"*), ἐρημία γὰρ ὡς ἀληθῶς κἂν ὄχλος ἀκολάστων ᾖ, ἔνθα μὴ πάρεστιν ἄνθρωπος P. 99 σωφρονῶν. περιφέρονται δὲ αὗται ἀνὰ τὰ ἱερὰ ἐκ- Sylb. θυόμεναι καὶ μαντευόμεναι, ἀγύρταις καὶ μητραγύρταις καὶ γραΐαις βωμολόχοις οἰκοφθορούσαις P. 270 δσημέραι συμπομπεύουσαι καὶ τοὺς παρὰ ταῖς Pott. κύλιξι ψιθυρισμοὺς γραϊκοὺς ἀνεχόμεναι, φίλτρα ἄττα καὶ ἐπῳδὰς παρὰ τῶν γοήτων ἐπ' ὀλέθρῳ γάμων ἐκμανθάνουσαι καὶ τοὺς μὲν ἔχουσι τῶν ἀνδρῶν, τοῖς δὲ ἔχονται, ἄλλους δὲ αὗται οἱ μάντεις ὑπισχνοῦνται. οὐκ ἴσασι δὲ ἀπατώμεναι καὶ αὗται μὲν ὡς σκεῦος ἐκδιδοῦσαι ἡδονῆς τοῖς λαγνεύειν ἐθέλουσι, τὴν δὲ ἀγνείαν τὴν σφῶν τῆς αἰσχίστης ἀντικαταλλαττόμεναι ῥᾳστώνης ἔργον ἡγοῦνται χρηματισμοῦ τὴν ἐπονειδιστον φθοράν. πρᾶλοὶ δὲ οἱ τῆς ἑταιρικῆς διάκονοι ἀκολασίας ἄλλος ἄλλοθεν παρεισδύοντες· εὐεπίφοροι γὰρ οἱ ἀκόλαστοι πρὸς τὴν ἀσέλγειαν καθάπερ οἱ χοῖροι πρὸς τὸ καταδυόμενον τοῦ σκάφους ἐπιφερόμενοι.

§. 29. Ὅθεν ἐρρωμενέστατα ἡ γραφὴ παραινεῖ· „μὴ πάντα ἄνθρωπον εἴσαγε εἰς τὸν οἶκόν σου, πολλὰ γὰρ τὰ ἔνεδρα τοῦ δολίου"**)· ἀλλαχοῦ δὲ „ἄνδρες δίκαιοι" φησὶν „ἔστωσαν σύνδειπνοί σου, καὶ ἐν φόβῳ κυρίου τὸ καύχημά σου διαμενεῖ"***). ἐς κόρακας ἡ πορνεία· „εὖ γὰρ τοῦτο ἴστε", φησὶν ὁ ἀπόστολος, „ὅτι πᾶς πόρνος ἢ ἀκάθαρτος ἢ πλεονέκτης, ὅς ἐστιν εἰδωλολάτρης, οὐκ ἔχει κληρονομίαν ἐν τῇ βασιλείᾳ τοῦ Χριστοῦ καὶ θεοῦ"†). αἱ δὲ ἀνδρογύνων συνουσίαις ἥδονται, παρεισρέουσιν δὲ ἔνδον κιναίδων ὄχλοι ἀθυρόγλωσσοι, μιαροὶ μὲν

*) Eccles. 11, 7. **) Ibid. 11, 29. ***) Ibid. 9, 16. †) Ephes. 5, 5.

τὰ σώματα, μιαροὶ δὲ τὰ φθέγματα, εἰς ὑπουργίας ἀκολάστους ἠνδρωμένοι, μοιχείας διάκονοι, κιχλίζοντες καὶ ψιθυρίζοντες καὶ τὸ πορνικὸν ἀνέδην εἰς ἀσέλγειαν διὰ ῥινῶν ἐπιψοφοῦντες ἐπικιναίδισμα, ἀκολάστοις ῥήμασι καὶ σχήμασι τέρπειν πειρώμενοι καὶ εἰς γέλωτας ἐκκαλούμενοι πορνείας παράδρομον· ἔστι δ' ὅτε καὶ ὑπεκκαιόμενοι διὰ τὴν τυχοῦσαν ὀργὴν ἤτοι πόρνοι αὐτοὶ ἢ καὶ κιναίδων ὄχλον εἰς ὄλεθρον ἐζηλωκότες ἐπικρατοῦσι τῇ ῥινὶ βατράχων δίκην, καθάπερ ἔνοικον τοῖς μυκτῆρσι τὴν χολὴν κεκτημένοι.

§. 30. Ἀλλ' αἵ γε ἀστειότεραι τούτων ὄρνεις P. 271 Ἰνδικοὺς καὶ ταῶνας Μηδικοὺς ἐκτρέφουσιν καὶ Pott. συνανακλίνονται τοῖς φοξοῖς παίζουσαι, σικίννοις τέρασι γαννύμεναι, καὶ τὸν μὲν Θερσίτην ἀκούουσαι γελῶσιν, αὗται δὲ πολυτιμήτους ὠνούμεναι Θερσίτας οὐκ ἐπ' ἀνδράσιν ὁμοζύγοις, ἀλλ' ἐπ' ἐκείνοις αὐχοῦσιν, ἃ δὴ ἄχθος ἐστὶ γῆς, καὶ χήραν μὲν παρορῶσι σωφρονοῦσαν Μελιταίου πολλῷ διαφέρουσαν κυνιδίου, καὶ πρεσβύτην παραβλέπουσι δίκαιον, εὐπρεπέστερον οἶμαι τέρατος ἀργυρωνήτου, παιδίον δὲ οὐδὲ προσίενται ὀρφανὸν αἱ τοὺς ψιττακοὺς καὶ τοὺς χαραδριοὺς ἐκτρέφουσαι, ἀλλὰ τὰ μὲν οἰκοι κυϊσκόμενα ἐκτιθέασι παιδία, τοὺς δὲ τῶν ὀρνίθων ὑπολαμβάνουσι νεοττούς· καὶ τὰ ἄλογα τῶν λογικῶν προκεκρίκασιν δέον ὑποτρέφειν τοὺς σωφροσύνην ἐπαγγελλομένους γέροντας καὶ πιθήκων, οἶμαι, εὐπροσωποτέρους καὶ ἡδονῶν φθέγξασθαί τι βέλτιον δυναμένους καὶ ἄγειν μὲν ἐπίπροσθεν τὸ „ὁ ἐλεῶν πτωχὸν δανείζει θεῷ" *) καὶ τὸ „ἐφ' ὅσον δὲ", φησὶν, „ἑνὶ τούτων ἐποιήσατε τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε" **). αἱ δὲ ἐμπαλιν ἀπαιδευσίαν προτετιμήκασι σωφροσύνης, τὰς ἑαυτῶν οὐσίας ἀπολιθοῦσαι εἰς τοὺς μαργαρίτας καὶ τὰς σμαράγδους

*) Proverb. 19, 17. **) Matth. 25, 40.

τὰς Ἰνδικὰς, ναὶ μὴν καὶ εἰς τὰς ἐξιτήλους βαφὰς καὶ εἰς τὰ ἀργυρώνητα ἀνδράποδα σπαθῶσι καὶ διαρριπτοῦσι τὰ χρήματα δίκην ὀρνίθων κεχορεσμένων τὰ τοῦ βίου σκαλεύουσαι κόπρια. „πενία δὲ", φησίν, „ἄνδρα ταπεινοῖ" *)· τὴν φειδωλίαν βούλονται πενίαν λέγειν, καθ' ἣν οἱ πλούσιοι πένονται μεταδόσεως οὐκ ἔχοντες.

Cap. V.

Πῶς περὶ τὰ λουτρὰ ἀναστρεπτέον. P. 272 Pott.

§. 31. *Οἷα δὲ καὶ τὰ λουτρὰ αὐταῖς; οἶκοι τεχνητοὶ, συμπαγεῖς καὶ περιφόρητοι, διαφανεῖς σινδόνι καλύπτονται καθέδραι τε ἐπίχρυσοι, ἀργυροῖ, καὶ σκεύη μυρία χρυσοῦ τε καὶ ἀργύρου, τὰ μὲν εἰς προπόσεις, τὰ δὲ εἰς τροφὰς, τὰ δὲ εἰς τὸ λούσασθαι περιφερόμενα· ναὶ μὴν καὶ ἐσχαρίδες ἀνθράκων· εἰς τοσοῦτον γὰρ ἀκρασίας ἦκουσιν, ὡς δειπνεῖν καὶ μεθύειν ἔτι λουομένας, τά τε ἀργυρώματα, μεθ' ὧν ἐμπομπεύουσιν, ἀπειροκάλως ἐν τοῖς βαλανείοις προτιθέασι, τάχα μέν που καὶ τὸν πλοῦτον δι' ἀλαζονείαν περιττὴν, μάλιστα δὲ τὴν αὐτεξούσιον ἀπαιδευσίαν, καθ' ἣν κατηγοροῦσιν ἀνάνδρων ἀνδρῶν πρὸς γυναικῶν κεκρατημένων, ἐπιδεικνύμεναι ἐλέγχουσαί τε ἀμηχέπη σφᾶς αὐτὰς μὴ οἷας τε εἶναι συνεῖναι καὶ δίχα τῶν σκευῶν τῶν πολλῶν ἱδροῦν δύνασθαι· καὶ γὰρ αἱ πενόμεναι τῆς πομπῆς μὴ μεταλαμβάνουσαι τῶν ἴσων κοινωνοῦσι λουτρῶν. ἔχει δὲ ἄρα ὁ ῥύπος τῆς περιουσίας βλασφημίας περιβολὴν πολλήν. τούτῳ καθάπερ δελέατι ἀγκιστρεύουσιν τοὺς ἀθλίους κεχηνότας ἐπὶ τὰς μαρμαρυγὰς τοῦ χρυσίου· καὶ γὰρ

*) Proverb. 10, 4.

ἐκπλήττουσαι τούτῳ τοὺς ἀπειροκάλους θαυμάζειν σφᾶς τεχνῶνται τοὺς ἐραστὰς, οἳ μετ' ὀλίγον αὐταῖς ἐνυβρίζουσι γυμναῖς.

§. 32. Καὶ δὴ καὶ τοῖς μὲν ἀνδράσι τοῖς σφῶν οὐκ ἂν ἀποδύσαιντο προσποίητον αἰσχύνης ἀξιοπιστίαν ἀνώμεναι, ἔξεστι δὲ τοῖς βουλομένοις τῶν ἄλλων P. 100 οἴκοι τὰς κατακλείστους γυμνὰς ἐν τοῖς βαλανείοις Sylb. θεάσασθαι· ἐνταῦθα γὰρ ἀποδύσασθαι τοῖς θεαταῖς, ὥσπερ καπήλοις σωμάτων οὐκ αἰσχύνονται. ἀλλ' ὁ μὲν Ἡσίοδος

μηδὲ γυναικείῳ λουτρῷ χρόα φαιδρύνεσθαι*)

παραινεῖ. κοινὰ δὲ ἀνέῳκται ἀνδράσιν ὁμοῦ καὶ γυναιξὶ τὰ βαλανεῖα κἀντεῦθεν ἐπὶ τὴν ἀκρασίαν ἀποδύονται· ἐκ τοῦ γὰρ εἰσορᾶν γίνεται ἀνθρώποις P. 273 ἐρᾶν ὥσπερ ἀποκλυζομένης τῆς αἰδοῦς αὐτοῖς κατὰ Pott. τὰ λουτρά. αἱ δὲ μὴ εἰς τοσοῦτον ἀπερυθριῶσαι τοὺς μὲν ἐθνείους ἀποκλείουσιν, ἰδίοις δὲ οἰκέταις συλλούονται καὶ δούλοις ἀποδύονται γυμναὶ καὶ ἀνατρίβονται ὑπ' αὐτῶν ἐξουσίαν δοῦσαι τῷ κατεπτηχότι τῆς ἐπιθυμίας τὸ ἀδεὲς τῆς ψηλαφήσεως· οἱ γὰρ παρεισαγόμενοι παρὰ τὰ λουτρὰ ταῖς δεσποίναις γυμναῖς μελέτην ἴσχουσιν ἀποδύσασθαι πρὸς τόλμαν ἐπιθυμίας ἐθεὶ πονηρῷ παραγράφοντες τὸν φόβον.

§. 33. Καὶ οἱ μὲν παλαιοὶ τῶν ἀθλητῶν γυμνὸν δεικνύναι τὸν ἄνδρα αἰδούμενοι ἐν διαζώμασι τὴν ἀγωνίαν ἐκτελοῦντες τὸ αἰδῆμον ἐφύλαττον, αἳ δὲ ἀποδυσάμεναι ἅμα τῷ χιτῶνι καὶ τὴν αἰδῶ φαίνεσθαι μὲν βούλονται καλαὶ, ἄκουσαι δ' ὅμως ἐλέγχονται κακαί· καὶ γὰρ δι' αὐτοῦ καταφαίνεται μάλιστα τοῦ σώματος τὸ μάχλον τῆς ἐπιθυμίας, καθάπερ τοῖς ὑδερικοῖσιν τὸ περιστεγόμενον τῆς ἐπιφανείας ὑγρόν· τὸ νοσοῦν δὲ ἀμφοῖν ἐκ τῆς ὄψεως γνωρίζεται. χρὴ τοίνυν τοὺς ἄνδρας γενναῖον ἀληθείας ὑπόδειγμα ταῖς γυναιξὶ γινομένους αἰσχύνε-

*) Hesiod. ἔργ. v. 371.

σθαι τὰς μετ' αὐτῶν ἀποδύσεις καὶ φυλάττεσθαι τὰς ὄψεις τὰς ὀλισθηράς· „ὁ γὰρ ἐμβλέψας", φησὶ, „περιεργότερον ἤδη ἥμαρτεν"*). οἴκοι μὲν οὖν τοὺς γονεῖς καὶ τοὺς οἰκέτας αἰδεῖσθαι χρὴ, ἐν δὲ ταῖς ὁδοῖς τοὺς ἀπαντῶντας, ἐν δὲ τοῖς λουτροῖς τὰς γυναῖκας, ἐν δὲ ταῖς ἐρημίαις ἑαυτοὺς, πανταχοῦ δὲ τὸν λόγον, ὃς ἐστι πανταχοῦ, καὶ „ἐγένετο ἄνευ αὐτοῦ οὐδὲ ἕν"**)· οὕτως γὰρ μόνως ἀπτώς τις διαμένει, εἰ πάντοτε αὐτῷ συμπαρεῖναι νομίζοι τὸν Θεόν.

Cap. VI.

Ὅτι μόνος πλούσιος ὁ Χριστιανός.

§. 34. Πλούτου τοίνυν μεταληπτέον ἀξιολόγως καὶ μεταδοτέον φιλανθρώπως, οὐ βαναύσως οὐδὲ ἀλαζονικῶς, οὐδὲ ἐκτρεπτέον τὸ φιλόκαλον εἰς φι- P. 274
λαυτίαν καὶ ἀπειροκαλίαν, μή πη ἄρα καὶ πρὸς Pott.
ἡμᾶς φήσῃ τις· ὁ ἵππος αὐτοῦ πεντεκαίδεκα ταλάντων ἐστὶν ἄξιος ἢ τὸ χωρίον ἢ ὁ οἰκέτης ἢ τὸ χρυσίον, αὐτὸς δὲ χαλκῶν ἐστὶ τιμιώτερος τριῶν. αὐτίκα οὖν περίελε τὸν κόσμον τῶν γυναικῶν καὶ τοὺς οἰκέτας τῶν δεσποτῶν, οὐδὲν διαφέροντας τῶν ἀργυρωνήτων εὑρήσεις τοὺς δεσπότας, οὐκ ἐν βαδίσματι, οὐκ ἐν βλέμματι, οὐκ ἐν φθέγματι· οὕτως τοίνυν τοῖς ἀνδραπόδοις ἐοίκασιν. ἀλλὰ καὶ τῷ ἀσθενέστεροι εἶναι τῶν οἰκετῶν διακρίνονται καὶ τῷ νοσηλότερον ἀνατετράφθαι. ἄριστον γοῦν δογμάτων τοῦτο ἄδειν παρ' ἕκαστα χρή· ὡς ὁ μὲν ἀγαθὸς ἀνὴρ σώφρων ὢν καὶ δίκαιος ἐν οὐρανῷ θησαυρίζει τὰ χρήματα· οὗτος ὁ τὰ ἐπίγεια καταπωλήσας καὶ πτωχοῖς ἐπιδοὺς τὸν ἀνώλεθρον ἐξευρίσκει θησαυρὸν,

*) Matth. 5, 28. **) Ioann. 1, 3.

ἔνθα οὐ σὴς, οὐ λῃστὴς, μακάριος οὗτος ὄντως, ἐάν τε σμικρὸς καὶ ἀσθενὴς καὶ ἄδοξος ᾖ, καὶ πλοῦτον ὄντως πλουτεῖ τὸν μέγιστον· ἐὰν δὲ ἄρα πλουτῇ μὲν Κινύρα τε καὶ Μίδα μᾶλλον, ᾖ δὲ ἄδικος καὶ ὑπερήφανος, καθάπερ ὁ ἐν τῇ πορφύρᾳ καὶ βύσσῳ τρυφῶν καὶ τὸν Λάζαρον ὑπερηφανῶν, ἄθλιός τέ ἐστι καὶ ἀναρῶς ζῇ καὶ οὐ ζήσεται*).

§. 35. Ἐοικέναι γοῦν μοι δοκεῖ ὁ πλοῦτος ἑρπετῷ, ὃ εἰ μή τις ἐπίστατται τὸ λαβέσθαι ἀβλαβῶς πόρρωθεν ἀκινδύνως ἄκρας οὐρᾶς ἀνακρημνὰς τὸ θηρίον, περιπλέξεται τῇ χειρὶ καὶ δήξεται· δεινὸς δὲ καὶ ὁ πλοῦτος ἱλυσπώμενος παρὰ τὴν ἔμπειρον ἢ ἄπειρον αὐτοῦ λαβὴν προσφῦναι καὶ δάκνειν, εἰ δέ τις αὐτῷ καταμεγαλοφρονῶν ἐπιστημόνως χρῷτο, ἵνα σὺν τῇ ἐπῳδῇ τοῦ λόγου καταξέσηται μὲν τὸ θηρίον, αὐτὸς δὲ ἀπαθὴς μείνῃ. ἀλλ', ὡς ἔοικεν, τὰ πλείονος ἄξια κεκτημένος πλούσιος ὢν μόνος ἐλεηθεί· πολλοῦ δὲ ἄξια οὐ λίθος, οὐκ ἄργυρος, οὐκ ἐσθὴς, οὐ κάλλος σώματος, ἀλλ' ἡ ἀρετὴ, ὅς ἐστι λόγος διὰ τοῦ παιδαγωγοῦ παραδιδόμενος εἰς ἄσκησιν, λόγος οὗτος ὁ τὴν τρυφὴν ἐξομνύμενος, τὴν δὲ αὐτουργίαν διάκονον παρακαλῶν καὶ τὴν εὐτέλειαν ἐξυμνῶν τῆς σωφροσύνης τὴν ἔγγονον· „λάβετε παιδείαν", φησὶν, „καὶ μὴ ἀργύριον καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον· κρείσσων γὰρ σοφία λίθων πολυτέλειαν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστί"**). καὶ πάλιν· „ἐμὲ καρπίζεσθε ὑπὲρ χρυσίον καὶ λίθον τίμιον καὶ ἄργυρον· τὰ γὰρ ἐμὰ γεννήματα κρείττω ἀργυρίου ἐκλεκτοῦ"***). εἰ δὲ καὶ διελεῖν χρὴ, πλούσιος μὲν ὁ πολυκτήμων ἔσται, χρυσίῳ σεσαγμένος καθάπερ φασκώλιον ἐρρυπωμένον, εὐσχήμων δὲ ὁ δίκαιος, ἐπεὶ εὐσχημοσύνη τάξις ἐστὶν ἐν ᾧ δέοντι σχηματισμῷ περὶ τὰς διοικήσεις

P. 275 Pott.

*) Cf. Matth. 6, 20. 19, 21. Luc. 16, 19. **) Proverb. 8, 10 sq. ***) Ibid. v. 19.

καὶ τὰς ἐπιδόσεις μεμετρημένη· „εἰσὶ" γὰρ „οἱ σπείροντες καὶ πλείονα συνάγοντες"*), περὶ ὧν γέγραπται· „ἐσκόρπισεν, ἔδωκε τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα"**). ὥστε οὐχ ὃ ἔχων καὶ φυλάττων, ἀλλ' ὁ μεταδιδοὺς πλούσιος, καὶ ἡ μετάδοσις τὸν μακάριον, οὐχ ἡ κτῆσις δείκνυσι.

P. 101 §. 36. Καρπὸς δὲ ψυχῆς τὸ εὐμετάδοτον. ἐν Sylb. ψυχῇ ἄρα τὸ πλούσιον. καὶ μὴν τὰ μὲν ἀγαθὰ ἔστω μόνοις κτητὰ τοῖς ἀγαθοῖς, ἀγαθοὶ δὲ οἱ Χριστιανοί· ἄφρων δὲ ἡ ἀκόλαστος ἄνθρωπος οὔτ' ἂν αἴσθησιν ἀγαθοῦ σχοίη οὔτ' ἂν κτήσεως τύχοι· μόνοις ἄρα τοῖς Χριστιανοῖς κτητὰ τὰ ἀγαθά. τούτων δὲ τῶν ἀγαθῶν πλουσιώτερον οὐθέν· πλούσιοι ἄρα οὗτοι μόνοι. πλοῦτος γὰρ ἀληθινὸς ἡ δικαιοσύνη καὶ ὁ παντὸς θησαυροῦ πολυτιμότερος λόγος οὐκ ἀπὸ θρεμμάτων καὶ χωρίων αὐξανόμενος, ἀλλ' ὑπὸ τοῦ θεοῦ δωρούμενος, πλοῦτος ἀναφαίρετος. ἡ ψυχὴ μόνη θησαυρὸς αὐτοῦ, κτῆμα τῷ κεκτημένῳ ἄριστον, μακάριον τῇ ἀληθείᾳ παρεχόμενον τὸν ἄνθρωπον. ᾧ γὰρ ἂν ὑπάρχῃ μηδενὸς μὲν ὀρέγεσθαι τῶν οὐκ ἐφ' ἡμῖν, ὧν δὲ ὀρέγεται, τούτων τυγχάνειν, ἀλλὰ καὶ ὧν ὁσίως ἐφίεται, ταῦτα αἰτούμενον λαμβάνειν παρὰ θεοῦ, πῶς οὗτος οὐ πολυκτήμων καὶ παγκτήμων, θησαυρὸν ἔχων αἰώνιον τὸν θεόν; „τῷ αἰτοῦντι", φησὶ „δοθήσεται καὶ τῷ κρούοντι ἀνοιγήσεται"***). εἰ μηδὲν ἀρνεῖται ὁ θεός, τὰ πάντα τοῦ θεοσεβοῦς γίνεται.

---

*) Prouerb. 11, 24. **) Psalm. 112, 9. ***) Matth. 7, 7 sq.

Cap. VII.

Ὅτι καλὸν ἐφόδιον Χριστιανῷ ἡ εὐτέλεια. P. 276 Pott.

§. 37. *Τρυφὴ δὲ εἰς ἡδονὰς ἀλωμένη χαλεπὸν ἀνθρώποις ναυάγιον γίνεται· ἀλλότριον γὰρ τῆς ἀληθοῦς φιλοκαλίας καὶ τῶν ἀστείων ἡδονῶν ὁ ἡδὺς οὗτος καὶ ἀκλεὴς τῶν πολλῶν βίος. φύσει γὰρ ὁ ἄνθρωπος ὑψηλόν ἐστι ζῷον καὶ γαῦρον καὶ τοῦ καλοῦ ζητητικόν, ἅτε τοῦ μόνου δημιούργημα, ὁ δὲ ἐπὶ γαστέρα αὐτῷ βίος ἄσεμνός τε καὶ ἐπονείδιστος καὶ εἰδεχθὴς καὶ καταγέλαστος. ἀλλοτριώτατον δὲ τῆς θείας φύσεως ἡ φιληδονία, ὅμοιος μὲν σιτεῖσθαι τοῖς στρουθοῖς, ὅμοιος δὲ ταῖς ὑσὶν καὶ τοῖς τρύγοις ὀχεύειν· τὸ γὰρ τὴν ἡδονὴν νομίζειν ἀγαθὸν ἀπειροκαλίας ἐστὶ τελείας, φιλοπλουτία δὲ ἐξίστησι τῆς ὀρθῆς διαίτης τὸν ἄνθρωπον ἀπερυθριᾶν πρὸς τὰ αἰσχρὰ ἀναπείθουσα, ἐὰν μόνον ἔχῃ δύναμιν καθάπερ θηρίον τοῦ φαγεῖν παντοδαπὰ καὶ πιεῖν ὡσαύτως καὶ ἀφροδισίων πᾶσαν πάντως παρέχειν πλησμονήν. διὰ τοῦτο σπανιαίτατα τὴν βασιλείαν τοῦ Θεοῦ κληρονομεῖ. ποῦ τοίνυν τὰ τοσαῦτα παρασκευάζονται ὄψα ἢ ἵνα μίαν πληρώσωσι γαστέρα; τὸ ἀκάθαρτον τῆς γαστριμαργίας οἱ κοπρῶνες ἐλέγχουσιν, εἰς οὓς ἀποπτύουσιν ἡμῶν αἱ γαστέρες τῆς δαιτὸς τὰ λείψανα. ποῦ δὲ τοὺς οἰνοχόους τοὺς τοσούτους συναγείρουσι μιᾷ κύλικι πλησθῆναι δυνάμενοι; ποῦ δὲ τῶν ἐσθήτων τὰς κιβωτούς; τὰ χρυσία δὲ ποῦ; καὶ τὰ κόσμια ποῦ; λωποδύταις δὲ αὐτὰ καὶ κακούργοις παρασκευάζονται καὶ τοῖς λίχνοις ὀφθαλμοῖς. „ἐλεημοσύναι δὲ καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε“ *), φησὶν ἡ γραφή.*

§. 38. *Ἰδοὺ γοῦν καὶ τὸν Θεσβίτην Ἠλίαν καλὸν ὑπόδειγμα τῆς εὐτελείας ἔχομεν, ὅτε „ἐκά-*

*) Proverb. 3, 3.

θισεν ὑπὸ τὴν ῥάμνον καὶ ὁ ἄγγελος αὐτῷ κομίζει τροφάς· ἐγκρυφίας κρίθινος ἦν καὶ καψάκης ὕδατος"*). τοιοῦτον ἄριστον αὐτῷ κύριος ἐπεμψεν. ἡμῖν ἄρα ἀνάγκη πρὸς ἀλήθειαν ὁδοιποροῦσιν εὐζώνοις γενέσθαι· „μὴ βαστάζετε γὰρ", εἶπεν ὁ κύριος, „βαλάντιον, μὴ πήραν μηδὲ ὑπόδημα"**), τουτέστι, μὴ πλοῦτον κτήσησθε, τὸν ἐν βαλαντίῳ μόνον θησαυριζόμενον, μὴ τὰς ἀποθήκας πλη- P. 277 ρώσητε τὰς ἰδίας ὡς ἐν πήρᾳ παρατιθέμενοι τὸν Pott. σπόρον, ἀλλὰ καὶ τοῖς δεομένοις κοινωνήσατε, μὴ ὑποζύγια καὶ οἰκέτας πολυπραγμονεῖτε, οἵ τινες ὑποδήματα τῆς πορείας τῶν πλουσίων ἀχθοφοροῦντες ἀλληγορικῶς εἴρηνται. ἀπορριπτέον οὖν τῶν σκευῶν τὸ πλῆθος καὶ τὰ ἀργυρᾶ καὶ τὰ χρυσᾶ ἐκπώματα καὶ τὸν ὄχλον τῶν οἰκετῶν, καλὰς καὶ σεμνὰς παρὰ τοῦ παιδαγωγοῦ συνοπαδοὺς αὐτουργίαν καὶ εὐτέλειαν παραλαβόντας· καὶ δὴ βαδιστέον εὐαρμόστως τῷ λόγῳ, κἂν γυνὴ τῳ παρῇ καὶ τέκνα· οὐκ ἄχθος ἐστὶν ὁ οἶκος συνεπισπέσθαι μαθὼν ὁδοιπόρῳ σώφρονι.

§. 39. Σταλτέον δὲ καὶ τὴν φίλανδρον γυναῖκα τἀνδρὶ παραπλησίως ὁδοιπορικῶς, καλὸν ἐφόδιον τῆς εἰς οὐρανοὺς πορείας· εὐτέλειαν ἐπιφερομένους μιᾷ σεμνότητι σώφρονι· μέτρον δὲ καθάπερ ὁ ποῦς τοῦ ὑποδήματος, οὕτως καὶ τῆς κτήσεως ἑκάστου τὸ σῶμα, τὸ δὴ περιττὸν, ἃ δή φασι κόσμια, καὶ τὰ ἔπιπλα τῶν πλουσίων ἄχθος ἐστὶν, οὐ κόσμος τοῦ σώματος. χρὴ δὲ τὸν ἀναβαίνειν βιαζόμενον εἰς τοὺς οὐρανοὺς καλὴν βακτηρίαν τὴν εὐεργεσίαν περιφέρειν καὶ τοῖς θλιβομένοις μεταδεδωκότα τῆς ἀληθοῦς ἀναπαύσεως μεταλαμβάνειν· ὁμολογεῖ γὰρ ἡ γραφὴ, „ὡς ἄρα λύτρον ἐστὶν ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος"***), τουτέστιν, ἐὰν πλουτῇ, μεταδώσει καὶ σωθήσεται. καθάπερ γὰρ τῶν φρεάτων

*) 2 Reg. 19, 4. 6. **) Luc. 10, 4. ***) Proverb. 13, 8.

ὅσα πέφυκεν βρύειν ἀπαντλώμενα εἰς τὸ ἀρχαῖον ἀναπηδύει μέτρον, οὕτως ἡ μετάδοσις, ἀγαθὴ φιλανθρωπίως ὑπάρχουσα πηγή, κοινωνοῦσα τοῖς διψῶσι ποτοῦ αὔξεται πάλιν καὶ πίμπλαται, ὧν τρόπον ἐπὶ τοὺς θηλαζομένους ἢ καὶ βαλλομένους μαστοὺς ἐπιρρεῖν εἴωθε τὸ γάλα. ἀνενδεὴς γὰρ ὁ τὸν παντοκράτορα θεὸν λόγον ἔχων καὶ οὐδενὸς, ὧν χρήζει, ἀπορεῖ ποτέ· κτῆσις γὰρ ὁ λόγος ἀνενδεὴς καὶ εὐπορίας ἁπάσης αἴτιος.

§. 40. *Εἰ δέ τις φαίη ἑωρακέναι πολλάκις ἄρτῳ πενόμενον δίκαιον, σπάνιον μὲν τοῦτο καὶ ἔνθα* P. 102 Sylb. *οὐκ ἄλλος δίκαιος, ἀναγνώτω δὲ ὅμως κἀκεῖνο· „οὐ γὰρ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσεται ὁ δίκαιος, ἀλλ᾽ ἐν τῷ ῥήματι κυρίου“* *), *ὅς ἐστιν ἄρτος ἀληθινὸς, ἄρτος οὐρανῶν. οὐκ ἄρα ποτὲ ὁ ἀγαθὸς ἀνὴρ ἄπορος, ἕως ἂν ἔχῃ σώαν τὴν πρὸς θεὸν ὁμολογίαν.* P. 278 Pott. *πάρεστι μὲν γὰρ αὐτῷ αἰτεῖσθαι**) καὶ λαμβάνειν, ὧν ἂν δέηται, παρὰ τοῦ πατρὸς τῶν ὅλων καὶ τῶν ἰδίων ἀπολαύειν, εἰ φυλάττοι τὸν υἱόν, πάρεστι δὲ καὶ τοῦτο μηδεμιᾶς ἐνδείας αἰσθάνεσθαι. ὁ παιδαγωγικὸς ἡμῶν οὗτος λόγος τὸν πλοῦτον ἡμῶν δίδωσι, καὶ πλουτεῖν οὐ φθόνος τὸ ἀνενδεὲς κτωμένοις δι᾽ αὐτοῦ· ὁ τοῦτον ἔχων τὸν πλοῦτον βασιλείαν κληρονομήσει θεοῦ.*

Cap. VIII.

Ὅτι αἱ εἰκόνες καὶ τὰ ὑποδείγματα μέγιστον μέρος τῆς ὀρθῆς διδασκαλίας.

§. 41. *Εἰ δέ τις ὑμῶν φεύξεται διὰ τέλους τρυφὴν εὐτελείᾳ τιθηνούμενος, μελετήσει ῥᾷον τοὺς ἀκου-*

*) Deut. 8, 3. Matth. 4, 4. **) Cf. Matth. 7, 7 sq.

οἵους ὑπομένειν πόνους, τὰς ἐκουσίους θλίψεις γυμνάσματα συνεχῶς ποιούμενος διωγμῶν, ὁπότ' εἰς ἀναγκαίους ἔλθῃ πόνους καὶ φόβους καὶ λύπας, οὐκ ἀμελέτητος ὢν καρτερεῖν. διὰ τοῦτό τοι πατρίδα ἐπὶ γῆς οὐκ ἔχομεν, ὡς ἂν καταφρονοῖμεν τῶν ἐπιγείων κτημάτων. πλουσιωτάτη δὲ ἡ εὐτέλεια ἐξισοῦσα ἀνελλιπέσι δαπάναις ταῖς εἰς ἃ χρὴ καὶ ἐφ' ὅσον χρὴ τελεῖσθαι προσηκούσαις· τέλη γὰρ τὰ δαπανήματα. ὅπως μὲν οὖν συμβιωτέον ἀνδρὶ τὴν γυναῖκα καὶ περὶ αὐτουργίας καὶ οἰκουρίας καὶ οἰκετῶν χρήσεως, πρὸς δὲ καὶ τῆς ὥρας τοῦ γάμου καὶ τῶν ὅσα γυναιξὶν ἁρμόζει, ἐν τῷ γαμικῷ διέξιμεν λόγῳ· ἃ δὲ ἁρμόδια πρὸς παιδαγωγίαν, ταῦτα ἡμῖν νῦν παρατεθὰ μόνα ἐν ὑπογραφῆς μέρει παρασημειουμένοις Χριστιανῶν τὸν βίον. καὶ δὴ τὰ μὲν πλεῖστα ἤδη λέλεκται καὶ πεπαιδαγώγηται, ὃ δὲ ἔτι λοιπὸν, ὑποθησόμεθα· οὐ γὰρ μικρὰ ῥοπὴ εἰς σωτηρίαν τὰ ὑποδείγματα.

ὁρᾷς;

φησὶν ἡ τραγῳδία,

Ὀδυσσέως ἄλοχον οὐ κατέκτανε
Τηλέμαχος· οὐ γὰρ ἐπεγάμει πόσει πόσιν,
μένει δ' ἐν οἴκοις ὑγιὲς εὐναστήριον.

ὀνειδίζων τις μοιχείαν ἀσελγῆ καλὴν εἰκόνα σωφροσύνης ἐδείκνυεν φιλανδρίαν, τοὺς δὲ Εἵλωτας οἰκέτας — οἰκετῶν ὄνομά εἰσιν οἱ Εἵλωτες — οἱ Λακεδαιμόνιοι μεθύειν ἀναγκάζοντες ἐδείκνυον σφίσιν αὐτοῖς τῆς μέθης τὰ ἔργα σωφρονοῦσιν ἐν θεραπείας καὶ διορθώσεως μέρει. P. 279 Pott.

§. 42. Παραφυλάττοντες δ' οὖν τὴν ἐκείνων ἀσχημοσύνην, ὡς μὴ περιπέσοιεν αὐτοὶ ταῖς ὁμοίαις καταγνώσεσιν, ἐπαιδεύοντο τὸ ἐπονειδιστον τῶν μεθυόντων εἰς τὸ ἑαυτῶν ἀναμάρτητον ὠφελούμενοι. τῶν γὰρ ἀνθρώπων οἱ μὲν διδαχθέντες ἐσώθησαν, οἱ δὲ αὐτοδιδάκτως ἢ ἐζήλωσαν ἢ ἐζήτησαν ἀρετήν.

κεῖνος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσῃ*).
αὐτός ἐστιν Ἀβραὰμ ὁ ζητήσας τὸν Θεόν,
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.
οὗτοί εἰσιν οἱ μαθηταὶ οἱ πεισθέντες τῷ λόγῳ· διὰ τοῦτο ὁ μὲν ἤκουσεν „φίλος**"), οἱ δὲ ἀπόστολοι, ἵνα καὶ τὸν αὐτὸν Θεὸν ὁ μὲν πολυπραγμονῶν, οἱ δὲ κηρύσσοντες, λαοὶ δὲ ἄμφω· ἀμφοῖν δὲ τούτοιν οἱ ἀκροαταὶ, ὁ μὲν ὠφελούμενος διὰ τὴν ζήτησιν, ὁ δὲ σωζόμενος διὰ τὴν εὕρεσιν.

§. 43. Ὃς δέ τε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.

λαὸς ἄλλος ἐστὶν ἐθνικὸς, ἀχρεῖος· οὗτος ὁ λαὸς ὁ μὴ Χριστῷ ἑπόμενος· πολυτρόπως δὲ ὅμως ὠφελῶν ὁ παιδαγωγὸς ὁ φιλάνθρωπος τὰ μὲν παρῄνεσεν, τὰ δὲ καὶ ὠνείδισεν, τὸ δὲ καὶ ἄλλων ἁμαρτανόντων τὸ αἰσχος αὐτῶν ὑπέδειξεν ἡμῖν καὶ τὴν ἐπὶ τούτῳ τιμωρίαν ψυχαγωγῶν τε ἅμα καὶ νουθετῶν ἐφανέρωσε, φιλάνθρωπον ἀποτροπὴν τῆς κακίας μηχανώμενος διὰ τῆς τῶν προπεπονθότων ἐνδείξεως· δι' ὧν εἰκόνων σαφέστατα τοὺς μὲν ἔπαυσεν κακῶς διατιθέντας, τοὺς δὲ τὰ ἴσα τολμῶντας ἐκώλυσεν, ἄλλους εἰς ὑπομονὴν ἐθεμελίωσεν, ἑτέρους ἔπαυσε κακίας, τοὺς δὲ καὶ ἰάσατο τῇ τοῦ ὁμοίου θεωρίᾳ μεταθεμένους ἐπὶ τὸ βέλτιον. τίς γὰρ οὐκ ἀντιπαραφυλάξαιτο ἑπόμενός τῳ καθ' ὁδὸν, εἶτα μέντοι τοῦ προτέρου εἰς βόθρον ἐμπεσόντος μὴ οὐχὶ ἀποκλίναι τὸν ἴσον κίνδυνον, τὴν ἀκολουθίαν τῆς ἁμαρτίας φυλαξάμενος; τίς δὲ αὖθις ἀσκητὴς ὢν, καταμαθὼν τῆς φιλοδοξίας τὴν ὁδὸν καὶ τὸ ἔπαθλον ἰδὼν τὸν πρὸ αὐτοῦ ἀγωνιστὴν εἰληφότα οὐκ ἐπὶ τὸν στέφανον ἴεται καὶ αὐτὸς μιμούμενος τὸν πρεσβύτερον; πολλαὶ τοιαῦται τῆς θεϊκῆς σοφίας αἱ εἰκόνες. ἑνὸς δὲ ὑποδείγματος μνησθήσομαι καὶ διὰ

P. 280 Pott.

*) Hes. Ἔργ. 1, 291 sq. **) Iac. 2, 23.

βραχέων παραθήσομαι· τὸ Σοδομιτῶν πάθος κρίσις μὲν ἀδικήσασι, παιδαγωγία δὲ ἀκούσασιν.

§. 44. Οἱ Σοδομῖται*) ὑπὸ πολλῆς τρυφῆς ἐξοκείλαντες εἰς ἀσέλγειαν, μοιχεύοντες μὲν ἀδεῶς, περὶ τὰ παιδικὰ ἐκμανῶς ἐπτοημένοι, ἐπεῖδεν αὐτοὺς ὁ παντεπόπτης λόγος, ὃν οὐκ ἔστι λαθεῖν ἀνόσια δρῶντας, οὐδὲ ἐπηρέμησεν τῇ ἀσελγείᾳ αὐτῶν ὁ ἄγρυπνος τῆς ἀνθρωπότητος φύλαξ· ἀποτρέπων δὲ ἡμᾶς τῆς μιμήσεως τῆς ἐκείνων, πρὸς σωφροσύνην τὴν αὐτοῦ παιδαγωγῶν, τίσιν τοῖς ἁμαρτωλοῖς ἐπιβαλὼν, ὡς μὴ τὸ ἀτιμώρητον τῆς ἀκολασίας ἀδείας ἐπιρροὴν προσλάβῃ, καταφλεχθῆναι προσέταξε τὰ Σόδομα, ὀλίγον τι τοῦ φρονίμου πυρὸς ἐκείνου ἐπὶ τὴν ἀκολα-
P. 103 σίαν ἐκχέων, ὡς μὴ ἀκόλαστον αὐτῶν τὸ λάγνον
Sylb. γενόμενον πλατείας ἀναπετάσῃ κλισιάδας τοῖς εἰς ἡδυπάθειαν φερομένοις. γέγονε τοίνυν ἡ Σοδομιτῶν δικαία τιμωρία τῆς εὐλογίστου τοῖς ἀνθρώποις σωτηρίας εἰκών· οἱ γὰρ μὴ τὰ ὅμοια τοῖς κεκολασμένοις ἁμαρτήσαντες οὐ τὴν ὁμοίαν ποτὲ τοῖς ἁμαρτωλοῖς ὑπόσχοιεν δίκην τῷ μὴ ἁμαρτεῖν τὸ μὴ παθεῖν πεφυλαγμένοι. „εἰδέναι γὰρ ὑμᾶς", φησὶν ὁ Ἰούδας, „βούλομαι, ὅτι ὁ θεὸς ἅπαξ ἐκ γῆς Αἰγύπτου λαὸν σώσας τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν ἀγγέλους τε τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολιπόντας τὸ ἴδιον οἰκητήριον εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον ἀγρίων ἀγγέλων τετήρηκεν"**).

§. 45. Καὶ κατὰ μικρὸν διδασκαλικώτατα ἐκτίθεται τὰς εἰκόνας τῶν κρινομένων· „οὐαὶ αὐτοῖς, ὅτι τῇ ὁδῷ τοῦ Κάϊν ἐπορεύθησαν καὶ τῇ πλάνῃ τοῦ Βαλαὰμ ἐξεχύθησαν καὶ τῇ ἀντιλογίᾳ τοῦ Κορὲ ἀπώλοντο"***). τοὺς γὰρ μὴ δυναμένους ἐξουσίαν νέοθεσίας φέρειν ὁ φόβος μὴ ἐξυβρίζειν διατηρεῖ. διὰ τοῦτο γὰρ αἱ κολάσεις καὶ αἱ ἀπειλαὶ, ἵνα δείσαντες

*) Cf. Genes. c. 15. **) Iud. 5, 6. ***) Ibid. v. 11.

τὰς δίκας τοῦ ἁμαρτάνειν ἀποσχώμεθα. ἔχω σοὶ φιλοκοσμίας κολάσεις διηγήσασθαι καὶ φιλοδοξίας τιμωρίας, οὐκ ἀκρασίας μόνον, πρὸς δὲ καὶ τὰς ἐπὶ πλούτῳ κακόφρονας πιραθέσθαι βλασφημίας, ἐν αἷς διὰ τοῦ φοβεῖν ὁ λόγος ἀνείργει τῶν ἀδικημάτων. ἀλλὰ γὰρ φειδόμενος τοῦ μήκους τοῦ συντάγμα- P. 281
τος τὰς ἐξῆς τοῦ παιδαγωγοῦ προσάγω σοὶ ἐντο- Pott.
λας, ἵνα δὴ φυλάξῃ τὰς ἀπειλάς.

Cap. IX.

Τίνος ἕνεκα τὸ λουτρὸν παραληπτέον.

§. 46. *Βαλανείου τοίνυν — ἐντεῦθεν γὰρ ἀπετράπην λέγων — τέτταρές εἰσιν αἰτίαι, καθ' ἃς ἐπ' αὐτὸ παραγινόμεθα· ἢ γὰρ καθαριότητος ἕνεκα ἢ ἀλέας ἢ ὑγιείας ἢ τελευταῖον ἡδονῆς. ἡδονῆς μὲν οὖν ἕνεκα λούσασθαι παραπεμπτέον, ἄρδην γὰρ τὴν ἀναίσχυντον ἡδονὴν ἐκκοπτέον, παραληπτέον δὲ τὸ λουτρὸν ταῖς μὲν γυναιξὶ καθαριότητος ἕνεκεν καὶ ὑγιείας, ὑγιείας δὲ μόνης ἀνδράσι. περιττὸν δὲ τὸ τῆς ἀλέας· ἔξον δὲ καὶ ἄλλως παραμυθεῖσθαι τὸ κατεσκληκὸς ὑπὸ κρύους. αἱ δὲ τοῦ βαλανείου συνεχεῖς χρήσεις καθαιροῦσι τὰς θυνάμεις καὶ τοὺς φυσικοὺς χαλῶσι τόνους, πολλάκις δὲ ἐκλύσεις ἄγουσι καὶ λειποθυμίας. τρόπον γάρ τινα πίνει τὰ σώματα, ὥσπερ τὰ δένδρα, οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τῇ δι' ὅλου τοῦ σώματος κατὰ τὸ λουτρὸν, ὡς φασι, ποροποιΐα. τεκμήριον τούτου· διψήσαντες πολλάκις ἔπειτα ἐμβάντες εἰς τὰ ὕδατα τὴν δίψαν ἠκέσαντο. εἰ μὴ οὖν πρός τι ὠφελεῖ τὸ λουτρὸν, ἤδη σφᾶς ἐκλυτέον αὐτῷ· ἀνθρωπογναφεῖα ἐκάλουν αὐτὰ οἱ παλαιοί, ἐπεὶ θᾶττον ἢ προσῆκεν ῥακοῖ τὰ σώματα καὶ προγηράσκειν ἀναγκάζει καθίφοντα*

κατὰ τὰ αὐτὰ τῷ σωτῆρῳ μαλασσομένης τῇ θερμότητι τῆς σαρκός· ἐντεῦθεν οἱονεὶ τῆς βαφῆς καὶ τῆς στομώσεως τοῦ ψυχροῦ δεόμεθα.

§. 47. Οὐδὲ μὴν ἑκάστοτε λουτέον, ἀλλ' P. 281
ἔστε ἔλαττόν τις εἴη κενὸς ἢ αὖ πλήρης ἄγαν, πα-Pott
ραιτητέον τὸ βαλανεῖον. καὶ μὴν κατὰ τὴν τοῦ σώματος ἡλικίαν καὶ τοῦ ἔτους τὴν ὥραν· οὐ γὰρ πάντας ἀεὶ οὐδὲ ἀεὶ ὀνίνησιν, ὡς οἱ περὶ ταῦτα σοφοὶ ὁμολογοῦσιν. ἡμῖν δὲ ἀπόχρη ἡ συμμετρία, ἣν παντα χοῦ βοηθὸν ἐπικαλούμεθα τῷ βίῳ· οὐδὲ γὰρ τοσοῦτον ἐνδιατριπτέον τῷ βαλανείῳ ὡς δεῖσθαι χειραγωγοῦ οὐδὲ συνεχῶς καὶ πολλάκις ἡμέρας λούεσθαι καθάπερ εἰς ἀγορὰν θαμίζοντες. ἀλλὰ καὶ τὸ ὑπὸ πλειόνων οἰκετῶν καταιονεῖσθαι ἐξυβρίζειν ἐστὶν εἰς τοὺς πλησίον πλεονεκτοῦντας τῇ τρυφῇ καὶ συνιέναι μὴ ἐθελόντων, ὡς κοινὸν ἐπίσης εἶναι τῶν λουομένων τὸ βαλανεῖον δεῖν. λούειν δὲ δεῖ, μάλιστα μὲν τὴν ψυχὴν καθαρσίῳ λόγῳ, καὶ τὸ σῶμα δὲ ἔσθ' ὅτε διὰ τὴν ἄσην τὴν ἐπιφυομένην αὐτῷ οὐ μὴν ἀλλ' ἔσθ' ὅτε καὶ ὑπεκλύειν τοὺς καμάτους. „οὐαὶ γὰρ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι ὑποκριταί", φησὶν ὁ κύριος, „ὅτι ὁμοιοί ἐστε τάφοις κεκονιαμένοις, ἔξωθεν ὁ τάφος φαίνεται ὡραῖος, ἔνδον δὲ γέμει ὀστέων νεκρῶν καὶ πάσης ἀκαθαρσίας" *).

§. 48. Καὶ πάλιν τοῖς αὐτοῖς φησιν· „οὐαὶ ὑμῖν, ὅτι καθαρίζετε τὸ ἔξω τοῦ ποτηρίου καὶ τῆς παροψίδος, ἔνδοθεν δὲ γέμουσιν ἀκαθαρσίας, καθάρισον πρῶτον τὸ ἔνδον τοῦ ποτηρίου, ἵνα γένηται καὶ τὸ ἔξωθεν καθαρόν"**). τὸ μὲν οὖν ἄριστον λουτρὸν τῆς ψυχῆς ἀποσμήχει τὸν ῥύπον καί ἐστι πνευματικόν, ἐφ' οὗ διαρρήδην ἡ προφητεία λέγει· „ἐκπλυνεῖ κύριος τὸν ῥύπον τῶν υἱῶν καὶ τῶν θυγατέρων Ἰσραὴλ, καὶ καθαριεῖ τὸ αἷμα ἐκ μέσου αὐτῶν" ***), τὸ αἷμα τῆς ἀνομίας καὶ τῶν προφητῶν τοὺς φόνους. καὶ τὸν

*) Matth. 23, 27. **) Ibid. v. 25 sq. ***) Ies. 4, 4

τρόπον πῆς καθάρσεως ἐπήγαγεν ὁ λόγος εἰπών· „ἐν πνεύματι κρίσεως καὶ ἐν πνεύματι καύσεως"· τὸ δὲ τοῦ σώματος τὸ σαρκικὸν καὶ διὰ μόνου ὕδατος ἀποπλύνεται, καθάπερ ἐν ἀγροῖς γίνεται πολλάκις, ὅπου βαλανεῖον οὐκ ἔστιν.

Cap. X.

Ὅτι καὶ γυμνάσια ἐκκριτέον τοῖς κατὰ λόγον βιοῦσιν.

§. 49. Μειρακίοις δὲ γυμνάσιον ἀπόχρη, κἂν βαλανεῖον παρῇ· καὶ γὰρ καὶ ταῦτα τοῖς ἀνδράσι παντὸς μᾶλλον πρὸ τῶν λουτρῶν ἐγκρῖναι οὐ φαῦ-
P. 104 λον ἴσως, ἔχοντά τι χρήσιμον τοῖς νέοις πρὸς
Sylb. ὑγίειαν, σπουδήν τε καὶ φιλοτιμίαν ἐντιθέντα, οὐχὶ εὐεξίας μόνον, ἀλλὰ καὶ εὐψυχίας ἐπιμελεῖ-
P. 283 σθαι, ὃ δὴ γινόμενον ἄνευ τοῦ τῶν κρειττόνων Pott.
ἔργων ἀποσπᾶσθαι χάριεν καὶ οὐκ ἀλυσιτελές. οὐδὲ ἐνταῦθα δὲ ὑπεξαιρετέον τῆς κατὰ τὸ σῶμα διαπονήσεως τὰς γυναῖκας, ἀλλ' οὐκ ἐπὶ πάλην καὶ δρόμους παρακλητέον αὐτάς, ταλασιουργίᾳ δὲ γυμναστέον καὶ ἱστουργίᾳ καὶ τῷ παραστῆναι τῇ πεττούσῃ, εἰ δέοι. ἔτι δὲ αὐτουργικῶς προκομίζειν χρὴ ἐκ τοῦ ταμιείου τὰς γυναῖκας ὧν δεοίμεθα καὶ τῷ μύλῳ προσελθεῖν οὐκ αἰσχρὸν αὐτάς· οὐδὲ μὴν περὶ τὸ ὕδωρ ἀσχολεῖσθαι, ὅπως θυμῆρες ᾖ τἀνδρὶ, ὄνειδος οἰκουρῷ γαμετῇ καὶ βοηθῷ. εἰ δὲ καὶ στρωμνὴν ἀνατινάξαι δι' αὐτῆς καὶ ποτὸν ὀρέξαι διψῶντι τῷ γεγαμηκότι καὶ ὄψον παραθεῖη, εὐσχημονέστατα μεντἂν καὶ εἰς σώφρονα ὑγίειαν γυμνασθείη, τὴν τοιαύτην γυναῖκα ὁ παιδαγωγὸς ἀποδέχεται, „ἧ τοὺς πήχεις ἐκτένει εἰς τὰ χρήσιμα, τὰς χεῖρας δὲ αὐτῆς ἐρείδεται εἰς ἄτρακτον, χεῖρας δὲ αὐτῆς διήνοιξεν πένητι, καιρὸν δὲ ἐξέτεινε πτωχῷ"*), τὴν μάλιστα διακονίαν οὐκ ἐπῃσχύνθη ζηλώσασα Σάρραν ὑπουργῆσαι τοῖς ὁδοιπόροις. εἶπεν γὰρ αὐτῇ Ἀβραάμ· „σπεῦσον καὶ

*) Proverb. 31, 19 sq.

φύρασον τρία μέτρα σεμιδάλεως καὶ ποίησον ἐγκρυφίας"*). „Ῥαχὴλ δὲ ἡ θυγάτηρ Λάβαν ἤρχετο", φησὶ, „μετὰ τῶν προβάτων τοῦ πατρὸς αὐτῆς". καὶ οὐκ ἤρκει ταῦτα, ἀλλὰ τὴν ἀτυφίαν ἐκδιδάσκων προσεπήγαγεν· „αὐτὴ γὰρ ἔβοσκεν τὰ πρόβατα τοῦ πατρὸς αὐτῆς"**).

§. 50. Καὶ μυρία ὅσα αἱ γραφαὶ ὀρέγουσιν εὐτελείας ἅμα καὶ αὐτουργίας, πρὸς δὲ καὶ γυμνασίων ὑποδείγματα· ἀνδρῶν δὲ οἱ μὲν γυμνοὶ καὶ πάλης μετεχέτωσαν, οἱ δὲ καὶ σφαίρῃ τῇ μικρᾷ παιζόντων τὴν φαινίνδα παιδιὰν ἐν ἡλίῳ μάλιστα, ἄλλοις ὁ περίπατος αὐτάρκης ἀγρόνδε βαδίζουσιν ἢ εἰς ἄστυ κατιοῦσιν. εἰ δὲ καὶ σκαπάνης ἅψαιντο, οὐκ ἀγεννὲς τοῦτο παρεμπόρευμα οἰκονομικὸν γυμνασίου γεωργικοῦ. ἀλλὰ γὰρ μικροῦ δεῖν ἐλαθέν με εἰπεῖν ὁ Πιττακὸς ἐκεῖνος, ὅτι ἦλθεν ὁ Μιτυληναίων βασιλεὺς ἐνεργῷ γυμνασίῳ χρώμενος. καλὸν δὲ καὶ ὕδωρ ἀνιμῆσαι δι' αὐτοῦ καὶ ξύλα διατεμεῖν, οἷς αὐτοῖς χρήσεται. Ἰακὼβ δὲ ἐποίμαινεν τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέντα, σημεῖον ἔχων βασιλικὸν ῥάβδον στυρακίνην***) ἐναλλάττειν μελετῶσαν διὰ τοῦ ξύλου ἐπὶ τὸ βέλτιον τὴν φύσιν. πολλοῖς δὲ ἔσθ' ὅτε καὶ τὸ γεγωνὸν τῆς ἀναγνώσεως γυμνάσιόν ἐστιν. P. 284 Pott.

§. 51. Καὶ δὴ τά γε καὶ κατὰ πάλην, ἣν ἐνεκρίναμεν, εἰ μὴ φιλονεικίας ἀχρήστου παραλαμβανέσθω χάριν, εἰς δὲ ἱδρώτων ἀνδρωδῶν ἐκκρίσεις· καὶ οὔτι γε τὸ ἔντεχνον διαπονητέον, τὸ ἐπιδεικτικὸν αὐτῆς, τὰ δὲ ἀπὸ ὀρθῆς πάλης, ἀπ' αὐχένων καὶ χειρῶν καὶ πλευρῶν ἐξειλήσεως· κοσμιωδεστέρα γὰρ καὶ ἀνδρωδεστέρα μετ' εὐσχήμονος ῥώμης ἡ τοιαύτη διαπόνησις ὑγιείας ἕνεκεν εὐχρήστου καὶ ὀνησιφόρου παραλαμβανομένη· οἱ δὲ ἄλλοι λοιπὸν οἱ γυμναστικῆς οὐκ ἐλευθέρων στάσεων μελέτην καταγγέλλοντες. πανταχοῦ δὲ τοῦ μέτρου στοχαστέον. ὡς γὰρ πόνους σιτίων ἡγεῖσθαι ἄριστον, οὕτως τὸ ὑπὲρ τὸ μέ-

*) Genes. 18, 6. **) Ibid. 29, 9. ***) Cf. Genes. 30, 37.

τρον πονεῖν καὶ κάκιστον καὶ κοπῶδες καὶ νοσοποιόν. οὔτ' οὖν παντάπασιν ἀργὸν εἶναι χρὴ οὐδὲ μὴν παντελῶς ἐπίπονον. καθάπερ γὰρ καὶ ἐπὶ τῆς τροφῆς διεξεληλύθαμεν, παραπλησίως ἐν πᾶσι καὶ παντα-
5 χοῦ οὐ πρὸς ἡδυπάθειαν τετράφθαι καὶ ἀκόλαστον χρὴ δίαιταν οὔτ' αὖ πρὸς τὴν ἐναντίαν τὴν ἄκρατον, ἀλλὰ τὴν μεταξὺ τούτων τὴν ἐμμελῆ τε καὶ σώφρονα καὶ καθαρὰν ἑκατέρας κακίας, P. 284 τρυφῆς τε καὶ φειδωλίας. Pott.

10 §. 52. Ἤδη δὲ ὡς καὶ πρόσθεν εἰρήκαμεν, ἄτυφον ἡ αὐτάρκεια γυμνάσιον καὶ τὸ ὑποδήσασθαί τινα αὐτὸν αὑτῷ καὶ τὸ ἀπονίψασθαι τὼ πόδε, πρὸς δὲ καὶ τὸ ἀληλιμμένον λίπα ἀνατρῖψαι αὐτόν· τὸ δὲ καὶ τὴν ἀμοιβὴν τὴν ἴσην ἀνταποδοῦναι τῷ τρί-
15ψαντι ἐναλλὰξ καὶ τοῦτο δικαιοσύνης ἐστὶ κοινωνικῆς τὸ γυμνάσιον καὶ παραδαρθεῖν φίλῳ νοσοῦντι καὶ ὑπουργῆσαι μὴ δυναμένῳ καὶ παραθεῖναι δεομένῳ. καὶ παρέθηκεν αὐτοῖς, φησὶν, Ἀβραὰμ τοῖς τρισὶν ἄριστον ὑπὸ τὸ δένδρον καὶ παρέστη ἐσθίου-
20σιν αὐτοῖς*). καὶ ἡ ἁλεία, ὡς τῷ Πέτρῳ, εἰ σχολὴν ἀπὸ τῶν ἀναγκαίων τῶν ἐν λόγῳ μαθημάτων ἄγοιμεν. αὕτη δὲ βελτίων ἡ ἄγρα, ἣν ἐχαρίσατο ὁ κύριος τῷ μαθητῇ, καθάπερ ἰχθῦς διὰ ὕδατος ἀνθρώπους ἁλιεύειν διδάξας.

Cap. XI.

Ἐπιδρομὴ κεφαλαιώδης τοῦ ἀρίστου βίου.

§. 53. Διὰ τοῦτο καὶ τὸ χρυσοφορεῖν καὶ τὸ ἐσθῆτι μαλθακωτέρᾳ χρῆσθαι οὐ τέλεον περικοπτέον, χαλινωτέον δὲ τὰς ἀλόγους τῶν ὁρμῶν, μὴ εἰς τὸ ἀβροδίαιτον ἡμᾶς ἐνσείσωσι φέρουσαι ὑπὸ πολλῆς τῆς ἀνέσεως ἐξαρπάσασαι· δεινὴ γὰρ ἡ τρυφὴ εἰς

*) Genes. 18, 9. **) Ioann. 21, 3.

κόρον ἐξοκείλασα σκιρτῆσαι καὶ ἀναχαιτίσαι καὶ τὸν ἡνίοχον καὶ τὸν παιδαγωγὸν ἀποσείσασθαι, ὃς πόρρωθεν ἀνακόπτων τὰς ἡνίας ἄγει καὶ φέρει πρὸς σωτηρίαν τὸν ἵππον τὸν ἀνθρώπειον, τὸ ἄλογον μέρος τῆς ψυχῆς τὸ περὶ ἡδονὰς καὶ ὀρέξεις ἐπιψόγους καὶ λίθους καὶ χρυσίον καὶ ἐσθῆτα ποικίλην καὶ τὴν ἄλλην χλιδὴν ἐκθηριούμενον· ἐκεῖνο μάλιστα ἐν νῷ ἔχοντες τὸ εἰρημένον ἀγίως· „τὴν ἀναστροφὴν
P. 105 ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλήν, ἵνα ἐν ᾧ
Sylb. καταλαλοῦσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες δοξάσωσι τὸν θεόν"*). δίδωσιν οὖν ἡμῖν ὁ παιδαγωγὸς ἐσθῆτι χρῆσθαι τῇ λιτῇ, χρόᾳ δὲ τῇ λευκῇ, ὡς προειρήκαμεν, ἵνα μὴ τέχνῃ ποικιλλομένῃ, φύσει δὲ γεννωμένῃ οἰκειούμενοι πᾶν ὅσον ἀπατηλὸν καὶ τῆς ἀληθείας καταψευδόμενον παρωσάμενοι τὸ μονότροπον καὶ μονόπρόσωπον τῆς ἀληθείας ἀσπασώμεθα. ἀβροδίαιτον ἐνονειδίζων νεά-
P. 28 νιδα ὁ Σοφοκλῆς λέγει· Pot

γυναικομίμοις ἐμπρεπεῖς ἐσθήμασιν.

ὡς γὰρ στρατιώτου καὶ ναύτου καὶ ἄρχοντος, οὕτως δὲ καὶ σώφρονός ἐστιν οἰκεία στολὴ ἡ ἀπερίεργος καὶ εὐσχήμων καὶ καθάριος.

§. 54. Παρ' ὃ καὶ ὁ ἐν τῷ νόμῳ περὶ τῆς λέπρας**) διὰ Μωϋσέως τεθεὶς νόμος τὸ ποικίλον καὶ πολύστικτον οὐχ ὡς ὅσιον ἀπωθεῖται ταῖς ποικίλαις τοῦ ὄφεως φολίσιν ἐοικός. τὸν γοῦν μηκέτι διηνθισμένον ποικιλίᾳ χρωμάτων, ὅλον δὲ λευκωθέντα δι' ὅλων ἀπὸ κεφαλῆς ἄκρας ἄχρι ποδῶν ἐσχάτων καθαρὸν εἶναι ἐθέλει, ἵνα κατὰ τὴν ἀπὸ τοῦ σώματος μετάβασιν τὸ ποικίλον καὶ πανοῦργον τῆς διανοίας μεταθέμενοι πάθος τὸ ἀποίκιλτον καὶ ἀνενδοίαστον τῆς ἀληθείας· ἁπλοῦν ἀγαπήσωμεν χρῶμα. ὁ δὲ καὶ ἐν τούτῳ ἄρα ζηλωτὴς Μωϋσέως ὁ πάντα ἄριστος Πλάτων ἴφὴν ἐκείνην ἀποδέχεται, ᾗ μὴ πλέον ἔργον

*) 1 Petr. 2, 12. **) Cf. Leuit. 8.

πρόσεστι γυναικὸς σώφρονος, χρώματα δὲ λευκὰ πρέποντα ἂν εἴη σεμνότητι καὶ ἄλλοθι, λέγει, καὶ ἐν ὑφῇ· βάμματα δὲ μὴ προσφέρειν, ἀλλ' ἢ πρὸς τὰ πολέμου κοσμήματα. εἰρηνικοῖς ἄρα ἀνθρώποις καὶ φωτεινοῖς κατάλληλον τὸ λευκόν.

§. 55. Ὡς οὖν τὰ σημεῖα ἐγγυτάτω ὄντα τῶν αἰτιῶν παρόντα σημαίνει, μᾶλλον δὲ δείκνυσι τὴν τοῦ ἀποτελέσματος ὕπαρξιν, οἷον καπνὸς μὲν πῦρ, εὐχροια δὲ καὶ εὐσφυξία ὑγίειαν, οὕτως καὶ παρ' ἡμῖν ἡ τοιάδε στολὴ τοῦ ἤθους τὴν κατάστασιν ἐνδείκνυται. καθάριος δὲ καὶ ἀφελὴς ἡ σωφροσύνη, ἐπεὶ ἡ μὲν καθαριότης ἕξις ἐστὶν παρασκευαστικὴ διαίτης καθαρᾶς καὶ ἀμιγοῦς αἰσχροῖς, ἡ δὲ ἀφέλεια ἕξις ἀφαιρετικὴ τῶν περιττῶν. ἡ δὲ στερεὰ ἐσθὴς καὶ μάλιστα ἡ ἄγναφος ἀποστέγει τὸ θερμὸν τὸ ἐν τῷ σώματι, οὐχ ὅτι ἐν αὐτῇ ἔχει τὴν θερμότητα ἡ ἐσθής, ἀλλ ὅτι τὴν ἐν τῷ σώματι ἐξιοῦσαν ἀναστρέφει καὶ πάροδον αὐτῇ οὐ παρέχει, εἰ δὲ καὶ ἐμπέσοι τις, συλλαβοῦσα αὐτὴν ἐν αὐτῇ ἔχει, καὶ ὑπ' αὐτῆς θερμανθεῖσα ἀντιθερμαίνει τὸ σῶμα, δι' ὃ καὶ χειμῶνος μάλιστα ταύτῃ χρηστέον. εὔκολος δὲ αὕτη, εὐκολία δέ ἐστιν ἕξις ἀπέριττος προσδεκτικὴ τῶν πρὸς τὸ ἀνελλιπὲς ἐξαρκούντων εἰς τὸν κατὰ λόγον τὸν ὑγιῆ καὶ μακάριον βίον. P. 287 Pott.

§. 56. Κεχρήσθω δὲ καὶ ἡ γυνὴ τῇ λιτῇ στολῇ καὶ τῇ σεμνῇ, μαλακωτέρᾳ δὲ μᾶλλον ἢ προσῆκεν ἀνδρὶ, πλὴν οὐ τέλεον ἀπηρυθρηκυίᾳ, οὐ διαρρεούσῃ τῇ μαλακότητι. ἔστων δὲ αἱ ἐσθῆτες ἁρμόζουσαι ἡλικίᾳ, προσώπῳ, τύποις, φύσει, ἐπιτηδεύμασιν. ἐνδύσασθαι γὰρ παγκάλως ἡμῖν ὁ θεῖος ἀπόστολος συμβουλεύει τὸν Χριστὸν Ἰησοῦν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθαι εἰς ἐπιθυμίας *). κωλύει δὲ βιαζομένους τὴν φύσιν ὁ λόγος τοὺς λοβοὺς τῶν ὠτίων τιτράναι. διὰ τί γὰρ οὐχὶ καὶ τὴν ῥῖνα;

*) Cf. Rom. 13, 14.

ἵνα δὴ κἀκεῖνο πληρωθῇ τὸ εἰρημένον· „ὥσπερ ἐνώτιον ἐν ῥινὶ ὑὸς, οὕτως γυναικὶ κακόφρονι κάλλος“*). καθόλου γὰρ εἴ τις ἡγεῖται κοσμεῖσθαι χρυσίῳ, ἐλάττων ἐστὶν χρυσίου, ὁ δὲ ἐλάττων χρυσίου οὐκ ἔστι κύριος αὐτοῦ. ἀκοσμότερον δὲ ὁμολογεῖν ἑαυτὸν καὶ ἧττονα τοῦ Λυδίου ψήγματος πῶς οὐκ ἀτοπώτατον; καθάπερ οὖν καὶ τὸ χρυσίον μιαίνεται τῆς συὸς τῇ ἀκαθαρσίᾳ τῷ ῥύγχει τὸν φωρυτὸν ἐκταρασσούσης, οὕτως ἀσελγαίνειν αἱ τρυφητικώτεραι ὑπὸ τῆς περιουσίας ἐπωρόμεναι τὸ κάλλος τὸ ἀληθινὸν καθυβρίζουσιν ἀφροδισίων μολυσμοῖς.

§. 57. Δίδωσιν οὖν αὐταῖς δακτύλιον ἐκ χρυσίου οὐδὲ τοῦτον εἰς κόσμον, ἀλλ' εἰς τὸ ἀποσημαίνεσθαι τὰ οἴκοι φυλακῆς ἄξια διὰ τὴν ἐπιμέλειαν τῆς οἰκουρίας. εἰ γὰρ οἱ πάντες ἦσαν παιδαγωγούμενοι, οὐδὲν τῶν σφραγίδων ἔδει ἐπίσης ὄντων δικαίων καὶ οἰκετῶν καὶ δεσποτῶν, ἐπεὶ δὲ ἡ ἀπαιδευσία πολλὴν ἐνδίδωσι ῥοπὴν εἰς ἀδικίαν, σφραγίδων ἐδεήθημεν. ἀλλ' ἔστιν οὗ καθυφεῖναι τοῦ τόνου καιρός. καὶ γὰρ ἔσθ' ὅτε συγγνωστέον ταῖς οὐκ ἐντυγούσαις περὶ γάμον σώφρονα καὶ τἀνδρὸς διὰ τὴν ἀρεσκείαν κοσμουμέναις. ὅρος δὲ αὐταῖς ἐπικείσθω ἡ πρὸς μόνους τοὺς ἑαυτῶν ἄνδρας φιλοτιμία. ἐγὼ μὲν οὐκ ἐβουλόμην τὴν σωματικὴν εὐπρέπειαν ἀσκεῖν αὐτὰς, ἐπάγεσθαι δὲ τοὺς γήμαντας φιλανδρίᾳ σώφρονι, βιαστικῷ καὶ δικαίῳ φιλομάχῳ, πλὴν ἀλλ' ἐπεὶ δυστυχεῖν βούλονται τὴν ψυχὴν, προσκείσθω αὐταῖς, εἴ γε σωφρονεῖν ἐθέλοιεν, τὰς ἀλόγους ὁρμὰς καὶ ἐπιθυμίας τῶν ἀνδρῶν καταπραΰνειν ἠρέμα. ἡσυχῇ δὲ αὐτοὺς ἐπὶ τὴν λιτότητα ὑπακτέον τῷ πρὸς ὀλίγον πρὸς τὸ σωφρονέστερον ἐθισμῷ. τὸ γὰρ σεμνὸν κατάστημα οὐ προσθήκῃ τοῦ φορτικοῦ, ἀλλὰ ἀφαιρέσει τοῦ περιττοῦ περιγίγνεται.

P. 288 Pott.

*) Proverb. 11, 22.

§. 58. *Καθάπερ οὖν ὠκύπτερα περικοπτέον τῶν γυναικῶν τὰ χρήματα τὰ τρυφητικὰ χαυνότητας ἀβεβαίους καὶ κενὰς ἐμποιοῦντα, ἡδονὰς, ἐφ' ὧν ἐπαιρόμεναι καὶ πτερούμεναι πολλάκις ἀποπέτονται τῶν γάμων. διὸ καὶ συστέλλειν χρὴ τὰς γυναῖκας κοσμίως καὶ περισφίγγειν αἰδοῖ σώφρονι, μὴ παραρρυῶσι τῆς ἀληθείας διὰ χαυνότητα. καλὸν μὲν οὖν* P. 106 *ταῖς γαμεταῖς πεπιστευκότας αὐταῖς σφῶν τοὺς* 8yld. *ἄνδρας τὴν οἰκουρίαν αὐταῖς ἐπιτρέπειν βοηθοῖς* 10*εἰς τοῦτο δεδομέναις, εἰ δὲ ἄρα δέοι καὶ ἡμᾶς ἐμπολιτευομένους καὶ ἄλλας τινὰς τῶν κατ' ἀγρὸν διοικουμένους πράξεις, πολλάκις δὲ καὶ ἄνευ γυναικῶν γενομένους ὑπὲρ ἀσφαλείας ἀποσφραγίζεσθαί τινα, δίδωσιν καὶ ἡμῖν εἰς τοῦτο μόνον σημαντῆρα, τοὺς* 15*δὲ ἄλλους ἀπορριπτέον δακτυλίους· ἐπεὶ „κόσμος" κατὰ τὴν γραφὴν „χρυσοῦς φρόνιμῳ παιδεία"*). αἱ δὲ χρυσοφοροῦσαι τῶν γυναικῶν δεδιέναι μοι δοκοῦσιν, μὴ ἴν' ἀφέληταί τις αὐτῶν τὰ χρυσία, δοῦλαι νομισθῶσιν οὐ κοσμούμεναι. τὸ δὲ εὐγενὲς τῆς* 20*ἀληθείας ἐν τῷ φύσει καλῷ κατὰ ψυχὴν ἐξεταζόμενον οὐ πράσει καὶ ὠνῇ τὸν δοῦλον, ἀλλὰ τῇ γνώμῃ τῇ ἀνελευθέρῳ διακέκρικεν, ἡμῖν δὲ οὐ φαίνεσθαι ἐλευθέροις, ἀλλὰ εἶναι ἁρμόζει, τοῖς θεῷ μὲν παιδαγωγουμένοις, θεῷ δὲ εἰσπεποιημένοις.*

25 §. 59. *Διὸ καὶ στάσιν καὶ κίνησιν καὶ βάδισμα καὶ ἐσθῆτα καὶ ἅπαξ ἁπλῶς τὸν πάντα βίον ὅτι μάλιστα ἐλευθεριώτατον ἐπαιρητέον. ἀλλὰ καὶ τὸν δακτύλιον οὐκ ἐπ' ἄρθρῳ φορητέον τοῖς ἀνδράσι— γυναικεῖον γὰρ τοῦτο —, εἰς δὲ τὸν μικρὸν δάκτυλον,* 30*καὶ τοῦτο εἰς τοὔσχατον καθιέναι· ἔσται γὰρ οὕ-* P. 289 *τως εὐεργὴς ἡ χεὶρ, ἐν οἷς αὐτῆς δεόμεθα· καὶ οὐ* Pott. *ῥᾷστα ὁ σημαντὴρ ἀποπεσεῖται τῇ μείζονι τοῦ ἄρθρου συνδέσει φυλαττόμενος. αἱ δὲ σφραγῖδες ἡμῖν ἔστων πελειὰς ἢ ἰχθὺς ἢ ναῦς οὐριοδρομοῦσα ἢ*

---

*) Eccles. 21, 21.

λύρα μουσικὴ, ᾗ κέχρηται Πολυκράτης, ἢ ἄγκυρα ναυτικὴ, ἣν Σέλευκος ἐνεχαράττετο τῇ γλυφῇ, κἂν ἁλιείων τις ᾖ, ἀποστόλου μεμνήσεται καὶ τῶν ἐξ ὕδατος ἀνασπωμένων παιδίων· οὐ γὰρ εἰδώλων πρόσωπα ἐναποτυπωτέον, οἷς καὶ τὸ προσέχειν ἀπείρηται, οὐδὲ μὴν ξίφος ἢ τόξον τοῖς εἰρήνην διώκουσιν ἢ κύπελλα τοῖς σωφρονοῦσιν.

§. 60. Πολλοὶ δὲ τῶν ἀκολάστων γεγλυμμένους ἔχουσι τοὺς ἐρωμένους ἢ τὰς ἑταίρας, ὡς μηδὲ ἐθελῆσαι αὐτοῖς λῆθην ποτὲ ἐγγενέσθαι δυνηθῆναι τῶν ἐρωτικῶν παθημάτων διὰ τὴν ἐνδελεχῆ τῆς ἀκολασίας ὑπόμνησιν. τριχῶν δὲ πέρι ταύτῃ δοκεῖ· ψιλὴ μὲν ἡ τῶν ἀνδρῶν κεφαλὴ, πλὴν εἰ μὴ οὖλας ἔχοι τὰς τρίχας, λάσιον δὲ τὸ γένειον, αἱ δὲ συστραμμέναι τῶν τριχῶν ἀπὸ τῆς κεφαλῆς μὴ καθικέσθωσαν ἄγαν εἰς πλοκάμους κατολισθαίνουσαι γυναικείους· ἀπόχρη γὰρ τὸ ἠϊγένειον τοῖς ἀνδράσιν. εἰ δέ τις καὶ κείραιτό τι τοῦ γενείου, οὐ μέντοι παντελῶς ψιλωτέον αὐτό· αἰσχρὸν γὰρ τὸ θέαμα καὶ κατέγνωσται ἡ τοῦ γενείου ἐν χρῷ κουρὰ παρατίλσει καὶ λειότητι γειτνιῶσα. αὐτίκα γοῦν ὁ ψαλμῳδὸς τοῦ γενείου τερπόμενος τῇ κόμῃ, „ὡς τὸ μύρον", φησὶ, „τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών"*), τῇ παλινῳδίᾳ τοῦ πώγωνος τὸ εὐπρεπὲς ὑμνήσας πρόσωπον τῷ μύρῳ κατεγάνωσε κυρίου.

§. 61. Ἐπεὶ δὲ οὐχ ὡραϊσμοῦ χάριν ἡ κουρὰ παραληπτέα, διὰ περίστασιν δὲ, τὰς μὲν τῆς κεφαλῆς τρίχας ὡς μὴ αὐξανόμεναι ταῖς ὄψεσιν ἐμποδίζοιεν καταβαίνουσαι, καὶ ἴσως τὰς ἐπὶ τῷ μύστακι μολυνομένας κατὰ τὴν τροφὴν περικαρτέον, οὐ ξυρῷ — ἀγεννὲς γάρ —, ἀλλὰ ταῖς δυοῖν μαχαίραις ταῖς κουρικαῖς, τὰς δὲ τοῦ γενείου μηδέν τι παραλυπούσας οὐκ ἐνοχλητέον, σεμνότητα μὲν τοῦ P. 29 Pott

*) Psalm. 133, 2.

προσώπου καὶ κατάπληξιν γεννητικὴν ἐμποιούσας, πολλοὺς δὲ καὶ τὸ σχῆμα παραπαιδαγωγεῖ μὴ ἁμαρτάνειν διὰ τὸ εὐεξέλεγκτον, τοῖς δὲ ἀναφανδὸν ἁμαρτάνειν ἐθέλουσιν τὸ λανθάνον τοῦ σχήματος καὶ μὴ παράσημον ἐπιτερπέστατον, ὑφ' ᾧ δεδοικότες οἷς ἔξεστι δι' ἄγνοιαν πλημμελεῖν τοῖς πολλοῖς ἐξομοιούμενοι τὸ ἁμαρτάνειν ἀδεῶς κεκάρπωνται.

§. 62. Οὐ μόνον οὖν αὐστηρὸν δεικνύει τὸν ἄνδρα τῆς κεφαλῆς τὸ ψιλὸν, ἀλλὰ καὶ δυσπαθὲς κατασκευάζει τὸ κρανίον, προσομιλεῖν ἐθίζον καὶ κρύει καὶ καύματι καὶ τὰς ἀπὸ τούτων διωθεῖται βλάβας, ἃς ἡ κόμη σπόγγου τρόπον εἰς ἑαυτὴν ἀναλαμβάνουσα ἐγκατασκήπτει τῷ ἐγκεφάλῳ παράμονον ἐκ τῆς νοτίδος τὴν βλάβην. ταῖς γυναιξὶ δὲ ἀπόχρη μαλάσσειν τὰς τρίχας καὶ ἀναδεῖσθαι τὴν κόμην εὐτελῶς περόνῃ τινὶ λιτῇ παρὰ τὸν αὐχένα ἀφελεῖ θεραπείᾳ συναυξούσαις εἰς κάλλος γνήσιον τὰς σώφρονας κόμας. καὶ γὰρ αἱ περιπλοκαὶ τῶν τριχῶν αἱ ἑταιρικαὶ καὶ αἱ τῶν σειρῶν ἀναδέσεις πρὸς τὸ εἰδεχθεῖς αὐτὰς δεικνύναι, κόπτουσαι τὰς τρίχας, ἀποτίλλουσαι ταῖς πανούργοις ἐμπλοκαῖς, δι' ἃς οὐδὲ θιγγάνουσι τῆς κεφαλῆς τῆς σφῶν αὐταῖς συγχεῖν τὰς τρίχας φοβούμεναι, ἀλλὰ καὶ ὁ ὕπνος αὐταῖς μετὰ δέους παραγίνεται, μὴ κατασκύλωσιν λαθοῦσαι τὸ τῆς ἐμπλοκῆς σχῆμα.

§. 63. Ἀλλοτρίων δὲ αἱ προσθέσεις τριχῶν P. 291 τέλεον ἔκβλητοι, ὀθνείας τε ἐπισκιάζεσθαι τῇ κε- Pott. φαλῇ τὰς κόμας ἀθεώτατον νεκροῖς ἐνδιδυσκοίσαις πλοκάμοις τὸ κρανίον· τίνι γὰρ ὁ πρεσβύτερος ἐπιτίθησι χεῖρα; τίνα δὲ εὐλογήσει; οὐ τὴν γυναῖκα τὴν κεκοσμημένην, ἀλλὰ τὰς ἀλλοτρίας τρίχας καὶ δι' αὐτῶν ἄλλην κεφαλήν. εἰ δὲ „κεφαλὴ γυναικὸς μὲν ἀνὴρ, ἀνδρὸς δὲ ὁ Χριστὸς"*), πῶς οὐκ ἄθεον διττοῖς αὐτὰς περιπίπτειν ἁμαρτήμασιν; τοὺς μὲν γὰρ ἀπα-

*) 1 Cor. 11, 3.

τῶσι τοὺς ἄνδρας διὰ τὴν ὑπερβολὴν τῆς κόμης, καταισχύνουσι δὲ τὸν κύριον τὸ ὅσον ἐπ' αὐτοῖς ἑταιρικῶς κοσμούμενοι εἰς ἀπάτην ἀληθείας καὶ τὴν ὄντως οὖσαν καλὴν βλασφημοῦσι κεφαλήν. οὔκουν οὐδὲ βαπτέον τὰς τρίχας, οὐδὲ μὴν τὰς πολιὰς μεταχρωστέον· οὔτε γὰρ τὴν ἐσθῆτα ποικίλλειν συγκε-
P. 107 χώρηται· καὶ μάλιστα τὸ γεραιὸν τῆς ἡλικίας καὶ
Sylb. ἀξιόπιστον οὐκ ἐπικαλυπτέον, ἀναδεικτέον δὲ ὑπ' αὐγὰς τοῦ θεοῦ τὸ τίμημα εἰς σέβασμα τῶν νέων· καὶ γὰρ ἀναισχυντοῦσιν ἔσθ' ὅτε πολιᾶς ἐπιφάνεια παιδαγωγοῦ δίκην ἐπιστᾶσα ἐπὶ σωφροσύνην μεθηρμόσατο αὐτοὺς καὶ κατεπλήξατο τῇ στιλπνότητι τῆς ὄψεως τὸ νεάζον τῆς ἐπιθυμίας.

§. 64. Ἀλλ' οὐδὲ τὰ πρόσωπα ἐντριπτέον αὐταῖς πανούργου σοφίας τερθρεύμασιν, ὑποδείξωμεν δὲ αὐταῖς κομμωτικὴν σώφρονα· κάλλος γὰρ ἄριστον πρῶτον μὲν τὸ ψυχικόν, ὡς πολλάκις ἐπεσημηνάμην, ὅταν ᾖ κεκοσμημένη ψυχὴ ἁγίῳ πνεύματι καὶ τοῖς ἐκ τούτου ἐμπνεομένη φαιδρύσμασιν, δικαιοσύνῃ, φρονήσει, ἀνδρείᾳ, σωφροσύνῃ, φιλαγαθίᾳ τε καὶ αἰδοῖ, ἧς οὐδὲν εὐανθέστερον χρῶμα ἑώραται πώποτε· ἔπειτα καὶ τὸ σωματικὸν κάλλος ἠσκήσθω, συμμετρίᾳ μελῶν καὶ μερῶν μετ' εὐχροίας. ἡ κομμωτικὴ τῆς ὑγιείας ἐνταῦθα εὔθετος, καθ' ἣν ἡ τοῦ εἰδώλου τοῦ ἐπιπλάστου εἰς τὸ ἀληθὲς μετάβασις κατὰ τὸ σχῆμα τὸ ἐκ τοῦ θεοῦ δεδομένον περιγίνεται. δεινὴ δὲ καλλωπίσαι κατὰ φύσιν ἡ τῶν ποτῶν εὐκρασία καὶ ἡ τῶν σιτίων συμμετρία. οὐ γὰρ μόνον τὴν ὑγίειαν ἴσχει τὸ σῶμα ἐκ τούτων, ἀλλὰ καὶ τὸ κάλλος διαφαίνεσθαι ποιεῖ. ἀπὸ γὰρ τοῦ πυρώδους τὸ στιλπνὸν καὶ μαρμαρυγῶδες περιγίνεται, ἀπὸ δὲ τοῦ ὑγροῦ τὸ λαμπρὸν καὶ κεχαρισμένον, ἀπὸ δὲ τοῦ ξηροῦ τὰ ἀνδρῶδες καὶ πάγιον, ἀπὸ δὲ τοῦ ἀερώδους τὸ εὔπνουν καὶ ἰσοστάσιον,
P. 29 ἐξ ὧν ὁ εὔρυθμος καὶ καλὸς οὗτος ἀνδριὰς τοῦ λόγου κεκόσμηται. ἄνθος γὰρ τῆς ὑγιείας ἐλευθέριον Pott

τὸ κάλλος· ἡ μὲν γὰρ ἔνδον τοῦ σώματος ἐργάζεται, τὸ δὲ εἰς τὸ ἐκτὸς τοῦ σώματος ἐξανθῆσαν φανερὰν ἐνδείκνυται τὴν εὐχροιαν.

§. 65. Αἱ γοῦν κάλλισται καὶ ὑγιεινότατα ἀγωγαὶ διαπονοῦσι τὰ σώματα τὸ κάλλος τὸ γνήσιον καὶ παράμονον ἐργάζονται, ἕλκοντος ἐφ' ἑαυτὸ τοῦ θερμοῦ τήν τε ἰκμάδα πᾶσαν καὶ τὸ πνεῦμα τὸ ψυχρὸν, ὁλκὸν δὲ εἰς ἑαυτὴν ἡ θερμότης ἐκπιζομένη κινήσεσιν. ἐπειδὰν δὲ ἐλκύσῃ, ἀλεαινομένων ῥέμα δι' αὐτῶν ἀτμίζει τῶν σαρκῶν τὴν ἐκ τῆς τροφῆς περιουσίαν, ποσῇ μὲν τῇ ὑγρότητι, ὑπερβολῇ δὲ θερμότητος. διὸ καὶ ἡ προτέρα κενοῦται τροφὴ, ἀκινήτῳ δὲ τῷ σώματι τὸ βρωθὲν σιτίον οὐ προσφύεται, ἀλλὰ ἐκπίπτει, ὥσπερ ἀπὸ ψυχροῦ κλιβάνου ὁ ἄρτος ἢ ὅλος ἢ μόνον ὑπολειπόμενος τὸν πυθμένα. εἰκότως οὖν τοῖς περιττεύουσι κατὰ τὰς ἀποτρίψεις τὰ οὖρα καὶ τὰ σκύβαλα πλεονάζει, πλεονάζει δὲ καὶ τὰ ἄλλα περιττώματα αὐτοῖς, πρὸς δὲ καὶ ἱδρῶτες οὐκ ἀναδιδομένης τῷ σώματι τῆς τροφῆς, ἀλλ' εἰς τὰ περιττὰ ἐκχεομένης.

§. 66. Ἐντεῦθεν καὶ αἱ λαγνεῖαι ὁρμῶνται περὶ τὰ παιδοποιίας μόρια ἐπιρρεούσης τῆς περιττείας κινήσεσι συμμέτροις. διὸ τηκτέον ταύτην τὴν περιττείαν καὶ εἰς πέψιν ἀναχυτέον, δι' ἧς τὸ κάλλος ἐρυθραίνεται. ἄτοπον δὲ τοὺς „κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν Θεοῦ"*) γεγονότας ὥσπερ ἀτιμάζοντας τὸ ἀρχέτυπον ἔπηλυν ἐπάγεσθαι κομμωτικὴν τὴν ἀνθρώπειον κακοτεχνίαν πρὸ τῆς θείας αἱρουμένους δημιουργίας. προϊέναι δὲ αὐτὰς ὁ παιδαγωγὸς κελεύει „ἐν καταστολῇ κοσμίῳ μετὰ αἰδοῦς καὶ σωφροσύνης κοσμεῖν ἑαυτὰς"**), „ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ὡς καὶ εἴ τινες ἀπειθοῖεν τῷ λόγῳ, διὰ τῆς τῶν γυναικῶν ἀναστροφῆς ἄνευ λόγου κερδηθήσονται ἐποπτεύσαντες", φησὶν, „τὴν ἐν λόγῳ

*) Genes. 1, 26. **) 1 Timoth. 2, 9.

ἁγνὴν ἀναστροφὴν ὑμῶν· ὧν ἔστω οὐχ ὁ ἔξωθεν ἐμπλοκῆς καὶ περιθέσεως χρυσίων ἢ ἐνδύσεως ἱματίων κόσμος, ἀλλ' ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος ἐν τῷ ἀφθάρτῳ τοῦ πραέος καὶ ἡσυχίου πνεύματος, ὅ ἐστιν ἐνώπιον τοῦ θεοῦ πολυτελές"*).

§. 67. "Ἡ δὲ αὐτουργία ταῖς γυναιξὶ μάλιστα τὸ γνήσιον ἐπιφέρει κάλλος γυμνάζουσα τὰ σώματα αὐτῶν καὶ σφᾶς αὐτὰς δι' αὐτῶν κοσμοῦσα, οὐ τὸν ὑπ' ἄλλων πεπονημένον προσφέρουσα κόσμον ἄκοσμον καὶ ἀνελεύθερον καὶ ἑταιρικόν, ἀλλὰ τὸν ἑκάστης σώφρονος γυναικὸς διὰ τῶν χειρῶν αὐτῆς, ὁπότε χρήζοι μάλιστα, ἀρκούμενον καὶ ἐξυφαινόμενον· οὐ γάρ ποτε καθήκει ἐξ ἀγορᾶς ἀνητοῖς, Pott. ἀλλὰ τοῖς οἰκουρικοῖς τοῖς ἰδίοις ἔργοις κοσμουμένας φαίνεσθαι τὰς κατὰ θεὸν πολιτευομένας. κάλλιστον ἔργον γυνὴ οἰκουρὸς αὐτήν τε καὶ τὸν ἄνδρα τοῖς ἰδίοις περιβάλλουσα κοσμήμασι, δι' ὧν ἀγάλλονται πάντες, οἱ μὲν παῖδες ἐπὶ τῇ μητρὶ, ὁ δὲ ἀνὴρ ἐπὶ τῇ γυναικὶ, αὕτη δὲ**) ἐπὶ τούτοις, πάντες δὲ ἐπὶ τῷ θεῷ. συλλήβδην γοῦν „ταμιεῖον ἀρετῆς ἐστὶν ἀνδρεία γυνὴ, ἥτις σῖτα ὀκνηρὰ οὐκ ἔφαγεν, θεσμοὶ δὲ ἐλεημοσύνης ἐπὶ τῇ γλώσσῃ αὐτῆς, ἥτις τὸ στόμα αὐτῆς διήνοιξεν σοφῶς καὶ ἐννόμως, ἧς τὰ τέκνα ἐμακάρισαν ἀνιστάμενα", ὡς διὰ Σολομῶντος λέγει ὁ ἅγιος λόγος, „ὁ δὲ ἀνὴρ αὐτῆς ἐνεκωμίασεν. γυνὴ γὰρ εὐσεβὴς εὐλογεῖται, φόβον δὲ κυρίου αὐτὴ αἰνείτω"***). καὶ πάλιν, „γυνὴ ἀνδρεία στέφανος τῷ ἀνδρὶ αὐτῆς"†).

§. 68. Ἐπανορθωτέον δὲ ὅτι μάλιστα καὶ τὰ σχήματα καὶ τὰ βλέμματα καὶ τὰ βαδίσματα καὶ τὰς φωνάς. οὐ γὰρ ὥς τινες τὴν ὑπόκρισιν ζηλοῦσαι τῆς κωμῳδίας καὶ τὰς κατεαγυίας τῶν ὀρχηστῶν κινήσεις παραφυλάττουσαι παρὰ τὰς ὁμιλίας σκηνο-

*) 1 Petr. 3, 2—4. **) Cf. Prouerb. 31, 22. ***) Ibid. v. 26—28. 30. †) Ibid. 12, 4.

βατοῦσιν, αὐτοῖς τοῖς κινήμασιν τοῖς ἁβροῖς καὶ τοῖς ὑγροῖς βαδίσμασιν καὶ φωναῖς ταῖς πεπλασμέναις κλαδαρὸν περιβλέπουσαι, δέλεαρ ἡδονῆς ἐξησκημέναι. „μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἢ πρὸς χάριν λαλοῦσα λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσεις καὶ ἠκονημένον μᾶλλον ἢ μάχαιραν δίστομον· τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θάνατον εἰς Ἅιδην" *). Σαμψὼν γοῦν τὸν γεννάδαν ἡ πόρνη νηνίκηκεν, καὶ τὸν ἄνδρα ἔκειρεν αὐτοῦ ἑτέρα γυνή. ἀλλ' οὐχ οὕτως ἠπάτησεν τὸν Ἰωσὴφ ἄλλη γυνὴ, νενίκηται δὲ ἡ πόρνη ἡ Αἰγυπτία, καὶ δεσμὰ σωφροσύνη λαμβάνουσα κρειττων ἀναφαίνεται λελυμένης ἐξουσίας. P. 294

§. 69. Ἔχοι δ' ἂν κἀκεῖνο ἄριστα τὸ εἰρημένον, Pott.

τὸ δ' ὅλον οὐκ ἐπίσταμαι
ἐγὼ ψιθυρίζειν οὐδὲ κατακεκλασμένως
πλάγιον ποιήσας τὸν τράχηλον περιπατεῖν,
ὥσπερ ἑτέρους ὁρῶ κιναίδους ἐνθάδε
πολλοὺς ἐν ἄστει καὶ πεπιττοκοπημένους.

αἱ δὲ γυναικεῖοι κινήσεις καὶ θρύψεις καὶ χλιδαὶ κολουστέαι παντελῶς· τὸ γὰρ ἁβροδίαιτον τῆς περὶ τὸν περίπατον κινήσεως καὶ τὸ σαυλὰ βαίνειν, ὡς φησιν Ἀνακρέων, κομιδῇ ἑταιρικά. ὡς γέ μοι φαίνεται, ἡ κωμῳδία φησὶν, τὰ ἴχνη τὰ ἑταιρικὰ ὥραν ἀπολείπειν καὶ τρυφὴν, „ἴχνη" δὲ πορνικὰ „οὐκ ἐρείδεται εἰς ἀλήθειαν, ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται, σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς καὶ οὐκ εὔγνωστοι"**). μάλιστα δὲ ὀφθαλμῶν φειστέον, ἐπεὶ τοῖς ποσὶν ἢ τοῖς ὀφθαλμοῖς ἄμεινον ὀλισθεῖν.

§. 70. Ὁ γοῦν κύριος συντομώτατα ἰᾶται τὸ πάθος τοῦτο, „εἰ σκανδαλίζει σε ὁ ὀφθαλμός σου, ἔκκοψον αὐτὸν" ***) λέγων, ἐκ βάθρων ἀνασπῶν τὴν

*) Prouerb. 5, 3—5. **) Ibid. v. 5 sq. ***) Matth. 5, 29.

ἐπιθυμίαν. κλαδαραὶ δὲ ὄψεις καὶ τὸ ἐνιλλώττειν, ὃ διὰ τῶν ὀφθαλμῶν βλεφαρίζειν ἐστὶν, οὐδὲν ἀλλ' ἢ διὰ τῶν ὀφθαλμῶν μοιχεύειν ἐστὶν ἀκροβολιζομένης τῆς ἐπιθυμίας δι' αὐτῶν. πρὸ γὰρ τοῦ παντὸς σώματος διαφθείρονται οἱ ὀφθαλμοί. „Θεωρῶν δὲ καλὰ ὀφθαλμὸς εὐφραίνει καρδίαν"*), τουτέστι καλῶς μαθὼν θεωρεῖν εὐφραίνει, „ἐννεύων δὲ ὀφθαλμὸν μετὰ δόλου συνάγει ἀνδράσι λύπας"**). τοιοῦτόν που τὸν θηλυδρίαν Σαρδανάπαλον τῶν Ἀσσυρίων τὸν βασιλέα, ἐπὶ κλίνῃ ἀναβάδην ἐξόμενον εἰσάγουσι πορφύραν ξαίνοντα καὶ τὰ λευκὰ τῶν ὀφθαλμῶν ἐπαναβάλλοντα. αἱ ταῦτα ἐπιτηδεύουσαι γυναῖκες ἰδίαις ὄψεσι προαγωγεύουσιν αὐτάς· „λύχνος γὰρ τοῦ σώματός ἐστιν ὁ ὀφθαλμὸς"***), φησὶν ἡ γραφὴ, δι' οὗ καταφαίνεται τὰ ἔνδον φωτὶ τῷ φαινομένῳ καταυγαζόμενα. „πορνεία δὲ γυναικὸς ἐν μετεωρισμῷ ὀφθαλμῶν"†).

§. 71. „Νεκρώσατε οὖν τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακὴν καὶ τὴν πλεονεξίαν, ἥτις ἐστὶν εἰδωλολατρία, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ [ἐπὶ τοὺς υἱοὺς τῆς ἀπειθείας]"††), ὁ μὲν ἀπόστολος βοᾷ, ἡμεῖς δὲ ἀναζωπυροῦμεν τὰ πάθη καὶ οὐκ αἰσχυνόμεθα. αἱ μὲν αὐτῶν μαστίχην ἐντραχοῦσαι, περιοῦσαι, σεσήρασι τοῖς παριοῦσιν, αἱ δὲ τὰς κεφαλὰς, ὡς μὴ δακτύλους ἔχουσαι, ταῖς ὑπ' αὐτῶν φερομέναις περύναις σκαλεύουσι θρύπτονται, καὶ ταύτας ἢ χελώνης ἢ ἐλέφαντος ἢ τινος ἄλλου ζώου νεκροῦ πεποιημένας πολυπραγμονοῦσιν· ἄλλαι δὲ καθάπερ ἐξανθήματά τινα ἔχουσαι πρὸς εὐπρέπειαν τῶν ὁρώντων εὐανθέσι περιχρίστοις κοσμούμεναι σπιλοῦσι τὰ πρόσωπα τὰ αὐτῶν. „ἄφρονα" τὴν τοιαύτην „καὶ θρασεῖαν γυναῖκα" διὰ Σολομῶντος λέγει, „ἣ οὐδὲ ἐπίσταται

P. 295 Pott.

*) Proverb. 16, 2. **) Ibid. 10, 10. ***) Matth. 6, 22. †) Eccles. 26, 9. ††) Coloss. 3, 5 sq.

αἰσχύνην, ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου ἐπὶ δίφρου ἐμφανῶς προσκαλουμένη τοὺς παριόντας ὁδὸν, τοὺς εὐθύνοντας τὰς ἑαυτῶν τροχιὰς", διὰ τοῦ σχήματος αὐτῆς καὶ τοῦ βίου παντὸς δηλονότι λέγουσα, „τίς ἐστιν ὑμῶν ἀφρονέστατος; ἐκκλινάτω πρός με". ἐνδείσι δὲ φρονήσεως παρακελεύεται λέγουσα, „ἄρτων κρυφίων ἡδέως ἅψασθε καὶ ὕδατος κλοπῆς γλυκεροῦ", τὴν ἐπίκλοπον ταύτην ἀφροδίτην λέγει.

§. 72. Ἐντεῦθεν ὠφελημένος ὁ Βοιώτιος Πίνδαρος γλυκύ τι, φησὶν, κλεπτόμενον μέλημα Κύπριδος. ὁ δὲ „οὐκ οἶδεν ἄθλιος, ὅτι γηγενεῖς παρ' αὐτῇ ὀλοῦνται, καὶ ἐπὶ πέταυρον Ἅιδου συναντᾷ. ἀλλὰ ἀποπήδησον", φησὶν, „μὴ χρονίσῃς ἐν τῷ τόπῳ", ὁ παιδαγωγὸς, „μηδὲ ἐπιστήσῃς τὸ σὸν δόμμα πρὸς αὐτήν. οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον καὶ ὑπερβήσῃ τὸν Ἀχέροντα"*). διὰ τοῦτο τάδε λέγει κύριος διὰ Ἡσαΐου· „ἀνθ' ὧν ἐπορεύθησαν αἱ θυγατέρες Σιὼν ὑψηλῷ τραχήλῳ καὶ ἐν νεύμασιν P. 296 ὀφθαλμῶν καὶ τῇ πορείᾳ ἅμα σύρουσαι τοὺς χι- Pott. τῶνας καὶ τοῖς ποσὶ παίζουσαι, καὶ ταπεινώσει ὁ θεὸς τὰς θυγατέρας Σιὼν καὶ ἀνακαλύψει τὸ σχῆμα αὐτῶν"**), τὸ ἄσχημον σχῆμα.

§. 73. Ἐγὼ μὲν οὐδὲ τὰς θεραπαίνας ἀξιῶ ταῖς ἀρίσταις γυναιξὶ τὰς ἑπομένας αὐταῖς αἰσχρολογεῖν ἢ αἰσχροεργεῖν, σωφρονίζεσθαι δὲ αὐτὰς πρὸς τῶν δεσποινῶν· σφόδρα γοῦν ἐπιτιμητικώτατα ὁ κωμικὸς Φιλήμων φησίν·

ἐξιὼν
γυναικὸς ἐξόπισθ' ἐλευθέρας βλέπω
μόνην θεράπαιναν κατόπιν ἀκολουθεῖν καλήν,
ἐκ τοῦ Πλαταικοῦ τε κατιλλώπτειν τινὰ
ταύτῃ παρακολουθοῦντα.

ἀναστρέφει γὰρ ἐπὶ τὴν δέσποιναν ἡ τῆς θεραπαίνης ἀκολασία, ἐπιβαθραίνειν ἐνδιδοῦσα τοῖς πειρῶσι τὰ ἧττονα, τὸ μὴ εὐλαβεῖσθαι τὰ μείζονα διὰ τοῦ συγγενῶ-

*) Proverb. 9, 13—18. **) Ies. 3, 16 sq.

σκειν τοῖς αἰσχροῖς τὸ μὴ καταγινώσκειν ἐμφαινούσης τῆς δεσποίνης. τὸ δὲ μὴ ἐπαγανακτεῖν τοῖς ἀκολασταίνουσιν σαφὲς γίνεται τεκμήριον γνώμης εἰς τὸ ὅμοιον ἐκτρεπομένης. οἷα γὰρ δέσποινα, φασὶν οἱ παροιμιαζόμενοι, τοιάδε καὶ κύων. ἀποσκορακιστέον δὲ ἡμῖν καὶ τοῦ περιπάτου τὸ μανιῶδες, τὸ δὲ σεμνὸν καὶ τὸ σχολαῖον ἐκλεκτέον, οὐ τὸ βάδισμα τὸ μελλητικὸν, οὐδὲ τὸ ἐν ταῖς ὁδοῖς σαλεύειν καὶ ἐξυπτιάζοντα παρα-
P. 109 βλέπειν εἰς τοὺς ἀπαντῶντας, εἰ ἀποβλέπουσιν
Sylb. εἰς αὐτὸν, καθάπερ ἐπὶ σκηνῆς ἐμπομπεύοντα καὶ δακτυλοδεικτούμενον. οὐδὲ ὑπὸ οἰκετῶν ἀναστρέφεσθαι χρὴ πρὸς τὸ σιμὸν ὠθουμένους, ὥσπερ τοὺς τρυφητικωτέρους ὁρῶμεν ἐρρωμένους εἶναι δοκοῦντας, ὑπὸ μαλακίας δὲ ψυχικῆς διατεθρυμμένους. ἀνδρὸς δὲ γενναίου σημεῖον οὐδὲν εἶναι δεῖ περιφανὲς ἐν τῷ προσώπῳ μαλακίας, ἀλλ' οὐδὲ ἐν ἑτέρῳ μέρει τοῦ σώματος.

§. 74. Μὴ τοίνυν μηδὲ ἐν κινήσεσιν μηδὲ ἐν σχέσεσιν εὑρεθείη πότ' ἂν ἡ ἀσχημοσύνη τῆς ἀνδρείας. οὐδὲ μὴν καθάπερ ὑποζυγίοις τοῖς οἰκέταις χρηστέον τῷ ὑγιαίνοντι. ὡς γάρ τοι ἐκείνοις παραγγέλλεται, „παντὶ φόβῳ τοῖς δεσπόταις οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς ὑποτάσσεσθαι" *), φησὶν ὁ Πέτρος, οὕτως ἡ ἰσότης καὶ ἡ μακροθυμία καὶ ἡ φιλανθρωπία τοῖς δεσπόταις εὐάρμοστος. „τὸ γὰρ τέλος", φησὶ, „πάντες ὁμόφρονες, συμπαθεῖς, φιλάδελφοι, εὔσπλαγχνοι, ταπεινόφρονες" καὶ τὰ ἐπὶ τούτοις, „ἵνα εὐλογίαν κληρονομήσητε" καλήν τινα καὶ ἀξιέραστον**). ὑπογράφειν ὁ Κιττιεὺς ἔοικε Ζήνων εἰκόνα νεάνιδα καὶ οὕτως αὐτὸν ἀνδριαντουργεῖ· ἔστω, φησὶ, καθαρὸν τὸ πρόσωπον, ὀφρῦς μὴ καθειμένη μηδὲ ὄμμα ἀναπεπταμένον μηδὲ ἀνακεκλασμένον, μὴ ὕπτιος P. 297
ὁ τράχηλος μηδὲ ἀνιέμενα τὰ τοῦ σώματος μέλη, Pott.

*) 1 Petr. 2, 18. **) Ibid. 3, 8 sq.

ἀλλὰ τὰ μετέωρα ἐντόνοις ὅμοια, ὀρθόνους πρὸς τὸν λόγον ὀξύτης καὶ κατοχὴ τῶν ὀρθῶς εἰρημένων καὶ σχηματισμοὶ καὶ κινήσεις μηδὲν ἐνδιδοῦσαι τοῖς ἀκολάστοις ἐλπίδος· αἰδὼς μὲν ἐπανθείτω καὶ ἀρ-
ρενωπία, ἀπέστω δὲ καὶ ὁ ἀπὸ τῶν μυροπωλίων καὶ χρυσοχοΐων καὶ ἐριοπωλίων ἄλυς καὶ ὁ ἀπὸ τῶν ἄλλων ἐργαστηρίων, ἔνθα καὶ ἑταιρικῶς κεκοσμημένοι ὥσπερ ἐπὶ τέγους καθεζόμεναι διημερεύουσι.

§. 75. Μὴ τοίνυν μηδὲ οἱ ἄνδρες ἐπὶ τῶν κουρείων καὶ καπηλείων διατρίβοντες, ἀδολεσχούντων στωμυλευόμενοι, καὶ τὰς παριζούσας θηρώμενοι γυναῖκας παυσάσθων ποτέ· πολλοὺς δὲ καὶ βλασφημοῦντες εἰς γέλωτα οὐ παύονται. κωλυτέα γε μὴν ἔτι καὶ ἡ διὰ τῶν κύβων παιδιά, πρὸς δὲ καὶ ἡ διὰ τῶν
δάστραγάλων μελέτη πλεονεξίας, ἣν μεταχειρίζεσθαι φιλοῦσι. τοιαῦτά τινα τῆς τρυφῆς τὸ ἀταμίευτον αὐτοῖς κακοσχολοῦσιν ἐξευρίσκει· αἰτία γὰρ ἡ ἀργία, ματαίων δέ τις ἐρᾷ τῶν ἐκτὸς τῆς ἀληθείας ὄντων, οὐ γὰρ ἔστι καὶ ἄλλως θυμηδίαν ἄνευ βλάβης κτή-
σασθαι, τῆς δὲ ἑκάστου τῶν ἀνθρώπων διανοίας μίμησίς ἐστιν ἡ τοῦ βίου προαίρεσις. ἀλλ' ὡς ἔοικεν μόναι αἱ μετὰ τῶν ἀγαθῶν ἀνδρῶν συναναστροφαὶ ὠφελοῦσιν. ἔμπαλιν γοῦν τὴν μετὰ τῶν φαύλων συνδιαίτησιν ἀνθρώπων ὑώδη γνωρίζων ὁ πάν-
σοφος διὰ Μωϋσέως παιδαγωγὸς „χοιρείων"*) ἀπηγόρευσεν μεταλαμβάνειν τῷ λαῷ τῷ πρεσβυτέρῳ, ἐμφαίνων μὴ δεῖν τοὺς θεὸν ἐπιβωμένους ἀκαθάρτοις ἀναμίγνυσθαι ἀνθρώποις, οἳ δίκην ὑῶν ἡδοναῖς σωματικαῖς καὶ δεισαλέαις τροφαῖς καὶ γαργαλισμοῖς P. 298
θασελγέσι κνηστιῶντες πρὸς ἀφροδίτην κακόχαρτον Pott.
ἡδονὴν χαίρουσιν. ἀλλ' οὐδ' „ἔκτινα ἢ ὠκύπτερον μαστοφαγῆ ἢ αἰετὸν"**) φαγεῖν φησιν, οὐκ ἐγγι-

*) Levit. 11, 7. Deut. 14, 8. **) Levit. 11, 13 sq. Deut. 14, 12.

εἰς, λέγων, τοῖς δι' ἁρπαγῆς τὸν βίον πορίζομένοις, καὶ τὰ ἄλλα δὲ ὁμοίως ἀλληγορεῖται.

§. 76. Τίσιν οὖν οἰκειωτέον; τοῖς δικαίοις, πάλιν ἀλληγορῶν φησίν· πᾶν γὰρ „διχηλοῦν καὶ μαρυκώμενον" *) καθαρόν ἐστιν, ὅτι τὸ διχηλοῦν δικαιοσύνην ἐμφαίνει τὴν ἰσοστάσιον μηρυκάζουσαν τὴν οἰκείαν δικαιοσύνης τροφὴν, τὸν λόγον, ἔκτοσθεν μὲν εἰσιόντα κατὰ ταὐτὰ τῇ τροφῇ διὰ κατηχήσεως, ἔνδοθεν δὲ ἀναπεμπόμενον ὥσπερ ἐκ κοιλίας τῆς διανοίας εἰς ἀνάμνησιν λογικήν. μηρυκάζει δὲ ὁ δίκαιος τὴν πνευματικὴν τροφὴν ἀνὰ στόμα ἔχων τὸν λόγον, καὶ διχηλεῖ ἡ δικαιοσύνη, εἰκότως κἀνταῦθα ἁγιάζουσα καὶ εἰς τὸν μέλλοντα παραπέμπουσα αἰῶνα. οὔκουν οὐδὲ ἐπὶ τὰς θέας ὁ παιδαγωγὸς ἄξει ἡμᾶς, οὐδὲ ἀπεικότως τὰ στάδια καὶ τὰ θέατρα „καθέδραν λοιμῶν" **) προσείποι τις ἄν· βουλὴ γὰρ κἀνταῦθα πονηρὰ καθάπερ καὶ ἐπὶ τῷ δικαίῳ, διὸ καταρᾶται ὁ ἐπ' αὐτῷ σύλλογος. πεπλήθασι γοῦν πολλῆς ἀμιξίας καὶ παρανομίας αἱ συναγωγαὶ αὗται, καὶ αἱ προφάσεις τῆς συνηλύσεως ἀκοσμίας ἐστὶν αἰτία ἀναμὶξ ἀνδρῶν καὶ γυναικῶν συνιόντων ἐπὶ τὴν ἀλλήλων θέαν.

§. 77. Ἐνταῦθα ἤδη περπερεύεται τὸ συνέδριον. λιχνευούσης γὰρ τῆς ὄψεως χλιαίνονται αἱ ὀρέξεις, καὶ ἰταμώτερον βλέπειν οἱ ὀφθαλμοὶ πρὸς τοὺς πλησίον ἐθιζόμενοι τῷ ἔχειν σχολὴν ἐφειμένην ἐκφλέγουσι τὰς ἐρωτικὰς ἐπιθυμίας. ἀπειρήσθων οὖν καὶ αἱ θέαι καὶ τὰ ἀκροάματα βωμολοχίας καὶ σπερμολογίας πολλῆς γέμοντα. τί μὲν γὰρ οὐκ ἐπιδείκνυνται αἰσχρὸν ἔργον ἐν θεάτροις; τί δ' οὐ προφέρονται ῥῆμα ἀναίσχυντον οἱ γελωτοποιοί; οἱ δὲ ἀπολαύ- P. 299
σαντες τῆς ἐν ἑαυτοῖς κακίας ἐναργεῖς οἷκοι ἀπο- Pott.
μάσσονται τὰς εἰκόνας, ἔμπαλιν δὲ οἱ πρὸς ταῦτα ἀκήλητοι καὶ ἀπαθεῖς οὐκ ἂν περὶ τὰς ῥαθύμους

*) Lauit. 11, 3. Deut. 14, 6. **) Psalm. 1, 1.

ἡδονὰς σφαλεῖέν ποτε. εἰ γὰρ καὶ ἐν παιδιᾶς μέρει παραλαμβάνεσθαι φήσουσι τὰς θέας εἰς θυμηδίαν, οὐ σωφρονεῖν φῆσαιμ᾽ ἂν τὰς πόλεις, αἷς καὶ τὸ παίζειν σπουδάζεται. οὐκέτι γὰρ παιδιαὶ αἱ φιλοδοξίαι ἀνηλεεῖς εἰς τοσοῦτον θανατῶσαι, ἀλλ᾽ οὐδὲ αἱ κενοσπουδίαι καὶ αἱ ἀλόγιστοι φιλοτιμίαι, πρὸς δὲ καὶ αἱ μάταιοι καταναλώσεις τῆς οὐσίας, οὔτε μὴν αἱ ἐπὶ τούτοις στάσεις ἔτι παιδιαί.

§. 78. Τὸ δὲ ῥᾳθυμεῖν οὐδέποτε ὠνητέον κε- 1. 110 νοσπουδίᾳ. οὐ γὰρ πρὸ τοῦ βελτίονος ἕλοιτο ἄν Hyb. ποτε ὁ νοῦν ἔχων τὸ ἥδιον. ἀλλ᾽ οὐ πάντες, φησί, φιλοσοφοῦμεν. μήτι οὖν οὐδὲ πάντες τὴν ζωὴν μετερχόμεθα; τί σὺ λέγεις; πῶς οὖν πεπίστευκας; πῶς δὲ ἔτι ἀγαπᾷς τὸν θεὸν καὶ τὸν πλησίον σοῦ μὴ φιλοσοφῶν; πῶς δὲ σεαυτὸν ἀγαπᾷς, εἰ μὴ φιλοζωεῖς; γράμματα, φησὶν, οὐκ ἔμαθον. ἀλλ᾽ εἰ μὴ τὸ ἀναγινώσκειν ἔμαθες, τὸ ἀκούειν ἀναπολογητὸν, ὅτι μὴ διδακτὸν, πίστις δὲ οὐ σοφῶν τῶν κατὰ κόσμον *), ἀλλὰ τῶν κατὰ θεόν ἐστι τὸ κτῆμα· ἡ δὲ καὶ ἄνευ γραμμάτων ἐκπαιδεύεται, καὶ τὸ σύγγραμμα αὐτῆς τὸ ἰδιωτικὸν ἅμα καὶ θεῖον ἀγάπη κέκληται, σύνταγμα πνευματικόν. ἐξὸν δὲ ἀκροᾶσθαι μὲν σοφίας θεϊκῆς, ἀλλὰ καὶ πολιτεύσασθαι ἐξὸν, ἀλλὰ καὶ τὰ ἐν κόσμῳ κοσμίως κατὰ θεὸν ἀπάγειν οὐ κεκώλυται, καὶ ὁ πωλῶν τι ἢ ὠνούμενος μή ποτε εἴπῃ δύο τιμάς, ὧν ἂν ἢ ὠνῆται ἢ πιπράσκῃ, ἁπλῆν δὲ εἰπὼν καὶ ἀληθεύειν μελετῶν ἂν μὴ τυγχάνῃ ταύτης, τυγχάνων τῆς ἀληθείας πλουτεῖ τῇ διαθέσει τῇ ὀρθῇ.

§. 79. Ἐπαίτιος δὲ ὅρκος περὶ πάντων τοῦ πωλουμένου ἀπέστω, ἀπέστω δὲ καὶ ἐπὶ τῶν ἄλλων ὁ ὅρκος. καὶ ταύτῃ φιλοσοφούντων οἱ ἀγοραῖοι καὶ οἱ κάπηλοι· „οὐ γὰρ λήψῃ τὸ ὄνομα κυρίου ἐπὶ ματαίῳ, οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν λαμβάνοντα

*) Cf. 1 Cor. 1, 26 sq.

τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ"*). τοὺς δὲ παρὰ P. 300
ταῦτα πράττοντας, τοὺς φιλαργύρους, τοὺς ψεύ- Pott.
στας, τοὺς ὑποκριτὰς, τοὺς καπηλείοντας τὴν ἀλή-
θειαν, τῆς πατρῴας ἐξέβαλεν αὐλῆς ὁ κύριος, μὴ
βουλόμενος ἀδίκου ἐμπορίας ἢ λόγων ἢ τῶν ἐξ ὕλης
κτημάτων οἶκον εἶναι τὸν οἶκον τοῦ θεοῦ τὸν ἅγιον.
ἐπὶ δὲ τὴν ἐκκλησίαν ἀκτέον τὴν γυναῖκα καὶ τὸν
ἄνδρα ἐστολισμένους κοσμίως, ἁπλάστῳ βαδίσματι,
ἐχεμυθίαν ἀσπαζομένους, ἀγάπην ἀνυπόκριτον κεκτη-
μένους, ἁγνοὺς τὰ σώματα, ἁγνοὺς τὰς καρδίας,
ἐπιτηδείους προσεύξασθαι τῷ θεῷ. πλεῖον τοῦτο
ἐχέτω ἡ γυνὴ, κεκαλύφθω τὰ πάντα, πλὴν εἰ μὴ
οἶκοι τύχοι· σεμνὸν γὰρ τὸ σχῆμα καὶ ἀκατάσκοπον,
καὶ οὔποτε αὐτὴ σφαλήσεται πρὸ τῶν ὀμμάτων τὴν
αἰδῶ, καὶ τὴν ἀμπεχόνην θεμένη, οὔτε ἄλλον εἰς
ὄλισθον ἁμαρτίας ἐκκαλέσεται τὸ πρόσωπον ἀπογυ-
μνουμένη. τοῦτο γὰρ ὁ λόγος βούλεται, ἐπεὶ πρέπον
αὐτῇ ἐγκεκαλυμμένῃ προσεύχεσθαι**). τὴν δὲ Αἰνείου
γυναῖκά φασι δι' ὑπερβολὴν σεμνότητος μηδὲ τῆς
Τροίας ἁλισκομένης περιδεᾶ γενομένην ἀποκαλύψα-
σθαι, ἀλλὰ καίτοι φεύγουσαν ἐκ τῆς ἐκπυρώσεως
μεῖναι συγκεκαλυμμένην.

§. 80. Τοιούτους δὲ ἐχρῆν παρ' ὅλον τὸν βίον
φαίνεσθαι καὶ διαπλάττεσθαι τοὺς Χριστῷ τελου-
μένους οἵους σφᾶς ἐν ἐκκλησίαις ἐπὶ τὸ σεμνότερον
σχηματίζουσιν, καὶ εἶναι μὴ δοκεῖν εἶναι τοιούτους,
οὕτως πραεῖς, οὕτως εὐλαβεῖς, ἀγαπητικοὺς οὕτως·
νυνὶ δὲ οὐκ οἶδ' ὅπως συμμεταβάλλονται τοῖς τόποις
καὶ τὰ σχήματα καὶ τοὺς τρόπους, καθάπερ καὶ
τοὺς πολύποδας ταῖς πέτραις φασὶν ἐξομοιουμένους,
αἷς ἂν προσομιλῶσιν, τοιούτους φαίνεσθαι καὶ τὴν
χροιάν. τὸ γοῦν τῆς συναγωγῆς ἔνθεον μετὰ τὴν
ἐνθένδε ἀπαλλαγὴν ἀποθέμενοι τοῖς πολλοῖς ἐξομοι-
οῦνται, μεθ' ὧν καὶ διαιτῶνται· μᾶλλον δὲ ἐλέγ-

*) Exod. 20, 7. **) Cf. 1 Cor. 11, 5.

χονται τὴν ἐπίπλαστον ἀποθέμενοι τῆς σεμνότητος ὑπόκρισιν, οἷοι ὄντες ἐλελήθεσαν· καὶ τὸν περὶ θεοῦ λόγον σεβασάμενοι καταλελοίπασιν ἔνδον, οὗ ἤκουσαν, ἔξωθεν δὲ ἄρα μετὰ τῶν ἀθέων ἀλύουσι κρου-
5μάτων καὶ τερετισμάτων ἐρωτικῶν, αὐλῳδίας τε καὶ κρότου καὶ μέθης καὶ παντὸς ἀναπιμπλάμενοι συρφετοῦ· τοῦτο δὴ ᾄδοντες καὶ ἀντᾴδοντες αὐτοὶ οἱ πρόσθεν ἐξυμνοῦντες ἀθανασίαν ἐπὶ τέλει τὴν ἐξωλεστάτην· κακοὶ κακῶς ψάλλοντες παλινῳδίαν, „φά-
10γωμεν καὶ πίωμεν, αὔριον γὰρ ἀποθνήσκομεν". P. 301

§. 81. Οἱ δὲ οὐκ αὔριον ἀληθῶς, ἀλλ' ἤδη Pott. τεθνήκασι τῷ θεῷ, θάπτοντες*) τοὺς σφετέρους νεκροὺς, τουτέστιν αὐτοὺς εἰς θάνατον κατορύττοντες. ἀντιτάσσεται δὲ αὐτοῖς εὖ μάλα ἐρρωμένως ὁ ἀπό-
15στολος· „μὴ πλανᾶσθε, οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται οὔτε κλέπται οὔτε πλεονέκται, οὐ μέθυσοι, οὐ λοίδοροι"**) καὶ ὅσα ἄλλα τούτοις ἐπάδει, „βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν"***). εἰ δὲ καὶ εἰς βασιλείαν θεοῦ κεκλήμεθα, ἀξίως τῆς βα-
20σιλείας πολιτευόμεθα θεὸν ἀγαπῶντες καὶ τὸν πλησίον. ἀγάπη δὲ οὐκ ἐν φιλήματι, ἀλλ' ἐν εὐνοίᾳ κρίνεται. οἱ δὲ οὐδὲν ἀλλ' ἢ φιλήματι καταψοφοῦσι τὰς ἐκκλησίας τὸ φιλοῦν ἔνδον οὐκ ἔχοντες. αὐτό. καὶ γὰρ δὴ καὶ τοῦτο ἐκπέπληκεν ὑπονοίας αἰσχρᾶς
25καὶ βλασφημίας τὸ ἀνέδην χρῆσθαι τῷ φιλήματι, ὅπερ ἐχρῆν εἶναι μυστικὸν, „ἅγιον"†) αὐτὸ κέκληκεν ὁ ἀπόστολος, ἀπογενομένης ἀξίως τῆς βασιλείας πολιτευώμεθα τῆς ψυχῆς τὴν εὔνοιαν διὰ στόματος σώφρονος καὶ μεμυκότος, δι' οὗ μάλιστα διακονεῖται
30τρόπος ἥμερος. ἔστι δὲ καὶ ἄλλο ἄναγνον φίλημα, πλῆρες ἰοῦ, ἀγιοσύνην ὑποκρινόμενον. ἢ οὐκ ἴστε ὅτι καὶ τὰ φαλάγγια προσαπτόμενα μόνον τῷ στόματι ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους, φιλήματα δὲ πολλάκις ἐνίησιν ἰὸν ἀκολασίας;

*) 1 Cor. 15, 32. **) Cf. Matth. 8, 22. Luc. 9, 60.
***) 1 Cor. 6, 9 sq. †) Rom. 15. 16.

§. 82. Σαφὲς τοίνυν ἡμῖν γεγένηται, ὡς οὐκ ἔστιν ἀγάπη τὸ φίλημα· „ἡ γὰρ ἀγάπη τοῦ θεοῦ ἐστίν" *)· „αὕτη δέ ἐστιν ἡ ἀγάπη τοῦ θεοῦ", φησὶν Ἰωάννης, „ἵνα τὰς ἐντολὰς τηρήσωμεν", οὐχ ἵνα σαίνωμεν ἀλλήλους ἐν τῷ στόματι, „καὶ αἱ ἐντολαὶ αὐτοῦ βαρεῖαι οὐκ εἰσίν" **). ἀλλὰ μὴν καὶ οἱ κατὰ τὰς ὁδοὺς τῶν ἀγαπητῶν ἀσπασμοὶ παρρησίας ἀνοήτου γέμοντες καταφανῶν τοῖς ἐκτὸς εἶναι
P. 111 βουλομένων οὐδὲ ἐλαχίστης μετέχουσι χάριτος.
Sylb. εἰ γὰρ „ἐν τῷ ταμιείῳ" μυστικῶς „προσεύχεσθαι" τῷ θεῷ δίκαιον, ἑπόμενόν ἂν εἴη καὶ P. 302
„τὸν πλησίον", ὃν δεύτερον ἀγαπᾶν κελευόμεθα, Pou.
ὁμοίως τῷ θεῷ καὶ μυστικῶς φιλοφρονεῖσθαι ἔνδοθεν „ἐξαγοραζομένους τὸν καιρόν· τὸ γὰρ ἅλας τῆς γῆς ἡμεῖς" ***), „ὃς δ' ἂν εὐλογῇ", φησί, „φίλον τὸ πρωῒ μεγάλῃ τῇ φωνῇ, καταρωμένου οὐδὲν διαφέρειν δόξει" †). δοκεῖ δὲ ὑπὲρ πάντα τῆς τῶν γυναικῶν ὄψεως ἀπεστράφθαι. οὐ γὰρ ἁψαμένους μόνον, ἀλλὰ καὶ θεασαμένους ἔστιν ἁμαρτεῖν, ὧν μάλιστα ἀποφεύγειν χρὴ τὸν γνησίως παιδαγωγούμενον.

§. 83. „Οἱ ὀφθαλμοί γάρ σου ὀρθὰ βλεπέτωσαν, τὰ δὲ βλέφαρα νευέτω δίκαια" ††)· μὴ γὰρ οὐκ ἔξὸν καὶ ἰδόντα καρτερεῖν, ἀλλὰ τὸ ἐμπεσεῖν φυλακτέον. δυνατὸν γὰρ ἰδόντα ὀλισθεῖν, ἀμήχανον δὲ μὴ ἰδόντα ἐπιθυμεῖν. οὐ γὰρ τὸ καθαρεύειν μόνον ἀπόχρη τοῖς σώφροσιν, ἀλλὰ καὶ τὸ ἐκτὸς εἶναι τοῦ ψόγου σπουδαστέον πᾶσαν ἀποκλείσαντας ὑπονοίας αἰτίαν πρὸς συγκεφαλαίωσιν ἁγνείας, ὡς μὴ μόνον εἶναι ἡμᾶς πιστοὺς, ἀλλὰ καὶ ἀξιοπίστους φαίνεσθαι. καὶ γὰρ οὖν καὶ τοῦτο παραφυλακτέον, ὥς φησιν ὁ ἀπόστολος, „μήτις ἡμᾶς μωμήσηται· προνοούμενοι γὰρ καλὰ οὐ μόνον ἐνώπιον κυρίου, ἀλλὰ

*) Ioann. 4, 7. **) Ibid. 5, 3. ***) Cf. Matth. 6, 6. 22, 39. Coloss. 4, 5. Matth. 5, 13. †) Prouerb. 27, 14. ††) Ibid. 4, 25.

καὶ ἐνώπιον ἀνθρώπων"*). „ἀπόστρεψον δὲ τὸν ὀφθαλμὸν ἀπὸ γυναικὸς κεχαριτωμένης, καὶ μὴ καταμάνθανε κάλλος ἀλλότριον", φησὶν ἡ γραφή. κἂν πύθῃ τὴν αἰτίαν, προσεπεξηγήσεταί σοι· „ἐν γὰρ κάλλει γυναικὸς πολλοὶ ἀπεπλανήθησαν, καὶ ἐκ τούτου φιλία ὡς πῦρ ἀνακαίεται"**), εἰς πῦρ ἄγουσα ἀκατάπαυστον διὰ τὴν ἁμαρτίαν ἡ ἐκ πυρὸς ὁρμωμένη φιλία, ἣν ἔρωτα κεκλήκασιν.

Cap. XII.

Ἐπιδρομὴ κεφαλαιώδης ὁμοίως τοῦ ἀρίστου βίου, ὅσαι τῶν ἁγίων γραφῶν χαρακτηρίζουσαι τὸν τῶν Χριστιανῶν βίον.

§. 84. Ἐγὼ δὲ καὶ τοῖς γεγαμηκόσι παραινέσαιμι ἂν οἴκοι τὰς γυναῖκας μήποτε κατὰ πρόσωπον οἰκετῶν φιλεῖν. οὐδὲ γὰρ προσγελᾶν δούλοις Ἀριστοτέλης εἴα ποτὲ, πολλοῦ γε καὶ δεῖ κατ' ὄψιν αὐτῶν φιλοφρονούμενον φαίνεσθαι τὴν γυναῖκα. ἄμεινον δὲ οἴκοθεν ἀρξαμένους ἀπὸ τοῦ γάμου τὴν σεμνότητα ἐπιδείκνυσθαι. μεγίστη γὰρ ἡ σωφροσύνης συζυγία καθαρὰς ἡδονὰς ἀποπνέουσα. πάνυ γοῦν θαυμασίως ἡ τραγῳδία φησί·

φεῦ φεῦ γυναῖκες, ὡς ἐν ἀνθρώποις ἄρα P. 303
οὐ χρυσὸς, οὐ τυραννὶς, οὐ πλούτου χλιδὴ Pott.
τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς,
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμη δικαία καὶ φρονοῦσα τἀνδίκα.

ταῦτα τῆς δικαιοσύνης τὰ παραγγέλματα καὶ παρὰ τοῖς τὴν κοσμικὴν μετιοῦσι σοφίαν ἐκφωνηθέντα οὐ παραιτητέον.

*) 2 Cor. 8, 20 sq. **) Eccles. 9, 8.

§. 85. Ἐγνωκότες οὖν τὸ ἑκάστου ἔργον „ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ, ἐλυτρώθημεν ἐκ τῆς ματαίας ἡμῶν ἀναστροφῆς πατροπαραδότου, ἀλλὰ τιμίῳ αἵματι ὡς ἀμνοῦ ἀμώμου καὶ ἀσπίλου Χριστοῦ" *). „ἀρκετὸς οὖν ὁ παρεληλυθὼς χρόνος", ὁ Πέτρος φησὶ, „τὸ βούλημα τῶν ἐθνῶν κατειργάσθαι πεπορευμένους ἐν ἀσελγείαις, ἐπιθυμίαις, οἰνοφλυγίαις, κώμοις, πότοις καὶ ἀθεμίτοις εἰδωλολατρίαις" **). ὅρον ἔχομεν τὸν σταυρὸν τοῦ κυρίου, ᾧ περισταυρούμεθα καὶ περιθριγγούμεθα τῶν προτέρων ἁμαρτιῶν. ἀναγεννηθέντες τοίνυν προσηλωθῶμεν ἐν πᾗ ἀληθείᾳ καὶ ἀνανήψωμέν τε καὶ ἁγιασθῶμεν, ὅτι „οἱ ὀφθαλμοὶ κυρίου ἐπὶ δικαίους, καὶ ὦτα αὐτοῦ εἰς δέησιν αὐτῶν, πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακά" ***). καὶ „τίς ὁ κακώσων ὑμᾶς, ἐὰν τοῦ ἀγαθοῦ ζηλωταὶ γενώμεθα" †); ἡ δὲ ἀρίστη ἀγωγὴ εὐταξία ἐστὶ παντελὴς οὖσα εὐσχημοσύνη καὶ δύναμις τεταγμένη βέβαια, τῶν ἑξῆς ἀλλήλοις κειμένων ἐν ἔργῳ καλῶς ἀποδοτικὴ, κατ' ἀρετὴν ἀνυπέρβλητος.

§. 86. Ταῦτα εἰ καὶ τραχύτερον προσηνέχθην οἰκονομούμενος τῆς ἐπανορθώσεως τὴν σωτηρίαν, ἐμοὶ μὲν λελέχθων, φησὶν ὁ παιδαγωγὸς, ἐπειδὴ „ὁ ἐλέγχων μετὰ παῤῥησίας εἰρηνοποιεῖ" ††), ὑμεῖς δὲ εἰ μὲν ἀκούσεσθέ μου, σωθήσεσθε, εἰ δ' οὐ προσέξετε τοῖς εἰρημένοις, οὔ μοι μέλει, μέλει δὲ ὅμως καὶ οὕτως· „τὴν γὰρ μετάνοιαν τοῦ ἁμαρτωλοῦ μᾶλλον ἢ τὸν θάνατον αἱρεῖται" †††). „ἢν δὲ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε" *), ὁ παιδαγωγὸς πάλιν λέγει· γῆς ἀγαθὰ τὰ ἀνθρώπεια ὀνομάζων καλὰ, τὸ κάλλος, τὸν πλοῦτον, τὴν ὑγίειαν καὶ τὴν ἰσχὺν, τὴν τροφήν· ἀγαθὰ μὲν γὰρ ὄντως,

*) 1 Petr. 1, 17—19. **) Ibid. 4, 3. ***) Psalm. 34, 15 sq. †) 1 Petr. 3, 13. ††) Proverb. 10, 10. †††) Ezech. 18, 23. *) Is. 1, 19.

„ἃ οὔτε οὖς ἤκουσεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη ποτὲ, περὶ τὸν ὄντως ὄντα βασιλέα, τὰ ὄντως ὄντα ἀγαθὰ ὄντα καὶ ἀναμένοντα ἡμᾶς· ἀγαθῶν P. 305 γάρ ἐστι καὶ δοτὴρ καὶ φύλαξ, κατὰ μετουσίαν Pott. δὲ ἐκείνων τὰ τῇδε συνωνυμεῖ, παιδαγωγοῦντος ἐν θεῷ τοῦ λόγου τὴν τῶν ἀνθρώπων ἀσθένειαν ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὴν νόησιν.

§. 87. Ὅσα μὲν οὖν οἶκοι παραφυλακτέον καὶ ὡς τὸν βίον ἐπανορθωτέον ὁ παιδαγωγὸς ἡμῖν ἅδην διείλεκται, ἃ δ' οὖν καὶ κατὰ τὰς ὁδοὺς ὁμιλεῖν αὐτῷ φίλον τοῖς παιδίοις ἄχρις ἂν ἀγάγῃ αὐτὰ πρὸς τὸν διδάσκαλον, ταῦτα δὲ ἡμῖν ἐν κεφαλαίου μέρει δι' αὐτῶν ὑποτίθεται καὶ παρατίθεται τῶν γραφῶν, γυμνὰς παρατιθέμενος τὰς παραγγελίας, ἁρμοζόμε- P. 112 νος μὲν τῷ χρόνῳ τῆς καθοδηγήσεως, τὰς δὲ Sylb. ἐξηγήσεις αὐτῶν ἐπιτρέπων τῷ διδασκάλῳ· καὶ γὰρ ὁ νόμος αὐτοῦ τὸν φόβον ὑπεκλύειν βούλεται τὸ ἑκούσιον ἐλευθερώσας εἰς πίστιν. ἄκουε, φησὶν, ὦ παιδίον καλῶς παιδαγωγούμενον, τὰ κεφάλαια τῆς σωτηρίας, γυμνώσω γάρ τὸ ἦθος τὸ ἐμαυτοῦ καὶ σοι ταύτας καλὰς ἐντολὰς ὑποθήσομαι, δι' ὧν ἀφίξῃ πρὸς σωτηρίαν. ἄγω δέ σε τὴν ὁδὸν τὴν σωτήριον. ἀπόστα τῶν τῆς πλάνης ὁδῶν, „ὅτι κύριος γινώσκει ὁδὸν δικαίων, καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται"*). ἵνα οὖν, ὦ παιδίον, τὴν ἀγαθὴν ὁδὸν, ἣν ἄν σοι ἐξηγήσωμαι, τὰ ὠτά μοι ὑποσχὼν τὰ ἀκουστικὰ, „καὶ δώσω σοὶ θησαυροὺς σκοτεινοὺς, ἀποκρύφους, ἀορά- τους"**) ἔθνεσιν, ἡμῖν δὲ ὁρατούς· σοφίας δὲ θησαυροὶ ἀνέκλειπτοι, οὓς θαυμάζων ὁ ἀπόστολος, „ὦ βάθος", φησὶ, „πλούτου καὶ σοφίας"***). θησαυροὶ δὲ ὑφ' ἑνὸς πολλοὶ χορηγούμενοι θεοῦ, οἱ μὲν διὰ τοῦ νόμου, οἱ δὲ διὰ τῶν προφητῶν ἀποκαλύπτονται, οἱ δὲ τῷ θείῳ στόματι, ἄλλος δὲ τοῦ πνεύ-

*) Psalm. 1, 6. **) Isa. 45. 3. ***) Rom. 11, 33.

ματος τῇ ἑπτάδι ἐπάδων, εἷς δὲ ὢν ὁ κύριος διὰ πάντων τούτων ὁ αὐτός ἐστι παιδαγωγός.

§. 88. *Ἔστιν μὲν οὖν αὐτόθεν κεφαλαιώδης ὑποθήκη καὶ βιωτικὴ παραίνεσις, πάντα ἐμπεριέχουσα· „καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, ποιεῖτε καὶ ὑμεῖς αὐτοῖς"*). δυνατὸν δὲ καὶ διὰ δυεῖν ἐμπεριλαβεῖν τὰς ἐντολὰς, ὥς φησιν ὁ κύριος· „ἀγαπήσεις τὸν θεόν σου ἐν ὅλῃ καρδίᾳ σοὺ καὶ ἐν ὅλῃ τῇ ψυχῇ σοὺ καὶ ἐν ὅλῃ τῇ ἰσχύϊ σοὺ, καὶ τὸν πλησίον σοὺ ὡς σεαυτόν". εἶτα ἐκ τούτων ἐπιφέρει· „ἐν τούτῳ ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται"**). ναὶ μὴν καὶ πρὸς τὸν πυθόμενον, „τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; τὰς ἐντολὰς οἶδας"; ἀπεκρίνατο· τοῦ δὲ καταφήσαντος „τοῦτο ποίει", φησὶ, „καὶ σωθήσῃ"***). οὐ μὴν ἀλλὰ καὶ διαιρετικώτερον τὸ φιλάνθρωπον τοῦ παιδαγωγοῦ διὰ τῶν ποικίλων καὶ σωτηρίων ἐντολῶν παραθετέον, ὡς ἔχοιμεν πρὸς ἀφθόνου σωτηρίας καὶ τῆς διατάξεως τῶν γραφῶν ἑτοιμοτέραν τὴν εὕρεσιν.* P. 305 Pott.

§. 89. *Ἔστιν ἡμῖν ἡ δεκάλογος ἡ διὰ Μωϋσέως, ἁπλῶ καὶ μονογενεῖ αἰνιττομένη στοιχείῳ, προσηγορίαν σωτήριον ἁμαρτιῶν περιγράφουσα· „οὐ μοιχεύσεις, οὐκ εἰδωλολατρήσεις", οὐ παιδοφθορήσεις, „οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις· τίμα τὸν πατέρα σοὺ καὶ τὴν μητέρα σοὺ"†), καὶ τὰ ἀκόλουθα τούτοις. ταῦτα ἡμῖν παραφυλακτέον καὶ ὅσα ἄλλα κατὰ τὰς ἀναγνώσεις τῶν βιβλίων παραγγέλλεται. παραγγέλλει δὲ καὶ διὰ Ἡσαΐου· „λούσασθε καὶ καθαροὶ γένεσθε, ἀφέλετε τὰς πονηρίας ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μοὺ, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρί-*

*) Luc. 6, 31, **) Matth. 22, 37—40. Luc. 10, 27. ***) Ibid. 18, 18. 20. 10, 25—28. †) Cf. Exod. c. 20. Deut. c. 5.

νατε ὀρφανῷ καὶ δικαιώσατε χήραν, καὶ δεῦτε καὶ διελεγχθῶμεν, λέγει κύριος"*). πολλὰς δ' ἂν καὶ παρὰ τοῖς ἄλλοις εὕροιμεν ὑποθήκας, οἷον φέρε, εὐχῆς μὲν πέρι, „τὰ ἔργα τὰ ἀγαθὰ", φησὶν, „εὐχὴ κυρίῳ δεκτὴ", λέγει ἡ γραφή. καὶ ὁ τρόπος τῆς εὐχῆς ὑπαγορεύεται· „ἐὰν δὲ ἴδῃς", φησὶ, „γυμνὸν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει, τότε ῥαγήσεται πρώιμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθεν ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ θεοῦ περιστελεῖ σε"**). τίς οὖν ὁ καρπὸς τῆς εὐχῆς ταύτης; „τότε ἐπιβοήσῃ καὶ ὁ θεὸς ὑπακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι"***).

§. 90. Περὶ δὲ νηστείας, „ἵνα τί μοι", φησὶ, „νηστεύετε"; λέγει κύριος. „οὐ ταύτην τὴν νηστείαν ἐγὼ ἐξελεξάμην καὶ ἡμέραν ἄνθρωπον ταπεινοῦν τὴν ψυχὴν αὐτοῦ; οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' οὕτως καλέσετε νηστείαν δεκτήν". τί οὖν αἰνίττεται ἡ νηστεία; „ἰδοὺ αὕτη", φησὶν, „ἡ νηστεία, ἣν ἐγὼ ἐξελεξάμην, λέγει κύριος· λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόλυε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν ἄδικον συγγραφὴν διάσπα. διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου. ἐὰν ἴδῃς γυμνὸν, περίβαλε"†). ναὶ μὴν καὶ περὶ τῶν θυσιῶν· „τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει κύριος. πλήρης εἰμὶ ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν καὶ αἷμα ταύρων καὶ ἐρίφων οὐ βούλομαι, οὐδ' ἂν ἔρχησθε ὀφθῆναί μοι. τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν μου τὴν αὐλὴν οὐ προσθήσεσθε.

P. 306 Pott.

*) Ies. 1, 16—18. **) Ibid. 58, 7 sq. ***) Ibid. v. 9. †) Ibid. v. 4—7.

ἐὰν φέρητε σεμίδαλιν, μάταιον θυμίαμα βδέλυγμά μοί ἐστιν· τὰς νουμηνίας ὑμῶν καὶ τὰ σάββατα οὐκ ἀνέχομαι"*). πῶς οὖν θύσω τῷ κυρίῳ; „θυσία", φησὶν, „τῷ κυρίῳ πνεῦμα συντετριμμένον". πῶς οὖν στέψω ἢ μύρῳ χρίσω; ἢ τί θυμιάσω τῷ κυρίῳ; „ὀσμὴ", φησὶν, „εὐωδίας τῷ θεῷ καρδία δοξάζουσα τὸν πεπλακότα αὐτήν"**). ταῦτα στέφη καὶ θυσίαι καὶ ἀρώματα καὶ ἄνθη τοῦ θεοῦ.

§. 91. Ἔτι περὶ ἀνεξικακίας, „ἐὰν ἁμάρτῃ", φησὶν, „ὁ ἀδελφός σου, ἐπιτίμησον αὐτῷ, καὶ ἐὰν μετανοήσῃ, ἄφες αὐτῷ. ἐὰν ἑπτάκις τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ καὶ τὸ ἑπτάκις ἐπιστρέφῃ πρὸς σὲ λέγων, μετανοῶ, ἄφες αὐτῷ"***)· καὶ τοῖς μὲν στρατευομένοις διὰ Ἰωάννου παραγγέλλει, „ἀρκεῖσθαι μόνοις τοῖς ὀψωνίοις"†), τοῖς δὲ τελώναις „μηδὲν πλέον πράσσειν παρὰ τὰ διατεταγμένα", δικαστῇ δὲ, „οὐ λήψῃ", φησὶ, „πρόσωπον ἐν κρίσει, τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων καὶ λυμαίνεται ῥήματα δίκαια, ῥύσασθαι ἀδικουμένους"††). ἀλλὰ καὶ τοῖς οἰκονομικοῖς, „κτῆσις ἐπισπουδαζομένη μετὰ ἀνομίας ἐλάσσων γίνεται"†††). καὶ μὴν καὶ περὶ ἀγάπης, „ἀγάπη", φησὶ, „καλύπτει πλῆθος
P. 113 ἁμαρτιῶν"*). καὶ περὶ πολιτείας· „ἀπόδοτε
8 ylb. τὰ Καίσαρος Καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ"**). ὅρκου δὲ πέρι καὶ μνησικακίας· „μὴ ἐγὼ ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν ἐκπορευομένοις ἐκ γῆς Αἰγύπτου, προσενέγκαι μοὶ ὁλοκαυτώματα καὶ θυσίας; ἀλλὰ τοῦτο ἐνετειλάμην αὐτοῖς· ἕκαστος ὑμῶν κατὰ τοῦ πλησίον ἐν τῇ καρδίᾳ αὐτοῦ μὴ μνησικακείτω, ὅρκον ψευδῆ μὴ ἀγαπάτω".

---

*) Ies. 1, 11 — 13. **) Psalm. 51, 17. ***) Luc. 17, 3 sq. †) Ibid. 3, 14 sq. ††) Exod. 23, 8. †††) Prouerb. 13, 11. *) 2 Petr. 4, 8. **) Matth. 22, 21. Marc. 12, 17. Luc. 20, 25.

§. 92. Ἀλλὰ καὶ ψεύσταις καὶ τετυφωμένοις προσαπειλεῖ, τοῖς μὲν ὧδέ πως· „οὐαὶ τοῖς λέγουσι τὸ γλυκὺ πικρὸν καὶ τὸ πικρὸν γλυκύ", τοῖς δὲ ὧδὶ, „οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες" *)· ὁ γὰρ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται, καὶ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται" **). καὶ τοὺς μὲν ἐλεήμονας μακαρίζει, ὅτι αὐτοὶ ἐλεηθήσονται ***), ὀργὴν δὲ ἡ σοφία ταλανίζει, „ὅτι ἄρα ἀπολέσει καὶ φρονίμους" †). ἤδη δὲ „ἀγαπᾶν τοὺς P. 307 ἐχθροὺς" κελεύει „καὶ τοὺς καταρωμένους ἡμᾶς Pott. εὐλογεῖν προσεύχεσθαί τε ὑπὲρ τῶν ἐπηρεαζόντων ἡμᾶς. τῷ τύπτοντί σε", φησὶν, „εἰς τὴν σιαγόνα πάρεχε καὶ τὴν ἄλλην, καὶ ἐὰν ἄρῃ σού τις τὸν χιτῶνα, μὴ κωλύσῃς καὶ τὸ ἱμάτιον" ††). περὶ δὲ τῆς πίστεως· „πάντα ὅσα ἂν αἰτήσησθε ἐν τῇ προσευχῇ πιστεύοντες, λήψεσθε" †††), φησὶν, πιστὸν δὲ ἀπίστοις οὐδὲν κατὰ Πίνδαρον. καὶ οἰκέταις μὲν χρηστέον, ὡς ἑαυτοῖς, ἄνθρωποι γάρ εἰσιν, ὡς ἡμεῖς, ὁ γὰρ θεὸς πᾶσιν τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις ἐστὶν, ἂν σκοπῇς, ἴσος.

§. 93. Δεῖ δὲ καὶ τοὺς πλημμελοῦντας τῶν οἰκετῶν οὐ κολάζειν, ἐπιτιμᾶν δὲ, „ὁ γὰρ φειδόμενος", φησὶ, „τῆς βακτηρίας ἑαυτοῦ μισεῖ τὸν ἑαυτοῦ υἱόν" *). ἔτι τὴν μὲν φιλοδοξίαν ἀποσκορακίζει· „οὐαὶ ὑμῖν, Φαρισαῖοι", λέγων, „ὅτι ἀγαπᾶτε τὴν πρωτοκαθεδρίαν ἐν ταῖς συναγωγαῖς καὶ τοὺς ἀσπασμοὺς ἐν ταῖς ἀγοραῖς" **). τὴν δὲ μετάνοιαν τοῦ ἁμαρτωλοῦ ἀσπάζεται τὴν ἑπομένην ταῖς ἁμαρτίαις μετάνοιαν ἀγαπῶν, μόνος γὰρ ἀναμάρτητος αὐτὸς ὁ λόγος· τὸ μὲν γὰρ ἐξαμαρτάνειν πᾶσιν ἔμφυτον καὶ κοινὸν, ἀναδραμεῖν δὲ τὴν ἁμαρ-

*) Ies. 5, 30 sq. **) Luc. 14, 11. 18, 14. ***) Cf. Matth. 5, 7. †) Prouerb. 15, 1. ††) Matth. 5, 44. Luc. 6, 27—29. †††) Matth. 21, 22. *) Prouerb. 13, 24. **) Luc. 11, 43.

τίαν οὐ τοῦ τυχόντος ἀνδρὸς, ἀλλὰ ἀξιολόγου. περὶ δὲ τῆς μεταδόσεως, „δεῦτε", εἶπε, „πρός με πάντες οἱ εὐλογημένοι, πληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου, ἐπείνασα γὰρ καὶ ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ ἐποτίσατέ με, ξένος ἤμην καὶ συνηγάγετέ με, γυμνὸς καὶ περιεβάλετέ με, ἀσθενὴς καὶ ἐπεσκέψασθέ με, ἐν φυλακῇ ἤμην καὶ ἤλθετε πρός με"*). καὶ πότε τι τούτων τῷ κυρίῳ πεποιήκαμεν ἡμεῖς; αὐτὸς ἐρεῖ πάλιν ὁ παιδαγωγὸς τὴν εὐποιίαν τῶν ἀδελφῶν ἀγαπητικῶς εἰς ἑαυτὸν μετατρέπων καὶ λέγων, „ἐφ' ὅσον ἐποιήσατε τοῖς μικροῖς τούτοις, ἐμοὶ ἐποιήσατε καὶ ἀπελεύσονται οἱ τοιοῦτοι εἰς ζωὴν αἰώνιον"**).

§. 94. Τοιοίδε μὲν οἱ λογικοὶ νόμοι, οἱ παρακλητικοὶ λόγοι οὐκ ἐν πλαξὶ λιθίναις δακτύλῳ γεγραμμένως κυρίου, ἀλλ' ἐν καρδίαις***) ἀνθρώπων ἐναπογεγραμμένοι ταῖς μόνον φθορὰν οὐκ ἐπιδεχομέναις. διὰ τοῦτό τοι κατεάγασιν αἱ πλάκες τῶν σκληροκαρδίων, ἵν' αἱ πίστεις τῶν νηπίων ἐν μαθακαῖς τυπωθῶσι διανοίαις. ἄμφω δὲ τὼ νόμω διηκόνουν τῷ λόγῳ εἰς παιδαγωγίαν τῆς ἀνθρωπότητος, ὁ μὲν διὰ Μωϋσέως, ὁ δὲ δι' ἀποστόλων. οἷα γοῦν καὶ δι' ἀποστόλων ἡ παιδαγωγία, ἀναγκαῖόν μοι δοκεῖ καὶ περὶ τοῦ εἴδους διαλεχθῆναι τούτου, μᾶλ- P. 308 Pott.
λον δὲ δι' ἐμαυτοῦ μεμνημένος ὁ παιδαγωγός φησιν, ἃς αὐτὰς σπερματικῶς πάλιν τὰς ὑποθήκας ἐκθήσομαι· „ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετὰ τοῦ πλησίον αὐτοῦ, ὅτι ἐσμὲν ἀλλήλων μέλη. ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν, μηδὲ δίδοτε τόπον τῷ διαβόλῳ. ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρῄζοντι. πᾶσα

*) Matth. 25, 34—36. **) Ibid. 40, 46. ***) Cf. Cor. 3, 3.

πικρία καὶ ὀργὴ καὶ θυμὸς καὶ κραυγὴ καὶ βλασφημία ἀρθήτω ἀφ' ὑμῶν σὺν πάσῃ κακίᾳ. γίνεσθε εἰς ἀλλήλους χρηστοὶ, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς, καθὼς καὶ ὁ θεὸς ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν" *). „γίνεσθε οὖν φρόνιμοι καὶ μιμηταὶ τοῦ θεοῦ, ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς" **). „αἱ μὲν γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὑποτασσέσθωσαν, ὡς τῷ κυρίῳ, οἱ δὲ ἄνδρες τὰς γυναῖκας τὰς ἑαυτῶν ἀγαπάτωσαν, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησε τὴν ἐκκλησίαν" ***).

§. 95. Ἀγαπάτωσαν οὖν ἀλλήλους οἱ συνεζευγμένοι, „ὡς τὰ ἴδια σώματα". τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν, οἱ πατέρες μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. οἱ δοῦλοι ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μετὰ φόβου καὶ τρόμου ἐν ἁπλότητι τῆς καρδίας ὑμῶν ὡς τῷ Χριστῷ ἐκ ψυχῆς μετ' εὐνοίας δουλεύοντες. καὶ οἱ κύριοι εὖ ποιεῖτε τοὺς οἰκέτας ὑμῶν ἀνιέντες τὴν ἀπειλὴν, εἰδότες ὅτι καὶ αὐτῶν καὶ ὑμῶν ὁ κύριός ἐστιν ἐν οὐρανοῖς καὶ προσωποληψία οὐκ ἔστιν" †). „εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν. μὴ γινώμεθα κενόδοξοι ἀλλήλους προκαλούμενοι, ἀλλήλοις φθονοῦντες· ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ. μὴ πλανᾶσθε, θεὸς οὐ μυκτηρίζεται. τὸ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν, καιρῷ γὰρ ἰδίῳ θερίσομεν, μὴ ἐκλυόμενοι" ††), εἰρηνεύετε ἐν ἑαυτοῖς. παρακαλοῦμεν δὲ ὑμᾶς, ἀδελφοὶ, νουθετεῖτε τοὺς ἀτάκτους, παραμυθεῖσθε τοὺς ὀλιγοψύχους, ἀντέχεσθε τῶν ἀσθενῶν, μακροθυμεῖτε πρὸς πάντας, ὁρᾶτε μή τις κακὸν ἀντὶ κακοῦ τινὶ

*) Ephes. 4, 25—32. **) Ibid. 5, 1 sq. ***) Ibid. vv. 22, 25. †) Ibid. 6, 1. 4—7. 9. ††) Galat. 5, 25. 26. 6, 2. 7. 9.

ἀποδῶ. τὸ πνεῦμα μὴ σβέννυτε, προφητείας μὴ
P. 114 ἐξουθενεῖτε, πάντα δὲ δοκιμάζετε, καὶ τὸ P. 309
Sylb. καλὸν κατέχετε, ἀπὸ παντὸς εἴδους πονηροῦ ἀπέ- Pott.
χεσθε" *). „τῇ προσευχῇ προσκαρτερεῖτε γρηγοροῦν-
τες ἐν αὐτῇ, ἐν εὐχαριστίᾳ, ἐν σοφίᾳ περιπατεῖτε
πρὸς τοὺς ἔξω τὸν καιρὸν ἐξαγοραζόμενοι· ὁ λόγος
ὑμῶν πάντοτε ἐν χάριτι, ἅλατι ἠρτυμένος, εἰδέναι
πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι" **).

§. 96. „Ἐν τρέφεσθε τοῖς λόγοις τῆς πίστεως,
γυμνάζεσθε πρὸς εὐσέβειαν, ἡ γὰρ σωματικὴ γυμνα-
σία πρὸς ὀλίγον ἐστὶν ὠφέλιμος, ἡ δὲ εὐσέβεια πρὸς
πάντα ὠφέλιμός ἐστιν, ἐπαγγελίαν ἔχουσα τῆς ζωῆς
τῆς νῦν καὶ τῆς μελλούσης" ***). „οἱ πιστοὺς ἔχον-
τες δεσπότας μὴ καταφρονείτωσαν, ὅτι ἀδελφοί εἰ-
σιν, ἀλλὰ μᾶλλον δουλευέτωσαν, ὅτι πιστοί εἰσιν" †).
„ὁ μεταδιδοὺς ἔστω ἐν ἁπλότητι, ὁ προϊστάμενος
ἐν σπουδῇ, ὁ ἐλεῶν ἐν ἱλαρότητι, ἡ ἀγάπη ἀνυπό-
κριτος, ἀποστυγοῦντες τὸ πονηρὸν, κολλώμενοι τῷ
ἀγαθῷ, τῇ φιλαδελφίᾳ εἰς ἀλλήλους φιλόστοργοι, τῇ
τιμῇ ἀλλήλους προηγούμενοι, τῇ σπουδῇ μὴ ὀκνη-
ροὶ, τῷ πνεύματι ζέοντες, τῷ κυρίῳ δουλεύοντες, τῇ
ἐλπίδι χαίροντες, τῇ θλίψει ὑπομένοντες, τῇ προσευ-
χῇ προσκαρτεροῦντες, τὴν φιλοξενίαν διώκοντες,
ταῖς χρείαις τῶν ἁγίων κοινωνοῦντες" ††).

§. 97. Ὀλίγα ταῦτα ἐκ πολλῶν δείγματος χά-
ριν ἀπ' αὐτῶν διεξελθὼν τῶν θείων γραφῶν ὁ παι-
δαγωγὸς τοῖς αὐτοῦ παρατίθεται παισὶν, δι' ὧν, ὡς
ἔπος εἰπεῖν, ἄρδην ἐκκόπτεται κακία καὶ περιγράφε-
ται ἀδικία. μυρίαι δὲ ὅσαι ὑποθῆκαι εἰς πρόσωπα
ἐκλεκτὰ διατείνουσαι ἐγγεγράφαται ταῖς βίβλοις ταῖς
ἁγίαις, αἱ μὲν πρεσβυτέροις, αἱ δὲ ἐπισκόποις διακό-

*) 1 Thessal. 5, 13 — 15. 19—22. **) Coloss. 4, 2.
5 sq. ***) 1 Timoth. 4, 6—8. †) Ibid. 6, 2. ††) Rom.
12, 8 — 13.

νοις, ἄλλαι χήραις, περὶ ὧν ἄλλος ἂν εἴη λέγειν καιρός. πολλὰ δὲ καὶ δι' αἰνιγμάτων, πολλὰ δὲ καὶ διὰ παραβολῶν τοῖς ἐντυγχάνουσιν ἔξεστιν ὠφελεῖσθαι. ἀλλ' οὐκ ἐμὸν, φησὶν ὁ παιδαγωγὸς, διδάσκειν ἔτι ταῦτα, διδασκάλου δὲ εἰς τὴν ἐξήγησιν τῶν ἁγίων ἐκείνων λόγων χρήζομεν, πρὸς ὃν ἡμῖν βαδιστέον. καὶ δὴ ὥρα γε ἐμοὶ μὲν πεπαῦσθαι τῆς παιδαγωγίας, ὑμᾶς δὲ ἀκροᾶσθαι τοῦ διδασκάλου.

§. 98. Παραλαβὼν δὲ οὗτος ὑμᾶς ὑπὸ καλῇ τετραμμένους ἀγωγῇ ἐκδιδάξεται τὰ λόγια. εἰς καλὸν δὲ ἡ ἐκκλησία ἥδε καὶ ὁ νυμφίος ὁ μόνος διδάσκαλος, ἀγαθοῦ πατρὸς ἀγαθὸν βούλημα, σοφία γνήσιος, ἁγίασμα γνώσεως· „καὶ αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, ὥς φησιν ὁ Ἰωάννης, ὁ ἰώμενος ἡμῶν καὶ σῶμα καὶ ψυχὴν, τὸν P. 310 ἴδιον ἄνθρωπον, Ἰησοῦς, „οὐ περὶ τῶν ἡμετέρων Pott. δὲ μόνον ἁμαρτιῶν, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου. καὶ ἐν τούτῳ γινώσκομεν ὅτι ἐγνώκαμεν αὐτὸν, ἐὰν τὰς ἐντολὰς αὐτοῦ τηρῶμεν. ὁ λέγων ὅτι ἔγνωκα αὐτὸν καὶ τὰς ἐντολὰς αὐτοῦ μὴ τηρῶν ψεύστης ἐστὶ καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν. ὃς δ' ἂν τηρῇ αὐτοῦ τὸν λόγον, ἀληθῶς ἐν τούτῳ ἡ ἀγάπη τοῦ θεοῦ τετελείωται. ἐν τούτῳ γινώσκομεν ὅτι ἐν αὐτῷ ἐσμεν, ὁ λέγων ἐν αὐτῷ μένειν ὀφείλει, καθὼς κἀκεῖνος περιεπάτησεν καὶ αὐτὸς περιπατεῖν" *).

§. 99. Ὦ τῆς μακαρίου θρέμματα παιδαγωγίας· τὸ καλὸν τῆς ἐκκλησίας πληρώσωμεν πρόσωπον καὶ πρὸς τὴν ἀγαθὴν προσδράμωμεν οἱ νήπιοι μητέρα, κἂν ἀκροαταὶ τοῦ λόγου γενώμεθα, τὴν μακαρίαν δοξάζωμεν οἰκονομίαν, δι' ἣν παιδαγωγεῖται μὲν ὃ ἄνθρωπος, ἁγιάζεται δὲ ὡς θεοῦ παιδίον, καὶ πολιτεύεται μὲν ἐν οὐρανοῖς ἀπὸ γῆς παιδαγωγούμενος. πατέρα δὲ ἐκεῖ λαμβάνει, ὃν ἐπὶ γῆς

*) 1 Ioann. 2—6.

μανθάνει. πάντα ὁ λόγος καὶ ποιεῖ καὶ διδάσκει καὶ παιδαγωγεῖ. ἵππος ἄγεται χαλινῷ, καὶ ταῦρος ἄγεται ζυγῷ, θηρίον βρόχῳ ἁλίσκεται, ὁ δὲ ἄνθρωπος μεταπλάσσεται λόγῳ, ᾧ θηρία τιθασσεύεται καὶ νηκτὰ δελεάζεται καὶ πτηνὰ κατασύρεται. οὗτος ὡς ἀληθῶς τεχνάζεται ἵππῳ χαλινὸν, ταύρῳ ζυγὸν, θηρίῳ βρόχον, κάλαμον ἰχθύϊ, πάγην ὀρνέῳ, οὗτος πολιτεύεται καὶ γεωργεῖ, ἄρχει καὶ ὑπουργεῖ καὶ τὰ ἄλλα δημιουργεῖ·

ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
ἐν δὲ τὰ τείρεα πάντα, τάτ' οὐρανὸς ἐστεφάνωται *).

§. 100. Ὦ τῶν θείων δημιουργημάτων, ὦ τῶν θείων παραγγελμάτων· ὕδωρ τοῦτο ἐν ἑαυτῷ κυμαινέτω, πῦρ τοῦτο τὴν ὀργὴν συνεχέτω, ἀὴρ οὗτος εἰς αἰθέρα πλανάσθω, γῆ δὲ καὶ πεπήχθω καὶ φερέσθω, ὅταν ἐγὼ θέλω ἄνθρωπον ἔτι πλάσαι καὶ βούλωμαι, ὕλην ἔχω τὰ στοιχεῖα, συνοικῶ μοὺ τῷ πλάσματι. ἐάν με γνωρίσῃς, δουλεύσει σοὶ τὸ πῦρ. τοσοῦτος ὁ λόγος οὗτος ὁ παιδαγωγὸς ὁ τοῦ κόσμου καὶ τοῦ ἀνθρώπου δημιουργὸς καὶ δι' αὐτὸν ἤδη καὶ τοῦ κόσμου παιδαγωγὸς, οὗ τῇ ἐγκελεύσει ἄμφω συνεστήκαμεν προσμένοντες τὴν κρίσιν. οὐ γὰρ ὑπόκλοπον φορεῖ βροτοῖσι φωνάεντα λόγον, ἔσται λόγος σοφία, ὡς φησι Βακχυλίδης. τὰ δὲ ἄμεμπτα καὶ ἀκέραια καὶ ἄμωμα τοῦ θεοῦ κατὰ τὸν Παῦλον **) τέκνα μέσον γενεᾶς σκολιᾶς καὶ διεστραμμένης φωστῆρων δίκην ἐν κόσμῳ φαίνεσθαι. P. 311 Pott.

§. 101. Ὅπερ οὖν λοιπὸν ἐπὶ τοιαύτῃ παρηγόρει τοῦ λόγου, τῷ λόγῳ προσευξώμεθα· ἵλαθι τοῖς σοῖς, παιδαγωγὲ, παιδίοις, ποιμὴν, ἡνίοχε Ἰσραήλ,

*) Hom. Il. 6, 483. 85. **) Cf. Philipp. 2, 15.

υἱὲ καὶ πατὴρ, ἐν ἄμφω κύριε. δὸς δὲ ἡμῖν τοῖς σοῖς ἑπομένοις παραγγέλμασι τὸ ὁμοίωμα πληρῶσαι τῆς εἰκόνος αἰσθάνεσθαί τε κατὰ κράτος ἀγαθοῦ τοῦ θεοῦ κριτοῦ τε μὴ πικροῦ, καὶ πάρασχε ἅπαντα αὐτὸς ἐν εἰρήνῃ τῇ σῇ πολιτευομένους, ἐν τῇ σῇ μετατιθεμένους πόλει, ἀκυμάντως τῆς ἁμαρτίας τὸν κλύδωνα διαπλεύσαντας, γαληνιῶντας ἀγίῳ συμφέ-115 ρεσθαι πνεύματι, σοφίᾳ τῇ ἀνεκφράστῳ, νύ-lib. κτωρ, καθ' ἡμέραν, εἰς τὴν τελείαν ἡμέραν, αἰ-νοῦντας εὐχαριστεῖν, [εὐχαριστοῦντας] αἰνεῖν, τῷ μόνῳ πατρὶ καὶ υἱῷ, υἱῷ καὶ πατρὶ, παιδαγωγῷ καὶ διδασκάλῳ υἱῷ, σὺν καὶ τῷ ἁγίῳ πνεύματι, πάντα τῷ ἑνὶ, ἐν ᾧ τὰ πάντα, δι' ὃν τὰ πάντα ἓν, δι' ὃν τὸ ἀεὶ, οὗ μέλη πάντες, οὗ δόξα, αἰῶνες, πάντα τῷ ἀγαθῷ, πάντα τῷ καλῷ, πάντα τῷ σοφῷ, τῷ δικαίῳ τὰ πάντα. ᾧ ἡ δόξα καὶ νῦν καὶ εἰς αἰῶνας. ἀμήν. ἐπεὶ δὲ εἰς τὴν ἐκκλησίαν ἡμᾶς καταστήσας ὁ παιδαγωγὸς αὐτὸς ἑαυτῷ παρακατέθετο τῷ διδασκαλικῷ καὶ πανεπισκόπῳ λόγῳ, καλῶς ἂν ἔχοι ἡμᾶς ἐνταῦθα γενομένους μισθὸν εὐχαριστίας δικαίας κατάλληλον ἀστείου παιδαγωγίας αἶνον ἀναπέμψαι κυρίῳ.

Ὕμνος τοῦ σωτῆρος Χριστοῦ τοῦ ἁγίου Κλήμεντος.

Στόμιον πώλων ἀδαῶν, P. 312
πτερὸν ὀρνίθων ἁπλακῶν, Pott.
οἴαξ νηῶν ἀτρεκὴς,
ποιμὴν ἀρνῶν βασιλικῶν,
τοὺς σοὺς ἀφελεῖς
παῖδας ἄγειρον,
αἰνεῖν ἁγίως,
ὑμνεῖν ἀδόλως
ἀκάκοις στόμασιν
παίδων ἡγήτορα Χριστόν.
βασιλεῦ ἁγίων,
λόγε πανδαμάτωρ

πατρὸς ὑψίστου,
σοφίας πρύτανι
στήριγμα πόνων
αἰωνοχαρὲς,
βροτέας γενεᾶς
σῶτερ Ἰησοῦ,
ποιμὴν, ἀροτὴρ,
οἴαξ, στόμιον,
πτερὸν οὐράνιον
παναγοῦς ποίμνης,
ἁλιεῦ μερόπων
τῶν σωζομένων,
πελάγους κακίας
ἰχθῦς ἁγνοὺς
κύματος ἐχθροῦ
γλυκερᾷ ζωῇ δελεάζων.
ἡγοῦ, προβάτων
λογικῶν ποιμὴν,
ἄγιε ἡγοῦ
βασιλεῦ παίδων ἀνεπάφων.
ἴχνια Χριστοῦ,
ὁδὸς οὐρανία,
λόγος ἀέναος,
φῶς ἀίδιον,
ἔλεους πηγὴ,
ῥεκτὴρ ἀρετῆς, P. 31
σεμνὴ βιοτὴ Poe
θεὸν ὑμνούντων, Χριστὲ Ἰησοῦ,
γάλα οὐράνιον
μαστῶν γλυκερῶν
νύμφης χαρίτων,
σοφίας τῆς σῆς ἐκθλιβόμενον,
οἱ νηπίαχοι
ἀταλοῖς στόμασιν
ἀτιταλλόμενοι,
θηλῆς λογικῆς

πνεύματι δροσερῷ
ἐμπιπλάμενοι
αἴνους ἀφελεῖς,
ὕμνους ἀτρεκεῖς,
βασιλεῖ Χριστῷ,
μισθοὶς ὁσίους
ζωῆς διδαχῆς,
μέλπωμεν ὁμοῦ,
μέλπωμεν ἁπλῶς,
παῖδα κρατερόν.
χορὸς εἰρήνης
οἱ χριστόγονοι,
λαὸς σώφρων,
ψάλλωμεν ὁμοῦ θεὸν εἰρήνης.

Εἰς τὸν παιδαγωγόν.

Σοὶ τόνδε κἀγὼ, παιδαγωγὲ, προσφέρω
λόγοισι πλέξας στέφανον ἐξ ἀκηράτου
λειμῶνος, ἡμῖν οὗ παρέσχου τὰς νομὰς
ὡς ἐργάτις μέλιττα χωρίων ἄπο
βλάστην τρυγῶσα, χρηστὸν ἐκ σίμβλων πόνον,
κηρὸν δίδωσι τὸν γλυκὺν τῷ προστάτῃ.
εἰ καὶ βραχὺς δ' ἐγώ τις οἰκέτης γε σός·
δεῖ γάρ σε τοῖς σοῖς εὐλογεῖν θεσπίσμασιν·
ἄναξ βροτῶν μέγιστε, τῶν καλῶν δοτὴρ,
ἐσθλῶν χορηγὲ καὶ τὸ πᾶν κτίσας πάτερ,
ὃς οὐρανόν τε καὶ τὸν οὐρανοῦ μόνος
κόσμον τέθεικας, ἁρμόσας θείῳ λόγῳ,
ὃ δείξας αὐτὸς ἡμέραν τε καὶ φάος,
καὶ τὸν πολοῦσιν ἄστροις νημερτῆ δρόμον.
ἐνταῦθ' ὅποι γῆ καὶ θάλασσα προσμένοι,
τροπῶν τε καιρὸν εὐστόχως δήσας κύκλῳ
ἦρ τε καὶ χειμῶνα καὶ θέρας πάλιν
τοῦ τε μετοπώρου τάξιν ἐξηρτισμένην,
ὅλον τε κόσμον ἐξ ἀκοσμίας κτίσας

P. 314 Pon.

TITI FLAUI

CLEMENTIS ALEXANDRINI

OPERA OMNIA

RECOGNOUIT

REINHOLDUS KLOTZ.

VOL. II.

CONTINENS STROMATORUM LIBROS I — IV.

LIPSIAE

SUMPTIBUS E. B. SCHWICKERTI.

1831.

BIBLIOTHECA SACRA

PATRUM ECCLESIAE GRAECORUM.

PARS III.

TITI FLAVI
CLEMENTIS ALEXANDRINI
OPERUM OMNIUM

TOM. II.

LIPSIAE
SUMPTIBUS E. B. SCHWICKERTI.
1831.

Etsi in praefatione quam ad primum Clementis volumen adiunxi satis est explicatum quid in hac editione adornanda secutus sim, tamen videtur de his quoque stromatorum libris breuiter dicendum, ne quae ego tum de iis potissimum libris qui volumine primo continentur dixeram, ea de his quoque libris dicta esse videantur. horum enim librorum longe alia est ratio atque illorum. quum enim plures libri manu scripti iique auctoritate ad modum diuersa istos libros contineant, stromata nobis videntur vno tantum codice, sed eo satis antiquo seruata esse, ex quo primum fluxit editio Florentina quae plerumque manifestis vitiis vix exceptis antiquissimi istius libri

pturam exhibet. hinc Fr. Sylburgius prudenter editionem ita deriuauit suam vt librariorum menda quantum in se esset tolleret, quum non celaret quibus locis ab editione principe discedendum fuisset. ex huius editione ceterae emanarunt, quarum alia est alia vitiosior. vna tamen paullo melior, eam dico quam Io. Potterus edendam curauit, quanquam is quoque pleraque vitia in suam editionem recepit, id quod eo debet videri mirabilius, quod collationem libri Parisini habebat vnde poterat discere quid falso quid recte fecissent critici. nam ille liber siue est idem quo P. Victorius vsus erat in editione Florentina curanda siue alius, ex eodem tamen fonte est deriuatus, habet eandem lacunas quam editio princeps, habet eandem Clementis orationem, habet eadem librariorum vitia aperta pariter atque tectiora, ita vt eius collatio quae est ad editionem Potterianam adiuncta nullam fere aliam diuersitatem continet nisi vbi editores imperitissimi artis criticae sine vllo iudicio a Victori vel Sylburgi editione discesserant, paucis exceptis locis vbi aut ex aliorum scriptorum auctoritate aut ex doctorum hominum coniectura aliquid mutatum est: id recte a me dici satis superque ex annotationibus quas vltimo voluminis adiiciam criticis patebit. quam ob caussam nolo hic exempla quae pene sunt innumerabilia turpissimorum errorum adscribere. illud dico

me editionem Sylburgi quam etiam olim dicebam esse sequendam ita litteris mandasse, vt cum libro Parisino cuius accuratam collationem Potterus exhibuit, conferrem et quae alii critici praestitissent antiquiora ex editionis Potterianae fide acciperem, recentiora ex hominum doctorum commentariis colligerem, in qua re quid ab aliis acceperim, quid ipse exantlauerim patebit ex annotatione critica. illud tamen hic quoque debeo profiteri me nec voluisse nec potuisse nunc nouam horum librorum recensionem instituere, accuratam me recognitionem suscepisse peritus nemo negabit. postremo hoc mihi videtur annotandum editionem Sylburgianam editam esse a. MDXCII. video enim multos in quibus etiam eos quos non putabam his in rebus posse falli editiones eas quae Sylburgio plane indignae sunt tanquam Sylburgi laudare vti Parisiensem et Coloniensem, ita vt eum saepe Sylburgianae paginae numerum citatum viderim ad quem nunquam accreuit Sylburgi editio. quae edita est *ex typographeio Hieronymi Commelini CIↃIↃXCII.* et constat paginis 386. librariorum autem menda *) quorum non spero multa relicta esse indagare nunc quidem

*) In vol. I. praeter annotata p. 283. v. 14. scribe ἀκρὰ et p. 316. v. 19. ἐμπρέπεις

propter temporis angustias non potui, eaque indicabo in fine voluminis proximi quod stromatorum qui restant libros complectetur. quartum autem volumen postremam Clementis scriptionem, quae continet quaestionem *num dives salvetur*, fragmenta, annotationes criticas, indices continebit breuique speramus haec volumina iri absolutum.

Scr. Lipsiae
d. XIV. m. Octobr. R. Klotz, phil. doct.
MDCCCXXXI.

P. 116. Sylb.

ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΤΩΝ ΣΤΡΩΜΑΤΕΩΝ ΛΟΓΩΝ Ὁ ΠΡΩΤΟΣ.

P. 315. Pott.

CLEMENTIS ALEXANDRINI STROMATUM LIBER PRIMUS.

Argumentum.

Cap. I. Praefatio perpaucis in principio amissis quid sibi proposuerit auctor exponit quantumque vtilitatis scriptores legentibus afferant ostendit (§. 1—18.). C. II. occurrit quorundam obiectioni vituperantium quod tam multa e philosophia desumpta libris suis inserat (§. 19—21.). C. III. contra sophistas et inutilis scientiae iactatores (§. 22—24.). C. IV. humanas artes non minus quam rerum diuinarum scientiam a deo esse profectas (§. 25—27.). C. V. philosophiam theologiae ancillari, quod illustrat allegorica interpretatione historiae Sarae et Hagaris (§. 28—32.). C. VI. institutione plerumque non natura bonos fieri multumque ad virtutem conferre eruditionem (§. 33—36.). C. VII. philosophiam ad diuinam virtutem viam aperire eamque non singularis alicuius scholae, sed eclecticam (§. 37. 38.). C. VIII. artem sophisticam aliasque quae in verbis tantum versentur non perinde vtiles esse (§. 39—42.). C. IX. litteras humaniores ad scripturas recte intelligendas esse omnino necessarias (§. 43—5.). C. X. maiorem bene faciendi quam bene dicendi cuam esse (§. 46—48.). C. XI. quaenam sit sapientia mun-

dana et philosophia quam denitare nos velit apostolus (§. 49 — 54.). C. XII. fidei mysteria non esse cum uno quoque communicanda, ideo quod non omnes sint idonei veritatis auditores (§. 55. 56.). C. XIII. variarum philosophiae scholarum vnam quamque aliquam veritatis particulam sibi arripuisse (§. 57. 58.). C. XIV. philosophorum apud Graecos successio (§. 59—65.). C. XV. Graecorum philosophiam a barbaris magna ex parte haustam esse (§. 66 — 73.). C. XVI. aliarum etiam artium inuentores fere barbaros fuisse (§. 74 — 80.). C. XVII. de dicto illo seruatoris: *omnes qui me praecesserunt fures erant et latrones* (§. 81 — 87.). C. XVIII. illustrat dictum illud apostoli: *perdam sapientiam sapientum* (§. 88 — 90.). C. XIX. philosophos aliquam veritatis partem percepisse probat (§. 91 — 96.). C. XX. quanam ratione philosophia conferat ad diuinae veritatis comprehensionem (§. 97 — 100.). C. XXI. ex Moysis aliorumque prophetarum aetate prolixe cum temporibus Graecorum comparata ostenditur instituta et leges Iudaeorum multo esse antiquiora philosophia Graecorum (§. 101 — 147.). C. XXII. de Graeca veteris testamenti interpretatione (§. 148 — 150.). C. XXIII. de Moysis aetate, ortu, vita (§. 151 — 157.). C. XXIV. quo modo Moyses ducis partes exegerit aliisque ad idem munus exsequendum exemplo suo praeinerit (§. 158 — 164.). C. XXV. quo modo Plato in legibus suis condendis Moysem imitatus sit (§. 165. 166.). C. XXVI. Moysem recte dici diuinum legis latorem, licet Christo inferiorem, et longe potiore iure quam Graecorum legis latores Minoëm et Lycurgum (§. 167 — 170.) C. XXVII. legem commodo hominum spectare, etiam si corrigat et puniat (§. 171 — 175.). C. XXVIII. quadripartita legis Moysaicae diuisio (§. 176 — 179.). C. XXIX. Graecos recte ab Aegyptio pueros dictos respectu ad Hebraeos eorumque instituta habito (§. 180 — 182.).

Cap. I.

λείπει ἡ ἀρχή.

§. 1. *** *ἵνα ὑπὸ χεῖρα ἀναγινώσκῃς αὐτὰς καὶ δυνηθῇς φυλάξαι αὐτάς. πότερον δ' οὐδ' ὅλως ἢ τισὶ καταλειπτέον συγγράμματα; καὶ εἰ μὲν τὸ πρότερον, τίς ἡ τῶν γραμμάτων χρεία; εἰ δὲ τὸ ἕτερον, ἤτοι τοῖς σπουδαίοις ἢ τοῖς μή; γελοῖον μεντἂν εἴη τὴν*

τῶν σπουδαίων ἀποδοκιμάζοντα γραφὴν τοὺς μὴ τοιούτους ἀποδέχεσθαι συντάττοντας. ἀλλ' ἄρα Θεοπόμπῳ μὲν καὶ Τιμαίῳ μύθους καὶ βλασφημίας συντάττουσιν, πρὸς δὲ καὶ Ἐπικούρῳ ἀθεότητος καταρχοντι, ἔτι δὲ Ἱππώνακτι καὶ Ἀρχιλόχῳ αἰσχρῶς οὕτως ἐπιτρεπτέον γράφειν· τὸν δὲ τὴν ἀλήθειαν κηρύσσοντα κωλυτέον τοῖς ὕστερον ἀνθρώποις ὠφέλειαν ἀπολιπεῖν; καλὸν δ' οἶμαι καὶ παῖδας ἀγαθοὺς τοῖς ἔπειτα καταλείπειν. οἱ μέν γε παῖδες σωμάτων, ψυχῆς δὲ ἔγγονοι οἱ λόγοι. αὐτίκα πατέρας τοὺς κατηχήσαντάς φαμεν, κοινωνικὸν δὲ ἡ σοφία καὶ φιλάνθρωπον. λέγει γοῦν ὁ Σαλομών· „υἱέ, ἐὰν δεξάμενος ῥῆσιν ἐντολῆς ἐμῆς κρύψῃς παρὰ σεαυτῷ, ὑπακούσεται σοφίας τὸ οὖς σου" *). σπειρόμενον τὸν λόγον κρύπτεσθαι μηνύει καθάπερ ἐν γῇ τῇ τοῦ ἀνθάνοντος ψυχῇ, καὶ αὕτη πνευματικὴ φυτεία. P. 317. Pott.

§. 2. Διὸ καὶ ἐπιφέρει· „καὶ παραβαλεῖς καρδίαν σοὺ εἰς σύνεσιν, παραβαλεῖς δὲ αὐτὴν εἰς νουθέτησιν τῷ υἱῷ σού." ψυχὴ γὰρ οἶμαι ψυχῇ καὶ πνεῦμα πνεύματι συναπτόμενα κατὰ τὴν τοῦ λόγου σποράν αὔξει τὸ καταβληθὲν καὶ ζωογονεῖ· υἱὸς δὲ πᾶς ὁ παιδευόμενος καθ' ὑπακοὴν τοῦ παιδεύοντος. „υἱέ," φησὶν, „ἐμῶν θεσμῶν μὴ ἐπιλανθάνου" **). εἰ δὲ μὴ πάντων ἡ γνῶσις ***), ὄνος λύρας ἢ φασὶν οἱ παροιμιαζόμενοι τοῖς πολλοῖς τὰ συγγράμματα. ὗες γοῦν βορβόρῳ ἥδονται μᾶλλον ἢ καθαρῷ ὕδατι. διὰ τοῦτό φησιν ὁ κύριος, „ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ὅτι βλέποντες οὐ βλέπουσι, καὶ ἀκούοντες οὐκ ἀκούουσι, καὶ οὐ συνίασι", τὴν ἄγνοιαν αὐτοῖς μὴ ὡς παρέχοντος τοῦ κυρίου, μὴ γὰρ οὐ θεμιτὸν οὕτω φρονεῖν †), ἀλλὰ τὴν ὑπάρχουσαν διελέγξαντος προφητικῶς καὶ ἀσυνέτους τῶν λεγομένων ἐσομένους μηνύσαντος.

*) Proverb. 2, 1 sq. **) Ibid. 3, 1. ***) Cf. 1 Cor. 8, 7. †) Matth. 13, 13.

§. 3. Ἤδη δὲ καταφαίνεται ἐκ περιουσίας ὁ σωτὴρ αὐτὸς*) κατὰ τὴν τοῦ λαμβάνοντος δύναμιν, ἢ δὴ ἐκ συνασκήσεως, αὔξειν τοῖς βούλοις τὰ ὑπάρχοντα διανείμας, αὖθις ἐπανελθὼν τιθέναι λόγον μετ' αὐτῶν, ὁπηνίκα τοὺς μὲν αὐξήσαντας τὸ ἀργύριον αὐτοῦ τοὺς ἐν ὀλίγῳ πιστοὺς ἀποδεξάμενος καὶ ἐπαγγειλάμενος ἐπὶ πολλῶν καταστήσειν εἰς τὴν τοῦ κυρίου χαρὰν προσέταξεν εἰσελθεῖν, τῷ δὲ ἀποκρυψαμένῳ τὸ πιστευθὲν ἀργύριον εἰς τὸ ἐκδανεῖσαι καὶ αὐτὸ ὅπερ ἔλαβεν ἀποδιδόντι ἀργὸν, „πονηρὲ δοῦλε", εἶπεν, „καὶ ὄκνηρὲ, ἔδει σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμόν." ἐπὶ τούτοις ὁ ἀχρεῖος δοῦλος εἰς τὸ ἐξώτερον ἐμβληθήσεται σκότος. „σὺ οὖν ἐνδυναμοῦ", καὶ Παῦλος λέγει, „ἐν χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ, καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται καὶ ἑτέρους διδάξαι" **). καὶ πάλιν, „σπούδασον σεαυτὸν δόκιμον παραστῆσαι τῷ Θεῷ ἐργάτην ἀνεπαίσχυντον ὀρθοτομοῦντα τὸν λόγον τῆς ἀληθείας" ***). P. 318. Pott.

§. 4. Εἰ τοίνυν ἄμφω κηρύττουσι τὸν λόγον, ὁ μὲν τῇ γραφῇ, ὁ δὲ τῇ φωνῇ, πῶς οὐκ ἄμφω ἀποδεκτέοι, ἐνεργὸν τὴν πίστιν διὰ τῆς ἀγάπης πεποιημένοι; τῇ δὲ αἰτίᾳ τοῦ μὴ τὸ βέλτιστον ἑλομένου θεὸς ἀναίτιος. αὐτίκα τῶν μὲν ἐκδανεῖσαι τὸν λόγον ἔργον ἐστὶν, τῶν δὲ δοκιμάσαι καὶ ἤτοι ἐλέσθαι ἢ μὴ, ἡ κρίσις δὲ ἐν αὐτοῖς κρίνεται. ἀλλ' ἡ μὲν κηρυκικὴ ἐπιστήμη, ἡ δέ πως ἀγγελικὴ, ὁποτέρως ἂν ἐνεργῇ, διά τε τῆς χειρὸς διά τε τῆς γλώττης ὠφελοῦσα· „ὅτι ὁ σπείρων εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον· τὸ δὲ καλὸν ποιοῦντες μὴ ἐκκακῶμεν" †). συμβάλλεται γοῦν τὰ μέγιστα τῷ περιτυγχάνοντι κατὰ

*) Cf. Matth. 25, 14 sqq. Luc. 19, 12 sqq. **) 2 Timoth. 2, 1 sq. ***) Ibid. v. 15. †) ad Galat. 6, 8 sq.

τὴν θείαν πρόνοιαν, ἀρχὴν πίστεως, πολιτείας προθυμίαν, ὁρμὴν τὴν ἐπὶ τὴν ἀλήθειαν, κίνησιν ζητητικὴν, ἴχνος γνώσεως, ὃ συνελόντι εἰπεῖν ἀφορμὰς δίδωσι σωτηρίας. οἱ δὲ ἐντραφέντες γνησίως τοῖς τῆς
P. ἀληθείας λόγοις ἐφόδια ζωῆς ἀϊδίου λαβόντες εἰς
117 οὐρανὸν πτεροῦνται. Θαυμασιώτατα τοίνυν ὁ ἀπό-
8yib. στολος „ἐν παντὶ", φησὶ, „συνιστάντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι, ὡς πτωχοὶ, πολλοῖς δὲ πλουτίζοντες, ὡς μηδὲν ἔχοντες καὶ πάντα κατέχοντες, τὸ στόμα
10 ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς" *). „διαμαρτύρομαι δὲ," τῷ Τιμοθέῳ φησὶν ἐπιστέλλων, „ἐνώπιον τοῦ θεοῦ καὶ Χριστοῦ Ἰησοῦ καὶ τῶν ἐκλεκτῶν ἀγγέλων, ἵνα ταῦτα φυλάξῃς χωρὶς προκρίματος μηδὲν ποιῶν κατὰ πρόσκλισιν" **).

15 §. 5. Ἀνάγκη τοίνυν ἄμφω τούτω δοκιμάζειν σφᾶς αὐτοὺς, τὸν μὲν εἰ ἄξιος λέγειν τε καὶ ὑπομνήματα καταλιμπάνειν, τὸν δὲ εἰ ἀκροᾶσθαί τε καὶ ἐντυγχάνειν δίκαιος. ᾗ καὶ τὴν εὐχαριστίαν τινὲς διανείμαντες ὡς ἔθος αὐτὸν δὴ ἕκαστον τοῦ λαοῦ λα-
20 βεῖν τὴν μοῖραν ἐπιτρέπουσιν. ἀρίστη γὰρ πρὸς τὴν ἀκριβῆ αἵρεσίν τε καὶ φυγὴν ἡ συνείδησις. Θεμέλιος δὲ αὐτῆς βέβαιος ὀρθὸς βίος ἅμα μαθήσει τῇ καθηκούσῃ, τό τε ἕπεσθαι ἑτέροις δοκιμασθεῖσιν ἤδη καὶ κατωρθωκόσιν ἄριστον πρός τε τῆς ἀληθείας τὴν
25 νόησιν καὶ τὴν κατάπραξιν τῶν ἐντολῶν. „ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον καὶ πίνῃ τὸ ποτήριον τοῦ κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ κυρίου. δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω καὶ ἐκ τοῦ
30 ποτηρίου πινέτω" ***). P.

§. 6. Σκοπεῖσθαι οὖν ἀκόλουθον, ἆρα τῶν 319.
τὴν ὠφέλειαν τῶν πλησίον ἐπανῃρημένων, εἰ μὴ Pott.
θρασέως· καί τισιν ἀντιζηλούμενος ἐπεπήδησεν τῇ

*) 2 Corinth. 6, 4. 10 sq. **) 1 Timoth. 5, 21.
***) 1 Corinth. 11, 27 sq.

διδασκαλία, εἰ μὴ φιλόδοξος ἡ κοινωνία τοῦ λόγου, εἰ τοῦτον μόνον καρποῦται τὸν μισθὸν τὴν σωτηρίαν τῶν ἐπαϊόντων τό τε μὴ πρὸς χάριν ὁμιλεῖν, δωροδοκίας τε αὖ διαβολὴν διαπέφευγεν ὁ δι' ὑπομνημάτων λαλῶν· „οὔτε γάρ ποτε ἐν λόγῳ κολακείας ἐγενήθημεν καθὼς οἴδατε," φησὶν ὁ ἀπόστολος, „οὔτε [ἐν] προφάσει πλεονεξίας, Θεὸς μάρτυς, οὔτε ζητοῦντες ἐξ ἀνθρώπων δόξαν οὔτε ἀφ' ὑμῶν οὔτε ἀπ' ἄλλων. δυνάμενοι ἐν βάρει εἶναι ὡς Χριστοῦ ἀπόστολοι, ἀλλ' ἐγενήθημεν ἤπιοι ἐν μέσῳ ὑμῶν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα" *). κατὰ ταῦτα δὲ καὶ τοὺς τῶν θείων μεταλαμβάνοντας λόγων παραφυλακτέον, εἰ μὴ περιεργίας ἕνεκεν ἱστορήσοντες, ὥσπερ τῶν πόλεων τὰ οἰκοδομήματα εἰς τόδε ἀφικνοῦνται, εἰ μὴ μεταλήψεως χάριν τῶν κοσμικῶν προσίασιν κοινωνικοὺς τῶν ἐπιτηδείων μαθόντες τοὺς καθωσιωμένους τῷ Χριστῷ, ἀλλ' οἱ μὲν ὑποκριταὶ καὶ δὴ ἐώσθωσαν· εἰ δέ τις οὐ δοκεῖν δίκαιος, ἀλλ' εἶναι θέλῃ, συνιέναι τὰ κάλλιστα τοῦτον αὐτῷ προσήκει.

§. 7. Εἰ γοῦν ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται βραχεῖς, τῷ ὄντι δεῖσθαι καθήκει ὅπως ὅτι μάλιστα πλειόνων ἡμῖν ἐργατῶν εὐπορία γένηται **). ἡ γεωργία δὲ διττή· ἡ μὲν γὰρ ἄγραφος, ἡ δ' ἔγγραφος. ὁποτέρως δ' ἂν ὁ τοῦ κυρίου ἐργάτης σπείρῃ τοὺς εὐγενεῖς πυροὺς καὶ τοὺς στάχυς αἴξῃ τε καὶ θερίσῃ, θεῖος ὄντως ἀναφανήσεται γεωργός. „ἐργάζεσθε," φησὶν ὁ κύριος, „μὴ τὴν ἀπολλυμένην βρῶσιν, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιαν" ***). τροφὴ δὲ καὶ ἡ διὰ σιτίων καὶ ἡ διὰ λόγων λαμβάνεται, καὶ τῷ ὄντι „μακάριοι οἱ εἰρηνοποιοὶ" †), οἱ τοὺς ἐνταῦθα κατὰ τὸν βίον καὶ τὴν πλάνην πρὸς τῆς ἀγνοίας πολεμουμένους μεταδιδάσκοντες καὶ με-

*) 1 Thess. 2, 5—8. **) Cf. Matth. 9, 37. Luc. 10, 2. ***) Ioann. 6, 27. †) Matth. 5, 9.

τάγοντες εἰς εἰρήνην τὴν ἐν λόγῳ καὶ βίῳ τῷ κατὰ τὸν Θεὸν καὶ τοὺς πεινῶντας δικαιοσύνην" *), τρέφοντες τῇ τοῦ ἄρτου διανομῇ. εἰσὶ γὰρ καὶ ψυχαὶ ἰδίας ἔχουσαι τροφὰς, αἱ μὲν κατ' ἐπίγνωσιν καὶ ἐπιστήμην αὔξουσαι, αἱ δὲ κατὰ τὴν Ἑλληνικὴν νεμόμεναι φιλοσοφίαν, ἧς καθάπερ καὶ τῶν καρύων οὐ τὸ πᾶν ἐδώδιμον. "ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων" τοῦ αὔξοντος ὄντες διάκονοι "ἓν εἰσι" κατὰ τὴν διακονίαν, "ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον. Θεοῦ γάρ ἐσμεν συνεργοὶ, Θεοῦ γεώργιον, Θεοῦ οἰκοδομή ἐστε" **), κατὰ τὸν ἀπόστολον. P. 320. Pott.

§. 8. Οὔκουν οὐδὲ ἀπὸ συγκρίσεως τὸ δοκίμιον ποιεῖσθαι τοῖς ἀκροωμένοις ἐπιτρεπτέον, οὐδὲ εἰς ἐξέτασιν ἔκδοτον παραδοτέον τὸν λόγον τοῖς ἐντεθραμμένοις λόγων παντοδαπῶν τέχναις καὶ δυνάμεσιν ἐπιχειρημάτων ὠγκωμένοις τοῖς προκατειλημμένοις ἤδη τὴν ψυχὴν καὶ μὴ προκεκενωμένοις. ὃ δ' ἂν ἐκ πίστεως ἕληταί τις ἑστιάσας, βέβαιος οὗτος εἰς θείων λόγων παραδοχὴν, κρίσιν εὔλογον τὴν πίστιν κεκτημένος. ἕπεται δὲ ἐνθένδε αὐτῷ ἡ πειθὼ ἐκ περιουσίας. καὶ τοῦτ' ἦν ἄρα τὸ προφητικὸν ἐκεῖνο· "ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε" ***). "ἆρ' οὖν ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα δὲ πρὸς τοὺς οἰκείους τῆς πίστεως" †). ἕκαστος δὲ τούτων κατὰ τὸν μακάριον Δαβὶδ εὐχαριστῶν ψαλλέτω· "ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι, ἀκουτιεῖς με εὐφροσύνην καὶ ἀγαλλίασιν ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα, ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ τὰς ἀνομίας μου ἐξάλειψον. καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεὸς, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις

*) Matth. 5, 6. **) 1 Corinth. 3, 6—9. ***) Iesai. 7, 9. †) ad Galat. 6, 10.

μού. μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με" *).

§. 9. Ὁ μὲν οὖν πρὸς παρόντας λέγων καὶ χρόνῳ δοκιμάζει καὶ κρίσει δικάζει καὶ διακρίνει τῶν ἄλλων τὸν οἷόν τε ἀκούειν, ἐπιτηρῶν τοὺς λόγους, τοὺς τρόπους, τὰ ἤθη, τὸν βίον, τὰς κινήσεις, τὰς σχέσεις, τὸ βλέμμα, τὸ φθέγμα, τὴν τριοδον, τὴν πέ-
P. τραν, τὴν πατουμένην ὁδὸν, τὴν καρποφόρον γῆν,
118 τὴν ὑλομανοῦσαν χώραν, τὴν εὔφορον καὶ καλὴν
Syl. καὶ γεωργουμένην, τὴν πολυπλασιάσαι τὸν σπόρον δυναμένην. ὁ δὲ δι' ὑπομνημάτων λαλῶν πρὸς τὸν θεὸν ἀφοσιοῦται ταῦτα κεκραγὼς ἐγγράφως· μὴ κέρδους ἕνεκα, μὴ κενοδοξίας χάριν, μὴ προσπαθείᾳ νικᾶσθαι, μὴ φόβῳ δουλοῦσθαι, μὴ ἡδονῇ ἑπαίρεσθαι, μόνης δὲ τῆς τῶν ἐντυγχανόντων ἀπολαύειν σωτηρίας, ἧς οὐδὲ κατὰ τὸ παρὸν μεταλαμβάνει, ἀλλὰ ἐλπίδι ἀπεκδεχόμενος τὴν ἀποδοθησομένην πάντως ἀμοιβὴν παρὰ τοῦ τὸν μισθὸν τοῖς ἐργάταις κατ' ἀξίαν ἀποδώσειν ὑπισχημένου. ἀλλ' οὐδὲ ἀντιμισθίας ἐφίεσθαι χρὴ τῷ εἰς ἄνδρας ἐγγραφομένῳ. οὐ γὰρ ὁ μὲν καυχησάμενος εὐπρέπειαν τὴν ἀμοιβὴν ἀπείληφεν δι' εὐδοξίας, ὁ δὲ τῶν προσηκόντων δι'
P. ἀντιμισθίαν πράσσων τι ἤτοι ὡς εὐεργὸς σπεύδων
321. ἀπολαβεῖν ἢ ὡς κακοεργὸς τὴν ἀμοιβὴν περιστάμε-
Pott. νος, οὐχὶ τῇ κοσμικῇ ἐνέχεται συνηθείᾳ; δεῖ δὲ ὡς οἷόν τε τὸν κύριον μιμεῖσθαι. οὗτος δ' ἂν εἴη ὁ τῷ θελήματι τοῦ θεοῦ ἐξυπηρετῶν, δωρεὰν λαβών, δωρεὰν διδούς **), μισθὸν ἀξιόλογον ἀπολαμβάνων τὴν πολιτείαν αὐτήν· „οὐκ εἰσελεύσεται δὲ εἰς τὰ ἅγια μίσθωμα πόρνης" ***) φησίν.

§. 10. Ἀπείρηται γοῦν προσφέρειν τῷ θυσια-

*) Psalm. 51, 12. **) Cf. Matth. 10, 8. ***) Deut. 23, 2. 8.

στηρίῳ ἄλλαγμα κυνός· ὅτῳ δὲ ἀπήμβλυται κακὴ τροφή τε καὶ διδασκαλία τὸ τῆς ψυχῆς ὄμμα πρὸς τὸ οἰκεῖον φῶς βαδιζέτω ἐπὶ τὴν ἀλήθειαν τὴν ἐγγράφως τὰ ἄγραφα δηλοῦσαν· „οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ" *), Ἡσαΐας λέγει. καὶ „πῖνε ὕδωρ ἀπὸ σῶν ἀγγείων" **), ὁ Σαλομὼν παραινεῖ. ἐν γοῦν τοῖς νόμοις ὁ ἐξ Ἑβραίων φιλόσοφος Πλάτων κελεύει τοὺς γεωργοὺς μὴ ἐπαρδεῦσαι μηδὲ λαμβάνειν ὕδωρ παρ' ἑτέρων, ἐὰν μὴ πρότερον ὀρύξαντες παρ' αὐτῶν ἄχρι τῆς παρθενίου καλουμένης ἄνυδρον εὕρωσι τὴν γῆν. ἀπορία γὰρ ἐπαρκεῖν οὐ δίκαιον, ἀργίαν δὲ ἐφοδιάζειν οὐ καλὸν, εἰ καὶ φορτίον συνεπιτιθέναι μὲν εὔλογον, συγκαθαιρεῖν δὲ οὐ προσήκειν ὁ Πυθαγόρας ἔλεγεν. συνεξάπτει δὲ ἡ γραφὴ τὸ ζώπυρον τῆς ψυχῆς καὶ συντείνει τὸ οἰκεῖον ὄμμα πρὸς θεωρίαν τάχα μέν τι καὶ ἐντιθεῖσα οἷον ὁ ἐγκεντρίζων γεωργὸς, τὸ δὲ ἐνυπάρχον ἀνακινοῦσα. „πολλοὶ γὰρ ἐν ἡμῖν" κατὰ τὸν θεῖον ἀπόστολον „ἀσθενεῖς καὶ ἄρρωστοι, καὶ κοιμῶνται ἱκανοί. εἰ δὲ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα" ***). 322.

§. 11. Ἤδη δὲ οὐ γραφὴ εἰς ἐπίδειξιν τετε- Pott.
χνασμένη ἥδε ἡ πραγματεία, ἀλλά μοι ὑπομνήματα εἰς γῆρας θησαυρίζεται, λήθης φάρμακον, εἴδωλον ἀτεχνῶς καὶ σκιαγραφία τῶν ἐναργῶν καὶ ἐμψύχων ἐκείνων, ὧν κατηξιώθην ἐπακοῦσαι λόγων τε καὶ ἀνδρῶν μακαρίων καὶ τῷ ὄντι ἀξιολόγων. τούτων ὁ μὲν ἐπὶ τῆς Ἑλλάδος, ὁ Ἰωνικὸς, οἱ δὲ ἐπὶ τῆς μεγάλης Ἑλλάδος, τῆς κοίλης θάτερος αὐτῶν Συρίας ἦν, ὁ δὲ ἀπ' Αἰγύπτου, ἄλλοι δὲ ἀνὰ τὴν ἀνατολὴν, καὶ ταύτης ὁ μὲν τῆς τῶν Ἀσσυρίων, ὁ δὲ ἐν Παλαιστίνῃ Ἑβραῖος ἀνέκαθεν, ὑστάτῳ δὲ περιτυχὼν, δυνάμει δὲ οὗτος πρῶτος ἦν. ἀνεπαυσάμην ἐν Αἰγύπτῳ θηράσας λεληθότα, Σικελικὴ τῷ ὄντι

*) Ies. 55, 1. **) Proverb. 5, 15. ***) 1 Corinth. 10, 31 sq.

ἡ μέλιττα, προφητικοῦ τε καὶ ἀποστολικοῦ λειμῶνος τὰ ἄνθη δρεπόμενος ἀκήρατόν τι γνώσεως χρῆμα ταῖς τῶν ἀκροωμένων ἐνεγέννησε ψυχαῖς. ἀλλ' οἱ μὲν τὴν ἀληθῆ τῆς μακαρίας σώζοντες διδασκαλίας παράδοσιν εὐθὺς ἀπὸ Πέτρου τε καὶ Ἰακώβου, Ἰωάννου τε καὶ Παύλου τῶν ἁγίων ἀποστόλων παῖς παρὰ πατρὸς ἐκδεχόμενος, ὀλίγοι δὲ οἱ πατράσιν ὅμοιοι.

§. 12. Ἦκον δὴ σὺν Θεῷ καὶ εἰς ἡμᾶς τὰ προ- P.
γονικὰ ἐκεῖνα καὶ ἀποστολικὰ καταθησόμενοι σπέρ- 323.
ματα· καὶ εὖ οἶδ' ὅτι ἀγαλλιάσονται, οὐχὶ τῇ ἐκ- Pott.
φράσει ἡσθέντες λέγω τῇδε, μόνῃ δὲ τῇ κατὰ τὴν ὑποσημείωσιν τηρήσει, ποθούσης γὰρ οἶμαι ψυχῆς τὴν μακαρίαν παράδοσιν ἀδιάδραστον φυλάττειν ἡ τοιάδε ὑποτύπωσις. „ἀνδρὸς δὲ φιλοῦντος σοφίαν εὐφρανθήσεται πατήρ“ *). τὰ ῥέοντα ἐξαντλούμενα διειδέστερον ὕδωρ ἀναδίδωσι, τρέπεται δὲ εἰς φθορὰν ὧν μετάλαμβάνει οὐδείς. καὶ τὸν σίδηρον ἡ χρῆσις καθαρώτερον φυλάσσει, ἡ δὲ ἀχρηστία ἰοῦ τούτῳ γεννητική. συνελόντι γὰρ φάναι ἡ συγγυμναστικὴ ἕξις ἐμποιεῖ ὑγιεινὴν καὶ πνεύμασι καὶ σώμασιν. οὐδεὶς ἅπτει λύχνον καὶ ὑπὸ τὸν μόδιον τίθησιν, ἀλλ' ἐπὶ τῆς λυχνίας φαίνειν **) τοῖς τῆς ἑστιάσεως τῆς αὐτῆς κατηξιωμένοις. τί γὰρ ὄφελος σοφίας μὴ σοφιζούσης τὸν οἷόν τε ἐπαΐειν; ἔτι τε καὶ ὁ σωτὴρ σώζει αἰεὶ καὶ αἰεὶ ἐργάζεται, ὡς βλέπει τὸν πατέρα ***). διδάσκων τις μανθάνει πλεῖον καὶ λέγων συναυξᾶται πολλάκις τοῖς ἐπακούουσιν αὐτοῦ· εἷς γὰρ ὁ διδάσκαλος καὶ τοῦ λέγοντος καὶ τοῦ ἀκροωμένου, ὁ ἐπιπηγάζων καὶ τὸν νοῦν καὶ τὸν λόγον.

§. 13. Ἧι καὶ οὐ κεκώλυκεν ὁ κύριος ἀπὸ ἀγαθοῦ σαββατίζειν, μεταδιδόναι δὲ τῶν θείων μυστηρίων καὶ τοῦ φωτὸς ἐκείνου τοῦ ἁγίου τοῖς χωρεῖν δυναμένοις συγκεχώρηκεν. αὐτίκα οὐ πολλοῖς ἀπε-

*) Prouerb. 29, 3. **) Cf. Matth. 5, 25. Marc. 4, 21. Luc. 8, 16. 11, 33. ***) Cf. Ioann. 5, 17. 19.

κάλυψεν ἃ μὴ πολλῶν ἦν, ὀλίγοις δὲ οἷς προσήκειν ἡπίστατο τοῖς οἵοις τε ἐκδέξασθαι καὶ τυπωθῆναι πρὸς αὐτὰ, τὰ δὲ ἀπόρρητα καθάπερ ὁ θεὸς λόγῳ πιστεύεται, οὐ γράμματι· κἂν τις λέγῃ γεγράφθαι· „οὐδὲν κρυπτὸν ὃ οὐ φανερωθήσεται, οὐδὲ κεκαλυμμένον ὃ οὐκ ἀποκαλυφθήσεται" *), ἀκουσάτω καὶ παρ' ἡμῶν ὅτι τῷ κρυπτῶς ἐπαΐοντι τὸ κρυπτὸν φανερωθήσεσθαι διὰ τοῦδε προεθέσπισεν τοῦ λογίου, καὶ τῷ παρακεκαλυμμένως τὰ παραδιδόμενα οἷῳ τε παραλαμβάνειν δηλωθήσεται τὸ κεκαλυμμένον ὡς ἡ ἀλήθεια καὶ τὸ τοῖς πολλοῖς κρυπτὸν, τοῦτο τοῖς ὀλίγοις φανερὸν γενήσεται· ἐπεὶ διὰ τί μὴ πάντες ἴσασι τὴν ἀλήθειαν; διὰ τί δὲ μὴ ἤγαπήθη ἡ δικαιοσύνη, εἰ πάντων ἡ δικαιοσύνη; ἀλλὰ γὰρ τὰ μυστήρια μυστικῶς παραδίδοται, ἵνα ᾖ ἐν στόματι λαλοῦντος καὶ ὃ λαλεῖται· μᾶλλον δὲ οὐκ ἐν φωνῇ, ἀλλ' ἐν τῷ νοεῖσθαι. „δέδωκεν δὲ ὁ θεὸς" τῇ ἐκκλησίᾳ „τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ" **).

P. 119 8yllb. P. 324. Pott.

§. 14. Ἡ μὲν οὖν τῶνδέ μοι τῶν ὑπομνημάτων γραφὴ ἀσθενὴς μὲν εὖ οἶδ' ὅτι παραβαλλομένη πρὸς τὸ πνεῦμα ἐκεῖνο τὸ κεχαριτωμένον, οὗ κατηξιώθημεν ὑπακοῦσαι, εἰκὼν δ' ἂν εἴη ἀναμιμνήσκουσα τοὺς ἀρχετύπους τὸν θύρσῳ πεπληγότα· „σοφῷ γὰρ", φησί, „λάλει καὶ σοφώτερος ἔσται," καὶ τῷ ἔχοντι δὲ προστεθήσεται. ἐπαγγέλλεται δὲ οὐχ ὥστε ἑρμηνεῦσαι τὰ ἀπόρρητα ἱκανῶς, πολλοῦ γε καὶ δεῖ, μόνον δὲ τοῦ ὑπομνῆσαι, εἴτε ποτὲ ἐκλαθοίμεθα εἴτε ὅπως μηδ' ἐκλανθανοίμεθα. πολλὰ δὲ εὖ οἶδα παρερρύηκεν ἡμᾶς χρόνου μήκει ἀγράφως διαπεσόντα. ὅθεν τὸ ἀσθενὲς τῆς μνήμης τῆς ἐμῆς

*) Matth. 10, 26. **) Ephes. 4, 11 sq.

ἐπικουφίζων, κεφαλαίων συστηματικὴν ἔκθεσιν, μνήμης ὑπόμνημα σωτήριον πορίζων ἐμαυτῷ, ἀναγκαίως κέχρημαι τῇδε τῇ ὑποτυπώσει. ἔστι μὲν οὖν τινὰ μηδὲ ἀπομνημονευθέντα ἡμῖν, πολλὴ γὰρ ἡ παρὰ τοῖς μακαρίοις δύναμις ἦν ἀνδράσιν, ἔστι δὲ καὶ ἀνυποσημείωτα μεμενηκότα τῷ χρόνῳ ἃ νῦν ἀπέδρα, τὰ δὲ ὅσα ἐσβέννυτο ἐν αὐτῇ μαραινόμενα τῇ διανοίᾳ, ἐπεὶ μὴ ῥᾴδιος ἡ τοιάδε διακονία τοῖς μὴ δεδοκιμασμένοις, ταῦτα δὲ ἀναζωπυρῶν ὑπομνήμασι, τὰ μὲν ἐκὼν παραπέμπομαι ἐκλέγων ἐπιστημόνως, φοβούμενος γράφειν ἃ καὶ λέγειν ἐφυλαξάμην, οὔ τί που φθονῶν — οὐ γὰρ θέμις —, δεδιὼς δὲ ἄρα περὶ τῶν ἐντυγχανόντων, μή πῃ ἑτέρως σφαλεῖεν καὶ παιδὶ μάχαιραν, ἧ φασὶν οἱ παροιμιαζόμενοι, ὀρέγοντες εὑρεθῶμεν. οὐ γὰρ ἔστι τὰ γραφέντα μὴ ἐκπεσεῖν καίτοι ἀνέκδοτα ὑπό γ' ἐμοῦ μεμενηκότα, κυλιόμενα δὲ ἀεὶ μόνῃ μιᾷ χρώμενα τῇ ἐγγράφῳ φωνῇ πρὸς τὸν ἐπανερόμενον οὐδὲν πλέον παρὰ τὰ γεγραμμένα ἀποκρίνεται· δεῖται γὰρ ἐξ ἀνάγκης βοηθοῦ ἤτοι τοῦ ἐγγραψαμένου ἢ καὶ ἄλλου τοῦ εἰς τὸ αὐτὸ ἔχνος ἐμβεβηκότος.

§. 15. Ἔστι δὲ ἃ καὶ αἰνίξεταί μοι γραφή, καὶ τοῖς μὲν παραστήσεται, τὰ δὲ μόνον ἐρεῖ, πειράσεται δὲ καὶ λανθάνουσα εἰπεῖν καὶ ἐπικρυπτομένη ἐκφῆναι καὶ δεῖξαι σιωπῶσα. τά τε παρὰ τῶν ἐπισήμων δογματιζόμενα αἱρέσεων παραθήσεται, καὶ τούτοις ἀντερεῖ πάνθ' ὅσα προοικονομηθῆναι καθήκει τῆς κατὰ τὴν ἐποπτικὴν θεωρίαν γνώσεως, ἣ προβήσεται ἡμῖν κατὰ τὸν εὐκλεῆ καὶ σεμνὸν τῆς παραδόσεως κανόνα ἀπὸ τῆς τοῦ κόσμου γενέσεως προϊοῦσιν ἀναγκαίως ἔχοντα προδιαληφθῆναι τῆς φυσικῆς θεωρίας προπαρατιθεμένη καὶ τὰ ἐμποδὼν ἱστάμενα τῇ ἀκολουθίᾳ προαπολυομένη, ὡς ἑτοίμους ἔχειν τὰς ἀκοὰς πρὸς τὴν παραδοχὴν τῆς γνωστικῆς παραδόσεως προκεκαθαρμένης τῆς γῆς ἀπό τε τῶν ἀκανθῶν καὶ τῆς πόας ἁπάσης γεωργικῶς εἰς κατα-

P. 325. Pott.

φύτευσιν ἀμπελῶνος· ἀγὼν γὰρ καὶ ὁ προαγὼν καὶ μυστήρια τὰ πρὸ μυστηρίων, οὐδὲ ὀκνήσει συγχρήσασθαι φιλοσοφίας καὶ τῆς ἄλλης προπαιδείας τοῖς καλλίστοις τὰ ὑπομνήματα ἡμῖν. „οὐ γὰρ μόνον δὲ Ἑβραίους καὶ τοὺς ὑπὸ νόμον" κατὰ τὸν ἀπόστολον „εὔλογον Ἰουδαῖον γενέσθαι, ἀλλὰ καὶ διὰ τοὺς Ἕλληνας Ἕλληνα, ἵνα πάντας κερδάνωμεν" *). κἂν τῇ πρὸς Κολοσσαεῖς ἐπιστολῇ „νουθετοῦντες," γράφει, „πάντα ἄνθρωπον καὶ διδάσκοντες ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ" **).

§. 16. Ἁρμόζει δὲ καὶ ἄλλως τῇ τῶν ὑπομνημάτων ὑποτυπώσει τὸ γλαφυρὸν τῆς θεωρίας. αὐτίκα καὶ ἡ τῆς χρηστομαθίας περιουσία οἷον ἥδυσμά τί ἐστιν παραπεπλεγμένον ἀθλητοῦ βρώματι, οὐ τρυφητιῶντος, ὄρεξιν δὲ ἀγαθὴν φιλοτιμίαν λαμβάνοντος. ψάλλοντες γοῦν τὸ ὑπέρτονον τῆς σεμνότητος ἐμμελῶς ἀνίεμεν. καθάπερ δὲ οἱ βουλόμενοι δήμῳ προσομιλῆσαι διὰ κήρυκος τοῦτο πολλάκις ποιοῦσιν ὡς μᾶλλον ἐξάκουστα γενέσθαι τὰ λεγόμενα, οὕτω κἀνταῦθα· πρὸς πολλοὺς γὰρ ἡμῖν ὁ λόγος ὁ πρὸ αὐτῆς τῆς παραδόσεως λεγόμενος τῆς συνήθους. διὸ δὴ παραθετέον δόξας τε καὶ φωνὰς τὰς ἐμβοώσας παρ' ἕκαστα αὐτοῖς, δι' ὧν μᾶλλον οἱ ἀκούοντες ἐπιστραφήσονται. καὶ δὴ συνελόντι φάναι, ἐν πολλοῖς γὰρ τοῖς μαργαρίταις τοῖς μικροῖς ὁ εἷς, ἐν δὲ πολλῇ τῶν ἰχθύων ἄγρᾳ ὁ καλλιχθύς· χρόνῳ δὲ καὶ πόνῳ τἀληθὲς ἐκλάμψει ἀγαθοῦ παρατυχόντος βοηθοῦ, δι' ἀνθρώπων γὰρ θεόθεν αἱ πλεῖσται εὐεργεσίαι χορηγοῦνται.

§. 17. Πάντες μὲν οὖν ὅσοι ταῖς ὄψεσι κεχρήμεθα, θεωροῦμεν τὰ προσπίπτοντα αὐταῖς· ἄλλοι δὲ ἄλλων ἕνεκα. αὐτίκα οὐχ ὁμοίως θεωρεῖ τὸ πρόβατον ὁ μάγειρός τε καὶ ὁ ποιμήν. ὁ μὲν γὰρ Potti

P. 326.

*) 1 Corinth. 9, 20 sq. **) Coloss. 1, 28.

εἰ πῖόν ἐστι πολυπραγμονεῖ, ὁ δὲ εἰς εὐγένειαν τηρεῖ. τὸ γάλα τοῦ προβάτου ὁ μέν τις ἀμελξάτω, εἰ χρῄζει τροφῆς, τὸν μαλλὸν κειράτω, εἰ σκέπης δεῖται. ὧδέ μοι καὶ τῆς Ἑλληνικῆς χρηστομαθίας ὁ καρπὸς προχωρείτω. οὐκ οἶμαι γάρ τινα ῥᾴτως εὐτυχῆ γραφὴν ἡγεῖσθαι, ἣ μηδεὶς ἀντερεῖ, ἀλλ' ἐκείνην εὔλογον νομιστέον, ἣ μηδεὶς εὐλόγως ἀντερεῖ. καὶ πρᾶξιν ἅμα καὶ αἵρεσιν ἀποδεκτέον οὐ τὴν ἀμεμφῆ, ἀλλ' ἣν οὐδεὶς εὐλόγως καταμέμφεται. οὐκ εὐθὺς δ' εἴ τις μὴ προηγουμένως ἐπιτελεῖ, κατὰ περίστασιν αὐτὸ ποιεῖ, ἀλλὰ οἰκονομούμενός τι θεοσόφως καὶ συμπεριφερόμενος ἐνεργήσει. οὔτε γὰρ ὁ ἔχων τὴν ἀρετὴν χρῄζει τῆς ἐπὶ τὴν ἀρετὴν ἔτι ὁδοῦ, οὔθ' ὁ ἐρρωμένος ἀναλήψεως. καθάπερ γὰρ οἱ γεωργοὶ προαρδεύσαντες τὴν γῆν, οὕτω δὴ καὶ ἡμεῖς τῷ ποτίμῳ τῶν παρ' Ἕλλησι λόγων προαρδεύομεν τὸ γεῶδες αὐτῶν, ὡς παραδέξασθαι τὸ καταβαλλόμενον σπέρμα πνευματικὸν καὶ τοῦτο εὐμαρῶς ἐκθρέψαι δύνασθαι.

§. 18. Περιέξουσι δὲ οἱ στρωματεῖς ἀναμεμιγμένην τὴν ἀλήθειαν τοῖς φιλοσοφίας δόγμασι, μᾶλλον δὲ ἐγκεκαλυμμένην καὶ ἐπικεκρυμμένην, καθάπερ τῷ λεπύρῳ τὸ ἐδώδιμον τοῦ καρύου· ἁρμόζει γὰρ οἶμαι τῆς ἀληθείας τὰ σπέρματα μόνοις φυλάσσεσθαι τοῖς τῆς πίστεως γεωργοῖς. οὐ λέληθεν δέ με καὶ τὰ θρυλούμενα πρὸς τινῶν ἀμαθῶς ψοφοδεῶν χρῆναι λεγόντων περὶ τὰ ἀναγκαιότατα καὶ συνέχοντα τὴν πίστιν καταγίνεσθαι, τὰ δὲ ἔξωθεν καὶ περιττὰ ὑπερβαίνειν μάτην ἡμᾶς τρίβοντα καὶ κατέχοντα περὶ τοῖς οὐδὲν συμβαλλομένοις πρὸς τὸ τέλος. οἱ δὲ καὶ πρὸς κακοῦ ἂν τὴν φιλοσοφίαν εἰσδεδυκέναι τὸν βίον νομίζουσιν ἐπὶ λύμῃ τῶν ἀνθρώπων πρός τινος εὑρετοῦ πονηροῦ. ἐγὼ δὲ ὅτι μέν ἡ κακία κακὴν φύσιν ἔχει καὶ οὔ ποτ' ἂν καλοῦ τινὸς ὑποσταίη γεωργὸς γενέσθαι, παρ' ὅλους ἐνδείξομαι τοὺς στρωματεῖς αἰνισσόμενος ἀμηγέπῃ θείας ἔργον προνοίας καὶ φιλοσοφίαν.

Cap. II.

§. 19. Ὑπὲρ δὲ τῶν ὑπομνημάτων τῶν περιειλημμένων κατὰ τοὺς ἀναγκαίους καιροὺς τὴν Ἑλληνικὴν δόξαν τοσοῦτόν φημι τοῖς φιλεγκλήμοσι· πρῶτον μὲν εἰ καὶ ἄχρηστος εἴη φιλοσοφία, εἰ εὔχρηστος ἡ τῆς ἀχρηστίας βεβαίωσις, εὔχρηστος· ἔπειτα οὐδὲ καταψηφίσασθαι τῶν Ἑλλήνων οἷόν τε ψιλῇ τῇ περὶ τῶν δογματισθέντων αὐτοῖς χρωμένους φράσει, μὴ συνεμβαίνοντας εἰς τὴν κατὰ μέρος ἄχρι συγγνώσεως ἐκκάλυψιν. πιστὸς γὰρ εὖ μάλα ὁ μετ' ἐμπειρίας ἔλεγχος, ὅτι καὶ τελειοτάτη ἀπόδειξις εὑρίσκεται ἡ γνῶσις τῶν κατεγνωσμένων. πολλὰ δ' οὖν καὶ μὴ συμβαλλόμενα εἰς τέλος συγκοσμεῖ τὸν τεχνίτην, καὶ ἄλλως ἡ πολυμαθία διασυστατικὴ τυγχάνει τοῦ πρατιθεμένου τὰ κυριώτατα τῶν δογμάτων πρὸς πειθὼ τῶν ἀκροωμένων θαυμασμὸν ἐγγεννῶσα τοῖς κατηχουμένοις καὶ πρὸς τὴν ἀλήθειαν συνίστησιν.

§. 20. Ἀξιόπιστος δὲ ἡ τοιαύτη ψυχαγωγία, δι' ἧς κακουμένην οἱ φιλομαθεῖς παραδέχονται τὴν ἀλήθειαν, πρὸς τὸ μήτε αὖ τὴν φιλοσοφίαν λυμαίνεσθαι τὸν βίον ψευδῶν πραγμάτων καὶ φαύλων ἔργων δημιουργὸν ὑπάρχουσαν, ἣν τινες διαβεβλήκασιν ἀληθείας οὖσαν εἰκόνα ἐναργῆ, θείαν δωρεὰν Ἕλλησι δεδομένην, μήτε ἡμᾶς ἀποσπᾶσθαι τῆς πίστεως, οἷον ἀπό τινος ἀπατηλοῦ τέχνης καταγοητευομένους, ἀλλ' ὡς ἔπος εἰπεῖν, περιβολῇ πλείονι χρωμένους, ἀμηγέπῃ συγγυμνωσίαν τινὰ πίστεως ἀποδεικτικὴν ἐκπορίζεσθαι. ναὶ μὴν καὶ συναφὴ τῶν δογμάτων διὰ τῆς ἀντιπαραθέσεως τὴν ἀλήθειαν μηνστεύεται, δι' ἧς ἐξηκολούθηκεν ἡ γνῶσις, οὐ κατὰ προηγούμενον λόγον τῆς φιλοσοφίας παρεισελθούσης, διὰ δὲ τὸν ἀπὸ τῆς γνώσεως καρπὸν ἡμῶν βέβαιον λαμβανόντων πεῖσμα τῆς ἀληθοῦς καταλήψεως διὰ τῆς τῶν ἐπονουμένων ἐπιστήμης. σιωπῶ γὰρ ὅτι οἱ στρω-

ματεῖς τῇ πολυμαθίᾳ σωματοποιούμενοι κρύπτειν ἐντέχνως τὰ τῆς γνώσεως βούλονται σπέρματα.

§. 21. Καθάπερ οὖν ὁ τῆς ἄγρας ἐρωτικὸς ζητήσας, ἀνιχνεύσας, ἐρευνήσας, κυνοδρομήσας αἱρεῖ τὸ θηρίον, οὕτω καὶ τἀληθὲς γλυκύτητι φαίνεται ζητηθὲν καὶ πόνῳ πορισθέν. τί δή ποτ' οὖν ὧδε διατετάχθαι φίλον ἔδοξεν εἶναι τοῖς ὑπομνήμασιν; ὅτι μέγας ὁ κίνδυνος τὸν ἀπόρρητον ὡς ἀληθῶς τῆς ὄντως φιλοσοφίας λόγον ἐξορχήσασθαι τοῖς ἀφειδῶς πάντα μὲν ἀντιλέγειν ἐθέλουσιν οὐκ ἐν δίκῃ, πάντα δὲ ὀνόματα καὶ ῥήματα ἀπορρίπτουσιν οὐδαμῶς κοσμίως, αὐτούς τε ἀπατῶντες καὶ τοὺς ἐχομένους αὐτῶν γοητεύοντες. „Ἑβραῖοι μὲν γὰρ σημεῖα αἰτοῦσιν," ἧ φησὶν ὁ ἀπόστολος, „Ἕλληνες δὲ σοφίαν ζητοῦσι" *).

P. 328. Pott.

Cap. III.

§. 22. Πολὺς δὲ ὁ τοιόσδε ὄχλος· οἱ μὲν αὐτῶν ἡδοναῖς δεδουλωμένοι ἀπιστεῖν ἐθέλοντες γελῶσι τὴν ἀπάσης σεμνότητος ἀξίαν ἀλήθειαν, τὸν βάρβαρον ἐν παιδείᾳ τιθέμενοι, οἱ δέ τινες σφᾶς αὐτοὺς ἐπαίροντες διαβολὰς τοῖς λόγοις ἐξευρίσκειν βιάζονται, ζητήσεις ἐριστικὰς ἐκπορίζοντες, λεξεωδίων θηράτορες, ζηλωταὶ τεχνυδρίων, ἐριδαντέες καὶ ἰμαντελικτέες, ὡς ὁ Ἀβδηρίτης ἐκεῖνός φησιν· στρεπτὴ γὰρ γλῶσσα, φησί, βροτῶν·

πολέες δ' ἔνι μῦθοι·
παντοίων ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
καὶ
ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις **).

ταύτῃ γοῦν ἐπαιρόμενοι τῇ τέχνῃ οἱ κακοδαίμονες σοφισταὶ τῇ σφῶν αὐτῶν στωμυλλόμενοι τερθρείᾳ, ἀμφὶ τὴν διάκρισιν τῶν ὀνομάτων καὶ τὴν ποιὰν

*) 1 Corinth. 1, 22. **) Hom. Iliad. υ. v. 248—250.

τῶν λέξεων σύνθεσίν τε καὶ περιπλοκὴν τὸν πάντα πονούμενοι βίον τρυγόνων ἀναφαίνονται λαλίστεροι κνήθοντες *) καὶ γαργαλίζοντες οὐκ ἀνδρικῶς, ἐμοὶ δοκεῖν, τὰς ἀκοὰς τῶν κνίσασθαι γλιχομένων, ποταμὸς ἀτέχνων ῥημάτων, νοῦ δὲ σταλαγμὸς, ἀμέλει καὶ καθάπερ τῶν παλαιῶν ὑποδημάτων τὰ μὲν ἄλλα αὐτοῖς ἀσθενεῖ καὶ διαρρεῖ, μόνη δὲ ἡ γλῶσσα ὑπολείπεται.

§. 23. Παγκάλως ὁ Ἀθηναῖος ἀποτείνεται καὶ γράφει Σόλων·

P. εἰς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπη αἱμύλου ἀνδρός·
121 [εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.] P.
Sylb. ὑμῶν δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει, 329.
σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος. Port.
τοῦτό που αἰνίσσεται ἡ σωτήριος ἐκείνη φωνή· „αἱ ἀλώπεκες φωλεοὺς ἔχουσιν, ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ" **)· μόνῳ γὰρ οἶμαι τῷ πιστεύοντι, διακεκριμένῳ τέλεον τῶν ἄλλων τῶν πρὸς τῆς γραφῆς θηρίων εἰρημένων, ἐπαναπαύεται τὸ κεφάλαιον τῶν ὄντων, ὁ χρηστὸς καὶ ἥμερος λόγος, „ὁ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν· κύριος" γὰρ „μόνος γινώσκει τοὺς διαλογισμοὺς τῶν σοφῶν ὅτι εἰσὶ μάταιοι" ***)· σοφοὺς δή που τοὺς σοφιστὰς τοὺς περὶ τὰς λέξεις καὶ τὰς τέχνας περιττοὺς καλούσης τῆς γραφῆς.

§. 24. Ὅθεν οἱ Ἕλληνες καὶ αὐτοὶ τοὺς περὶ ὀτιοῦν πολυπράγμονας σοφοὺς ἅμα καὶ σοφιστὰς παρωνύμως κεκλήκασι. Κρατῖνος γοῦν ἐν τοῖς Ἀρχιλόχοις ποιητὰς καταλέξας ἔφη·

οἷον σοφιστῶν σμῆνος ἀνεδιφήσατε.

Ἴοφῶν τε ὁμοίως ὁ κωμικὸς ἐν αὐλῳδοῖς σατύροις ἐπὶ ῥαψῳδῶν καὶ ἄλλων τινῶν λέγει·

*) Cf. 2 Timoth. 4, 3. **) Matth. 8, 20. Luc. 9, 58.
***) Iob. 3, 13. 1 Corinth. 3, 19 sq. Psalm. 94, 11.

καὶ γὰρ εἰσελήλυθεν
παλλῶν σοφιστῶν ὄχλος ἐξηρτυμένος.

ἐπὶ τούτων καὶ τῶν παραπλησίων ὅσοι τοὺς κενοὺς μεμελετήκασι λόγους ἡ θεία γραφὴ παγκάλως λέγει. „ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω“ *).

Cap. IV.

§. 25. Ὅμηρος δὲ καὶ τέκτονα σοφὸν καλεῖ **) καὶ περὶ τοῦ Μυργίτου, εἰ δή αὐτοῦ, ὧδέ πως γράφει·

τὸν δ' οὔτ' ἄρ σκαπτῆρα θεοὶ θέσαν, οὔτ' ἀροτῆρα P. 330.
οὔτ' ἄλλως τι σοφόν· πάσης δ' ἡμάρτανε τέχνης. Rom.

Ἡσίοδος γὰρ τὸν κιθαριστὴν Λίνον παντοίας σοφίας δεδαηκότα εἰπὼν καὶ ναύτην οὐκ ὀκνεῖ λέγειν σοφὸν

οὔτε τι ναυτιλίης σεσοφισμένον ***)
γράφων. Δανιὴλ δὲ ὁ προφήτης „τὸ μυστήριον“ φησὶν, „ὃ ὁ βασιλεὺς ἐρωτᾷ, οὐκ ἔστι σοφῶν, μάγων, ἐπαοιδῶν, Γαζαρηνῶν δύναμις τοῦ ἀναγγεῖλαι τῷ βασιλεῖ, ἀλλ' ἔστι θεὸς ἐν οὐρανῷ ἀποκαλύπτων“ †). καὶ δὴ τοὺς Βαβυλῶνος σοφοὺς προσαγορεύει. ὅτι δὲ σοφίαν ὁμωνύμως καλεῖ ἡ γραφὴ πᾶσαν τὴν κοσμικὴν εἴτε ἐπιστήμην εἴτε τέχνην· ἄλλαι δέ εἰσιν αἱ κατ' ἐπισύνθεσιν ἀνθρωπίνῳ λογισμῷ ἐπινενοημέναι, καὶ ὡς θεόθεν ἡ τεχνικὴ καὶ ἡ σοφὴ ἐπίνοια, σαφὲς ἔσται παραθεμένοις τήνδε τὴν λέξιν· „καὶ ἐλάλησεν κύριος πρὸς Μωϋσῆν λέγων· ἰδοὺ ἀνακέκληκα τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρὶ, τὸν Ὡρ, τῆς φυλῆς Ἰούδα, καὶ ἐνέπλησα αὐτὸν πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπιστήμης ἐν παντὶ ἔργῳ διανοεῖσθαι καὶ ἀρχιτεκτονῆσαι, ἐργάζεσθαι τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν χαλκὸν καὶ τὴν

*) Iesai. 29, 14. 1 Corinth. 1, 19. **) cf. Iliad. o. v. 411. ***) Hesiod. ἔργ. καὶ ἡμέρ. v. 647. †) Daniel. 2, 27 sq.

ὑάκινθον καὶ τὴν πορφύραν καὶ τὸ κόκκινον καὶ τὰ λιθουργικὰ καὶ τεκτονικὴν τῶν ξύλων ἐργάζεσθαι, ἕως καὶ ἅπαντα τὰ ἔργα" *).

§. 26. Ἔπειτα ἐπιφέρει καθολικὸν δὴ λόγον, „καὶ παντὶ τῷ συνετῷ καρδίᾳ δέδωκα σύνεσιν·" τοῦτέστιν τῷ οἵῳ τε ἐπιδέξασθαι πόνῳ καὶ συνασκήσει πάλιν τε αὖ διαρρήδην ἐξ ὀνόματος κυρίου γέγραπται· „καὶ σὺ λάλησον πᾶσι τοῖς σοφοῖς τῇ διανοίᾳ, οὓς ἐνέπλησα πνεῦμα αἰσθήσεως" **)· ἔχουσι μέν τι οἰκεῖον φύσεως ἰδίωμα οἱ σοφοὶ τῇ διανοίᾳ, λαμβάνουσι δὲ πνεῦμα αἰσθήσεως παρὰ τῆς κυριωτάτης σοφίας διττὸν ἐπιτηδείους σφᾶς αὐτοὺς παραστήσαντες. οἱ μὲν γὰρ τὰς βαναύσους μετιόντες τέχνας τοῦ περὶ τὰς αἰσθήσεις ἀπολαίουσι περιττοῦ, ἀκοῆς μὲν ὁ κοινῶς λεγόμενος μουσικὸς, ἁφῆς δὲ ὁ πλαστικὸς, καὶ φωνῆς ὁ ᾠδικὸς, ὀσφρήσεως ὁ μυρεψικὸς, ὄψεων ὁ τῶν εἰ ταῖς σφραγῖσιν ἐντυπωμάτων τορευτικός. οἱ δὲ ἀμφὶ τὴν παιδείαν διατρίβοντες τὴν συναίσθησιν χορηγοῦνται, καθ' ἣν τῶν μέτρων οἱ ποιηταὶ καὶ τῆς λέξεως οἱ σοφισταὶ καὶ τῶν συλλογισμῶν οἱ διαλεκτικοὶ καὶ οἱ φιλόσοφοι τῆς κατ' αὐτοὺς θεωρίας ἀντιλαμβάνονται. εὑρετικὸν γὰρ καὶ ἐπικοητικὸν ἡ συνείσθησις ἐπιβάλλειν πιθανῶς ἀναπείθουσα, συναύξει δὲ τὴν ἐπιβολὴν τ εἰς ἐπιστήμην συνάσκησις. P. 331. Pott.

§. 27. Εἰκότως τοίνυν ὁ ἀπόστολος πολυποίκιλον εἴρηκεν τὴν σοφίαν τοῦ θεοῦ ***) πολυμερῶς καὶ πολυτρόπως †), διὰ τέχνης, διὰ ἐπιστήμης, διὰ πίστεως, διὰ προφητείας, τὴν ἑαυτῆς ἐνδεικνυμένην δύναμιν εἰς τὴν ἡμετέραν εὐεργεσίαν, ὅτι „πᾶσα σοφία παρὰ κυρίου καὶ μετ' αὐτοῦ ἐστιν εἰς τὸν αἰῶνα" ††), ἣ φησιν ἡ τοῦ Ἰησοῦ σοφία. „ἐὰν γὰρ τὴν φρόνησιν τήν τε αἴσθησιν ἐπικαλέσῃ μεγάλῃ τῇ

*) Exod. 30, 2—6. **) Ibid. 28, 3. ***) Cf. Ephes. 3, 10. †) Cf. ad Hebr. 1, 1. ††) Eccles. 1, 1.

φωνῇ καὶ ζητήσῃς αὐτὴν ὥσπερ ἀργυρίου θησαυροὺς καὶ προθύμως ἐξιχνιάσῃς, νοήσεις θεοσέβειαν καὶ αἴσθησιν θείαν εὑρήσεις" *). πρὸς ἀντιδιαστολὴν τῆς κατὰ φιλοσοφίαν αἰσθήσεως εἴρηκεν ὁ προφήτης, ἣν μεγαλοφυῶς καὶ μεγαλοπρεπῶς ἐξερευνᾶν διδάσκει εἰς τὴν ἐπὶ τὴν θεοσέβειαν προκοπήν. ἀντέθηκεν οὖν αὐτῇ τὴν ἐν θεοσεβείᾳ αἴσθησιν τὴν γνῶσιν αἰνισσόμενος καὶ τάδε λέγων· „ὁ γὰρ θεὸς δίδωσι σοφίαν ἐκ τοῦ ἑαυτοῦ στόματος αἴσθησίν τε ἅμα καὶ φρόνησιν καὶ θησαυρίζει δικαίοις βοήθειαν", τοῖς γὰρ ὑπὸ φιλοσοφίας δεδικαιωμένοις βοήθεια θησαυρίζεται καὶ ἡ εἰς θεοσέβειαν συναίσθησις.

Cap. V.

§. 28. Ἦν μὲν οὖν πρὸ τῆς τοῦ κυρίου παρουσίας εἰς δικαιοσύνην Ἕλλησιν ἀναγκαία φιλοσοφία, νυνὶ δὲ χρησίμη πρὸς θεοσέβειαν γίνεται, προπαιδεία τις οὖσα τοῖς τὴν πίστιν δι' ἀποδείξεως καρπουμένοις, ὅτι „ὁ ποῦς σοὺ," φησὶν, „οὐ μὴ προσκόψῃ" **), ἐπὶ τὴν πρόνοιαν τὰ καλὰ ἀναφέροντος, ἐάν τε Ἑλληνικὰ ᾖ ἐάν τε ἡμέτερα. πάντων μὲν γὰρ αἴτιος τῶν καλῶν ὁ θεὸς, ἀλλὰ τῶν μὲν κατὰ προηγούμενον ὡς τῆς τε διαθήκης τῆς παλαιᾶς καὶ τῆς
P. νέας, τῶν δὲ κατ' ἐπακολούθημα ὡς τῆς φιλοσο-
122 φίας. τάχα δὲ καὶ προηγουμένως τοῖς Ἕλλησιν ἐδόθη
Sylb. τότε πρὶν ἢ τὸν κύριον καλέσαι καὶ τοὺς Ἕλληνας, ἐπαιδαγώγει γὰρ καὶ αὐτὴ τὸ Ἑλληνικὸν ὡς ὁ νόμος τοὺς Ἑβραίους εἰς Χριστόν ***). προπαρασκευάζει τοίνυν ἡ φιλοσοφία προοδοποιοῦσα τὸν ὑπὸ Χριστοῦ τελειούμενον. αὐτίκα „τὴν σοφίαν," ὁ Σαλομῶν, „περιχαράκωσον," φησίν, „καὶ ὑπερυψώσει σε, στε-

*) Prouerb. 2, 3—7. **) Ibid. 3, 23. ***) Cf. ep. ad Galat. 3, 24.

φάνῳ δὲ τρυφῆς ὑπερασπίσει σε" *), ἐπεὶ καὶ σὺ τῷ θριγκῷ ὑπεροχυρώσας αὐτὴν διὰ φιλοσοφίας καὶ πολυτελείας ὀρθῆς ἀνεπίβατον τοῖς σοφισταῖς τηρήσαις.

§. 29. Μία μὲν οὖν ἡ τῆς ἀληθείας ὁδὸς, ἀλλ' εἰς αὐτὴν καθάπερ εἰς ἀένναον ποταμὸν ἐκρέουσι τὰ ῥεῖθρα ἄλλα ἄλλοθεν. ἐνθέως οὖν ἄρα εἴρηται· „ἄκουε υἱέ μου καὶ δέξαι ἐμοὺς λόγους," φησίν, „ἵνα σοὶ γένωνται πολλαὶ ὁδοὶ βίου, ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ὅπως μὴ ἐκλίπωσίν σε αἱ πηγαὶ" **) αἱ τῆς αὐτῆς ἐκβλύζουσαι γῆς. οὐ δὴ μόνον ἑνός τινος δικαίου ὁδοὺς πλείονας σωτηρίους κατέλεξεν, ἐπιφέρει δὲ ἄλλας πολλῶν πολλὰς δικαίων ὁδοὺς, μηνύων ὧδέ πως· „αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσιν" ***). εἶεν δ' ἂν καὶ αἱ ἐντολαὶ καὶ αἱ προπαιδεῖαι, ὁδοὶ καὶ ἀφορμαὶ τοῦ βίου. „Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα σοὺ, ὡς ὄρνις τοὺς νεοσσούς" †). Ἱερουσαλὴμ δὲ „ὅρασις εἰρήνης" ἑρμηνεύεται. δηλοῖ τοίνυν προφητικῶς τοὺς εἰρηνικῶς ἐποπτεύσαντας πολυτρόπως εἰς κλῆσιν παιδαγωγεῖσθαι. τί οὖν; ἠθέλησε μὲν, οὐκ ἠδυνήθη δέ· ποσάκις δὲ ἢ ποῦ; δὶς, διά τε προφητῶν καὶ διὰ τῆς παρουσίας. πολύτροπον μὲν οὖν τὴν σοφίαν ἡ ποσάκις ἐνδείκνυται λέξις καὶ καθ' ἕνα ἕκαστον τρόπον ποιότητός τε καὶ ποσότητος πάντως σώζει τινὰς, ἔν τε τῷ χρονῷ, ἔν τε τῷ αἰῶνι, „ὅτι πνεῦμα κυρίου πεπλήρωκε τὴν οἰκουμένην" ††). κἄν τις βιαζόμενος λέγῃ· „μὴ πρόσεχε φαύλῃ γυναικὶ, μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης," τὴν Ἑλληνικὴν εἶναι παιδείαν, ἐπακουσάτω τῶν ἑξῆς· „ἡ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα," φησὶ, φιλοσοφία δὲ οὐ κολακεύει. τίνα τοίνυν αἰνίσσεται τὴν ἐκπορνεύσασαν; ἐπιφέρει ῥητῶς·

P. 332. Pott.

*) Prouerb. 4, 8 sq. **) Ibid. v. 10 sq. v. 21. ***) Ibid. v. 18. †) Matth. 23, 37. Luc. 13, 34. ††) Sapient. 1, 7.

„τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θάνατον εἰς Ἅιδην, τὰ δὲ ἴχνη αὐτῆς οὐκ ἐρείδεται.“ μακρὰν οὖν ποίησον ἀπὸ τῆς ἄφρονος ἡδονῆς τὴν σὴν ὁδὸν, „μὴ ἐπιστῇς θύραις δοίκων αὐτῆς, ἵνα μὴ προῇ ἄλλοις τὴν σὴν ζωήν.“ καὶ ἐπιμαρτυρεῖ· „εἶτα μεταμελήσει σοι ἐπὶ γήρως, ἡνίκα ἂν κατατριβῶσί σου σάρκες σώματος.“ τοῦτο γὰρ τέλος τῆς ἄφρονος ἡδονῆς. καὶ ταῦτα μὲν ταύτῃ, ὅπηνίκα δ' ἂν φῇς, „μὴ πολὺς ἴσθι πρὸς ἀλ10λοτρίαν“ *), χρῆσθαι μὲν, οὐκ ἐνδιατρίβειν δὲ καὶ ἐναπομένειν τῇ κοσμικῇ παιδείᾳ παραινεῖ, προπαιδεύει γὰρ τῷ κυριακῷ λόγῳ τὰ κατὰ τοὺς προσήκοντας καιροὺς ἑκάστῃ γενεᾷ συμφερόντως δεδομένα. ἤδη γάρ τινες τοῖς φίλτροις τῶν θεραπαινίδων δελεα15σθέντες ὠλιγώρησαν τῆς δεσποίνης φιλοσοφίας, καὶ κατεγήρασαν οἱ μὲν αὐτῶν ἐν μουσικῇ, οἱ δὲ ἐν γεω- P.
μετρίᾳ, ἄλλοι δὲ ἐν γραμματικῇ, οἱ πλεῖστοι δὲ ἐν333.
ῥητορικῇ. Pott.

§. 30. Ἀλλ' ὡς τὰ ἐγκύκλια μαθήματα συμ20βάλλεται πρὸς φιλοσοφίαν τὴν δέσποιναν αὐτῶν, οὕτω καὶ φιλοσοφία αὐτὴ πρὸς σοφίας κτῆσιν συνεργεῖ. ἔστι γὰρ ἡ μὲν φιλοσοφία ἐπιτήδευσις, ἡ σοφία δὲ ἐπιστήμη θείων καὶ ἀνθρωπίνων καὶ τῶν τούτων αἰτίων. κυρία τοίνυν ἡ σοφία τῆς φιλοσο25φίας ὡς ἐκείνη τῆς προπαιδείας. εἰ γὰρ ἐγκράτειαν φιλοσοφία ἐπαγγέλλεται γλώσσης τε καὶ γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα, καὶ ἔστι δὲ αὐτὴν αἱρετὴ, σεμνοτέρα φανεῖται καὶ κυριωτέρα, εἰ θεοῦ τιμῆς τε καὶ γνώσεως ἕνεκεν ἐπιτηδεύοιτο. τῶν εἰρημένων μαρ30τυρίαν παρέξει ἡ γραφὴ διὰ τῶνδε· Σάρρα στεῖρα ἦν πάλαι, Ἀβραὰμ δὲ γυνὴ, μὴ τίκτουσα ἡ Σάρρα τὴν ἑαυτῆς παιδίσκην ὀνόματι Ἄγαρ τὴν Αἰγυπτίαν εἰς παιδοποιίαν ἐπιτρέπει τῷ Ἀβραάμ. ἡ σοφία τοίνυν ἡ τῷ πιστῷ σύνοικος. πιστὸς δὲ εὐλογίσθη

*) Proverb. 5. v. 2—3. 3; 5. 8 sq. 11. 20.

Ἀβραὰμ καὶ δίκαιος. στείρα ἦν ἔτι καὶ ἄτεκνος κατὰ τὴν γενεὰν ἐκείνην, μηδέπω μηδὲν ἐνάρετον ἀποκυήσασα τῷ Ἀβραὰμ, ἠξίωυ δὲ εἰκότως τὸν ἤδη καιρὸν ἔχοντα προκοπῆς τῇ κοσμικῇ παιδείᾳ· Αἴγυπτος δὲ ὁ κόσμος ἀλληγορεῖται, συνευνασθῆναι πρότερον, ὕστερον δὲ καὶ αὐτῇ προσελθόντα κατὰ τὴν θείαν πρόνοιαν γεννῆσαι τὸν Ἰσαάκ.

§. 31. Ἑρμηνεύει δὲ ὁ Φίλων τὴν μὲν Ἄγαρ παροίκησιν, ἐνταῦθα γὰρ εἴρηται, „μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν" *), τὴν Σάρραν δὲ „ἀρχήν μου." ἔνεστιν οὖν προπαιδευθέντα ἐπὶ τὴν ἀρχικωτάτην σοφίαν ἐλθεῖν, ἀφ' ἧς τὸ Ἰσραηλιτικὸν γένος αὔξεται. ἐξ ὧν δείκνυται διδακτικὴν εἶναι τὴν σοφίαν, ἣν μετῆλθεν Ἀβραὰμ, ἐκ τῆς τῶν οὐρανίων θέας μετιὼν εἰς τὴν κατὰ θεὸν πίστιν τε καὶ δικαιοσύνην. Ἰσαὰκ δὲ τὸ αὐτομαθὲς ἐνδείκνυται, διὸ καὶ Χριστοῦ τύπος εὑρίσκεται. οὗτος μιᾶς γυναικὸς ἀνὴρ τῆς Ῥεβέκκας, ἣν ὑπομονὴν μεταφράζουσιν. πλείοσι δὲ συνέρχεσθαι ὁ Ἰακὼβ λέγεται ὡς ἂν ἀσκητὴς ἑρμηνευόμενος, διὰ πλειόνων δὲ καὶ διαφερόντων αἱ ἀσκήσεις δογμάτων, ὅθεν καὶ Ἰσραὴλ οὗτος μετονομάζεται ὁ τῷ ὄντι διορατικὸς ὡς ἂν πολύπειρός τε καὶ ἀσκητικός. εἴη δ' ἄν τι καὶ ἄλλο δηλούμενον διὰ τῶν τριῶν προπατόρων κυρίαν εἶναι τὴν σφραγῖδα τῆς γνώσεως ἐκ φύσεως καὶ μαθήσεως καὶ ἀσκήσεως συνεστῶσαν. ἔχοις δ' ἂν καὶ ἄλλην εἰκόνα τῶν εἰρημένων τὴν Θήμαρ ἐπὶ τριόδου καθεσθεῖσαν καὶ πόρνης δόξαν παρασχοῦσαν, ἣν ὁ φιλομαθὴς Ἰούδας — δυνατὸς δὲ ἑρμηνεύεται — ὃ μηδὲν ἄσκεπτον καὶ ἀδιερεύνητον καταλιπὼν ἐπεσκέψατο καὶ πρὸς αὐτὴν ἐξέκλινεν, σώζων τὴν πρὸς τὸν θεὸν ὁμολογίαν.

§. 32. Διὰ τοῦτο καὶ ὁ Ἀβραὰμ παραζηλούσης τῆς Σάρρας τὴν Ἄγαρ παρευδοκιμοῦσαν αὐτὴν ὡς

*) Prouerb. 5, 20.

P. 334. Pott.

P. 335. Pott.

ἂν τὸ χρήσιμον ἐκλεξάμενος μόνον τῆς κοσμικῆς φιλοσοφίας· „ἰδοὺ ἡ παιδίσκη ἐν ταῖς χερσί σου, χρῶ αὐτῇ ὡς ἂν σοι ἀρεστὸν ᾖ" *), φησὶ δηλῶν ὅτι ἀσπάζομαι μὲν τὴν κοσμικὴν παιδείαν καὶ ὡς νεωτέραν καὶ ὡς σὴν θεραπαινίδα, τὴν δὲ ἐπιστήμην τὴν σὴν ὡς τελείαν δέσποιναν τιμῶ καὶ σέβω. „καὶ ἐκάκωσεν αὐτὴν Σάρρα" ἴσον τῷ ἐσωφρόνισε καὶ ἐνουθέτησεν. εὖ γοῦν εἴρηται· „παιδείας θεοῦ, υἱέ, μὴ ὀλιγώρει, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος, ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται" **). κατ' ἄλλους μέντοι γε τόπους ἐξετάζομεναι αἱ προειρημέναι γραφαὶ ἄλλα μυστήρια μηνύουσι παρεστάναι. φαμὲν τοίνυν ἐνθένδε γυμνῷ τῷ λόγῳ τὴν φιλοσοφίαν ζήτησιν ἔχειν περὶ ἀληθείας καὶ τῆς τῶν ὄντων φύσεως, ἀλήθεια δὲ αὕτη περὶ ἧς ὁ κύριος αὐτὸς εἶπεν· „ἐγώ εἰμι ἡ ἀλήθεια" ***), τήν τε αὖ προπαιδείαν τῆς ἐν Χριστῷ ἀναπαύσεως γυμνάζειν τὸν νοῦν καὶ διεγείρειν τὴν σύνεσιν ἀγχίνοιαν γεννῶσαν ζητητικὴν διὰ φιλοσοφίας ἀληθοῦς. ἣν εὑρόντες, μᾶλλον δὲ εἰληφότες, παρ' αὐτῆς τῆς ἀληθείας ἔχουσιν οἱ μύσται.

Cap. VI.

§. 33. *Πολλὰ δ' ἡ ἑτοιμότης πρὸς τὸ τὰ δέοντα ὁρᾶν διὰ τῆς προγυμνασίας συμβάλλεται. εἴη δ' ἂν γυμνασία τῷ νῷ τὰ νοητά. τριττὴ δὲ ἡ τούτων φύσις ἔν τε πόσοις καὶ πηλίκοις καὶ λεκτοῖς θεωρουμένη. ὁ γὰρ ἀπὸ τῶν ἀποδείξεων λόγος ἀκριβῆ πίστιν ἐντίθησι τῇ ψυχῇ τοῦ παρακολουθοῦντος, ὥστε μηδ' ἂν ἄλλως ἔχειν τὸ ἀποδειχθὲν οἴεσθαι, τοῖς τε αὖ διὰ ἀπάτην ὑποτρέχουσιν ἡμῖν ὑποπίπτειν οὐκ ἐᾷ. ἐν τούτοις οὖν τοῖς μαθήμασιν ἐκκαθαίρεταί τε τῶν*

*) Genes. 16, 6. **) Proverb. 3, 11 sq. Hebr. 12, 5 sq. ***) Ioann. 14, 6.

αἰσθητῶν καὶ ἀναζωπυροῦται ἡ ψυχὴ, ἵνα δή ποτε ἀλήθειαν διιδεῖν δυνηθῇ. τροφὴ γὰρ καὶ ἡ παίδευσις ἡ χρηστὴ σωζομένη φύσεις ἀγαθὰς ποιεῖ, καὶ P.
αἱ φύσεις αἱ χρησταὶ τοιαύτης παιδείας ἀντιλαμ- 336.
νόμεναι ἔτι βελτίους τῶν πρότερον φύονται εἴς τε Pott.
τὰ ἄλλα καὶ εἰς τὸ γεννᾶν, ὥσπερ καὶ ἐν τοῖς ἄλλοις ζώοις. διὸ καὶ φησίν· „ἴθι πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρὲ, καὶ γενοῦ ἐκείνου σοφώτερος" *), ὃς „πολλὴν" καὶ παντοδαπὴν „ἐν τῷ ἀμήτῳ παρατίθεται" πρὸς τὴν τοῦ χειμῶνος ἀπειλὴν „τὴν τροφὴν", ἢ πορεύθητι πρὸς τὴν μέλισσαν καὶ μάθε ὡς ἐργάτις ἐστὶ, καὶ αὐτὴ γὰρ πάντα τὸν λειμῶνα ἐπινεμομένη ἓν κηρίον γεννᾷ.

§. 34. Εἰ δὲ „ἐν τῷ ταμείῳ εὔχῃ" **), ὡς ὁ κύριος ἐδίδαξε „πνεύματι προσκυνεῖν" ***), οὐκέτι περὶ τὸν οἶκον εἴη ἂν μόνη ἡ οἰκονομία, ἀλλὰ καὶ περὶ τὴν ψυχὴν τίνα τε ἐπινεμητέον αὐτῇ καὶ ὅπως καὶ ὁπόσον, τίνα τε ἀποθετέον καὶ ἀποθησαυριστέον εἰς αὐτὴν, καὶ ὅτε ταῦτα προκομιστέον καὶ πρὸς οὕστινας. οὐ γὰρ φύσει, μαθήσει δὲ οἱ καλοὶ κἀγαθοὶ γίνονται, καθάπερ ἰατροὶ καὶ κυβερνῆται. ὁρῶμεν γοῦν κοινῶς οἱ πάντες τὴν ἄμπελον καὶ τὸν ἵππον, ἀλλ' ὁ μὲν γεωργὸς εἴσεται, εἰ ἀγαθὴ πρὸς καρποφορίαν ἢ κακὴ ἡ ἄμπελος, καὶ ὁ ἱππικὸς ἄθυμον ἢ ταχὺν διακρίνει ῥᾳδίως. τὸ δ' ἄλλους παρ' ἄλλους εὖ πεφυκέναι πρὸς ἀρετὴν ἐπιτηδεύματα μέν τινα τῶν οὕτω πεφυκότων παρὰ τοὺς ἑτέρους ἐνδείκνυται, τελειότητα δὲ κατ' ἀρετὴν οὐδ' ἡντινοῦν τῶν ἄμεινον φύντων κατηγορεῖ, ὁπότε καὶ οἱ κακῶς πεφυκότες πρὸς ἀρετὴν τῆς προσηκούσης παιδείας τυχόντες ὡς ἐπίπαν καλοκἀγαθίας ἤνυσαν, καὶ αὖ τὰ ἐναντία οἱ ἐπιτηδείως φύντες ἀμελείᾳ γε-

*) Prouerb. 6, 6—8. **) Matth. 6, 6. ***) Ioann. 4, 23.

γόνασι κακοί. φύσει δ' αὖ κοινωνικοὺς καὶ δικαίους ὁ θεὸς ἡμᾶς ἐδημιούργησεν.

§. 35. Ὅθεν οὐδὲ τὸ δίκαιον ἐκ μόνης φαίνεσθαι τῆς θέσεως ῥητέον, ἐκ δὲ τῆς ἐντολῆς ἀναζωπυρεῖσθαι τὸ τῆς δημιουργίας ἀγαθὸν νοητέον, μαθήσει παιδευθείσης τῆς ψυχῆς ἐθέλειν αἱρεῖσθαι τὸ κάλλιστον· ἀλλὰ καθάπερ καὶ ἄνευ γραμμάτων πιστὸν εἶναι δυνατόν φαμεν, οὕτως συνεῖναι τὰ ἐν τῇ πίστει λεγόμενα οὐχ οἷόν τε μὴ μαθόντα ὁμολογοῦμεν. τὰ μὲν γὰρ εὖ λεγόμενα προσίεσθαι, τὰ δὲ ἀλλότρια μὴ προσίεσθαι οὐχ ἁπλῶς ἡ πίστις, ἀλλ' ἡ περὶ τὴν μάθησιν πίστις ἐμποιεῖ. εἰ δ' ἡ ἄγνοια ἀπαιδευσία τε ἅμα καὶ ἀμαθία τὴν ἐπιστήμην τῶν θείων καὶ ἀνθρωπίνων ἐντίθησι τῇ διδασκαλίᾳ. ἀλλ' ὡς ἐν πενίᾳ βίου ὀρθῶς ἔστι βιοῦν, οὕτω δὲ καὶ ἐν περιουσίᾳ ἔξεστιν, καὶ ῥᾷον ἅμα καὶ θᾶττον σὺν τῇ προπαιδείᾳ θηράσει ἄν τινα τὴν ἀρετὴν ὁμολογοῦμεν οὐδὲ δίχα τούτων ἀθήρατον οὖσαν, πλὴν καὶ τότε τοῖς μεμαθηκόσι καὶ τὰ αἰσθητήρια συγγεγυμνασμένοις *). „μῖσος μὲν γὰρ", φησὶν ὁ Σαλομών, „ἐγείρει νεῖκος, ὁδοὺς δὲ ζωῆς φυλάσσει παιδεία", ὡς μὴ ἀπατηθῆναι, ὡς μὴ κλαπῆναι πρὸς τῶν ἐπὶ βλάβῃ τῶν ἀκροωμένων κακοτεχνίαν ἠσκηκότων. παιδεία δὲ ἀνεξέλεγκτος πλανᾶται" **), φησὶν, καὶ χρὴ μετεῖναι τὸ ἐλεγκτικὸν εἶδος ἕνεκα τοῦ τὰς δόξας τὰς ἀπατηλὰς διακρούεσθαι τῶν σοφιστῶν.

§. 36. Εὖ γοῦν καὶ Ἀνάξαρχος-ὁ εὐδαιμονικὸς ἐν τῷ περὶ βασιλείας γράφει· πολυμαθείη κάρτα μὲν ὠφελέει, κάρτα δὲ βλάπτει τὸν ἔχοντα· ὠφελέει μὲν τὸν δεξιὸν ὄντα, βλάπτει δὲ τὸν ῥηϊδίως φωνέοντα πᾶν ἔπος κἠν παντὶ δήμῳ. χρὴ δὲ καιρῷ μέτρα εἰδέναι, σοφίης γὰρ οὗτος ὅρος. ὅσοι δὲ καὶ θύρησιν ἀείδουσιν, ἢ ἦν πῃ πεπνυμένην ἀείδωσιν, οὐ

*) Cf. Hebr. 5, 14. **) Prouerb. 11, 12. 17.

τιθέμενοι ἐν σοφίῃ, γνώμην δ' ἔχουσι μωρίης. καὶ Ἡσίοδος·

P. 124 Μουσάων, αἵτ' ἄνδρα πολυφραδέοντα τιθεῖσαι
Syll. Θέσπιον, αὐδήεντα·

εὔπορον μὲν γὰρ ἐν λόγοις τὸν πολυφράδμονα λέγει, δεινὸν δὲ τὸν αὐδήεντα *), καὶ Θέσπιον τὸν ἔμπειρον καὶ φιλόσοφον καὶ τῆς ἀληθείας ἐπιστήμονα.

Cap. VII.

§. 37. Καταφαίνεται τοίνυν προπαίδεια ἡ Ἑλληνικὴ σὺν καὶ αὐτῇ φιλοσοφίᾳ θεόθεν ἥκειν εἰς ἀνθρώπους οὐ κατὰ προηγούμενον, ἀλλ' ὃν τρόπον οἱ ὑετοὶ καταρήγνυνται εἰς τὴν γῆν τὴν ἀγαθὴν καὶ εἰς τὴν κοπρίαν καὶ ἐπὶ τὰ δώματα, βλαστάνει δ' ὁμοίως καὶ πόα καὶ πυρός, φύεταί τε καὶ ἐπὶ τῶν μνημάτων συκῆ καὶ εἴ τι τῶν ἀναιδεστέρων δένδρων, καὶ τὰ φυόμενα ἐν τύπῳ προκύπτει τῶν ἀληθῶν, ὅτι τῆς αὐτῆς τοῦ ὑετοῦ ἀπέλαυσε δυνάμεως, ἀλλ' οὐ τὴν αὐτὴν ἔσχηκε χάριν τοῖς ἐν τῷ πλοίῳ φύεσιν ἤτοι ξηρανθέντα ἢ ἀποτιλθέντα. καὶ δὴ καὶ ἀνταῦθα χρησιμεύει ἡ τοῦ σπόρου παραβολὴ **), ἣν ὁ κύριος ἠρμήνευσεν. εἰς γὰρ ὁ τῆς ἐν ἀνθρώποις γῆς γεωργὸς ὁ ἄνωθεν σπείρων ἐκ καταβυθῆς κόσμου τὰ θρεπτικὰ σπέρματα, ὃ τὸν κύριον καθ' ἕκαστον καιρὸν ἐπομβρίσας λόγον, οἱ καιροὶ δὲ καὶ οἱ τόποι οἱ δεκτικοὶ τὰς διαφορὰς ἐγέννησαν. ἄλλως τε ὁ γεωργὸς οὐ πυρούς μόνον, καίτοι καὶ τούτων πλείους εἶσι διαφοραί, σπείρει δὲ καὶ τὰ ἄλλα σπέρματα, κριθάς τε καὶ κυάμους καὶ πισσὸν καὶ ἄρακα καὶ τὰ κηπευόμενα καὶ τὰ ἀνθετικὰ σπέρματα· τῆς αὐτῆς δὲ γεωργίας καὶ ἡ φυ- P. 338. Pott.

*) Cf. Hom. Odyss. κ. v. 136. **) Cf. Matth. c. 13. Marc. c. 4.

τουργία ἐργάζεσθαι ὅσα εἰς αὐτά τε τὰ φυτώρια καὶ εἰς παραδείσους καὶ τὰ ὡραῖα καὶ ὅλως παντοίων δένδρων φύσιν καὶ τροφήν. ὡσαύτως δὲ οὐχ ἡ ποιμενικὴ μόνη, ἀλλὰ καὶ ἡ βουκολικὴ, ἱπποτροφική τε καὶ κυνοτροφικὴ καὶ μελισσουργικὴ τέχναι πᾶσαι, συνελόντι δ' εἰπεῖν, ἀγελοκομική τε καὶ ζωοτροφικὴ ἀλλήλων μὲν τῷ μᾶλλον καὶ ἧττον διαφέρουσι, πλὴν αἱ πᾶσαι βιωφελεῖς. φιλοσοφίαν δὲ οὐ τὴν Στωϊκὴν λέγω οὐδὲ τὴν Πλατωνικὴν ἢ τὴν Ἐπικούρειόν τε καὶ Ἀριστοτελικὴν, ἀλλ' ὅσα εἴρηται παρ' ἑκάστῃ τῶν αἱρέσεων τούτων καλῶς δικαιοσύνην μετὰ εὐσεβοῦς ἐπιστήμης ἐκδιδάσκοντα, τοῦτο σύμπαν τὸ ἐκλεκτικὸν φιλοσοφίαν φημί. ὅσα δὲ ἀνθρωπίνων λογισμῶν ἀποτεμόμενοι παρεχάραξαν, ταῦτα οὐκ ἄν ποτε θεῖα εἴποιμ' ἄν.

§. 38. Ἤδη δὲ κἀκεῖνο σκοπῶμεν, ὡς εἴ ποτε οἱ μὴ ἐπιστάμενοι διαβιοῦσι καλῶς εὖ ποιεῖν, εὐποιΐα γὰρ περιπεπτώκασιν, ἔνιοι δὲ καὶ εὐστοχοῦσι διὰ συνέσεως εἰς τὸν περὶ ἀληθείας λόγον. „Ἀβραὰμ δὲ οὐκ ἐξ ἔργων ἐδικαιώθη, ἀλλ' ἐκ πίστεως" *). οὐδὲν οὖν ὄφελος αὐτοῖς μετὰ τὴν τελευτὴν τοῦ βίου κἂν ἐνεργεῖς ὦσι νῦν, εἰ μὴ πίστιν ἔχοιεν. διὰ τοῦτο γὰρ Ἑλλήνων φωνῇ ἡρμηνεύθησαν αἱ γραφαὶ, ὡς μὴ πρόφασιν ἀγνοίας προβάλλεσθαι δυνηθῆναί ποτε αὐτοὺς, οἵους τε ὄντας ἐπακοῦσαι καὶ τῶν παρ' ἡμῖν, ἣν μόνον ἐθελήσωσιν. ἄλλως τις περὶ ἀληθείας λέγει, ἄλλως ἡ ἀλήθεια ἑαυτὴν ἑρμηνεύει. ἕτερον στοχασμὸς ἀληθείας, ἕτερον ἡ ἀλήθεια, ἄλλο ὁμοίωσις, ἄλλο αὐτὸ τὸ ὄν, καὶ ἡ μὲν μαθήσει καὶ ἀσκήσει περιγίνεται, ἡ δὲ δυνάμει καὶ πίστει. διωρεὰ γὰρ ἡ διδασκαλία τῆς θεοσεβείας, χάρις δὲ ἡ πίστις. ποιοῦντες γὰρ τὸ θέλημα γινώσκομεν. „ἀνοίξατε οὖν", φησὶν ἡ γραφὴ, „πύλας δικαιοσύνης, ἵνα ἐν αὐταῖς εἰσελθὼν ἐξομολογήσωμαι τῷ κυρίῳ." ἀλλ'

*) Cf. Roman. c. 4.

αἱ μὲν εἰς δικαιοσύνην ὁδοὶ πολυτρόπως σώζοντος τοῦ θεοῦ — ἀγαθὸς γάρ — πολλαί τε καὶ ποικίλαι καὶ φέρουσαι εἰς τὴν κυρίαν ὁδόν τε καὶ πύλην. ἐὰν δὲ τὴν βασιλικήν τε καὶ αὐθεντικὴν εἴσοδον ζητῆς, ἀκούσῃ· „αὕτη ἡ πύλη τοῦ κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ" *). πολλῶν τοίνυν ἀνεῳγμένων πυλῶν ἐν δικαιοσύνῃ, αὕτη ἦν ἐν Χριστῷ, ἐν ᾗ μακάριοι πάντες οἱ εἰσελθόντες καὶ κατευθύνοντες τὴν πορείαν αὐτῶν ἐν ὁσιότητι γνωστικῇ. αὐτίκα ὁ Κλήμης ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ κατὰ λέξιν φησὶ τὰς διαφορὰς ἐκτιθέμενος τῶν κατὰ τὴν ἐκκλησίαν δοκίμων· „ἤτω τις πιστὸς, ἤτω δυνατός τις γνῶσιν ἐξειπεῖν, ἤτω σοφὸς ἐν διακρίσει λόγων, ἤτω γοργὸς ἐν ἔργοις" **).

P. 339. Pott.

Cap. VIII.

§. 39. Ἡ δὲ σοφιστικὴ τέχνη ἣν ἐζηλώκασιν Ἕλληνες δύναμίς ἐστι φανταστικὴ διὰ λόγων, δοξῶν ἐμποιητικὴ ψευδῶν ὡς ἀληθῶν· παρέχει γὰρ πρὸς μὲν πειθὼ τὴν ῥητορικὴν, πρὸς τὸ ἀγωνιστικὸν δὲ τὴν ἐριστικήν. αἱ τοίνυν τέχναι εἰ μὴ μετὰ φιλοσοφίας γένωνται, βλαβερώτεραι παντί που εἶεν ἄν. ἄντικρυς γὰρ οὖν ὁ Πλάτων κακοτεχνίαν προσεῖπεν τὴν σοφιστικὴν· ὅ τε Ἀριστοτέλης ἑπόμενος κλεπτικήν τινα αὐτὴν ἀποφαίνεται, ἅτε τὸ ὅλον τῆς σοφίας ἔργον πιθανῶς ὑφαιρουμένην καὶ ἐπαγγελλομένην σοφίαν ἣν οὐκ ἐμελέτησεν. ἐν βραχεῖ δὲ εἰπεῖν, καθάπερ τῆς ῥητορικῆς ἀρχὴ μὲν τὸ πιθανὸν, ἔργον δὲ τὸ ἐπιχείρημα, καὶ τέλος ἡ πειθώ, οὕτω τῆς ἐριστικῆς ἀρχὴ μὲν τὸ δύξαν, ἔργον δὲ τὸ ἀγώνισμα, καὶ τέλος ἡ νίκη. τὸν αὐτὸν γὰρ τρόπον καὶ τῆς σοφιστικῆς ἀρχὴ μὲν τὸ φαινόμενον, ἔργον δὲ διτ-

*) Psalm. 117, 19 sq. **) Cf. Clement. Roman. ep. ad Corinth. I. c. 48.

τὸν, τὸ μὲν ἐκ ῥητορικῆς διεξοδικὸν φαινόμενον, τὸ δὲ ἐκ διαλεκτικῆς ἐρωτητικὸν, τέλος δὲ αὐτῆς ἡ ἔκπληξις. ἥ τε αὖ θρυλουμένη κατὰ τὰς διατριβὰς διαλεκτικὴ γύμνασμα φιλοσόφου περὶ τὸ ἔνδοξον δείκνυται ἀντιλογικῆς ἕνεκεν δυνάμεως· οὐδαμοῦ δ' ἐν τούτοις ἡ ἀλήθεια.

§. 40. Εἰκότως τοίνυν ὁ γενναῖος ἀπόστολος ἐκφαυλίζων τὰς περιττὰς ταύτας τῶν λέξεων τέχνας, „εἴ τις μὴ προσέρχεται ὑγιαίνουσι λόγοις", φησὶ, P. 10 „διδασκαλίᾳ δέ τινι τετύφωται μηδὲν ἐπιστάμενος, 340. ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας ἐξ ὧν γί- Pott. P. νεται ἔρις, φθόνος, βλασφημία, ὑπόνοιαι πονηραὶ, 125 διαπαρατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν Sylb. καὶ ἀπεστερημένων τῆς ἀληθείας" *). ὁρᾷς ὅπως πρὸς αὐτοὺς κεκίνηται „νόσον" ὀνομάζων τὴν λογικὴν τέχνην αὐτῶν, ἐφ' ᾗ σεμνύνονται οἷς φίλη ἡ στωμύλος αὕτη κακοτεχνία· εἴτε Ἕλληνες εἶεν εἴτε καὶ βάρβαροι σοφισταί. παγκάλως οὖν ὁ τραγικὸς Εὐριπίδης ἐν ταῖς Φοινίσσαις λέγει·

ὁ δ' ἄδικος λόγος
νοσῶν ἐν αὐτῷ φαρμάκων δεῖται σοφῶν.

ὑγιαίνων μὲν γὰρ ὁ σωτήριος εἴρηται λόγος αὐτὸς ὢν ἀλήθεια, καὶ τὸ ὑγιαῖνον αἰεὶ ἀθάνατον μένει, ἡ δὲ ἀπὸ τοῦ ὑγιεινοῦ τε καὶ θείου διάκρισις **) ἀσθενότης τε καὶ πάθος θανατηφόρον. λύκοι οὗτοι ἅρπαγες προβάτων κωδίοις ἐγκεκρυμμένοι, ἀνδραποδισταί τε καὶ ψυχαγωγοὶ εὐγλωσσοι, κλέπτοντες μὲν ἀφανῶς, διελεγχόμενοι δὲ λῃσταί, αὖριον ἀγωνιζόμενοι καὶ δόλῳ καὶ βίᾳ ἡμᾶς δὴ τοὺς ἀπειρίττους, ὡς ἂν εἰπεῖν ἀδυναπωτέρους.

§. 41. Ἀγλωσσίᾳ δὲ πολλάκις ληφθεὶς ἀνὴρ,
δίκαια λέξας, ἧσσον εὐγλώσσου φέρει.
νῦν δ' εὑρόοισι στόμασι τἀληθέστατα
κλέπτουσιν, ὥστε μὴ δοκεῖν ἃ χρὴ δοκεῖν·

*) 1 Timoth. 6, 3—5. **) Cf. Matth. 7, 17.

ἡ τραγῳδία λέγει. τοιοῦτοι δὲ οἱ ἑριστικοὶ οὗτοι εἴτε αἱρέσεις μετίοιεν εἴτε καὶ διαλεκτικὰ συνασκοῖεν τεχνύδρια, οὗτοι οἱ τὰ κατάρτια κατασπῶντες καὶ μηθὲν ὑφαίνοντες, φησὶν ἡ γραφὴ, ματαιοπονίαν ἐζηλωκότες, ἣν κυβείαν αὐτὴν ὁ ἀπόστολος ἐκάλεσε *) καὶ πανουργίαν, πρὸς τὴν μεθοδείαν τῆς πλάνης ἐπιτήδειον. „εἰσὶ γὰρ", φησὶ, „πολλοὶ ἀνυπότακτοι, ματαιολόγοι, φρεναπατοῦντες" **). οὔκουν οὐ πᾶσιν εἴρηται, „ὑμεῖς ἐστὲ οἱ ἅλες τῆς γῆς" ***). εἰσὶ γάρ τινες τῶν καὶ τοῦ λόγου ἐπακηκοότων τοῖς ἰχθύσι τοῖς θαλασσίοις ἐοικότες, οἳ δὴ ἐν ἅλμῃ ἐκ γενετῆς τρεφόμενοι ἁλῶν ὅμως πρὸς τὴν σκευασίαν δέονται. ἐγὼ γοῦν καὶ πάνυ ἀποδέχομαι τὴν τραγῳδίαν λέγουσαν·

ὦ παῖ, γένοιντ' ἂν εὖ λέγομενοι λόγοι
ψευδεῖς· ἐπῶν δὲ κάλλεσιν νικᾷεν ἂν
τἀληθές· ἀλλ' οὐ τοῦτο τἀκριβέστατον P.
ἀλλ' ἡ φύσις καὶ τοὐρθόν· ὃς δ' εὐγλωσσίᾳ 341.
νικᾷ, σοφὸς μὲν, ἀλλ' ἐγὼ τὰ πράγματα Pott.
κρείσσω νομίζω τῶν λόγων ἀεί ποτε.

οὗ ποτε ἄρα ὀρεκτέον τοῖς πολλοῖς ἀρέσκειν. ἃ μὲν γὰρ ἐκείνους εἰδείην οὐκ ἀσκοῦμεν ἡμεῖς, ἃ δὲ ἡμεῖς ἴσμεν μακράν ἐστι τῆς ἐκείνων διαθέσεως. „μὴ γινώμεθα κενόδοξοι", φησὶν ὁ ἀπόστολος, „ἀλλήλους προκαλούμενοι, ἀλλήλους φθονοῦντες" †).

§. 42. Ταύτῃ τοι ὁ φιλαλήθης Πλάτων οἷον θεοφορούμενος, ὡς ἐγὼ τοιοῦτος, φησὶν, ὁποῖος οὐδενὶ ἄλλῳ ἢ τῷ λόγῳ πείθεσθαι, ὡς ἂν μοι σκοπουμένῳ βέλτιστος φαίνοιτο. αἰτιᾶται γοῦν τοὺς ἄνευ νοῦ καὶ ἐπιστήμης δόξαις πιστεύοντας, ὡς μὴ προσῆκον ἀφεμένους τοῦ ὀρθοῦ καὶ ὑγιοῦς λόγου τῷ κοινωνοῦντι τοῦ ψεύδους πιστεύειν. τὸν μὲν γὰρ ἐψεῦσθαι τῆς ἀληθείας κακόν ἐστι, τὸ δὲ ἀληθεύειν

*) Cf. Ephes. 4, 14. **) Tit. 1, 10. ***) Matth. 5, 13. †) Galat. 6, 26.

διδασκαλίας. ἀσφαλῶς γὰρ ἐγνώκεσαν τὸν νοῦν ἐκείνων οἱ προφῆται καὶ οἱ τοῦ πνεύματος μαθηταί· ἐκ γὰρ πίστεως καὶ ὡς οὐκ οἶόν τε ῥᾳδίως, ὡς τὸ πνεῦμα εἴρηκεν, ἀλλ' οὐκ οὕτως ἐκδέξασθαι μὴ μεμαθηκότας. „τὰς δὲ ἐντολὰς" φησὶν „ἀπογράψαι σοι. διὸ σῶς βουλήσει καὶ γνώσει τοῦ ἀποκρίνασθαι" *) λόγους ἀληθείας τοῖς προβαλλομένοις σοί. τίς οὖν ἡ γνῶσις τοῦ ἀποκρίνασθαι ἢ τίς καὶ τοῦ ἐρωτᾶν; εἴη δ' ἂν αὕτη διαλεκτική. τί δ'; οὐχὶ καὶ τὸ λέγειν ἔργον ἐστὶ, καὶ τὸ ποιεῖν ἐκ τοῦ λόγου γίνεται; εἰ γὰρ μὴ λόγῳ πράττοιμεν, ἀλόγως ποιοῖμεν ἄν. τὸ λογικὸν δὲ ἔργον κατὰ θεὸν ἐκτελεῖται· „καὶ οὐδὲν χωρὶς αὐτοῦ ἐγένετο" **), φησὶ, τοῦ λόγου τοῦ θεοῦ. ἢ οὐχὶ καὶ ὁ κύριος λόγῳ πάντα ἔπρασσεν; ἐργάζεται δὲ καὶ τὰ κτήνη ἐλαυνόμενα ἀναγκάζοντι τῷ φόβῳ. οὐχὶ δὲ καὶ οἱ ὀρθοδόξαστοι καλούμενοι ἔργοις προσφέρονται καλοῖς, οὐκ εἰδότες ἃ ποιοῦσιν;

Cap. X.

§. 46. *Διὰ τοῦτο οὖν ὁ σωτὴρ ἄρτον λαβὼν πρῶτον ἐλάλησεν καὶ εὐχαρίστησεν· εἶτα κλάσας τὸν ἄρτον προέθηκεν, ἵνα δὴ φάγωμεν λογικῶς, καὶ τὰς γραφὰς ἐπιγνόντες πολιτευσώμεθα καθ' ὑπακοήν. καθάπερ δὲ οἱ λόγῳ χρώμενοι πονηρῷ οὐδὲν τῶν ἔργῳ χρωμένων πονηρῷ διαφέρουσιν· ἡ γὰρ διαβολὴ ξίφους διάκονος, καὶ λύπην ἐμποιεῖ βλασφημία, ἐξ ὧν αἱ τοῦ βίου ἀνατροπαί, ἔργα τοῦ πονηροῦ λόγου εἶεν ἂν ταῦτα, οὕτω καὶ οἱ λόγῳ ἀγαθῷ κεχρημένοι συνεγγίζουσι τοῖς τὰ καλὰ τῶν ἔργων ἐπιτελοῦσιν. ἀνακτᾶται γοῦν καὶ ὁ λόγος τὴν ψυχὴν καὶ ἐπὶ καλοκἀγαθίαν προτρέπει· μακάριος δὲ ὁ περιδέξιος. οὔτ' οὖν βλασφημητέος ὁ εὐποιητικὸς πρὸς τοῦ εὖ

*) Proverb. 22, 20 sq. **) Ioann. 1, 3.

λέγειν δυναμένου, οὐδὲ μὴν κακιστέος ὁ οἷός τε εὖ λέγειν πρὸς τοῦ εὖ ποιεῖν ἐπιτηδείου, πρὸς δὲ ᾧ ἑκάτερος πέφυκεν ἐνεργούντων. ὃ δ' οὖν τὸ ἔργον δείκνυσιν τοῦτο ἄτερος λαλεῖ, οἷον ἑτοιμάζων τῇ εὐποιίᾳ τὴν ὁδὸν καὶ ἐπὶ τὴν εὐεργεσίαν ἄγων τοὺς ἀκούοντας. ἔστι γὰρ καὶ σωτήριος λόγος, ὡς καὶ ἔργον σωτήριον. ἡ δικαιοσύνη γοῦν οὐ χωρὶς λόγου συνίσταται.

§. 47. Ὡς δὲ τὸ εὖ πάσχειν περιαιρεῖται, ἐὰν τὸ εὖ ποιεῖν ἀφέλωμεν, οὕτως ἡ ὑπακοὴ καὶ πίστις ἀναιρεῖται μήτε τῆς ἐντολῆς μήτε τοῦ τὴν ἐντολὴν σαφηνιοῦντος συμπαραλαμβανομένων. νυνὶ δὲ ἀλλήλων ἕνεκα εὐποροῦμεν καὶ λόγων καὶ ἔργων. τὴν δὲ ἐριστικήν τε καὶ σοφιστικὴν τέχνην παραιτητέον παντελῶς, ἐπεὶ καὶ αἱ λέξεις αὐταὶ τῶν σοφιστῶν οὐ μόνον γοητεύουσι, κλέπτουσι τοὺς πολλούς, βιαζόμεναι δὲ ἔσθ' ὅτε Καδμείαν νίκην ἀπηνέγκαντο. παντὸς γὰρ μᾶλλον ἀληθὴς ὁ ψαλμὸς ἐκεῖνος· „ὁ δίκαιος ζήσεται εἰς τέλος, ὅτι οὐκ ὄψεται καταφθοράν, ὅταν ἴδῃ σοφοὺς ἀποθνήσκοντας“ *). τίνας δὴ σοφοὺς λέγει; ἄκουσον ἐκ τῆς σοφίας Ἰησοῦ· „οὐκ ἔστι σοφία πονηρίας ἐπιστήμη“ **). ταύτην δὴ λέγει ἣν ἐπενόησαν τέχναι λεκτικαί τε καὶ διαλεκτικαί. „ζητήτεις οὖν σοφίαν παρὰ κακοῖς καὶ οὐχ εὑρήσεις“ ***). κἂν πύθῃ πάλιν ποίαν ταύτην; „στόμα δικαίου“, φήσει σοί, „ἀποστάξει σοφίαν“ †). σοφία δὲ ὁμωνύμως τῇ ἀληθείᾳ ἡ σοφιστικὴ λέγεται τέχνη.

§. 48. Ἐμοὶ δὲ εἰκότως οἶμαι πρόκειται βιοῦν μὲν κατὰ τὸν λόγον καὶ νοεῖν τὰ σημαινόμενα, εὐγλωττίαν δὲ μή ποτε ζηλοῦντα ἀρκεῖσθαι μόνῳ τῷ αἰνίξασθαι τὸ νοούμενον. ὁποίῳ δὲ ὀνόματι δηλοῦται τοῦτο ὅπερ παραστῆσαι βούλομαι, οὐθέν μοι

*) Psalm. 48, 9 sq. **) Eccles. 19, 22. ***) Proverb. 14, 6. †) Ibid. 10, 31.

μέλει. σωθῆναι γὰρ εὖ οἶδ' ὅτι καὶ συνάρασθαι τοῖς σώζεσθαι γλιχομένοις βέλτιστόν ἐστιν οὐχὶ συνθεῖναι τὰ λεξείδια καθάπερ τὰ κόσμια. κἂν φυλάξῃς, φησὶν ὁ Πυθαγόρειος ἐν τῷ Πλάτωνος πολιτικῷ, τὸ μὴ σπουδάζειν ἐπὶ τοῖς ὀνόμασι πλουσιώτερος εἰς γῆρας ἀναφανήσῃ φρονήσεως. καὶ ἔν γε τῷ Θεαιτήτῳ εὕροις ἂν πάλιν· τὸ δὲ εὐχερὲς τῶν ὀνομάτων τε καὶ ῥημάτων καὶ μὴ δι' ἀκριβείας ἐξεταζόμενον, τὰ μὲν πολλὰ οὐκ ἀγεννές, ἀλλὰ μᾶλλον τὸ τούτου ἐναντίον ἀνελεύθερον, ἔστιν δ' ὅτε ἀναγκαῖον. ταῦτα ὡς ἔνι μάλιστα διὰ βραχέων ἐξήνεγκεν ἡ γραφὴ „μὴ πολὺς ἐν ῥήμασι γίνου" λέγουσα· ἡ μὲν γὰρ λέξις οἷον ἐσθὴς ἐπὶ σώματος, τὰ δὲ πράγματα, σάρκες εἰσὶ καὶ νεῦρα. οὐ χρὴ τοίνυν τῆς ἐσθῆτος πρὸ τῆς τοῦ σώματος σωτηρίας κήδεσθαι. εὐτελῆ γὰρ οὐ μόνον δίαιταν, ἀλλὰ καὶ λόγον ἀσκητέον ἀπέριττόν τε καὶ ἀπερίεργον τῷ τὸν ἀληθῆ βίον ἐπανηρημένῳ, εἴ γε τὴν τρυφὴν ὡς δολεράν τε καὶ ἄσωτον παραιτούμεθα, καθάπερ τὸ μύρον καὶ τὴν πορφύραν οἱ παλαιοὶ Λακεδαιμόνιοι, δολερὰ μὲν τὰ ἵματα, δολερὰ δὲ τὰ χρίματα ὑποP. λαβόντες ὀρθῶς καὶ ὀνομάσαντες, ἐπεὶ μήτε ἐκείνη 127 καλὴ σκευασία τροφῆς ἡ πλείω τῶν τρεφόντων P. Sylb. ἔχουσα τὰ ἡδύσματα μήτε λόγου χρῆσις ὡστεία 345. ἡ τέρπειν μᾶλλον ἢ ὠφελεῖν τοὺς ἀκούοντας δυνα- Pott. μένη. Μούσας Σειρήνων ἡδίους ἡγεῖσθαι Πυθαγόρας παραινεῖ, τὰς σοφίας ἀσκεῖν μὴ μετὰ ἡδονῆς διδάσκων, ἀπατηλὸν δὲ τὴν ἄλλην διελέγχων ψυχαγωγίαν. Σειρῆνας δὲ παραπλεύσας εἷς ἀρκεῖ, καὶ τῇ Σφιγγὶ ὑποκρινάμενος ἄλλος εἷς, εἰ δὲ βούλεσθε μηδὲ εἷς.

§. 49. Οὔκουν πλατύνειν τὰ φυλακτήρια χρή ποτε **) κενοδοξίαν ζηλοῦντας, ἀρκεῖ δὲ τῷ γνωστι-

*) Cf. Matth. 23, 5.

κῷ κἂν εἷς μόνος ἀκροατὴς εὑρεθῇ. ἔστι γοῦν ἀκοῦσαι καὶ Πινδάρου τοῦ Βοιωτίου γράφοντος,

μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον
ἴσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδὸς, κέντρον δὲ μάχας
ὁ κρατιστεύων λόγος.

διατείνεται οὖν εὖ μάλα ὁ μακάριος ἀπόστολος παραινῶν ἡμῖν „μὴ λογομαχεῖν τε διὰ οὐδὲν χρήσιμον ἐπὶ καταστροφῇ τῶν ἀκουόντων, τὰς δὲ βεβήλους κενοφωνίας περιίστασθαι. ἐπὶ πλεῖον γὰρ προκόπτουσιν ἀσεβείας, καὶ ὁ λόγος αὐτῶν ὡς γάγγραινα νομὴν ἕξει" *).

Cap. XI.

§. 50. *Αὕτη οὖν ἡ σοφία τοῦ κόσμου μωρία παρὰ θεῷ ἐστὶν, καὶ τούτων τῶν σοφῶν κύριος γινώσκει τοὺς διαλογισμοὺς ὅτι εἰσὶ μάταιοι* **). *μηδεὶς τοίνυν καυχάσθω ἐν ἀνθρωπίνῃ προανέχων διανοίᾳ. εὖ γάρ τοι ἐν τῷ Ἱερεμίᾳ γέγραπται· „μὴ καυχάσθω ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ ἰσχυρὸς ἐν τῇ ἰσχύι αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ, ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος συνιέναι καὶ γινώσκειν ὅτι ἐγώ εἰμι κύριος ὁ ποιῶν ἔλεος καὶ κρίμα, καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς, ὅτι ἐν τούτοις τὸ θέλημά μου, λέγει κύριος" ***). „ἵνα μὴ πεποιθότες ὦμεν ἐφ' ἑαυτοῖς, ἀλλ' ἐπὶ τῷ θεῷ τῷ ἐγείροντι τοὺς νεκροὺς", ὁ ἀπόστολος φησὶν, „ὃς ἐκ τηλικούτου θανάτου ἐρρύσατο ἡμᾶς, ἵνα ἡ πίστις ἡμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, ἀλλ' ἐν δυνάμει θεοῦ. ὁ γὰρ πνευματικὸς ἀνακρίνει πάντα, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἀνακρίνεται" †). ἐπαΐω δὲ κἀκείνων αὐτοῦ· „ταῦτα δὲ λέγω ἵνα μηδεὶς ὑμᾶς παραλογίζηται ἐν πι-

P. 346. Pott.

*) 2 Timoth. 2, 14. 16 sq. **) 1 Corinth. 3, 20 sq. ***) Ierem. 9, 23 sq. †) 2 Corinth. 1, 9 sq. 2, 5. 15.

θανολογίᾳ" μηδὲ ὑπεισέρχηται „ὁ συλαγωγῶν"*). καὶ πάλιν· „βλέπετε οὖν μή τις ἔσται ὑμᾶς ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν" **)· φιλοσοφίαν μὲν οὐ πᾶσαν, ἀλλὰ τὴν Ἐπικούρειον, ἧς καὶ μέμνηται ἐν ταῖς πράξεσιν τῶν ἀποστόλων ὁ Παῦλος ***), διαβάλλων πρόνοιαν ἀναιροῦσαν καὶ ἡδονὴν ἐκθειάζουσαν καὶ εἰ δή τις ἄλλη τὰ στοιχεῖα ἐκτετίμηκεν μὴ ἐπιστήσασα τὴν ποιητικὴν αἰτίαν τούτοις, μηδὲ ἐφαντάσθη τὸν δημιουργόν.

§. 51. Ἀλλὰ καὶ οἱ Στωϊκοὶ ὧν καὶ αὐτῶν μέμνηται †) σῶμα ὄντα τὸν θεὸν διὰ τῆς ἀτιμοτάτης ὕλης πεφοιτηκέναι λέγουσιν, οὐ καλῶς. παράδοσιν δὲ ἀνθρωπίνην τὴν λογικὴν τερθρείαν λέγει. διὸ κἀκεῖνα ἐπιστέλλει· „τὰς νεωτέρας ζητήσεις φεύγετε" ††)· μειρακιώδεις γὰρ αἱ τοιαῦται φιλονεικίαι. ἀρετὴ δὲ οὐ φιλομειράκιον, ὁ φιλόσοφος λέγει Πλάτων· καὶ τὸ ἀγώνισμα ἡμῶν κατὰ τὸν Λεοντῖνον Γοργίαν, διττῶν δὲ ἀρετῶν δεῖται, τόλμης καὶ σοφίας. τόλμης μὲν τὸ κίνδυνον ὑπομεῖναι, σοφίας δὲ τὸ αἴνιγμα γνῶναι. ὁ γάρτοι λόγος καθάπερ τὸ κήρυγμα τὸ Ὀλυμπιάσι καλεῖ μὲν τὸν βουλόμενον, στεφανοῖ δὲ τὸν δυνάμενον, ἀκίνητον μὲν ὅτι πρὸς ἀλήθειαν καὶ τῷ ὄντι ἀργὸν οὐ βούλεται εἶναι τὸν πιστεύσαντα ὁ λόγος· „ζητεῖτε" γὰρ „καὶ εὑρήσετε" †††), λέγει, ἀλλὰ τὴν ζήτησιν εἰς εὕρεσιν περαιοῖ τὴν καινὴν ἐξελάσας φλυαρίαν, ἐγκρίνων δὲ τὴν ὀχυροῦσαν τὴν πίστιν ἡμῖν θεωρίαν. „τοῦτο δὲ λέγω ἵνα μήτις ὑμᾶς παραλογίζηται ἐν πιθανολογίᾳ" ††††), φησὶν ὁ ἀπόστολος, διακρίνειν δηλονότι τὰ ὑπ' αὐτῶν λεγόμενα μεμαθηκόσι καὶ ἀπαντᾶν πρὸς τὰ ἐπιφερόμενα δεδιδαγμένοις.

*) Coloss. 2, 4. 8. **) Ibidem. ***) Cf. Actor. 17, 18. †) l. l. ††) Confudit Clemens 2 Timoth. 2, 22 et 23. †††) Matth. 7, 7. ††††) Coloss. 2, 4.

§. 52. „Ὡς οὖν παρελάβετε Ἰησοῦν Χριστὸν τὸν κύριον ἐν αὐτῷ περιπατεῖτε ἐρριζωμένοι καὶ ἐποικοδομούμενοι ἐν αὐτῷ καὶ βεβαιούμενοι ἐν τῇ πίστει" *), πειθὼ δὲ ἡ βεβαίωσις τῆς πίστεως· „βλέπετε μή τις ὑμᾶς [ἔστω] ὁ συλαγωγῶν" ἀπὸ τῆς πίστεως τῆς εἰς τὸν Χριστὸν „διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης" τῆς ἀναιρούσης τὴν πρόνοιαν κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων· ἡ γὰρ κατὰ τὴν θείαν παράδοσιν φιλοσοφία ἵστησι τὴν πρόνοιαν καὶ βεβαιοῖ, ἧς ἀναιρεθείσης μῦθος ἡ περὶ τὸν σωτῆρα οἰκονομία φαίνεται, „κατὰ τὰ στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστὸν" φερομένων ἡμῶν. ἡ γὰρ ἀκόλουθος Χριστῷ διδασκαλία καὶ τὸν δημιουργὸν ἐκθειάζει καὶ τὴν πρόνοιαν μέχρι τῶν κατὰ μέρος λέγει καὶ τροφὴν καὶ γενητὴν οἶδεν τὴν τῶν στοιχείων φύσιν καὶ πολιτεύεσθαι εἰς δύναμιν ἐξομοιωτικὴν τῷ θεῷ διδάσκει καὶ τὴν οἰκονομίαν ὡς ἡγεμονικὸν τῆς ἁπάσης προΐεσθαι παιδείας. στοιχεῖα δὲ σέβουσι Διογένης μὲν τὸν ἀέρα, Θάλης δὲ τὸ ὕδωρ, Ἵππασος δὲ τὸ πῦρ, καὶ οἱ τὰς ἀτόμους ἀρχὰς ὑποτιθέμενοι φιλοσοφίας ὄνομα ὑποδυόμενοι ἄθεοί τινες ἀνθρωπίσκοι καὶ φιλήδονοι.

P. 347. Pott.

§. 53. „Διὰ τοῦτο προσεύχομαι", φησὶν, „ἵνα ἡ ἀγάπη ὑμῶν ἔτι μᾶλλον καὶ μᾶλλον περισσεύῃ ἐν ἐπιγνώσει καὶ πάσῃ αἰσθήσει εἰς τὸ δοκιμάζειν ὑμᾶς τὰ διαφέροντα" **), „ἐπεὶ ὅτε ἦμεν νήπιοι" φησὶν ὁ αὐτὸς ἀπόστολος, „ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι, ὁ δὲ νήπιος κἂν κληρονόμος ᾖ οὐδὲν διαφέρει ἄχρι τῆς προθεσμίας τοῦ πατρός" ***). νήπιοι οὖν καὶ οἱ φιλόσοφοι ἐὰν μὴ ὑπὸ τοῦ Χριστοῦ ἀπανδρωθῶσιν. εἰ γὰρ „οὐ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας" †), ἀλλὰ γοῦν σπέρμα ἐστὶν Ἀβραὰμ τὸ μὴ

*) Coloss. 2, 6—8. **) Philipp. 1, 9 sq. ***) Galat. 4, 3. 1 sq. †) Genes. 21, 10. Galat. 4, 8.

P. ἐξ ἐπαγγελίας, τὸ ἴδιον εἰληφὸς δωρεάν. „τε-
128 λείων δέ ἐστιν ἡ στερεὰ τροφὴ τῶν διὰ τὴν ἕξιν
Syh. τὰ αἰσθητήρια γεγυμνασμένα ἐγόντων πρὸς διάκρι-
σιν καλοῦ τε καὶ κακοῦ. πᾶς γὰρ ὁ μετέχων γάλα-
κτος ἄπειρος λόγου δικαιοσύνης" *) νήπιος ὢν καὶ
μηδέπω ἐπιστάμενος τὸν λόγον καθ' ὃν πεπίστευκέ
τε καὶ ἐνεργεῖ μήτε ἀποδοῦναι δυνάμενος τὴν αἰτίαν
ἐν αὐτῷ. „πάντα δὲ δοκιμάζετε", ὁ ἀπόστολός
φησι, „καὶ τὸ καλὸν κατέχετε" **)· τοῖς πνευματι-
κοῖς λέγων τοῖς ἀνακρίνουσι πάντα κατὰ ἀλήθειαν
λεγόμενα, πότερον δοκεῖ ἢ οὕτως ἔχεται τῆς ἀλη-
θείας.

§. 54. „Παιδεία δὲ ἀνεξέλεγκτος πλανᾶται, καὶ
αἱ πληγαὶ καὶ οἱ ἔλεγχοι δεδόασι παιδείαν σο-
15φίας" ***); οἱ μετ' ἀγάπης δηλονότι ἔλεγχοι· „καρ-
δία γὰρ εὐθεῖα ἐκζητεῖ γνῶσιν, ὅτι ὁ ζητῶν τὸν
Θεὸν εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης, οἱ δὲ ὀρθῶς
ζητήσαντες αὐτὴν εἰρήνην εὗρον." „καὶ γνώσομαι",
φησὶν, „οὐ τὸν λόγον τῶν πεφυσιωμένων, ἀλλὰ τὴν
20δύναμιν", τοὺς δοκησισόφους καὶ οἰομένους εἶναι,
οὐκ ὄντας δὲ σοφοὺς ἐπερωπίζων γράφει· „οὐ γὰρ
ἐν λόγῳ ἡ βασιλεία τοῦ Θεοῦ" †), οὐ τῷ μὴ ἀληθεῖ,
ἀλλὰ καθ' ὑπόληψιν πιθανῷ, ἐν δυνάμει δὲ εἰπεν,
μόνη γὰρ ἡ ἀλήθεια δυνατή. καὶ πάλιν, „εἴ τις
25δοκεῖ ἐγνωκέναι τι, οὔπω ἔγνω καθὸ δεῖ γνῶναι". Pos
οὐ γάρ ποτε ἡ ἀλήθεια οἴησις, ἀλλ' ἡ μὲν ὑπόλη-
ψις „τῆς γνώσεως φυσιοῖ" καὶ τύφου ἐμπίπλησιν,
„οἰκοδομεῖ δὲ ἡ ἀγάπη", μὴ περὶ τὴν οἴησιν, ἀλλὰ
περὶ τὴν ἀλήθειαν ἀναστρεφομένη. ὅθεν „εἴ τις
30ἀγαπᾷ οὗτος ἔγνωσται" ††) λέγει.

*) Hebr. 5, 14. 13. **) 1 Thessal. 5, 21. ***) Proverb. 10, 17. 29, 15. †) 1 Corinth. 19, 20. ††) 1 Corinth. 8, 1—3.

Cap. XII.

§. 55. Ἐπεὶ δὲ μὴ μόνη ἡ παράδοσις καὶ πάνδημος τῷ γε αἰσθομένῳ τῆς μεγαλειότητος τοῦ λόγου, ἐπικρυπτέον οὖν τὴν ἐν μυστηρίῳ λαλουμένην σοφίαν *), ἣν ἐδίδαξεν ὁ υἱὸς τοῦ θεοῦ· ἤδη γοῦν καὶ Ἡσαΐας ὁ προφήτης πυρὶ καθαίρεται τὴν γλῶτταν, ὡς εἰπεῖν δυνηθῆναι τὴν ὅρασιν, καὶ οὐδὲ τὴν γλῶτταν μόνον, ἀλλὰ καὶ τὰς ἀκοὰς ἁγνίζεσθαι προσήκει ἡμῖν, εἴ γε τῆς ἀληθείας μεθεκτοὶ εἶναι πειρώμεθα. ταῦτα ἦν ἐμποδὼν τοῦ γράφειν ἐμοί, καὶ νῦν ἔτι εὐλαβῶς ἔχω, ἢ φησὶν „ἐμπροσθεν τῶν χοίρων τοὺς μαργαρίτας βάλλειν μή ποτε καταπατήσωσι τοῖς ποσὶ καὶ στραφέντες ῥήξωσιν ἡμᾶς" **). χαλεπὸν γὰρ τοὺς περὶ τοῦ ἀληθινοῦ φωτὸς καθαροὺς ὄντως καὶ διανγεῖς ἐπιδείξαι λόγους ἀκροατῶν τοῖς ὑώδεσί τε καὶ ἀπαιδεύτοις, σχεδὸν γὰρ οὐκ ἔστι τούτων πρὸς τοὺς πολλοὺς καταγελαστότερα ἀκούσματα, οὐδ' αὖ πρὸς τοὺς εὐφυεῖς θαυμασιώτερά τε καὶ ἐνθουσιαστικώτερα.

§. 56. „Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ, μωρία γὰρ αὐτῷ ἐστίν" ***). σοφοὶ δὲ οὐκ ἐκφέρουσιν ἐκ στόματος ἃ διαλογίζονται ἐν συνεδρίῳ· „ἀλλ' ὃ ἀκούετε εἰς τὸ οὖς", φησὶν ὁ κύριος, „κηρύξατε ἐπὶ τῶν δωμάτων" †), τὰς ἀποκρύφους τῆς ἀληθοῦς γνώσεως παραδόσεις ὑψηλῶς καὶ ἐξόχως ἑρμηνευομένας ἐνδέχεσθαι κελεύων, καὶ καθάπερ ἠκούσαμεν εἰς τὸ οὖς, οὕτω καὶ παραδιδόναι οἷς δέον, οὐχὶ δὲ πᾶσιν ἀνέδην ἐκδιδόναι τὰ ἐν παραβολαῖς εἰρημένα πρὸς αὐτοὺς παραγγέλλων. ἀλλ' ἔστι τῷ ὄντι ἡ τῶν ὑπομνημάτων ὑποτύπωσις ὅσα διασποράδην καὶ διερριμμένως ἐγκατεσπαρμένην ἔχουσι τὴν ἀλήθειαν, ὅπως ἂν λάθοι τοὺς

*) Cf. 1 Corinth. 2, 7. **) Matth. 7, 6. ***) 1 Corinth. 2, 14. †) Matth. 10, 27.

δίκην κολοιῶν σπερμολόγους. ἐπὰν δὲ ἀγαθοῦ τύχῃ γεωργοῦ ἐκφύσει τε ἕκαστον αὐτῶν καὶ τὸν πυρὸν ἀναδείξει.

Cap. XIII.

§. 57. Μιᾶς τοίνυν οὔσης τῆς ἀληθείας, τὸ γὰρ ψεῦδος μυρίας ἐκτροπὰς ἔχει, καθάπερ αἱ βάκχαι τὰ τοῦ Πενθέως διαφορήσασαι μέλη αἱ τῆς φιλοσοφίας τῆς τε βαρβάρου τῆς τε Ἑλληνικῆς αἱρέσεις, ἑκάστη ὅπερ ἔλαχεν, ὡς πᾶσαν αὐχεῖ τὴν ἀλήθειαν, φωτὸς δ' οἶμαι ἀνατολῇ πάντα φωτίζεται. ξύμπαντες οὖν Ἕλληνές τε καὶ βάρβαροι, ὅσοι τἀληθοῦς ἀρέχθησαν οἱ μὲν οὐκ ὀλίγα, οἱ δὲ μέρος τι εἰπερ ἄρα τοῦ τῆς ἀληθείας λόγου ἔχοντες ἀναδειχθεῖεν. ὁ γοῦν αἰὼν τοῦ χρόνου τὸ μέλλον καὶ τὸ ἐνεστὼς, αὐτὰρ δὴ καὶ τὸ παρῳχηκὸς ἀκριέως συνίστησι, πολὺ δὲ πλέον δυνατωτέρα τοῦ αἰῶνος ἡ ἀλήθεια συναγαγεῖν τὰ οἰκεῖα σπέρματα κἂν εἰς τὴν ἀλλοδαπὴν ἐκπέσῃ γῆν, πάμπολλα γὰρ τῶν παρὰ ταῖς αἱρέσεσι δοξαζομένων εὕροιμεν ἂν ὅσαι μὴ τέλεον ἐκκεκώφηνται μηδὲ ἐξετρήθησαν τὴν φυσικὴν ἀκολουθίαν καθάπερ τὸν ἄνδρα αἱ γυναικωνίτιδες ἀποκουψάμεναι τὸν Χριστὸν, εἰ καὶ ἀλλήλοις ἀνόμοιοι εἶναι δοκεῖν τῷ γένει γε καὶ ὅλῃ τῇ ἀληθείᾳ ὁμολογοῦνται. ἢ γὰρ ὡς μέλος ἢ ὡς μέρος ἢ ὡς εἶδος ἢ ὡς γένος εἰς ἓν συνέπεται. ἤδη δὲ καὶ ἡ ὑπάτη ἐναντία τῇ νεάτῃ οὖσα, ἀλλ' ἄμφω γε ἁρμονία μία, ἓν τε ἀριθμοῖς ὁ ἄρτιος τῷ περιττῷ διαφέρεται, ὁμολογοῦσι δὲ ἄμφω τῇ ἀριθμητικῇ ὡς τῷ σχήματι ὁ κύκλος καὶ τὸ τρίγωνον καὶ τὸ τετράγωνον καὶ ὅσα τῶν σχημάτων ἀλλήλων διενήνοχεν. ἀτὰρ καὶ ἐν τῷ κόσμῳ παντὶ τὰ μέρη σύμπαντα κἂν διαφέρηται πρὸς ἄλληλα τὴν πρὸς τὸ ὅλον οἰκειότητα διαφυλάττει. οὕτως οὖν ἥ τε βάρβαρος ἥ τε Ἑλληνικὴ φιλοσοφία τὴν ἀΐδιον ἀλήθειαν σπαραγμὸν

τινα, οὐ τῆς Διονύσου μυθολογίας, τῆς δὲ τοῦ λόγου τοῦ ὄντος ἀεὶ θεολογίας πεποίηται. ὁ δὲ τὰ διηρημένα συνθεὶς αὖθις καὶ ἑνοποιήσας τέλειον τὸν λόγον ἀκινδύνως εὖ ἴσθ' ὅτι κατόψεται τὴν ἀλήθειαν.

§. 58. Γέγραπται γοῦν ἐν τῷ ἐκκλησιαστῇ· „καὶ προσέθηκα σοφίαν ἐπὶ πᾶσιν, οἳ ἦ ἐγένοντο ἔμπροσθέν μου ἐν Ἰερουσαλὴμ, καὶ ἡ καρδία μου εἶδεν πολλὰ, σοφίαν καὶ γνῶσιν παραβολὰς καὶ ἐπιστήμην ἔγνων ὅτι καί γε τοῦτό ἐστι προαίρεσις πνεύματος ὅτι ἐν πλήθει σοφίας πλῆθος γνώσεως" *). ὁ δὲ τῆς παντοδαπῆς σοφίας ἔμπειρος οὗτος κυρίως ἂν εἴη γνωστικός. αὐτίκα γέγραπται, „περισσεία γνώσεως τῆς σοφίας ζωοποιήσει τὸν παρ' αὐτῆς" **). πάλιν τε αὖ βεβαιοῖ σαφέστερον τὰ εἰρημένα ἥδε ἡ ῥῆσις, „πάντα ἐνώπια τοῖς νοοῦσι" ***), τὰ δὲ πάντα Ἑλληνικά ἐστι καὶ βαρβαρικὰ, θάτερα δὲ οὐκέτι πάντα. „ὀρθὰ δὲ τοῖς βουλομένοις ἀπενήνεχθαι αἴσθησιν. ἀνθαιρεῖσθε παιδείαν καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον, ἀνθαιρεῖσθε δὲ καὶ αἴσθησιν χρυσίου καθαροῦ· „κρείσσων γὰρ σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς" †).

Cap. XIV.

§. 59. Φασὶ δὲ Ἕλληνες μετά γε Ὀρφέα καὶ Λίνον καὶ τοὺς παλαιοτάτους παρὰ σοφῶσι ποιητὰς ἐπὶ σοφίᾳ πρώτους θαυμασθῆναι τοὺς ἑπτὰ τοὺς ἐπικληθέντας σοφούς, ὧν τέσσαρες μὲν ἀπὸ Ἀσίας ἦσαν, Θάλης τε ὁ Μιλήσιος καὶ Βίας ὁ Πριηνεὺς καὶ Πιττακὸς ὁ Μιτυληναῖος καὶ Κλεόβουλος ὁ Λίνδιος, δύο δὲ ἀπὸ Εὐρώπης, Σόλων τε ὁ Ἀθηναῖος

*) Eccles. 1, 17. **) Ibid. 7, 12. ***) Prouerb. 8, 9 — 11. †) Cf. Prouerb. 3, 14 sq.

καὶ Χίλων ὁ Λακεδαιμόνιος, τὸν δὲ ἕβδομον οἱ μὲν Περίανδρον εἶναι λέγουσιν τὸν Κορίνθιον, οἱ δὲ Ἀνάχαρσιν τὸν Σκύθην, οἱ δὲ Ἐπιμενίδην τὸν Κρῆτα, ὃν Ἑλληνικὸν οἶδε προφήτην, οὗ μέμνηται ὁ ἀπόστολος Παῦλος ἐν τῇ πρὸς Τίτον ἐπιστολῇ λέγων οὕτως· „εἶπέν τις ἐξ αὐτῶν ἴδιος προφήτης οὕτως,

Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες ἀργαί· καὶ ἡ μαρτυρία αὕτη ἔστιν ἀληθής" *), ὁρᾷς ὅπως κἂν τοῖς Ἕλλήνων προφήταις δίδωσί τι τῆς ἀληθείας καὶ οὐκ ἐπαισχύνεται πρός τε οἰκοδομὴν καὶ πρὸς ἐντροπὴν διαλεγόμενος τινῶν Ἑλληνικοῖς συγχρῆσθαι ποιήμασι; πρὸς γοῦν Κορινθίους, οὐ γὰρ ἐνταῦθα μόνον, περὶ τῆς τῶν νεκρῶν ἀναστάσεως διαλεγόμενος, ἰαμβείῳ συγκέχρηται τραγικῷ· „τί μοι ὄφελος"; λέγων, „οἱ νεκροὶ οὐκ ἐγείρονται; φάγωμεν καὶ πίωμεν· αὔριον γὰρ ἀποθνήσκομεν. μὴ πλανᾶσθε·

φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί.

οἱ δὲ Ἀκουσίλαον τὸν Ἀργεῖον ἐγκατέλεξαν τοῖς ἑπτὰ σοφοῖς, ἄλλοι δὲ Φερεκύδην τὸν Σύριον. Πλάτων δὲ ἀντὶ Περιάνδρου ὡς ἀναξίου σοφίας διὰ τὸ τε τυραννηκέναι ἀντικατατάττει Μύσωνα τὸν Χηνέα.

§. 60. Ὡς μὲν οὖν κάτω που τῆς Μωϋσέως ἡλικίας οἱ παρ' Ἕλλησι σοφοὶ γεγόνασι, μικρὸν ὕστερον δειχθήσεται. ὁ δὲ τρόπος τῆς παρ' αὐτοῖς φιλοσοφίας ὡς Ἑβραϊκὸς καὶ αἰνιγματώδης ἦδη ἐπισκεπτέος. βραχυλογίαν γοῦν ἠσπάζοντο, σὴν παραινετικήν, τὴν ὠφελιμωτάτην. αὐτίκα Πλάτων πάλαι τὸ διὰ σπουδῆς γιγνέσθαι τόνδε τὸν τρόπον λέγει, κοινῶς μὲν πᾶσιν Ἕλλησιν, ἐξαιρέτως δὲ Λακεδαιμονίοις καὶ Κρησὶ τοῖς εὐνομωτάτοις. τὸ μὲν οὖν „γνῶθι σαυτὸν" οἱ μὲν Χίλωνος ὑπειλήφασι, Χαμαιλέων δὲ ἐν τῷ περὶ θεῶν, Θαλοῦ, Ἀριστοτέλης δὲ τῆς Πυθίας. δύναται δὲ τὴν γνῶσιν ἐγκε-

*) Tit. 1, 12. sq.

λεύεσθαι μεταδιώκειν. οὐκ ἔστι γὰρ ἄνευ τῆς τῶν ὅλων οὐσίας εἰδέναι τὰ μέρη, δεῖ δὲ τὴν γένεσιν τοῦ κόσμου πολυπραγμονῆσαι δὲ ἧς καὶ τὴν τοῦ ἀνθρώπου φύσιν καταμαθεῖν ἐξέσται.

§. 61. Πάλιν αὖ Χίλωνι τῷ Λακεδαιμονίῳ ἀναφέρουσι τὸ μηδὲν ἄγαν· Στράτων δὲ ἐν τῷ περὶ εὑρημάτων Στρατονίδημῳ τῷ Γεγανίῃ προσάπτει τὸ ἀπόφθεγμα, Δίδυμος δὲ Σόλωνι αὐτὸ ἀνατίθησιν, ὥσπερ ἀμείλει Κλεοβούλῳ τὸ μέτρον ἄριστον. τὸ δ' ἐγγύα, πάρα δ' ἄτα, Κλεομένης μὲν ἐν τῷ περὶ Ἡσιόδου Ὁμήρῳ φησὶ προειρῆσθαι διὰ τούτων,

δειλαί τοι δειλῶν τε καὶ ἐγγυαὶ ἐγγυάασθαι·

οἱ δὲ περὶ Ἀριστοτέλη *) Χίλωνος αὐτὸ νομίζουσι, Δίδυμος δὲ Θαλοῦ φησὶν εἶναι τὴν παραίνεσιν. ἔπειτα ἑξῆς τὸ πάντες ἄνθρωποι κακοί, ἢ οἱ πλεῖστοι τῶν ἀνθρώπων κακοί· διχῶς γὰρ ἐκφέρεται τὸ αὐτὸ ἀπόφθεγμα, οἱ περὶ Σωτίωνα τὸν Βυζάντιον Βίαντος λέγουσιν εἶναι, καὶ τὸ μελέτη πάντα καθαίρει Περιάνδρου τυγχάνειν βούλονται, ὁμοίως δὲ τὴν γνῶθι καιρὸν παραίνεσιν Πιττακοῦ καθεστάναι. ὁ μὲν οὖν Σόλων Ἀθηναίοις, Πιττακὸς δὲ Μιτυληναίοις ἐνομοθέτησαν. ὑψὲ δὲ Πυθαγόρας ὁ Φερεκύδους γνώριμος φιλόσοφον ἑαυτὸν πρῶτος ἀνηγόρευσεν.

§. 62. Φιλοσοφίας τοίνυν μετὰ τοὺς προειρημένους ἄνδρας τρεῖς γεγόνασι διαδοχαὶ ἐπώνυμοι τῶν τόπων περὶ οὓς διέτριψαν, Ἰταλικὴ μὲν ἡ ἀπὸ Πυθαγόρου, Ἰωνικὴ δὲ ἡ ἀπὸ Θαλοῦ, Ἐλεατικὴ δὲ ἡ ἀπὸ Ξενοφάνους. Πυθαγόρας μὲν οὖν Μνησάρχου Σάμιος, ὡς φησιν Ἱππόβοτος, ὡς δὲ Ἀριστόξενος ἐν τῷ Πυθαγόρου βίῳ καὶ Ἀρίσταρχος καὶ Θεόπομπος Τυρρηνὸς ἦν, ὡς δὲ Νεάνθης Σύριος ἢ Τύριος. ὥστε εἶναι κατὰ τοὺς πλείστους τὸν Πυθαγόραν βάρβαρον τὸ γένος. ἀλλὰ καὶ Θαλῆς, ὡς

*) Hom. Odyss. θ. v. 351.

P. 352. Pott.

Λέανδρος καὶ Ἡρόδοτος ἱστοροῦσι Φοινὶξ ἦν, ὡς δέ τινες ὑπειλήφασι Μιλήσιος. μόνος οὗτος δοκεῖ τοῖς τῶν Αἰγυπτίων προφήταις συμβεβληκέναι, διδάσκαλος δὲ αὐτοῦ οὐδεὶς ἀναγράφεται, ὥσπερ οὐδὲ Φερεκύδου τοῦ Συρίου, ᾧ Πυθαγόρας ἐμαθήτευσεν.

§. 63. Ἀλλ' ἡ μὲν ἐν Μεταποντίῳ τῆς Ἰταλίας ἡ κατὰ Πυθαγόραν φιλοσοφία ἡ Ἰταλικὴ κατεγήρασεν. Ἀναξίμανδρος δὲ Πραξιάδμου Μιλήσιος Θάλην διαδέχεται, τοῦτον δὲ Ἀναξιμένης Εὐρυστράτου Μιλήσιος, μεθ' ὃν Ἀναξαγόρας Ἡγησιβούλου Κλαζομένιος. οὗτος μετήγαγεν ἀπὸ τῆς Ἰωνίας Ἀθήναζε τὴν διατριβήν. τοῦτον διαδέχεται Ἀρχέλαος, οὗ Σωκράτης διήκουσεν.

P. ἐκ δ' ἄρα τῶν ἀπέκλινε λαοξόος ἐννομολέσχης, 353
Pott Ἑλλήνων ἐπασιδός.

ὁ Τίμων φησὶν ἐν τοῖς Σίλλοις διὰ τὸ ἀποκεκλικέναι ἀπὸ τῶν φυσικῶν ἐπὶ τὰ ἠθικά. Σωκράτους δὲ ἀκούσας Ἀντισθένης μὲν ἐκύνισε, Πλάτων δὲ εἰς P. τὴν Ἀκαδημίαν ἀνεχώρησε. παρὰ Πλάτωνι Ἀριστο- 130 τέλης φιλοσοφήσας μετελθὼν εἰς τὸ Λύκειον κτίζει Syll. τὴν περιπατητικὴν αἵρεσιν. τοῦτον διαδέχεται Θεόφραστος, ὃν Στράτων, ὃν Λύκων, εἶτα Κριτόλαος, εἶτα Διόδωρος. Σπεύσιππος δὲ Πλάτωνα διαδέχεται, τοῦτον δὲ Ξενοκράτης, ὃν Πολέμων. Πολέμωνος δὲ ἀκούσται Κράτης τε καὶ Κράντωρ, εἰς οὓς ἡ ἀπὸ Πλάτωνος κατέληξεν ἀρχαία Ἀκαδημία. Κράντορος δὲ μενέσχεν Ἀρκεσίλαος, ἀφ' οὗ μέχρι Ἡγησιλάου ἤνθησεν Ἀκαδημία ἡ μέση.

§. 64. Εἶτα Καρνεάδης διαδέχεται Ἡγησίλαον καὶ οἱ ἐφεξῆς· Κράτητος δὲ Ζήνων ὁ Κιτιεὺς ὁ τῆς Στωϊκῆς ἄρξας αἱρέσεως γίνεται μαθητής. τοῦτον διαδέχεται Κλεάνθης, ὃν Χρύσιππος καὶ οἱ μετ' αὐτόν. τῆς δὲ Ἐλεατικῆς ἀγωγῆς Ξενοφάνης ὁ Κολοφώνιος κατήρχεν, ὃν φησι Τίμαιος κατὰ Ἱέρωνα τὸν Σικελίας δυνάστην καὶ Ἐπίχαρμον τὸν ποιητὴν γεγονέναι, Ἀπολλόδωρος δὲ κατὰ τὴν τεσσαρακοστὴν

ὀλυμπιάδα γενόμενον παρατετακέναι ἄχρι τῶν Δαρείου τε καὶ Κύρου χρόνων. Παρμενίδης τοίνυν Ξενοφάνους ἀκουστὴς γέγεται, τούτου δὲ Ζήνων, εἶτα Λεύκιππος, εἶτα Δημόκριτος. Δημοκρίτου δὲ ἀκουσταὶ Πρωταγόρας ὁ Ἀβδηρίτης καὶ Μητρόδωρος ὁ Χῖος, οὗ Διογένης ὁ Σμυρναῖος, οὗ Ἀνάξαρχος, τούτου δὲ Πύρρων, οὗ Ναυσιφάνης. τούτου φασίν ἔνιοι μαθητὴν Ἐπίκουρον γενέσθαι. καὶ ἡ μὲν διαδοχὴ τῶν παρ' Ἕλλησι φιλοσόφων ὡς ἐν ἐπιτομῇ ἥδε, οἱ χρόνοι δὲ τῶν προκαταρξάντων τῆς φιλοσοφίας αὐτῶν ἑπομένως λεκτέοι, ἵνα δὴ ἐν συγκρίσει ἀποδείξωμεν πολλαῖς γενεαῖς πρεσβυτέραν τὴν κατὰ Ἑβραίους φιλοσοφίαν.

§. 65. Καὶ περὶ μὲν Ξενοφάνους εἴρηται, ὃς τῆς Ἐλεατικῆς ἦρξε φιλοσοφίας, Θάλην δὲ Εὔδημος ἐν ταῖς ἀστρολογικαῖς ἱστορίαις τὴν γενομένην ἔκλειψιν τοῦ ἡλίου προειπεῖν φησι, καθ' οὓς χρόνους συνῆψαν μάχην πρὸς ἀλλήλους Μῆδοί τε καὶ Λυδοὶ βασιλεύοντος Κυαξάρους μὲν τοῦ Ἀστυάγους πατρὸς Μήδων, Ἀλυάττου δὲ τοῦ Κροίσου Λυδῶν. συνάδει δὲ αὐτῷ καὶ Ἡρόδοτος ἐν τῇ πρώτῃ. εἰσὶ δὲ οἱ χρόνοι ἀμφὶ τὴν πεντηκοστὴν ὀλυμπιάδα. Πυθαγόρας δὲ κατὰ Πολυκράτη τὸν τύραννον περὶ τὴν ἑξηκοστὴν δευτέραν ὀλυμπιάδα εὑρίσκεται. Σόλωνος δὲ ζηλωτὴς Μνησίφιλος ἀναγράφεται, ᾧ Θεμιστοκλῆς συνδιέτριψεν. ἤκμασεν οὖν ὁ Σόλων κατὰ τὴν τεσσαρακοστὴν ἕκτην ὀλυμπιάδα. Ἡράκλειτος γὰρ ὁ Βυίσωνος Μιλαγκόμαν τὸν τύραννον ἔπεισεν ἀποθέσθαι τὴν ἀρχήν. οὗτος βασιλέα Δαρεῖον παρακαλοῦντα ἧκεν εἰς Πέρσας ὑπερεῖδεν.

Cap. XV.

§. 66. Οἵδε μὲν οἱ χρόνοι τῶν παρ' Ἕλλησι πρεσβυτάτων σοφῶν τε καὶ φιλοσόφων, ὡς δὲ οἱ πλεῖστοι αὐτῶν βάρβαροι τὸ γένος καὶ παρὰ βαρ-

βάροις παιδευθέντες τί δεῖ καὶ λέγειν; εἴ γε Τυρρηνὸς ἦ Τυρρήνιος ὁ Πυθαγόρας ἐδείκνυτο, Ἀντισθένης δὲ Φρὺξ ἦν καὶ Ὀρφεὺς Ὀδρύσης ἢ Θρᾷξ, Ὅμηρον γὰρ οἱ πλεῖστοι Αἰγύπτιον φαίνουσιν. Θάλης δὲ Φοίνιξ ὢν τὸ γένος καὶ τοῖς Αἰγυπτίων προφήταις συμβεβληκέναι εἴρηται, καθάπερ καὶ ὁ Πυθαγόρας αὐτοῖς γε τούτοις, δι' οὓς καὶ περιετέμετο, ἵνα δὴ καὶ εἰς τὰ ἄδυτα κατελθὼν τὴν μυστικὴν παρ' Αἰγυπτίων ἐκμάθοι φιλοσοφίαν, Χαλδαίων τε καὶ μάγων τοῖς ἀρίστοις συνεγένετο καὶ τὴν ἐκκλησίαν τὴν νῦν οὕτω καλουμένην τὸ παρ' αὐτῷ ὁμακοεῖον αἰνίττεται. Πλάτων δὲ οὐκ ἀρνεῖται τὰ κάλλιστα εἰς φιλοσοφίαν παρὰ τῶν βαρβάρων ἐμπορεύεσθαι, εἴς τε Αἴγυπτον ἀφικέσθαι ὁμολογεῖ. δύνασθαι γοῦν ἐν τῷ Φαίδωνι πανταχόθεν τὸν φιλόσοφον ὠφελεῖσθαι γράφων, πολλὴ μὲν ἡ Ἑλλάς, ἔφη, ὦ Κέβης, ἦ δ' ὅς, ἐν ᾗ εἰσὶ πάμπαν ἀγαθοὶ ἄνδρες, πολλὰ δὲ καὶ τὰ τῶν βαρβάρων γένη.

P. 355. Pott.

§. 67. Οὕτως οἴεται ὁ Πλάτων καὶ βαρβάρων φιλοσόφους τινὰς εἶναι, ὁ δὲ Ἐπίκουρος ἔμπαλιν ὑπολαμβάνει μόνους φιλοσοφῆσαι Ἕλληνας δύνασθαι. ἔν τε τῷ συμποσίῳ ἐπαινῶν Πλάτων τοὺς βαρβάρους, ὡς διαφερόντως ἀσκήσαντας μόνους ἀληθῶς φησὶ καὶ ἄλλοθι πολλαχοῦ καὶ ἐν Ἕλλησι καὶ βαρβάροις, ὧν καὶ ἱερὰ πολλὰ ἤδη γέγονε διὰ τοὺς τοιούτους παῖδας. δῆλοι δέ εἰσιν οἱ βάρβαροι διαφερόντως τιμήσαντες τοὺς αὐτῶν νομοθέτας τε καὶ διδασκάλους θεοὺς προσειπόντες. ψυχὰς γὰρ ἀγαθὰς κατὰ Πλάτωνα καταλιπούσας τὸν ὑπερουράνιον τόπον ὑπομεῖναι ἐλθεῖν εἰς τόνδε τὸν τάρταρον καὶ σῶμα ἀναλαβούσας τῶν ἐν γενέσει κακῶν ἁπάντων μετασχεῖν ὑπολαμβάνουσι, κηδεμόνας τοῦ τῶν ἀνθρώπων γένους, αἳ νόμους τε ἔθεσαν καὶ φιλοσοφίαν ἐκήρυξαν, οὗ μεῖζον ἀγαθὸν τῷ τῶν ἀνθρώπων γένει οὔτ' ἦλθέν ποτε ἐκ θεῶν οὔτ' ἀφίξεται.

§. 68. *Καί μοι δοκοῦσιν αἰσθόμενοι τῆς μεγάλης εὐποιΐας τῆς διὰ τῶν σοφῶν σεβασθῆναί τε τοὺς ἄνδρας καὶ δημοσίᾳ φιλοσοφῆσαι, Βραχμᾶνές τε σύμπαντες καὶ Ὀδρύσαι καὶ Γέται καὶ τὸ τῶν Αἰγυπτίων γένος ἐθεολόγησαν ἀκριβῶς τὰ ἐκείνων, Χαλδαῖοί τε καὶ Ἀράβιοι οἱ πληθέντες εὐδαίμονες καὶ ὅσοι γε τὴν Παλαιστίνην κατῴκησαν καὶ τοῦ Περσικοῦ γένους οὐ τὸ ἐλάχιστον μέρος καὶ ἄλλα πρὸς τούτοις γένη μυρία. ὁ δὲ Πλάτων ὅῆλον ὡς σεμνύνων αἰεὶ τοὺς βαρβάρους εὑρίσκεται, μεμνημένος αὐτοῦ τε καὶ Πυθαγόρου τὰ πλεῖστα καὶ γεναιότατα τῶν δογμάτων ἐν βαρβάροις μαθόντας.* P. 356. Pott. *διὰ τοῦτο καὶ γένη βαρβάρων εἶπεν· γένη φιλοσόφων ἀνδρῶν βαρβάρων γινώσκων ἔν τε τῷ Φαίδρῳ τὸν Αἰγύπτιον βασιλέα καὶ τοῦ Θωὺθ ὑμῖν σοφώτερον δείκνυσιν, ὃν τινα Ἑρμῆν οἶδεν ὄντα. ἀλλὰ καὶν τῷ Χαρμίδῃ Θρᾷκάς τινας ἐπιστάμενος φαίνεται, οἳ λέγονται ἀθανατίζειν τὴν ψυχήν.*

§. 69. *Ἱστορεῖται δὲ Πυθαγόρας μὲν Σώγχηδι τῷ Αἰγυπτίῳ ἀρχιπροφήτῃ μαθητεῦσαι, Πλάτων δὲ Σεχνούφιδι τῷ Ἡλιοπολίτῃ, Εὔδοξος δὲ ὁ Κνίδιος Κονούφιδι τῷ καὶ αὐτῷ Αἰγυπτίῳ. ἐν δὲ τῷ περὶ ψυχῆς Πλάτων πάλιν προφητείαν γνωρίζων φαίνεται προφήτην εἰσάγων τὸν τῆς λαχέσεως λόγον ἐξαγγέλλοντα πρὸς τὰς κληρουμένας ψυχὰς προθεσπίζοντα. καὶν τῷ Τιμαίῳ τὸν σοφώτατον Σόλωνα μανθάνοντα εἰσάγει πρὸς τοῦ βαρβάρου. ἔχει δὲ τὰ τῆς λέξεως ὧδε· ὦ Σόλων, Σόλων, Ἕλληνες ὑμεῖς ἀεὶ παῖδές ἐστε, γέρων δὲ Ἕλλην οὐδείς· οὐ γὰρ ἔχετε μάθημα χρόνῳ πολιόν. Δημόκριτος γὰρ τοὺς Βαβυλωνίους λόγους ἠθικοὺς πεποίηται· λέγεται γὰρ τὴν Ἀκικάρου στήλην ἑρμηνευθεῖσαν τοῖς ἰδίοις συντάξαι συγγράμ-*P. 357. *μασι. κἄστιν ἐπισημήνασθαι παρ' αὐτοῦ, τάδε ἔχει Δημόκριτος, γράφοντος. ναὶ μὴν καὶ περὶ* Pott. *αὐτοῦ, ἣ σεμνυνόμενός φησί που ἐπὶ τῇ πολυμαθίᾳ· γὼ δὲ τῶν κατ' ἐμαυτὸν ἀνθρώπων γῆν πλείστην*

ἐπεπλανησάμην ἱστορίων τὰ μήκιστα καὶ ἀέρας τε καὶ γῆς πλείστους εἶδον καὶ λογίων ἀνθρώπων πλείστων ἐσήκουσα καὶ γραμμέων συνθέσεως μετὰ ἀποδείξιος οὐδείς κώ με παρήλλαξεν οὐδ' οἱ Αἰγυπτίων ἐκαλεόμενοι Ἁρπεδονάπται, σὺν τοῖς δ' ἐπὶ πᾶσιν ἐπ' ἔτε' ὀγδώκοντα ἐπὶ ξείνης ἐγενήθην. ἐπῆλθε γὰρ Βαβυλῶνά τε καὶ Περσίδα καὶ Αἴγυπτον τοῖς τε μάγοις καὶ τοῖς ἱερεῦσι μαθητεύων. Ζωροάστρην δὲ τὸν μάγον τὸν Πέρσην ὁ Πυθαγόρας ἐζήλωσεν, βίβλους ἀποκρύφους τάνδρὸς τοῦδε οἱ τὴν Προδίκου μετιόντες αἱρεσιν αὐχοῦσι κεκτῆσθαι.

§. 70. Ἀλέξανδρος δὲ ἐν τῷ περὶ Πυθαγορικῶν συμβόλων Νεζιαράτῳ τῷ Ἀσσυρίῳ μαθητεῦσαι ἱστορεῖ τὸν Πυθαγόραν — Ἰεζικιὴλ τοῦτον ἡγοῦνταί τινες, οὐκ ἔστι δὲ ὡς ἑπειτὰ δηλωθήσεται — ἀκηκοέναι τε πρὸς τούτοις Γυμνοσοφιστῶν καὶ Βραχμάνων τῶν Πυθαγόραν βούλεται. Κλέαρχος δὲ ὁ περιπατητικὸς εἰδέναι φησί τινα Ἰουδαῖον ὃς Ἀριστοτέλει συνεγένετο. Ἡράκλειτος γὰρ οὐκ ἀνθρωπίνως φησὶν, ἀλλὰ σὺν θεῷ μᾶλλον Σίβυλλη πειράσθαι. φασὶ γοῦν ἐν Δελφοῖς παρὰ τὸ βουλευτήριον δείκνυσθαι πέτραν τινὰ, ἐφ' ἧς λέγεται καθίζεσθαι τὴν πρώτην Σίβυλλαν ἐκ τοῦ Ἑλικῶνος παραγενομένην ὑπὸ τῶν Μουσῶν τραφεῖσαν. ἔνιοι δέ φασιν ἐκ Μαλιαίων ἀφικέσθαι Λαβίης οὖσαν θυγατέρα τῆς Σιδῶνος. Σαραπίων δὲ ἐν τοῖς ἔπεσι μηδὲ ἀποθανοῦσαν λῆξαι μαντικῆς φησὶ τὴν Σίβυλλαν, καὶ τὸ μὲν εἰς ἀέρα χωρῆσαν αὐτῆς μετὰ τελευτὴν, τοῦτ' εἶναι τὸ ἐν φήμαις καὶ κληδόσι μαντευόμενον, τοῦ δὲ εἰς γῆν μεταβαλόντος σώματος πόας ὡς εἰκὸς ἀναφυείσης ὅσα ἂν αὐτὴν ἐπινεμηθῇ θρέμματα κατ' ἐκεῖνον δὴ ποιῆσθαι γενόμενα τὸν τόπον ἀκριβῆ τὴν δεῦρο τῶν σπλάγχνων τοῖς ἀνθρώποις προφαίνειν τοῦ μέλλοντος δήλωσιν γράφει, τὴν δὲ ψυχὴν αὐτῆς εἶναι τὸ ἐν τῇ σελήνῃ φαινόμενον πρόσωπον οἴεται.

§. 71. Τάδε μὲν περὶ Σιβύλλης. Νουμᾶς δὲ ὁ Ῥωμαίων βασιλεὺς Πυθαγόρειος μὲν ἦν, ἐκ δὲ τῶν

Μωϋσέως ὠφεληθεὶς διεκώλυσεν ἀνθρωποειδῆ καὶ ζωόμορφον εἰκόνα θεοῦ Ῥωμαίους κτίζειν. ἐν γοῦν τῷ ἑκατὸν καὶ ἑβδομήκοντα τοῖς πρώτοις ἔτεσι ναοὺς οἰκοδομούμενοι ἄγαλμα οὐδὲν οὔτε πλαστὸν οὔτε μὴν γραπτὸν ἐποιήσαντο. ἐπεδείκνυτο γὰρ αὐτοῖς ὁ Νουμᾶς δὶ ἐπικρύψεως ὡς οὐκ ἐφάψασθαι τοῦ βελτίστου δυνατὸν ἄλλως ἢ μόνῳ τῷ νῷ. φιλοσοφία τοίνυν πολυωφελές τι χρῆμα πάλαι μὲν ἤκμασε παρὰ βαρβάροις κατὰ τὰ ἔθνη διαλάμψασα, ὕστερον δὲ καὶ εἰς Ἕλληνας κατῆλθεν. προέστησαν δ' αὐτῆς Αἰγυπτίων τε οἱ προφῆται καὶ Ἀσσυρίων οἱ Χαλδαῖοι καὶ Γαλατῶν οἱ Δρυΐδαι καὶ Σαμαναῖοι, Βάκτρων καὶ Κελτῶν οἱ φιλοσοφήσαντες καὶ Περσῶν οἱ μάγοι· οἱ μέν γε καὶ τοῦ σωτῆρος προεμήνυσαν τὴν γένεσιν ἀστέρος αὐτοῖς καθηγουμένου εἰς τὴν Ἰουδαίων ἀφικνούμενοι γῆν, Ἰνδῶν τε οἱ γυμνοσοφισταὶ, ἄλλοι τε φιλόσοφοι βάρβαροι. διττὸν δὲ τούτων τὸ γένος· οἱ μὲν Σαρμᾶναι αὐτῶν, οἱ δὲ Βραχμᾶναι καλούμενοι. καὶ τῶν Σαρμανῶν οἱ ἀλλόβιοι προσαγορευόμενοι οὔτε πόλεις οἰκοῦσιν οὔτε στέγας ἔχουσιν, δένδρων δὲ ἀμφιέννυνται φλοιοῖς καὶ ἀκρόδρυα σιτοῦνται καὶ ὕδωρ ταῖς χερσὶ πίνουσιν, οὐ γάμον, οὐ παιδοποιίαν ἴσασιν, ὥσπερ οἱ νῦν ἐγκρατηταὶ καλούμενοι. εἰσὶ δὲ τῶν Ἰνδῶν οἱ τοῖς Βούττα πειθόμενοι παραγγέλμασιν, ὃν δι' ὑπερβολὴν σεμνότητος εἰς θεὸν τετιμήκασι.

§. 72. Σκύθης δὲ καὶ Ἀνάχαρσις ἦν, καὶ πολλῶν παρ' Ἕλλησι διαφέρων οὗτος ἀναγράφεται φιλοσόφων. τοὺς δὲ Ὑπερβορέους Ἑλλάνικος ὑπὲρ τὰ Ῥίπαια ὄρη οἰκεῖν ἱστορεῖ, διδάσκεσθαι δὲ αὐτοὺς δικαιοσύνην μὴ κρεωφαγοῦντας, ἀλλ' ἀκροδρύοις χρωμένους. τοὺς ἑξηκονταετεῖς οὗτοι ἔξω πυλῶν ἄγοντες ἀφανίζουσιν. εἰσὶ δὲ καὶ παρὰ Γερμανοῖς αἱ ἔγγαι καλούμεναι γυναῖκες, αἳ ποταμῶν δίναις προβλέπουσαι καὶ ῥευμάτων ἑλιγμοῖς καὶ ψόφοις τεκμαίρονται καὶ προθεσπίζουσι τὰ μέλλοντα. αὖτως γοῦν

οὐκ εἴασαν αὐτοὺς τὴν μάχην θέσθαι πρὸς Καίσαρα πρὶν ἐπιλάμψαι σελήνην τὴν νέαν. τούτων ἁπάντων πρεσβύτατον μακρῷ τὸ Ἰουδαῖον γένος, καὶ τὴν παρ' αὐτοῖς φιλοσοφίαν ἔγγραπτον γενομένην προκατάρξαι
5 τῆς παρ' Ἕλλησι φιλοσοφίας διὰ πολλῶν ὁ Πυθα-
P. γόρειος ὑποδείκνυσι Φίλων. οὐ μὴν ἀλλὰ καὶ Ἀρι-
132 στόβουλος ὁ περιπατητικὸς καὶ ἄλλοι πλείονς, ἵνα
Syb. μὴ κατ' ὄνομα ἐπιὼν διατρίβω, φανερώτατα δὲ
Μεγασθένης ὁ συγγραφεὺς ὁ Σελεύκῳ τῷ Νικάτορι
10 συμβεβιωκὼς ἐν τῇ τρίτῃ τῶν Ἰνδικῶν ὧδε γράφει· ἅπαντα μέντοι τὰ περὶ φύσεως εἰρημένα παρὰ τοῖς ἀρχαίοις λέγεται καὶ παρὰ τοῖς ἔξω τῆς Ἑλλάδος φιλοσοφοῦσι, τὰ μὲν παρ' Ἰνδοῖς ὑπὸ τῶν Βραχμάνων, τὰ δὲ ἐν τῇ Συρίᾳ ὑπὸ τῶν καλουμένων Ἰου-
15 δαίων.

§. 73. Τινὲς δὲ μυθικώτερον τῶν Ἰδαίων καλουμένων δακτύλων σοφούς τινας πρώτους γενέσθαι λέγουσιν, εἰς οὓς ἥ τε τῶν Ἐφεσίων λεγομένων γραμμάτων καὶ ἡ τῶν κατὰ μουσικὴν εὕρεσις ῥυθμῶν
20 ἀναφέρεται. διὸ ἣν αἰτίαν οἱ παρὰ τοῖς μουσικοῖς δάκτυλοι τὴν πρυσηγορίαν εἰλήφασι. Φρύγες δὲ ἦσαν καὶ βάρβαροι οἱ Ἰδαῖοι δάκτυλοι. Ἡρόδωρος δὲ τὸν Ἡρακλέα μάντιν καὶ φυσικὸν γενόμενον ἱστορεῖ παρὰ Ἄτλαντος τοῦ βαρβάρου τοῦ Φρυγὸς διαδέχεσθαι
25 τοὺς τοῦ κόσμου κίονας, αἰνιττομένου τοῦ μύθου τὴν τῶν οὐρανίων ἐπιστήμην μαθήσει διαδέχεσθαι. ὁ δὲ Βηρύττιος Ἕρμιππος Χείρωνα τὸν Κένταυρον σοφὸν καλεῖ, ἐφ' οὗ καὶ ὁ τὴν Τιτανομαχίαν γράψας φησὶν ὡς πρῶτος οὗτος·
P.
30 εἷς τε δικαιοσύνην θνητῶν γένος ἦγαγε δείξας 361
ὅρκους καὶ θυσίας ἱλαρὰς καὶ σχήματ' Ὀλύμπου. Por
παρὰ τούτῳ Ἀχιλλεὺς παιδεύεται ὁ ἐπ' Ἴλιον στρατεύσας, Ἱππὼ δὲ ἡ θυγάτηρ τοῦ Κενταύρου συνοικήσασα Αἰόλῳ ἐδιδάξατο αὐτὸν τὴν φυσικὴν θεωρίαν τὴν πάτριον ἐπιστήμην. μαρτυρεῖ καὶ Εὐριπί-
δης περὶ τῆς Ἱππους ὧδέ πως·

ἢ πρῶτα μὲν τὰ θεῖα προὐμαντεύσατο
χρησμοῖσι σαφέσιν ἀστέρων ἐπ' ἀντολαῖς.

παρὰ τῷ Αἰόλῳ τούτῳ Ὀδυσσεὺς μετὰ τὴν Ἰλίου ἅλωσιν ξενίζεται. παρατήρει μοὶ τοὺς χρόνους εἰς σύγκρισιν τῆς Μωϋσέως ἡλικίας καὶ τῆς κατ' αὐτὸν ἀρχαιοτάτης φιλοσοφίας.

Cap. XVI.

§. 74. Οὐ μόνης δὲ φιλοσοφίας, ἀλλὰ καὶ πάσης σχεδὸν τέχνης εὑρεταὶ βάρβαροι. Αἰγύπτιοι γοῦν πρῶτοι ἀστρολογίαν εἰς ἀνθρώπους ἐξήνεγκαν, ὁμοίως δὲ καὶ Χαλδαῖοι. Αἰγύπτιοι λύχνους τε αὖ καίειν πρῶτοι κατέδειξαν καὶ τὸν ἐνιαυτὸν εἰς δώδεκα μῆνας διεῖλον καὶ ἐν ἱεροῖς μίσγεσθαι γυναιξὶν ἐκώλυσαν μηδ' εἰς ἱερὰ εἰσιέναι ἀπὸ γυναικὸς ἀλούτους ἐνομοθέτησαν, γεωμετρίας τε αὖ εὑρεταὶ γεγόνασιν. εἰσὶν δὲ οἱ Κᾶρας τὴν δι' ἀστέρων πρόγνωσιν ἐπινενοηκέναι λέγουσιν. πτήσεις δὲ ὀρνίθων παρεφυλάξαντο πρῶτοι Φρύγες· καὶ θυτικὴν ἠκρίβωσαν Τοῦσκοι Ἰταλίας γείτονες. Ἴσαυροι δὲ καὶ Ἄραβες ἐξεπόνησαν τὴν οἰωνιστικὴν, ὥσπερ Τελμισεῖς τὴν δι' ὀνείρων μαντικήν. Τυρρηνοὶ σάλπιγγα ἐπενόησαν καὶ Φρύγες αὐλόν· Φρύγες γὰρ ἤστην Ὄλυμπός τε καὶ Μαρσύας. P.

§. 75. Κάδμος δὲ Φοίνιξ ἦν ὁ τῶν γραμμάτων Ἕλλησιν εὑρετὴς, ὥς φησιν Εὔφορος, ὅθεν καὶ Φοινικήια τὰ γράμματα Ἡρόδοτος κεκλῆσθαι γράφει. οἱ δὲ Φοίνικας καὶ Σύρους γράμματα ἐπινοῆσαι πρώτους λέγουσιν. ἰατρικὴν δὲ Ἆπιν Αἰγύπτιον αὐτόχθονα πρὶν εἰς Αἴγυπτον ἀφικέσθαι τὴν Ἰώ. μετὰ δὲ ταῦτα Ἀσκληπιὸν τὴν τέχνην αὐξῆσαι λέγουσιν. Ἄτλας δὲ ὁ Λίβυς πρῶτος ναῦν ἐναυπηγήσατο καὶ τὴν θάλασσαν ἔπλευσε. Κέλμις τε αὖ καὶ Δαμναμενεὺς οἱ τῶν Ἰδαίων δάκτυλοι πρῶτοι σίδηρον εὗρον ἐν Κύπρῳ, Δέλας δὲ ἄλλος Ἰδαῖος εὗρε χαλ-

362. Pott.

κοῦ κρᾶσιν, ὡς δὲ Ἡσίοδος, Σκύθης. ναὶ μὴν Θρᾷκες πρῶτοι τὴν καλουμένην ἅρπην εὗρον, ἔστι δὲ μάχαιρα καμπύλη, καὶ πρῶτοι πέλταις ἐπὶ τῶν ἵππων ἐχρήσαντο. ὁμοίως δὲ καὶ Ἰλλύριοι τὴν καλουμένην πέλταν ἐξεῦρον. ἔτι φασὶ Τουσκανοὺς τὴν πλαστικὴν ἐπινοῆσαι, Ἰτανόν τε — Σαυνίτης οὗτος ἦν — P. πρῶτον θυρεὸν κατασκευάσαι. Κάδμος γὰρ ὁ Φοί- 363. νιξ λιθοτομίαν ἐξεῦρε καὶ μέταλλα χρυσοῦ τὰ περὶ Pou. τὸ Πάγκαιον ἐπενόησεν ὄρος. ἤδη δὲ καὶ ἄλλο ἔθνος Καππάδοκες πρῶτοι εὗραν τὸν νάβλαν καλούμενον, ὃν τρόπον καὶ τὸ δίχορδον Ἀσσύριοι. Καρχηδόνιοι γὰρ πρῶτοι τετρήρη κατεσκεύασαν, ἐναυπήγησε δὲ αὐτὴν Βόσπορος αὐτοσχέδιον.

§. 76. Μήδειά τε ἡ Αἰήτου ἡ Κολχὶς πρώτη βαφὴν τριχῶν ἐπενόησεν. ἀλλὰ καὶ Νώροπες — ἔθνος ἐστὶ Παιονικόν, νῦν δὲ Νωρικὸν καλοῦνται — κατειργάσαντο χαλκὸν καὶ σίδηρον ἐκάθηραν πρῶτοι. Ἄμυκός τε ὁ Βεβρύκων βασιλεὺς ἱμάντας πυκτικοὺς πρῶτος εὗρε. περί τε μουσικὴν Ὄλυμπος ὁ Μυσὸς τὴν Λύδιον ἁρμονίαν ἐφιλοτέχνησεν. οἵ τε Τρωγλοδύται καλούμενοι σαμβύκην εὗρον ὄργανον μουσικόν. φασὶ δὲ καὶ τὴν πλαγίαν σύριγγα Σάτυρον εὑρεῖν τὸν Φρύγα· [τρίχορδον δὲ ὁμοίως καὶ τὴν διάτονον ἁρμονίαν Ὑαγνιν τὸν καὶ αὐτὸν Φρύγα·] κρούματα δὲ Ὄλυμπον ὁμοίως τὸν Φρύγα, καθάπερ Φρύγιον ἁρμονίαν καὶ μιξοφρύγιον καὶ μιξολύδιον Μαρσύαν τῆς αὐτῆς ὄντα τοῖς προειρημένοις χώρας, καὶ τὴν Δώριον Θάμυριν ἐπινοῆσαι τὸν Θρᾷκα. Πέρσας τε πρώτους ἀκηκόαμεν ἀπήνην καὶ κλίνην καὶ ὑποπόδιον ἐργάσασθαι τούς τε Σιδονίους κρί- P. κωπον ναῦν κατασκευάσαι. Σικελοί τε οἱ πρὸς τῇ 36. Ἰταλίᾳ πρῶτοι φόρμιγγα εὗρον οὐ πολὺ τῆς μεθύ- Po. ρας λειπομένην καὶ κρόταλα ἐπενόησαν. ἐπί τε Σεμιράμεως βασιλέως Αἰγυπτίων τὰ βύσσινα ἱμάτια εὑρῆσθαι ἱστοροῦσιν. καὶ πρώτην ἐπιστολὰς συν-

τάξαι Ἄτοσσαν τὴν Περσῶν βασιλεύσασάν φησιν Ἑλλάνικος.

§. 77. Σκάμων μὲν οὖν ὁ Μιτυληναῖος καὶ Θεόφραστος ὁ Ἐρέσιος Κίδιππός τε ὁ Μαντινεὺς, ἔτι τε
P. Ἀντιφάνης καὶ Ἀριστόδημος καὶ Ἀριστοτέλης, πρὸς
133 τούτοις δὲ Φιλοστέφανος, ἀλλὰ καὶ Στράτων ὁ περι-
8 lb. πατητικὸς ἐν τοῖς περὶ εὑρημάτων ταῦτα ἱστόρησαν. παρεθέμην δὲ αὐτῶν ὀλίγα εἰς σύστασιν τῆς παρὰ βαρβάροις εὑρετικῆς καὶ βιωφελοῦς φύσεως, παρ' ὧν
16 Ἕλληνες τὰ ἐπιτηδεύματα ὠφέληνται. εἰ δέ τις τὴν φωνὴν διαβάλλει τὴν βάρβαρον, ἐμοὶ δὲ, φησὶν ὁ Ἀνάχαρσις, πάντες Ἕλληνες σκυθίζουσιν. οὗτος ἦν ὁ παρ' Ἕλλησι θαυμασθεὶς ὁ φήσας ἐμοὶ περίβλημα χλαῖνα, δεῖπνον γάλα, τυρός. ὁρᾷς φιλοσοφίαν βάρ-
15 βαρον ἔργα ἐπαγγελλομένην, οὐ λόγους.

§. 78. Ὁ δὲ ἀπόστολος οὕτω φησίν· „καὶ ὑμεῖς διὰ τῆς γλώσσης ἐὰν μὴ εὔσημον λόγον δῶτε, πῶς γνωσθήσεται τὸ λαλούμενον; ἔσεσθε γὰρ εἰς ἀέρα λαλοῦντες." τοσαῦτα εἰ τύχοι γένη φωνῶν εἰσὶν ἐν
20 κόσμῳ καὶ οὐδὲν ἄφωνον. ἐὰν οὖν μὴ εἰδῶ τὴν δύναμιν τῆς φωνῆς, ἔσομαι τῷ λαλοῦντι βάρβαρος, καὶ „ὁ λαλῶν ἐμοὶ βάρβαρος." καὶ „ὁ λαλῶν γλώσσῃ προσευχέσθω ἵνα διερμηνεύῃ" *). ναὶ μὴν ὀρέ ποτε εἰς Ἕλληνας ἡ τῶν λόγων παρῆλθε διδασκαλία τε
25 καὶ φροντίς. Ἀλκμαίων γοῦν Περίθου Κροτωνιάτης πρῶτος φυσικὸν λόγον συνέταξεν. οἱ δὲ Ἀναξαγόραν Ἡγησιβούλου Κλαζομένιον πρῶτον δὴ φροντῖδος ἐκδοῦναι βιβλίον ἱστοροῦσιν. μέλος τε αὖ πρῶτος περιέθηκε τοῖς ποιήμασι καὶ τοὺς Λακεδαιμο-
P. 30 νίων νόμους ἐμελοποίησε Τέρπανδρος ὁ Ἀντισσαῖος, 365.
διθύραμβον δὲ ἐπενόησεν Λάσσος Ἑρμιονεὺς, ὕμνον Pott.
Στησίχορος Ἱμεραῖος, χορείαν Ἀλκμὰν Λακεδαιμόνιος, τὰ ἐρωτικὰ Ἀνακρέων Τήιος, ὑπόρχησιν Πίν-

*) 1 Corinth. 14, 9—13.

δαρος Θηβαῖος, νόμους τε πρώτους ᾖσεν ἐν χορῷ καὶ κιθάρᾳ Τιμόθεος ὁ Μιλήσιος.

§. 79. Ναὶ μὴν ἴαμβον μὲν ἐπενόησεν Ἀρχίλοχος ὁ Πάριος, χωλὸν δὲ ἴαμβον Ἱππώναξ ὁ Ἐφέσιος, καὶ τραγῳδίαν μὲν Θέσπις ὁ Ἀθηναῖος, κωμῳδίαν δὲ Σουσαρίων ὁ Ἰκαριεύς. τοὺς χρόνους τούτων παίδες παραδιδόασι γραμματικῶν, μακρὸν δ' ἂν εἴη τούτους ἀκριβολογούμενον παραθέσθαι αὐτοῦ δεικνυμένου τοῦ Διονύσου, δι' ὃν καὶ Διονύσια καὶ θέα μεταγενεστέρου Μωϋσέως ἢ αὐτίκα μάλα. φασὶ δὲ καὶ τοὺς κατὰ διατριβὴν λόγους καὶ τὰ ῥητορικὰ ἰδιώματα εὑρεῖν καὶ μισθοῦ συνηγορῆσαι πρῶτον δικανικὸν λόγον εἰς ἔκδοσιν γραψάμενον Ἀντιφῶντα Φίλου Ῥαμνούσιον, ὥς φησι Δίδυμος, Ἀπολλόδωρος δὲ ὁ Κυμαῖος πρῶτος τοῦ κριτικοῦ εἰσηγήσατο τοὔνομα καὶ γραμματικὸς προσηγορεύθη. ἔνιοι δὲ Ἐρατοσθένη τὸν Κυρηναῖόν φασιν, ἐπειδὴ ἐξέδωκεν οὗτος βιβλία δύο γραμματικὰ ἐπιγράψας, ὠνομάσθη δὲ γραμματικὸς ὡς νῦν ὀνομάζομεν πρῶτος Πραξιφάνης Διονυσοφάνους Μιτυληναῖος. Ζάλευκός τε ὁ Λοκρὸς πρῶτος ἱστόρηται νόμους θέσθαι, οἱ δὲ Μίνω τὸν Διὸς ἐπὶ Λυγκέως. οὗτος μετὰ Δαναὸν γίνεται ἐνδεκάτῃ ἄνωθεν ἀπὸ Ἰνάχου καὶ Μωϋσέως γενεᾷ, ὡς ὀλίγον ὑποβάντες δείξομεν. Λυκοῦργος δὲ μετὰ πολλὰ τῆς Ἰλίου ἁλώσεως γεγονὼς ἔτη πρὸ τῶν ὀλυμπιάδων ἔτεσιν ἑκατὸν πεντήκοντα νομοθετεῖ Λακεδαιμονίοις, Σόλωνος γὰρ τοὺς χρόνους προειρήκαμεν.

P. 366. Pott.

§. 80. Δράκων δὲ ὁ καὶ αὐτὸς νομοθέτης περὶ τὴν τριακοστὴν καὶ ἐννάτην ὀλυμπιάδα γεγονὼς εὑρίσκεται. Ἀντίλοχος δὲ καὶ οὗτος ἱστορίας πραγματευσάμενος ἀπὸ τῆς Πυθαγόρου ἡλικίας ἐπὶ τὴν Ἐπικούρου τελευτὴν, γαμηλιῶνος δὲ δεκάτῃ ἱσταμένου γενομένην ἔτη φέρει τὰ πάντα τριακόσια δώδεκα. ἔτι φασὶ τὸ ἡρῷον τὸ ἑξάμετρον Φανοθέαν τὴν γυναῖκα Ἰκαρίου, οἱ δὲ Θέμιν μίαν τῶν Τιτανίδων

εὑρεῖν. Δίδυμος δ' ἐν τῷ περὶ Πυθαγορικῆς φιλοσοφίας Θεανὼ τὴν Κροτωνιᾶτιν πρώτην γυναικῶν φιλοσοφῆσαι καὶ ποιήματα γράψαι ἱστορεῖ. ἡ μὲν οὖν Ἑλληνικὴ φιλοσοφία ὡς μέν τινες κατὰ περίπτωσιν ἐπήβολος τῆς ἀληθείας ἀμηγέπη, ἀμυδρῶς τε καὶ οὐ πάσης γίνεται, ὡς δὲ ἄλλοι βούλονται ἐκ τοῦ διαβόλου τὴν κίνησιν ἴσχει. ἔνιοι δὲ δυνάμεις τινὰς ὑποβεβηκυίας ἐμπνεῦσαι τὴν πᾶσαν φιλοσοφίαν ὑπειλήφασιν. ἀλλ' εἰ καὶ μὴ καταλαμβάνει ἡ Ἑλληνικὴ φιλοσοφία τὸ μέγεθος τῆς ἀληθείας, ἔτι δὲ ἐξασθενεῖ πράττειν τὰς κυριακὰς ἐντολάς, ἀλλ' οὖν γε προκατασκευάζει τὴν ὁδὸν τῇ βασιλικωτάτῃ διδασκαλίᾳ, ἀμηγέπῃ σοφρονίζουσα καὶ τὸ ἦθος προτυποῦσα καὶ προσιτύφουσα εἰς παραδοχὴν τῆς ἀληθείας τὴν πρόνοιαν δοξάζοντα.

Cap. XVII.

§. 81. Ναὶ φασὶν γεγράφθαι „πάντες οἱ πρὸ τῆς παρουσίας τοῦ κυρίου κλέπται εἰσὶ καὶ λῃσταί" *). πάντες μὲν οὖν οἱ ἐν λόγῳ — οὗτοι δὴ οἱ πρὸ τῆς τοῦ λόγου σαρκώσεως — ἐξακούονται καθολικώτερον. ἀλλ' οἱ μὲν προφῆται ἅτε ἀποσταλέντες καὶ ἐμπνευσθέντες ὑπὸ τοῦ κυρίου οὐ κλέπται, ἀλλὰ διάκονοι. φησὶ γοῦν ἡ γραφὴ, „ἀπέστειλεν ἡ σοφία τοὺς ἑαυτῆς δούλους συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα οἴνου" **). φιλοσοφία δὲ οὐκ ἀπεστάλη ὑπὸ κυρίου, ἀλλ' ἦλθε, φησὶ, κλαπεῖσα ἢ παρὰ κλέπτου δοθεῖσα, εἴτ' οὖν δύναμις ἢ ἄγγελός μαθών τι τῆς ἀληθείας καὶ μὴ καταμείνας ἐν αὐτῇ, ταῦτα ἐνέπνευσε καὶ κλέψας ἐδίδαξεν οὐχὶ μὴ εἰδότος τοῦ κυρίου τοῦ καὶ τὰ τέλη τῶν ἐσομένων πρὸ καταβολῆς τοῦ ἕκαστον εἶναι ἐγνωκότος, ἀλλὰ μὴ κωλύσαντος· εἶχεν γάρ τινα ὠφέλειαν τότε

P. 367. Pott.

*) Ioann. 10, 8. **) Prouerb. 11, 3.

ἢ εἰς ἀνθρώπους ἐρχομένη κλοπὴ, οὐ τοῦ ὑφελομένου τὸ συμφέρον σκοπουμένου, κατευθυνούσης δὲ εἰς τὸ συμφέρον τῆς προνοίας τὴν ἔκβασιν τοῦ τολμήματος.

§. 82. Οἶδα πολλοὺς ἀδιαλείπτως ἐπιφυομένους ἡμῖν καὶ τὸ μὴ κωλῦον αἴτιον εἶναι λέγοντας, φασὶ γὰρ αἴτιον εἶναι κλοπῆς τὸν μὴ φυλάξαντα ἢ τὸν μὴ κωλύσαντα, ὡς τοῦ ἐμπρησμοῦ τὸν μὴ σβέσαντα τὸ δεινὸν ἀρχόμενον καὶ τοῦ ναυαγίου τὸν κυβερνήτην μὴ στείλαντα τὴν ὀθόνην. αὐτίκα κολάζονται πρὸς τοῦ νόμου οἱ τούτων αἴτιοι. ᾧ γὰρ κωλῦσαι δύναμις ἦν τούτῳ καὶ ἡ αἰτία τοῦ συμβαίνοντος προσάπτεται. φαμὲν δὴ πρὸς αὐτοὺς τὸ αἴτιον ἐν τῷ ποιεῖν καὶ ἐνεργεῖν καὶ ὁρᾶν νοεῖσθαι, τὸ δὲ μὴ κωλῦον κατά γε τοῦτο ἀνενέργητον εἶναι. ἔτι τὸ μὲν αἴτιον πρὸς τῇ ἐνεργείᾳ ἐστὶ, καθάπερ ὁ μὲν ναυπηγὸς πρὸς τὸ γίγνεσθαι τὸ σκάφος, ὁ δὲ οἰκοδόμος πρὸς τὸ ἐκτίσθαι τὴν οἰκίαν, τὸ δὲ μὴ κωλῦον κεχώρισται τοῦ γινομένου. διὰ τοῦτο γοῦν ἐπιτελεῖται, ὅτι τὸ κωλῦσαι δυνάμενον οὐκ ἐνεργεῖ οὐδὲ κωλύει. τί γὰρ ἐνεργεῖ ὁ μὴ κωλύων; ἤδη δὲ καὶ εἰς ἀπέμφασιν αὐτοῖς ὁ λόγος χωρεῖ, εἴ γε τῆς τρώσεως, οὐχὶ τὸ βέλος, ἀλλὰ τὴν ἀσπίδα τὴν μὴ κωλύσασαν τὸ βέλος διελθεῖν αἰτιάσονται· οὐδὲ γὰρ τὸν κλέπτην, ἀλλὰ τὸν μὴ κωλύσαντα τὴν κλοπὴν καταμέμψονται.

§. 83. Καὶ τὰς ναῦς τοίνυν τῶν Ἑλλήνων μὴ τὸν Ἕκτορα ἐμπρῆσαι λεγόντων, ἀλλὰ τὸν Ἀχιλλέα, διότι κωλῦσαι τὸν Ἕκτορα δυνάμενος οὐ κεκώλυκεν, ἀλλ' ὁ μὲν διὰ μῆνιν, ἐπ' αὐτῷ δὲ ἦν καὶ μηνίειν καὶ μή, καὶ μὴν οὐκ ἀπεῖρξε τὸ πῦρ, καὶ ἴσως συναίτιος, ὁ δὲ διάβολος αὐτεξούσιος ὢν καὶ μετανοῆσαι οἷός τε ἦν καὶ κλέψαι, καὶ ὁ αἴτιος αὐτὸς τῆς κλοπῆς οὐχ ὁ μὴ κωλύσας κύριος. ἀλλ' οὐδ' ἐπιβλαβὴς ἡ δόσις ἦν ἵνα ἡ κώλυσις παρῇ. εἰ δὲ χρὴ ἀκριβολογεῖσθαι πρὸς αὐτοὺς, ἴστωσαν τὸ

μὲν μὴ κωλυτικὸν ὅπερ φαμὲν ἐπὶ τῆς κλοπῆς γεγονέναι μηδ' ὅλως αἴτιον εἶναι, τὸ δὲ κωλυτικὸν ἐνέχεσθαι τῷ τοῦ αἰτίου ἐγκλήματι. ὁ γὰρ προασπίζων αἴτιός ἐστι τῷ προασπιζομένῳ τοῦ μὴ τραυματίσεσθαι κωλύων τὸ τρωθῆναι αὐτὸν, καὶ τῷ Σωκράτει τὸ δαιμόνιον αἴτιον ἦν οὐχὶ μὴ κωλῦον, ἀλλὰ προτρέπον εἰ καὶ μὴ προέτρεπεν. οὔτε δὲ οἱ ἔπαινοι οὔτε οἱ ψόγοι οὔθ' αἱ τιμαὶ οὔθ' αἱ κολάσεις δίκαιαι, μὴ τῆς ψυχῆς ἐχούσης τὴν ἐξουσίαν τῆς ὁρμῆς καὶ ἀφορμῆς, ἀλλ' ἀπουσίου τῆς κακίας οὔσης.

§. 84. Ὅθεν ὁ μὲν κωλύσας αἴτιος, ὁ δὲ μὴ κωλύσας τὴν αἵρεσιν τῆς ψυχῆς κρίνει δικαίως, ἵν' ὅτι μάλιστα ὁ θεὸς μὲν ἡμῖν κακίας ἀναίτιος, ἐπεὶ δὲ τῶν ἁμαρτημάτων προαίρεσις καὶ ὁρμὴ κατάρχει, δημαρτημένη δὲ ὑπόληψις ἔσθ' ὅτε κρατεῖ ἧς ἀγνοίας καὶ ἁμαθίας οὔσης ὀλιγωροῦμεν ἀποστῆναι εἰκότως αἱ κολάσεις. καὶ γὰρ τὸ πυρέττειν ἀκούσιον, ἀλλ' ὅταν δι' ἑαυτόν τις καὶ δι' ἀκρασίαν πυρέττῃ αἰτιώμεθα τοῦτον. ὡς δὲ καὶ τῆς κακίας ἀκουσίου οὔσης, οὐ γὰρ αἱρεῖταί τις κακὸν ἢ κακὸν, τῇ δὲ περὶ αὐτῷ ἡδονῇ συναπαγόμενος ἀγαθὸν ὑπολαβὼν λῃπτὸν ἡγεῖται. ὧν οὕτως ἐχόντων τὸ ἀπαλλάττεσθαι τῆς τε ἀγνοίας τῆς τε αἱρέσεως τῆς φαύλης καὶ ἐπιτερποῦς καὶ πρὸ τούτων τὸ μὴ συγκατατίθεσθαι ταῖς ἀπατηλαῖς ἐκείναις φαντασίαις ἀπόκειται ἐφ' ἡμῖν. λῃστὴς δὲ καὶ κλέπτης ὁ διάβολος λέγεται ψευδοπροφήτας ἐγκαταμίξας τοῖς προφήταις, καθάπερ τῷ πυρῷ τὰ ζιζάνια, "πάντες" οὐδὲν "οἱ πρὸ κυρίου κλέπται καὶ λῃσταί"*), οὐχ ἁπλῶς πάντες ἄνθρωποι, πάντες δὲ οἱ ψευδοπροφῆται καὶ πάντες οἱ μὴ κυρίως ὑπ' αὐτοῦ ἀποσταλέντες.

§. 85. Εἶχον δὲ καὶ οἱ ψευδοπροφῆται τὸ κλέμμα

*) Ioann. 10, 8.

τὸ ὄνομα τὸ προφητικὸν προφῆται ὄντες, ἀλλὰ τοῦ ψεύστου. λέγει γὰρ ὁ κύριος, „ὑμεῖς ἐκ τοῦ πατρὸς ὑμῶν τοῦ διαβόλου ἐστὲ καὶ τὰς ἐπιθυμίας τοῦ πα- P.
τρὸς ὑμῶν θέλετε ποιεῖν, ἐκεῖνος ἀνθρωποκτόνος369.
ἦν ἀπ' ἀρχῆς καὶ ἐν τῇ ἀληθείᾳ οὐκ ἔστηκεν, ὅτι Petr.
οὐκ ἔστιν ἀλήθεια ἐν αὐτῷ, ὅταν λαλῇ τὸ ψεῦδος, ἐκ τῶν ἰδίων λαλεῖ, ὅτι ψευστής ἐστι καὶ ὁ πατὴρ αὐτοῦ" *). ἐν δὲ τοῖς ψεύδεσι καὶ ἀληθῆ τινὰ ἔλεγον οἱ ψευδοπροφῆται καὶ τῷ ὄντι οὗτοι ἐν ἐκστάσει προεφήτευον ὡς ἂν ἀποστάτου διάκονοι. λέγει δὲ καὶ ὁ ποιμὴν ὁ ἄγγελος τῆς μετανοίας τῷ Ἑρμᾷ περὶ τοῦ ψευδοπροφήτου· τίνα γὰρ ῥήματα ἀληθῆ λαλεῖ, ὁ γὰρ διάβολος αὐτὸν πληροῖ τῷ ἑαυτοῦ πνεύματι, εἴ τινα δυνήσεται ῥῆξαι τῶν δικαίων. πάντα μὲν οὖν οἰκονομεῖται ἄνωθεν εἰς καλὸν, „ἵνα γνωρισθῇ διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ κατὰ πρόγνωσιν τῶν αἰώνων ἣν ἐποίησεν ἐν Χριστῷ" **). τῷ θεῷ δὲ οὐδὲν ἀντίκειται οὐδὲ ἐναντιοῦταί τι αὐτῷ κυρίῳ καὶ παντοκράτορι ὄντι.

§. 86. Ἀλλὰ καὶ αἱ τῶν ἀποστατησάντων βουλαί τε καὶ ἐνέργειαι μερικαὶ οὖσαι γίνονται μὲν ἐκ φαύλης διαθέσεως καθάπερ καὶ αἱ νόσοι αἱ σωματικαὶ, κυβερνῶνται δὲ ὑπὸ τῆς καθόλου προνοίας ἐπὶ τέλος ὑγιεινὸν κἂν νοσοποιὸς ᾖ ἡ αἰτία. μέγιστον γοῦν τῆς θείας προνοίας τὸ μὴ ἐᾶσαι τὴν ἐξ ἀποστάσεως ἐκουσίου φυεῖσαν κακίαν ἄχρηστον καὶ ἀνωφελῆ μένειν μηδὲ μὴν κατὰ πάντα βλαβερὰν αὐτὴν γενέσθαι, τῆς γὰρ θείας σοφίας καὶ ἀρετῆς καὶ δυνάμεως ἔργον ἐστὶν οὐ μόνον τὸ ἀγαθοποιεῖν — φύσις γὰρ ὡς εἰπεῖν αὕτη τοῦ θεοῦ ὡς τοῦ πυρὸς τὸ θερμαίνειν καὶ τοῦ φωτὸς τὸ φωτίζειν —, ἀλλὰ κἀκεῖνο μάλιστα τὸ διὰ κακῶν τῶν ἐπινοηθέντων πρὸς τινῶν, ἀγαθόν τι καὶ χρηστὸν τέ-

*) Ioann. 8, 44. **) Ephes. 3, 10 sq.

λος ἀποτελεῖν καὶ ὠφελίμως τοῖς δοκοῦσι φαύλοις χρῆσθαι καθάπερ καὶ τῷ ἐκ πειρασμοῦ μαρτυρίῳ.

§. 87. Ἔστιν οὖν κἂν φιλοσοφία τῇ κλαπείσῃ καθάπερ ὑπὸ Προμηθέως πῦρ ὀλίγον εἰς φῶς ἐπιστήδειον χρησίμως ζωπυρούμενον ἴχνος τι σοφίας καὶ κίνησις παρὰ θεοῦ. ταῦτα δ' ἂν εἶεν κλέπται καὶ λῃσταὶ οἱ παρ' Ἕλλησι φιλόσοφοι καὶ πρὸ τῆς τοῦ P. κυρίου παρουσίας παρὰ τῶν Ἑβραϊκῶν προφητῶν 135 μέρη τῆς ἀληθείας οὐ κατ' ἐπίγνωσιν λαβόντες, 8 γlb. ἀλλ' ὡς ἴδια σφετερισάμενοι δόγματα καὶ τὰ μὲν παραχαράξαντες, τὰ δὲ ὑπὸ περιεργίας ἀμαθῶς σοφισάμενοι, τὰ δὲ καὶ ἐξευρόντες, ἴσως γὰρ καὶ πνεῦμα αἰσθήσεως *) ἐσχήκασιν. ὡμολόγησε δὲ καὶ Ἀριστο- P. τέλης τῇ γραφῇ κλεπτικὴν σοφίας τὴν σοφιστικὴν 370. 15 εἰπὼν ὡς προεμηνύσαμεν. ὁ δὲ ἀπόστολος „ἃ καὶ Rom. λαλοῦμεν", λέγει „οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος" **). ἐπὶ μὲν γὰρ τῶν προφητῶν, „πάντες", φησὶν, „ἐκ τοῦ πληρώματος αὐτοῦ ἐλάβομεν" ***), δηλονότι τοῦ 20 Χριστοῦ. ὥστε οὐ κλέπται οἱ προφῆται. „καὶ ἡ διδαχὴ ἡ ἐμὴ οὐκ ἔστιν ἐμὴ", ὁ κύριος λέγει, „ἀλλὰ τοῦ πέμψαντός με πατρός" †). ἐπὶ δὲ τῶν κλεπτόντων, „ὁ δὲ ἀφ' ἑαυτοῦ", φησὶ, „λαλῶν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ." τοιοῦτοι δὲ οἱ „Ἕλληνες „φίλαυ- 25 τοι καὶ ἀλαζόνες" ††). σοφοὺς δὲ αὐτοὺς λέγουσα ἡ γραφὴ οὐ τοὺς ὄντως σοφοὺς διαβάλλει, ἀλλὰ τοὺς δοκήσει σοφούς.

Cap. XVIII.

§. 88. *Καὶ τούτων φησὶν, „ἀπολῶ τὴν σοφίαν* 30 *τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω"* †††). ἐπιφέρει γοῦν ὁ ἀπόστολος „ποῦ σοφός;

*) Cf. Exod. 28, 3. **) 1 Corinth. 2, 13. ***) Ioann. 1, 16. †) Ibid. 7, 16. 18. ††) 2 Timoth. 3, 2. †††) 1 Corinth. 1, 19 sq.

πού γραμματεύς; πού συζητητὴς τοῦ αἰῶνος τούτου;" πρὸς ἀντιδιαστολὴν τῶν γραμματέων τοὺς τοῦ αἰῶνος τούτου ζητητὰς τοὺς ἐξ ἐθνῶν φιλοσόφους τάξας. „οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου;" ἐπίσης τῷ μωρὰν εἶδεξε καὶ οὐκ ἀληθῆ ὡς ᾠοντο. κἂν πύθῃ τὴν αἰτίαν τῆς δοξοσοφίας αὐτῶν „διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν" *), ἐρεῖ, „ἐπειδὴ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ", τουτέστι διὰ τῶν προφητῶν κατηγγελμένῃ, „οὐκ ἔγνω ὁ κόσμος διὰ τῆς σοφίας" τῆς διὰ τῶν προφητῶν λαλούσης „αὐτὸν", δηλονότι τὸν Θεὸν, „εὐδόκησεν οὗτος ὁ Θεὸς διὰ τοῦ κηρύγματος τῆς μωρίας" τῆς δοκούσης Ἕλλησιν εἶναι μωρίας „σῶσαι τοὺς πιστεύοντας, ἐπειδὴ Ἰουδαῖοι", φησὶ, „σημεῖα αἰτοῦσι" πρὸς πίστιν, „Ἕλληνες δὲ σοφίαν ζητοῦσι" τοὺς ἀναγκαστικοὺς καλουμένους λόγους καὶ τοὺς ἄλλους συλλογισμοὺς δηλονότι, „ἡμεῖς δὲ κηρύσσομεν Ἰησοῦν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον" διὰ τὸ εἰδότας τὴν προφητείαν μὴ πιστεύειν τῇ ἐκβάσει, „Ἕλλησι δὲ μωρίαν·" μυθώδες γὰρ ἡγοῦνται οἱ δοκησίσοφοι διά τε ἀνθρώπου υἱὸν Θεοῦ λαλεῖν υἱόν τε ἔχειν τὸν Θεὸν καὶ δὴ καὶ πεπονθέναι τοῦτον, ὅθεν αὐτοὺς ἡ πρόληψις τῆς οἰήσεως ἀναπείθει ἀπιστεῖν, ἡ γὰρ παρουσία τοῦ σωτῆρος οὐ μωροὺς ἐποίησεν καὶ σκληροκαρδίους καὶ ἀπίστους, ἀλλὰ συνετοὺς καὶ εὐπειθεῖς καὶ πρὸς ἔτι πιστοὺς, ἐδείχθησαν δὲ ἐκ τῆς τῶν ὑπακουσάντων ἑκουσίου προσκλίσεως χωρισθέντες οἱ μὴ ἐθελήσαντες πεισθῆναι ἀσύνετοί τε καὶ ἄπιστοι καὶ μωροί, „αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸς Θεοῦ δύναμίς ἐστι καὶ Θεοῦ σοφία" **). P.

§. 89. *Μή τι οὖν ὅπερ καὶ ἄμεινον ἀποφατι-* 371
κὸν ἠγητέον τὸ „οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν Pott
τοῦ κόσμου", ἐπίσης οὐκ ἐμώρανεν, ἵνα μὴ ἡ αἰτία

*) Ephes. 4, 18. **) 1 Corinth. 1, 21—24.

τῆς σκληροκαρδίας αὐτοῖς παρὰ τοῦ θεοῦ φαίνηται γενομένη „τοῦ μωράναντος τὴν σοφίαν", ἐν πᾶσι γὰρ καίτοι σοφοὶ ὄντες ἐν μείζονι αἰτίᾳ γεγόνασι μὴ πιστεύσαντες τῷ κηρύγματι, ἑκούσιος γὰρ ἡ τε διαίρεσις ἡ τε τῆς ἀληθείας ἐκλογή. ἀλλὰ καὶ τὸ „ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν" τῇ τῆς καταφρονουμένης ὑπερφωμένης βαρβάρου φιλοσοφίας ἀντιπαραθέσει καταλάμψαι φησὶν, ὡς καὶ ὁ λύχνος ὑπὸ τοῦ ἡλίου καταλαμπόμενος ἀπολωλέναι λέγεται τῷ μὴ τὴν ἴσην ἐκτελεῖν ἐνέργειαν. πάντων τοίνυν ἀνθρώπων κεκλημένων οἱ ὑπακοῦσαι βουληθέντες „κλητοὶ" ὠνομάσθησαν. οὐ γάρ ἐστιν ἀδικία παρὰ τῷ θεῷ. αὐτίκα ἐξ ἑκατέρου γένους οἱ πιστεύσαντες, οὗτοι „λαὸς περιούσιος." καὶ ταῖς πράξεσι τῶν ἀποστόλων εὔφρως ἂν κατὰ λέξιν „οἱ μὲν οὖν ἀποδεξάμενοι τὸν λόγον αὐτοῦ ἐβαπτίσθησαν" *), οἱ δὲ μὴ θελήσαντες πείθεσθαι ἑαυτοὺς ἀπέστησαν δηλαδή.

§. 90. Πρὸς τούτους ἡ προφητεία λέγει, „κἂν θέλητε καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε", ἐφ' ἡμῖν κείμενα διελέγχουσα καὶ τὴν αἵρεσιν καὶ τὴν ἐκτροπὴν, θεοῦ δὲ εἴρηκεν ὁ ἀπόστολος τὴν κατὰ τὸν κύριον διδασκαλίαν **), σοφίαν, ἵνα δείξῃ τὴν ἀληθῆ φιλοσοφίαν δι' υἱοῦ παραδιδομένην. ἀλλὰ γὰρ καὶ ὁ δοκησίσοφος παρηνέσεις ἔχει τινὰς τὰς παρὰ τῷ ἀποστόλῳ κελευούσας „ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας. διὸ ἀποθέμενοι τὸ ψεῦδος λαλεῖτε ἀλήθειαν, μὴ δίδοτε τόπον τῷ διαβόλῳ. ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δὲ κοπιάτω ἐργαζόμενος τὸ ἀγαθὸν", ἐργάζεσθαι δέ ἐστι τὸ προσεκπονεῖν ζητοῦντα τὴν ἀλήθειαν, σὺν γὰρ τῇ λογικῇ εὐποιΐᾳ, „ἵνα ἔχητε μεταδοῦναι τῷ χρείαν ἔχοντι" καὶ τῆς κοσμι-

*) Actor. 2, 41. **) Iesai. 1, 19.

κῆς περιουσίας καὶ τῆς θείας σοφίας. βούλεται γὰρ ἐκδιδάσκεσθαι τὸν λόγον καὶ εἰς τὰς τραπέζας τὸ ἀργύριον βάλλεσθαι δεδοκιμασμένον ἀκριβῶς εἰς τὸ ἐκδανείζεσθαι. ὅθεν ἐπιφέρει „λόγος σαπρὸς ἐκ τοῦ στόματος ὑμῶν μὴ ἐκπορευέσθω", σαπρὸς λόγος οὗτος ὁ ἐξ οἰήσεως, „ἀλλ' εἴ τις ἀγαθὸς πρὸς οἰκοδομὴν τῆς χρείας ἵνα δῷ χάριν τοῖς ἀκούουσιν" *). ἀγαθοῦ δ' ἂν ἀνάγκη θεοῦ ἀγαθὸν τὸν λόγον. πῶς δὲ οὐκ ἀγαθὸς ὁ σώζων;

Cap. XIX.

§. 91. Ἐπεὶ οὖν μαρτυροῦνται ἀληθῆ τινὰ δογματίζειν καὶ Ἕλληνες, ἔξεστι κἀντεῦθεν σκοπεῖν. ὁ Παῦλος ἐν ταῖς πράξεσι τῶν ἀποστόλων ἀναγράφεται λέγων πρὸς τοὺς Ἀρεοπαγίτας· „δεισιδαιμονεστέρους ὑμᾶς θεωρῶ, διερχόμενος γὰρ καὶ ἱστορῶν τὰ σεβάσματα ὑμῶν εὗρον βωμὸν ἐν ᾧ ἀνεγέγραπτο· ἀγνώστῳ θεῷ. ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν. ὁ θεὸς ὁ ποιήσας τὸν κόσμον καὶ πάντα τὰ ἐν αὐτῷ, οὗτος οὐρανοῦ καὶ γῆς ὑπάρχων κύριος οὐκ ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, οὐδὲ ὑπὸ χειρῶν ἀνθρωπίνων θεραπεύεται προσδεόμενός τινος, αὐτὸς δοὺς πᾶσι ζωὴν καὶ πνοὴν καὶ τὰ πάντα, ἐποίησέ τε ἐξ ἑνὸς πᾶν γένος ἀνθρώπων κατοικεῖν ἐπὶ παντὸς προσώπου τῆς γῆς, ὁρίσας προστεταγμένους καιροὺς καὶ τὰς ὁροθεσίας τῆς κατοικίας αὐτῶν ζητεῖν τὸ θεῖον, εἰ ἄρα ψηλαφήσειαν ἢ εὕροιεν ἄν, καίτοι οὐ μακρὰν ἀπὸ ἑνὸς ἑκάστου ἡμῶν ὑπάρχοντος, ἐν αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ὡς καί τινες τῶν καθ' ὑμᾶς ποιητῶν εἰρήκασιν,

τοῦ γὰρ καὶ γένος ἐσμέν" **).

ἐξ ὧν δῆλον ὅτι καὶ ποιητικοῖς χρώμενος παραδεί-

*) Ephes. 4, 24. 25. 27—29. **) Actor. 17, 22—28.

γμαριν ἐκ τῶν Ἀράτου φαινομένων δοκιμάζει τὰ παρ' Ἕλλησι καλῶς εἰρημένα, καὶ διὰ τοῦ ἀγνώστου θεοῦ τιμᾶσθαι μὲν κατὰ περίφρασιν πρὸς τῶν Ἑλλήνων τὸν δημιουργὸν θεὸν ἠνίξατο, κατ' ἐπίγνωσιν δὲ δεῖν δι' υἱοῦ παραλαβεῖν τε καὶ μαθεῖν.

§. 92. „Ἀπέστειλα οὖν διὰ τοῦτό σε εἰς τὰ ἔθνη ἀνοῖξαι", φησίν, „ὀφθαλμοὺς αὐτῶν τοῦ ἐπιστρέψαι ἀπὸ σκότους εἰς φῶς καὶ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπὶ θεὸν, τοῦ λαβεῖν αὐτοὺς ἄφεσιν ἁμαρτιῶν καὶ κλῆρον ἐν τοῖς ἡγιασμένοις πίστει τῇ εἰς ἐμέ" *). οὗτοι οὖν οἱ ἀνοιγόμενοι τυφλῶν ὀφθαλμοὶ ἡ δι' υἱοῦ ἐπίγνωσίς ἐστι τοῦ πατρὸς ἡ τῆς περιφράσεως τῆς Ἑλληνικῆς κατάληψις, τό τε ἀπὸ τῆς ἐξουσίας τοῦ σατανᾶ ἐπιστρέψαι τὸ ἀπὸ τῆς ἁμαρτίας ἐστὶ μεταβάλλεσθαι δὲ ἦν ἡ δουλεία ἐγεγόνει. οὐ μὴν ἁπλῶς πᾶσαν φιλοσοφίαν ἀποδεχόμεθα, ἀλλ' ἐκείνην περὶ ἧς καὶ ὁ παρὰ Πλάτωνι λέγει Σωκράτης· εἰσὶ γὰρ ἀῤῥ ὡς φασι περὶ τὰς τελετὰς ναρθηκοφόροι μὲν πολλαὶ, βάκχοι δέ γε παῦροι, „πολλοὺς μὲν τοὺς κλητοὺς, ὀλίγους δὲ τοὺς ἐκλεκτοὺς" **) αἰνιττόμενος. ἐπιφέρει γοῦν σαφῶς· οὗτοι δέ εἰσι κατὰ τὴν ἐμὴν δόξαν οὐκ ἄλλοι ἢ οἱ πεφιλοσοφηκότες ὀρθῶς, ὧν δὴ κἀγὼ κατά γε τὸ δυνατὸν οὐδὲν ἀπέλιπον ἐν τῷ βίῳ, ἀλλὰ παντὶ τρόπῳ προὐθυμήθην γενέσθαι. εἰ δὲ ὀρθῶς προὐθυμήθην καὶ τί ἠνύσαμεν ἐκεῖσε ἐλθόντες τὸ σαφὲς εἰσόμεθα, ἐὰν θεὸς θέλῃ ὀλίγον P. ὕστερον. 373.

§. 93. Ἀρ' οὐ δοκεῖ σοὶ πίστεως ἐκ τῶν Pott. Ἑβραϊκῶν γραφῶν τὴν μετὰ θάνατον ἐλπίδα τοῦ δικαίου σαφηνίζειν κἂν τῷ Δημοδόκῳ, εἰ δὴ τοῦ Πλάτωνος τὸ σύγγραμμα· μηδὲ ἡγοῦ τὸ φιλοσοφεῖν λέγειν. περὶ τὰς τέχνας κυπτάζοντας ζῆν οὐδὲ πολυμαθοῦντας, ἀλλὰ ἄλλο τι, ἐπεὶ ἔγωγε ᾤμην καὶ ὄνειδος εἶναι. ᾔδει γὰρ, οἶμαι, ὡς ἄρα ἤδη πολυ-

*) Actor. 26, 17 sq. **) Matth. 20, 16. 22, 14.

σιν αἱ τὴν ἐξ ἀρχῆς ἀπολειπουσαι ἐκκλησίαν. αὐτίκα ὁ εἰς αἵρεσιν ὑποπεσὼν „διέρχεται δι' ἐρημίας ἀνύδρου" τὸν ὄντως ὄντα θεὸν καταλιπὼν ἔρημος θεοῦ, ὕδωρ ἄνυδρον ζητῶν, „τὴν ἀοίκητον καὶ δίψιον διέρχόμενος γῆν, συνάγων χερσὶν ἀκαρπίαν."

§. 96. „Καὶ τοῖς ἐνδεέσι φρενῶν παρακελεύομαι", λέγουσα φησὶν ἡ σοφία τοῖς ἀμφὶ τὰς αἱρέσεις ὀηλονότι, „ἄρτων κρυφίων ἡδέως ἅψασθε καὶ ὕδατος κλοπῆς γλυκεροῦ", ἄρτον καὶ ὕδωρ οὐκ ἐπ' ἄλλων τινὼν, ἀλλ' ἢ ἐπὶ τῶν ἄρτῳ καὶ ὕδατι κατὰ τὴν προσφορὰν μὴ κατὰ τὸν κανόνα τῆς ἐκκλησίας χρωμένων αἱρέσεων ἐμφανῶς τυττούσης τῆς γραφῆς. εἰσὶ γὰρ οἱ καὶ ὕδωρ ψιλὸν εὐχαριστοῦσιν. „ἀλλὰ ἀποπήδησον μὴ χρονίσῃς ἐν τῷ τόπῳ αὐτῆς." τόπον τὴν συναγωγὴν, οὐχὶ δὲ ἐκκλησίαν ὁμωνύμως προσεῖπεν. εἶτα ἐπιφωνεῖ· „οὕτω γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον", τὸ βάπτισμα τὸ αἱρετικὸν, οὐκ οἰκεῖον καὶ γνήσιον ὕδωρ λογιζομένη· „καὶ ὑπερβήσῃ ποταμὸν ἀλλότριον" *) τὸν παραφέροντα καὶ κατασύροντα εἰς θάλασσαν εἰς ἣν ἐκδίδοται ὁ παρεκτραπεὶς ἐκ τῆς κατ' ἀλήθειαν εὐθυμότητος συνεκρυεὶς αὖθις εἰς τὰ ἐθνικὰ καὶ ἄτακτα τοῦ βίου κύματα.

Cap. XX.

§. 97. Ὡς δὲ οἱ πολλοὶ ἄνθρωποι οἱ καθέλκοντες τὴν ναῦν οὐ πολλὰ αἴτια λέγοιντ' ἂν, ἀλλ' ἐκ πολλῶν αἴτιον ἕν· αὐκ ἔστι γὰρ αἴτιος ἕκαστος τοῦ καθέλκεσθαι τὴν ναῦν, ἀλλὰ σὺν τοῖς ἄλλοις, οὕτω καὶ ἡ φιλοσοφία πρὸς κατάληψιν τῆς ἀληθείας ζήτησις, οὖσα ἀληθείας συλλαμβάνεται, οὐκ αἰτία οὖσα καταλήψεως, αὐν δὲ τοῖς ἄλλοις αἰτία καὶ συνεργός. τάχα δὲ καὶ τὸ συναίτιον αἴτιον. ὡς δὲ ἑνὸς ὄντος τοῦ εὐδαιμονεῖν αἰτίαι τυγχάνουσιν αἱ ἀρεταὶ

*) Proverb. 9, 12. 16—18.

πλείονες ὑπάρχουσαι, καὶ ὡς τοῦ θερμαίνεσθαι ὅ τε ἥλιος τό τε πῦρ βαλανεῖόν τε καὶ ἐσθὴς, οὕτω μιᾶς οὔσης τῆς ἀληθείας πολλὰ τὰ συλλαμβανόμενα πρὸς ζήτησιν αὐτῆς, ἡ δὲ εὕρεσις δι' υἱοῦ. εἰ γοῦν σκοποῖμεν, μία κατὰ δύναμίν ἐστιν ἡ ἀρετὴ, ταύτην δὲ συμβέβηκεν τούτοις μὲν τοῖς πράγμασιν ἐγγενομένην λέγεσθαι φρόνησιν, ἐν τούτοις δὲ σωφροσύνην, ἐν τούτοις δὲ ἀνδρείαν ἢ δικαιοσύνην. ἀνὰ τὸν αὐτὸν οὖν λόγον καὶ μιᾶς οὔσης ἀληθείας ἐν γεωμετρίᾳ μὲν γεωμετρίας ἀλήθεια, ἐν μουσικῇ δὲ μουσικῆς· κἂν φιλοσοφίᾳ τῇ ὀρθῇ Ἑλληνικῇ εἴη ἂν ἀλήθεια. μόνη δὲ ἡ κυρία αὕτη ἀληθεια ἀπαρεγχείρητος, ἣν παρὰ τῷ υἱῷ τοῦ θεοῦ παιδευόμεθα. P. 376. Pott.

§. 98. Τοῦτον μὲν οὖν φαμὲν τὸν τρόπον μιᾶς καὶ τῆς αὐτῆς δραχμῆς τῷ μὲν ναυκλήρῳ δοθείσης λέγεσθαι ναῦλον, τῷ δὲ τελώνῃ τέλος καὶ ἐνοίκιον μὲν τῷ σταθμούχῳ, μισθὸν δὲ τῷ διδασκάλῳ καὶ τῷ ὑποβάσκοντι ἀρραβῶνα. ἑκάστη δὲ εἴτε ἀρετὴ εἴτε καὶ ἀλήθεια συνωνύμως καλουμένη μόνου τοῦ καθ' ἑαυτὴν ἀποτελέσματός ἐστιν αἰτία. κατὰ σύγχρησιν δὲ τούτων γίνεται τὸ εὐδαιμόνως ζῆν, μὴ γὰρ δὴ εὐδαιμονῶμεν πρὸς τὰ ὀνόματα, ὅταν τὸν ὀρθὸν βίον εὐδαιμονίαν λέγωμεν καὶ εὐδαίμονα τὸν κεκοσμημένον τὴν ψυχὴν ἐναρέτως. εἰ δὲ καὶ πόρρωθεν συλλαμβάνεται φιλοσοφία τῇ πρὸς τὴν ἀλήθειαν εὑρέσει κατὰ διαφόρους ἐπιβολὰς διατείνουσα ἐπὶ τὴν προσεχῶς ἁπτομένην τῆς ἀληθείας τὴν καθ' ἡμᾶς εἴδησιν, ἀλλὰ συλλαμβάνεταί γε τῷ λογικῶς ἐπιχειρεῖν ἐσπουδακότι ἀνθάπτεσθαι γνώσεως. χωρίζεταί τε ἡ Ἑλληνικὴ ἀλήθεια τῆς καθ' ἡμᾶς, εἰ καὶ τοῦ αὐτοῦ μετείληφεν ὀνόματος καὶ μεγέθει γνώσεως καὶ ἀποδείξει κυριωτέρα καὶ θείᾳ δυνάμει καὶ τοῖς ὁμοίοις· θεοδίδακτοι γὰρ ἡμεῖς ἱερὰ ὄντως γράμματα παρὰ τῷ υἱῷ τοῦ θεοῦ παιδευόμενοι, ἔνθεν οὐδ' ὡς αὐτως κινοῦσι τὰς ψυχὰς, ἀλλὰ διαφόρῳ διδασκαλίᾳ.

§. 99. Εἰ δὲ καὶ διαστέλλεσθαι ἡμᾶς διὰ τοὺς φιλεγκλήμονας δεήσει, συναίτιον φιλοσοφίαν καὶ συνεργὸν λέγοντες τῆς ἀληθοῦς καταλήψεως ζήτησιν οὖσαν ἀληθείας προπαιδείαν αὐτὴν ὁμολογήσομεν τοῦ γνωστικοῦ, οὐκ αἴτιον τιθέμενοι τὸ συναίτιον οὐδὲ μὴν τὸ συνεργὸν συνεκτικὸν οὐδ' ὡς ἧς οὐκ ἄνευ τὴν φιλοσοφίαν, ἐπεὶ σχεδὸν οἱ πάντες ἄνευ τῆς ἐγκυκλίου παιδείας καὶ φιλοσοφίας τῆς Ἑλληνικῆς, οἱ δὲ καὶ ἄνευ γραμμάτων τῇ θείᾳ καὶ βαρβάρῳ κινηθέντες φιλοσοφίᾳ δυνάμει τὸν περὶ θεοῦ διὰ πίστεως παρειλήφαμεν λόγον, αὐτουργῷ σοφίᾳ πεπαιδευμένοι. ὃ δὲ μεθ' ἑτέρου ποιεῖ ἀτελὲς ὂν καθ' αὑτὸ ἐνεργεῖν, συνεργὸν φαμὲν καὶ συναίτιον ἀπὸ τοῦ συναιτίου αἴτιον ὑπάρχειν, ἀπὸ τοῦ ἑτέρῳ συνελθεῖν, αἴτιον γίγνεσθαι ὠνομασμένον· καθ' ἑαυτὸ δὲ μὴ δύνασθαι τὸ ἀποτέλεσμα τὸ κατ' ἀλήθειαν παρέχειν, καίτοι καὶ καθ' ἑαυτὴν ἐδικαίου ποτὲ καὶ ἡ φιλοσοφία τοὺς Ἕλληνας, οὐκ εἰς τὴν καθόλου δὲ δικαιοσύνην, εἰς ἣν εὑρίσκεται συνεργὸς, καθάπερ καὶ ὁ πρῶτος καὶ ὁ δεύτερος βαθμὸς τῷ εἰς τὸ ὑπερῷον ἀνιόντι καὶ ὁ γραμματιστὴς τῷ φιλοσοφήσοντι, οὐχ ὡς κατὰ τὴν ἀφαίρεσιν αὐτῆς ἤτοι ἐλλείπειν τῷ καθόλου λόγῳ ἢ ἀναιρεῖσθαι τὴν ἀλήθειαν, ἐπεὶ καὶ ἡ ὄψις συμβάλλεται καὶ ἡ ἀκοὴ καὶ ἡ φωνὴ πρὸς ἀλήθειαν, νοῦς δὲ ὁ γνωρίζων αὐτὴν προσφυῶς. ἀλλὰ τῶν συνεργῶν τὰ μὲν πλείονα, τὰ δ' ἐλάσσονα προσφέρεται δύναμιν. ἡ γοῦν σαφήνεια συνεργεῖ πρὸς τὴν παράδοσιν τῆς ἀληθείας, καὶ ἡ διαλεκτικὴ πρὸς τὸ μὴ ὑποπίπτειν ταῖς κατατρεχούσαις αἱρέσεσιν.

§. 100. Αὐτοτελὴς μὲν οὖν καὶ ἀπροσδεὴς ἡ κατὰ τὸν σωτῆρα διδασκαλία δύναμις οὖσα καὶ σοφία τοῦ θεοῦ, προσιοῦσα δὲ φιλοσοφία ἡ Ἑλληνικὴ οὐ δυνατωτέραν ποιεῖ τὴν ἀλήθειαν, ἀλλ' ἀδύνατον παρέχουσα τὴν κατ' αὐτῆς σοφιστικὴν ἐπιχείρησιν καὶ διακρουομένη τὰς δολερὰς κατὰ τῆς ἀληθείας

ἐπιβουλὰς φραγμὸς οἰκεῖος εἴρηται καὶ θριγκὸς εἶναι τοῦ ἀμπελῶνος. καὶ ἡ μὲν, ὡς ἄρτος ἀναγκαία πρὸς τὸ ζῆν ἡ κατὰ τὴν πίστιν ἀλήθεια· ἡ προπαιδεία δὲ προσοψήματι ἔοικεν καὶ τραγήματι.

δείπνου δὲ λήγοντος γλυκὺ τρωγάλιον,

κατὰ τὸν Θηβαῖον Πίνδαρον. ἄντικρυς δὲ ἐξεῖπεν ἡ γραφή· „πανουργότερος ἔσται ἄκακος συνιὼν, ὁ δὲ σοφὸς δέξεται γνῶσιν." *). καὶ ὁ μὲν ἀφ' ἑαυτοῦ λαβὼν τὴν δόξαν τὴν ἰδίαν ζητεῖ", φησὶν ὁ κύριος, „ὁ δὲ ζητῶν τὴν δόξαν τοῦ πέμψαντος αὐτὸν ἀληθής ἐστι καὶ ἀδικία οὐκ ἔστιν ἐν αὐτῷ" **). ἔμπαλιν οὖν ἀδικεῖ ὁ σφετερισάμενος τὰ βαρβάρων καὶ ὡς ἰδίαν αὐχῶν τὴν ἑαυτοῦ δόξαν αὔξων καὶ ψευδόμενος τὴν ἀλήθειαν, οὗτος κλέπτης ὑπὸ τῆς γραφῆς εἴρηται. φησὶ γοῦν „υἱὲ, μὴ γίνου ψεύστης· ὁδηγεῖ γὰρ τὸ ψεῦμα πρὸς τὴν κλοπήν." ἤδη δὲ ὁ κλέπτης ὅπερ ὑφελόμενος ἔχει ἀληθῶς ἔχει κἂν χρυσίον ᾖ κἂν ἄργυρος κἂν λόγος κἂν δόγμα. ἐκ μέρους τοίνυν ἃ κεκλόφασιν ἀληθῆ μὲν, στοχαστικῶς δὲ καὶ ταῖς τῶν λόγων ἀνάγκαις ἴσασι. μαθητευθέντες οὖν καταληπτικῶς ἐπιγνώσονται. P. 378. Pott.

Cap. XXI.

§. 101. Καὶ περὶ μὲν τοῦ παρ' Ἑβραίων τὰ τῶν φιλοσόφων ἐσκευωρῆσθαι δόγματα μικρὸν ὕστερον διαληψόμεθα, πρότερον δὲ ὅπερ ἀκόλουθον ἦν περὶ τῶν κατὰ Μωϋσέα χρόνων ἤδη λεκτέον, δι' ὧν δειχθήσεται ἀναμφηρίστως πάσης σοφίας ἀρχαιοτάτη ἡ κατὰ Ἑβραίους φιλοσοφία. εἴρηται μὲν οὖν περὶ τούτων ἀκριβῶς Τατιανῷ ἐν τῷ πρὸς Ἕλληνας, εἴρηται δὲ καὶ Κασσιανῷ ἐν τῷ πρώτῳ τῶν ἐξηγητικῶν, ἀπαιτεῖ δὲ ὅμως τὸ ὑπόμνημα καὶ ἡμᾶς ἐπιδραμεῖν τὰ κατὰ τὸν τόπον εἰρημένα. Ἀπίων τοίνυν

*) Proverb. 21, 11. **) Ioann. 7, 18.

ὁ γραμματικὸς ὁ πλειστονίκης ἐπικληθεὶς ἐν τῇ τετάρτῃ τῶν Αἰγυπτιακῶν ἱστοριῶν, καίτοι φιλαπεχθημόνως πρὸς Ἑβραίους διακείμενος, ἅτε Αἰγύπτιος τὸ γένος ὡς καὶ κατὰ Ἰουδαίων συντάξασθαι βιβλίον, Ἀμώσιος τοῦ Αἰγυπτίων βασιλέως μεμνημένος καὶ τῶν κατ' αὐτὸν πράξεων μάρτυρα παρατίθεται Πτολεμαῖον τὸν Μενδήσιον, καὶ τὰ τῆς λέξεως αὐτοῦ ὧδε ἔχει· κατέσκαψε δὲ τὴν Ἀθυρίαν Ἄμωσις κατὰ τὸν Ἄργεῖον γενόμενος Ἴναχον, ὡς ἐν τοῖς χρόνοις ἀνέγραψεν ὁ Μενδήσιος Πτολεμαῖος. ὁ δὲ Πτολεμαῖος οὗτος ἱερεὺς μὲν ἦν, τὰς δὲ τῶν Αἰγυπτίων βασιλέων πράξεις ἐν τρισὶν ὅλαις ἐκθέμενος βίβλοις κατὰ Ἄμωσιν φησὶν Αἰγύπτου βασιλέα Μωϋσέως ἡγουμένου γεγονέναι Ἰουδαίοις τὴν ἐξ Αἰγύπτου πορείαν. ἐξ ὧν συνῶπται κατὰ Ἴναχον ἠκμακέναι τὸν Μωϋσέα. P. 379. Pon.

§. 102. Παλαίτερα δὲ τῶν Ἑλληνικῶν τὰ Ἀργολικά, τὰ ἀπὸ Ἰνάχου λέγω, ὡς Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐν τοῖς χρόνοις διδάσκει. τούτων δὲ τεσσαράκοντα μὲν γενεαῖς νεώτερα τὰ Ἀττικὰ τὰ ἀπὸ Κέκροπος τοῦ διφυοῦς δὴ καὶ αὐτόχθονος, ὡς φησι κατὰ λέξιν ὁ Τατιανὸς, ἐννέα δὲ τὰ Ἀρκαδικὰ, τὰ ἀπὸ Πελασγοῦ· λέγεται δὲ καὶ οὗτος αὐτόχθων, τούτων δὲ ἄλλα πεντήκοντα δυοῖν νεώτερα, τὰ Φθιωτικὰ, τὰ ἀπὸ Λευκαλίωνος. εἰς δὲ τὸν χρόνον τῶν Τρωϊκῶν ἀπὸ Ἰνάχου γενεαὶ μὲν εἴκοσι ἢ πλείους διαριθμοῦνται, ἔτη δὲ ὡς ἔπος εἰπεῖν τετρακόσια καὶ πρόσω. εἰ δὲ τὰ Ἀσσυριακὰ πολλοῖς ἔτεσι πρεσβύτερα τῶν Ἑλληνικῶν ἀφ' ὧν Κτησίας λέγει φανήσεται τῷ δευτέρῳ καὶ τριακοστῷ ἡ Μωϋσέως κατὰ Ἄμωσιν τὸν Αἰγύπτιον καὶ κατὰ Ἴναχον τὸν Ἀργεῖον ἐξ Αἰγύπτου κίνησις. ἦν δὲ κατὰ τὴν Ἑλλάδα κατὰ μὲν Φορωνέα τὸν μετὰ Ἴναχον ὁ ἐπὶ Ὠγύγου κατακλυσμὸς καὶ ἡ ἐν Σικυῶνι βασιλεία πρώτου μὲν Αἰγιαλέως, εἶτα Εὔρωπος, εἶτα Τελχῖνος, καὶ ἡ Κρητὸς ἐν Κρήτῃ. Ἀκουσίλαος γὰρ Φορωνέα πρῶ- P. 380. Pot.

τον ἄνθρωπον γενέσθαι λέγει, ὅθεν καὶ ὁ τῆς Φορωνίδος ποιητὴς εἶναι αὐτὸν ἔφη πατέρα θνητῶν ἀνθρώπων.

§. 103. Ἐντεῦθεν ὁ Πλάτων ἐν Τιμαίῳ κατακολουθήσας Ἀκουσιλάῳ γράφει· καί ποτε προαγαγεῖν βουληθεὶς αὐτοὺς περὶ τῶν ἀρχαίων εἰς λόγους τῶν τῇδε τῇ πόλει τὰ ἀρχαιότατα λέγειν ἐπιχειρεῖ περὶ Φορωνέως τε τοῦ πρώτου λεχθέντος καὶ Νιόβης καὶ τὰ μετὰ τὸν κατακλυσμόν. κατὰ δὲ Φόρβαντα Ἀχαιὸς, ἀφ' οὗ Ἀχαΐα ἡ Ἀττική. κατὰ δὲ Τριόπαν Προμηθεὺς καὶ Ἄτλας καὶ Ἐπιμηθεὺς καὶ ὁ διφυὴς Κέκροψ καὶ Ἰνώ. κατὰ δὲ Κρότωπον ἡ ἐπὶ Φαέθοντος ἐκπύρωσις καὶ ἐπὶ Δευκαλίωνος ἐπομβρία. κατὰ δὲ Σθένελον ἥ τε Ἀμφικτυόνος βασιλεία καὶ ἡ εἰς Πελοπόννησον Δαναοῦ παρουσία καὶ ὑπὸ Δαρδάνου τῆς Δαρδανίας κτίσις, ὃν

πρῶτον,

φησὶν Ὅμηρος,

τέκετο νεφεληγερέτα Ζεὺς *),

ἥ τε ἐκ Κρήτης εἰς Φοινίκην ἀνακομιδή. κατὰ δὲ Λυγκέα τῆς κόρης ἡ ἁρπαγὴ καὶ ἡ τοῦ ἐν Ἐλευσῖνι τεμένους καθίδρυσις Τριπτολέμου τε γεωργία καὶ ἡ Κάδμου εἰς Θήβας παρουσία Μίνωός τε βασιλεία. κατὰ δὲ Προῖτον ὁ Εὐμόλπου πρὸς Ἀθηναίους πόλεμος. κατὰ δὲ Ἀκρίσιον Πέλοπος ἀπὸ Φρυγίας διάβασις καὶ Ἴωνος εἰς Ἀθήνας ἄφιξις καὶ ὁ δεύτερος Κέκροψ αἵ τε Περσέως καὶ Διονύσου πράξεις, Ὀρφεύς τε καὶ Μουσαῖος.

P. 381. Pott. Ib.

§. 104. Κατὰ δὲ τὸ ὀκτωκαιδέκατον ἔτος τῆς Ἀγαμέμνονος βασιλείας Ἴλιον ἑάλω, Δημοφῶντος τοῦ Θησέως βασιλεύοντος Ἀθήνῃσι τῷ πρώτῳ ἔτει, Θαργηλιῶνος μηνὸς δευτέρᾳ ἐπὶ δέκα, ὡς φησι Διονύσιος ὁ Ἀργεῖος, Ἀγίας δὲ καὶ Δερκύλος ἐν τῇ τρίτῃ μηνὸς πανέμου ὀγδόῃ φθίνοντος, Ἑλλάνικος

*) Iliad. v. v. 215.

γὰρ δωδεκάτῃ Θαργηλιῶνος μηνὸς, καί τινες τῶν τὰ Ἀττικὰ συγγραψαμένων ὀγδόῃ φθίνοντος βασιλεύοντος τὸ τελευταῖον ἔτος Μενεσθέως πληθυούσης σελήνης,

νὺξ μὲν ἔην,
φησὶν ὃ τὴν μικρὰν Ἰκιάδα πεποιηκώς,
μεσάτα, λαμπρὰ δ' ἐπέτελλε σελάνα·

ἕτεροι σκιροφοριῶνος τῇ αὐτῇ ἡμέρᾳ. Θησεὺς δὲ ὁ Ἡρακλέους ζηλωτὴς ὢν πρεσβύτερός ἐστι τῶν Τρωϊκῶν μιᾷ γενεᾷ. τοῦ γοῦν Τληπολέμου, ὃς ἦν υἱὸς Ἡρακλέους, Ὅμηρος μέμνηται ἐπὶ Ἴλιον στρατεύσαντος.

§. 105. Προτερεῖν ἄρα Μωϋσῆς ἀποδείκνυται τῆς μὲν Διονύσου ἀποθεώσεως ἔτη ἑξακόσια τέσσαρα, εἴ γε τῆς Περσέως βασιλείας τῷ τριακοστῷ δευτέρῳ ἔτει ἐκθεοῦται, ὡς φησιν Ἀπολλόδωρος ἐν τοῖς χρονικοῖς. ἀπὸ δὲ Διονύσου ἐπὶ Ἡρακλέα καὶ τοὺς περὶ Ἰάσονα ἀριστεῖς τοὺς ἐν τῇ Ἀργοῖ πλεύσαντας συνάγεται ἔτη ἑξήκοντα τρία· Ἀσκληπιός τε καὶ Διόσκουροι συνέπλεον αὐτοῖς ὡς μαρτυρεῖ ὁ Ῥόδιος Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς. ἀπὸ δὲ τῆς Ἡρακλέους ἐν Ἄργει βασιλείας ἐπὶ τὴν Ἡρακλέους αὐτοῦ καὶ Ἀσκληπιοῦ ἀποθέωσιν ἔτη συνάγεται τριάκοντα ὀκτὼ κατὰ τὸν χρονογράφον Ἀπολλόδωρον. ἐντεῦθεν δὲ ἐπὶ τὴν Κάστορος καὶ Πολυδεύκους ἀποθέωσιν ἔτη πεντήκοντα τρία. ἐνταῦθά που καὶ ἡ Ἰλίου κατάληψις. εἰ δὲ χρὴ πείθεσθαι καὶ Ἡσιόδῳ τῷ ποιητῇ ἀκούσωμεν αὐτοῦ·

Ζηνὶ δ' ἄρ' Ἀτλαντὶς Μαῖη τέκε κύδιμον Ἑρμῆν,
κήρυκ' ἀθανάτων, ἱερὸν λέχος εἰσαναβᾶσα·
Καδμείῃ δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν,
Μιχθεῖσ' ἐν φιλότητι Διώνυσον πολυγηθέα *).

§. 106. Κάδμος μὲν ὁ Σεμέλης πατὴρ ἐπὶ Λιγκέως εἰς Θήβας ἔρχεται καὶ τῶν Ἑλληνικῶν γραμι-

*) Theogon. v. 938 sqq.

μάτων εὑρετὴς γίνεται, Τριόπας δὲ συγχρονεῖ Ἰσιδι ἑβδόμῃ γενεᾷ ἀπὸ Ἰνάχου — Ἶσιν δὲ τὴν καὶ Ἰὼ φασιν διὰ τὸ ἶέναι αὐτὴν διὰ πάσης τῆς γῆς πλανωμένην —, ταύτην δὲ Ἴστρος ἐν τῷ περὶ τῆς Αἰγυπτίων ἀποικίας Προμηθέως θυγατέρα φησὶ, Προμηθεὺς δὲ κατὰ Τριόπαν ἑβδόμῃ γενεᾷ μετὰ Μωϋσέα, ὥστε καὶ πρὸ τῆς καθ' Ἕλληνας ἀνθρωπογονίας ὁ Μωϋσῆς ἠκμακέναι φαίνεται. Λέων δὲ ὁ τὰ περὶ τῶν κατ' Αἴγυπτον θεῶν πραγματευσάμενος τὴν Ἶσιν ὑπὸ Ἑλλήνων Δήμητρα καλεῖσθαί φησιν, ἢ κατὰ Λυγκέα γίνεται ἐνδεκάτῃ ὕστερον Μωϋσέως γενεᾷ. Ἄπις τε ὁ Ἄργους βασιλεὺς Μέμφιν οἰκίζει, ὡς φησιν Ἀριστιππος ἐν πρώτῃ Ἀρκαδικῶν. τοῦτον δὲ Ἀριστέας ὁ Ἀργεῖος ἐπονομασθῆναί φησι Σάραπιν καὶ τοῦτον εἶναι ὃν Αἰγύπτιοι σέβουσιν. Νυμφόδωρος δὲ ὁ Ἀμφιπολίτης ἐν τρίτῳ νομίμων Ἀσίας τὸν Ἄπιν τὸν ταῦρον τελευτήσαντα καὶ ταριχευθέντα εἰς σορὸν ἀποτίθεσθαι τῷ ναῷ τοῦ τιμωμένου δαίμονος, κἀντεῦθεν Σορόαπιν κληθῆναι καὶ Σάραπιν συνηθείᾳ τινὶ τῶν ἐγχωρίων ὕστερον. Ἄπις δὲ τρίτος ἐστὶν ἀπὸ Ἰνάχου.

P. 383. Pott.

§. 107. Ναὶ μὴν ἡ Λητὼ κατὰ Τιτυὸν γίνεται,

Λητὼ γὰρ ἧλκησε Διὸς κυδρὴν παράκοιτιν *),

Τιτυὸς δὲ συνεχρόνισεν Ταντάλῳ. εἰκότως ἄρα καὶ ὁ Βοιώτιος Πίνδαρος γράφει·

ἐν χρόνῳ δὲ γένετ' Ἀπόλλων,

καὶ οὐδὲν θαυμαστὸν, ὅπου γε καὶ Ἀδμήτῳ θητεύων εὑρίσκεται σὺν καὶ Ἡρακλεῖ μέγαν εἰς ἐνιαυτόν. Ζῆθος δὲ καὶ Ἀμφίων οἱ μουσικῆς εὑρεταὶ περὶ τὴν Κάδμου γεγόνασιν ἡλικίαν. κἂν τις ἡμῖν λέγῃ Φημονόην πρώτην χρησμῳδῆσαι Ἀκρισίῳ, ἀλλ' ἴστω γε ὅτι μετὰ Φημονόην ἔτεσιν ὕστερον εἴκοσι ἑπτὰ οἱ περὶ Ὀρφέα καὶ Μουσαῖον καὶ Λίνον τὸν Ἡρακλέους διδάσκαλον. Ὅμηρος δὲ καὶ Ἡσίοδος

*) Homer. Odyss. λ. v. 580.

πολλῷ νεώτεροι τῶν Ἰλιακῶν, μεθ' οὓς μακρῷ νεώτεροι οἱ παρ' Ἕλλησι νομοθέται Λυκοῦργός τε καὶ Σόλων καὶ οἱ ἑπτὰ σοφοὶ οἵ τε ἀμφὶ τὸν Σύριον Φερεκύδην καὶ Πυθαγόραν τὸν μέγαν κάτω ποὺ περὶ τὰς ὀλυμπιάδας γενομένους ὡς παρεστήσαμεν. καὶ θεῶν ἄρα τῶν πλείστων παρ' Ἕλλησιν οὐ μόνον τῶν λεγομένων σοφῶν τε καὶ ποιητῶν ὁ Μωϊσῆς ἡμῖν ἀποδέδεικται πρεσβύτερος. 384 P.

§. 108. Καὶ οὗτι γε μόνος οὗτος, ἀλλὰ καὶ ἡ Sibylla Pott. Σίβυλλα Ὀρφέως παλαιοτέρα· λέγεται γὰρ καὶ περὶ τῆς ἐπωνυμίας αὐτῆς καὶ περὶ τῶν χρησμῶν τῶν καταπεφημισμένων ἐκείνης εἶναι λόγοι πλείους, Φρυγίαν τε οὖσαν κεκλῆσθαι Ἄρτεμιν καὶ ταύτην παραγενομένην εἰς Δελφοὺς ᾄσαι·

ὦ Δελφοί, θεράποντες ἑκηβόλου Ἀπόλλωνος,
ἦλθον ἐγὼ χρήσουσα Διὰς νόον αἰγιόχοιο,
αὐτοκασιγνήτῳ κεχολωμένη Ἀπόλλωνι.

ἔστι δὲ καὶ ἄλλη Ἐρυθραία Ἡροφίλη καλουμένη· μέμνηται τούτων Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ περὶ χρηστηρίων. ἐῶ δὲ τὴν Αἰγυπτίαν καὶ τὴν Ἰτυλλὴν ἢ τὸ ἐν Ῥώμῃ Κάρμαλον ὕκησεν, ἧς υἱὸς Εὔανδρος ὁ τὸ ἐν Ῥώμῃ τοῦ Πανὸς ἱερὸν τὸ Λουπέρκιον καλούμενον κτίσας.

§. 109. Ἄξιον δὴ ἐνταῦθα γενομένους διερευνῆσαι καὶ τῶν ἄλλων τῶν μετὰ Μωϋσέα παρὰ τοῖς Ἑβραίοις προφητῶν τοὺς χρόνους. μετὰ τὴν Μωϋσέως τοῦ βίου τελευτὴν διαδέχεται τὴν ἡγεμονίαν τοῦ λαοῦ Ἰησοῦς πολεμῶν μὲν ἔτη ξέ, ἐν δὲ τῇ P. γῇ τῇ ἀγαθῇ ἄλλα πέντε καὶ εἴκοσι ἀναπαυσάμενος 140 ὡς δὲ τὸ βιβλίον τοῦ Ἰησοῦ περιέχει διεδέξατο τὸν Sylb. Μωϋσέα ὁ προειρημένος ἀνὴρ ἔτη κζ'. ἔπειτα ἁμαρτόντες οἱ Ἑβραῖοι παραδίδονται Χουσαχὰρ βασιλεῖ Μεσοποταμίας ἔτεσιν ὀκτώ, ὡς ἡ τῶν κριτῶν ἱστορεῖ βίβλος.*) δεηθέντες δὲ ὕστερον τοῦ Θεοῦ

*) Iudic. 3, 8.

λαμβάνουσιν ἡγεμόνα Γοθονιὴλ τὸν ἀδελφὸν τοῦ Χαλὲβ τὸν νεώτερον ἐκ φυλῆς Ἰούδα, ὃς ἀποκτείνας τὸν τῆς Μεσοποταμίας βασιλέα ἦρξε τοῦ λαοῦ ἔτεσιν ἑφεξῆς ν'. καὶ πάλιν ἁμαρτόντες παρεδόθησαν Αἰγλὼμ βασιλεῖ Μωαβιτῶν ἔτεσιν ὀκτωκαίδεκα, ἐπιστρεψάντων δὲ αὐτῶν αὖθις ἠγήσατο αὐτῶν Ἀὼδ P.
ἔτεσιν ὀγδοήκοντα, ἀνὴρ ἀμφοτεροδέξιος ἐκ φυλῆς 385.
Ἐφραΐμ· οὗτός ἐστιν ὁ ἀνελὼν τὸν Αἰγλώμ. Pott

§. 110. Τελευτήσαντος δὲ Ἀὼδ ἁμαρτήσαντες αὖθις παρεδόθησαν βασιλεῖ Χαναὰν Ἰαβεὶμ ἔτεσιν εἴκοσι· ἐπὶ τούτου προφητεύει Λεββώρα γυνὴ Λαβιδὼθ ἐκ φυλῆς Ἐφραΐμ, καὶ ἦν ἀρχιερεὺς Ὀζιοῦς ὁ τοῦ Ῥησοῦ. διὰ ταύτης ἡγησάμενος τῆς στρατιᾶς Βαρὰκ ὁ τοῦ Βεννὴρ ἐκ φυλῆς Νεφθαλὶμ παραταξάμενος Σισάρᾳ τῷ ἀρχιστρατήγῳ τοῦ Ἰαβεὶμ ἐνίκησε, καὶ ἦρξεν ἐντεῦθεν τοῦ λαοῦ διακρίνουσα ἡ Λεββώρα ἔτη τεσσαράκοντα. τελευτησάσης δὲ αὐτῆς ἁμαρτὼν αὖθις ὁ λαὸς παραδίδοται Μαδιηναίοις ἔτη ἑπτά. ἐπὶ τούτοις Γεδεὼν ἐκ φυλῆς Μανασσῆ ὁ τοῦ Ἰωὰς τριακοσίους ἐκστρατεύσας καὶ δώδεκα μυριάδας αὐτῶν ἀπολέσας ἦρξεν ἔτη τεσσαράκοντα, μεθ' ὃν ὁ υἱὸς αὐτοῦ Ἀχιμέλεχ ἔτη τρία. διαδέχεται τοῦτον Βωλεᾶς υἱὸς Βηδὰν υἱοῦ Χαρρὰν ἐκ φυλῆς Ἐφραΐμ ἄρξας ἔτη τρία πρὸς τοῖς εἴκοσι. μεθ' ὃν ἐξαμαρτὼν πάλιν ὁ λαὸς ἔτεσιν ὀκτωκαίδεκα Ἀμμανίταις παραδίδοται.

§. 111. Μετανοησάντων δὲ αὐτῶν ἡγεῖται Ἰεφθαὲ ὁ Γαλααδίτης ἐκ φυλῆς Μανασσῆ, καὶ ἦρξεν ἔτη ἓξ, μεθ' ὃν ἦρξεν Ἀβατθὰν ὁ ἐκ Βηθλεὲμ φυλῆς Ἰούδα· ἔτη ἑπτά, ἔπειτα Ἐβρὼν ὁ Ζαβουλωνίτης ἔτη ὀκτώ, ἔπειτα Ἐγλὼμ Ἐφραΐμ ἔτη ὀκτώ. ἔνιοι δὲ τοῖς τοῦ Ἀβατθὰν ἔτεσιν ἑπτὰ συνάπτουσι τὰ Ἐβρὼμ τεσσαράκοντα ἔτη. καὶ μετὰ τοῦτον ἐξαμαρτὼν πάλιν ὁ λαὸς ὑπὸ ἀλλοφύλοις γίνεται τοῖς Φυλιστιεὶμ ἔτη τεσσαράκοντα. ἐπιστρεψάντων δὲ αὐτῶν Σαμψὼν ἡγεῖται ἐκ φυλῆς Δὰν νικήσας ἐν

πολέμῳ τοὺς ἀλλοφύλους. οὗτος ἦρξεν ἔτεσιν εἴκοσι. καὶ μετὰ τοῦτον ἀναρχίας οὔσης διέκρινε τὸν λαὸν Ἠλὶ ὁ ἱερεὺς τεσσαράκοντα ἔτη. ταῦτον δὲ διαδέχεται Σαμουὴλ ὁ προφήτης, σὺν οἷς Σαοὺλ ἐβασίλευσεν ἔτη εἴκοσι ἑπτὰ κατασχών. οὗτος καὶ τὸν Δαβὶδ ἔχρισεν. P. 386.

§. 112. Ἐτελεύτα δὲ Σαμουὴλ δυοῖν ἐτῶν πρότερος τοῦ Σαοὺλ ἐπὶ ἀρχιερέως Ἀβιμέλεχ. οὗτος τὸν Σαοὺλ εἰς βασιλέα ἔχρισεν, ὃς πρῶτος ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ μετὰ τοὺς κριτὰς, ὧν ὁ πᾶς ἀριθμὸς ἕως τοῦ Σαμουὴλ γίνεται ἔτη τετρακόσια ἑξήκοντα τρία μῆνες ἑπτά. ἔπειτα διὰ τῆς πρώτης βίβλου τῶν βασιλειῶν τοῦ Σαοὺλ ἔτη εἴκοσι, ἐπεὶ ἀνακαινισθεὶς ἐβασίλευσε. μετὰ δὲ τὴν τελευτὴν Σαοὺλ βασιλεύει Δαβὶδ τὸ δεύτερον ἐν Χεβρὼν ὁ τοῦ Ἰεσσαὶ ἐκ φυλῆς Ἰούδα ἔτη τεσσαράκοντα, ὡς περιέχει ἡ δευτέρα τῶν βασιλειῶν, καὶ ἦν ἀρχιερεὺς Ἀβιάθαρ ὁ τοῦ Ἀβιμέλεχ ἐκ συγγενείας Ἠλὶ, προφητεύουσι δὲ Γὰδ καὶ Νάθαν ἐπ' αὐτοῦ. γίνονται οὖν ἀπὸ Ἰησοῦ τοῦ Ναυῆ ἕως παρέλαβε τὴν βασιλείαν Δαβὶδ ὡς μέν τινες ἔτη τετρακόσια πεντήκοντα, ὡς δὲ ἡ προκειμένη δείκνυσι χρονογραφία συνάγονται ἔτη πεντακόσια εἴκοσι τρία μῆνες ἑπτὰ εἰς τὴν τοῦ Δαβὶδ τελευτήν.

§. 113. Καὶ μετὰ ταῦτα ἐβασίλευσε Σολομὼν υἱὸς Δαβὶδ ἔτη τεσσαράκοντα. διαμένει ἐπὶ τούτου Νάθαν προφητεύων, ὃς καὶ παρεκάλει αὐτὸν περὶ τῆς τοῦ ναοῦ οἰκοδομῆς· ὁμοίως καὶ Ἀχίας ἐκ Σηλὼμ προφητεύει, ἦσαν δὲ καὶ οἱ βασιλεῖς ἄμφω ὅτε Δαβὶδ ὅ τε Σολομὼν προφῆται. Σαδὼκ δὲ ὁ ἀρχιερεὺς πρῶτος ἐν τῷ ναῷ ὃν ᾠκοδόμησε Σολομὼν ἱεράτευσεν, ὄγδοος ὢν ἀπὸ Ἀαρὼν τοῦ πρώτου ἀρχιερέως. γίνονται οὖν ἀπὸ Μωϋσέως ἐπὶ τὴν Σολομῶνος ἡλικίαν ὡς μέν τινές φασιν ἔτη πεντακόσια ἐννενήκοντα πέντε, ὡς δὲ ἕτεροι πεντακόσια ἑβδομήκοντα ἕξ. εἰ δέ τις τοῖς ἀπὸ Ἰησοῦ μέχρι Δαβὶδ

τετρακοσίοις πεντήκοντα ἔτεσι συγκαταριθμήσαι τὸ τῆς Μωϋσέως στρατηγίας τεσσαράκοντα καὶ τὰ ἄλλα τὰ ὀγδοήκοντα ἔτη, ἃ γεγόνει ὁ Μωϋσῆς πρὸ τοῦ τὴν ἔξοδον τοῖς Ἑβραίοις ἀπὸ Αἰγύπτου γενέσθαι, προσθείη τε τούτοις τὰ τῆς βασιλείας τῆς Δαβὶδ τεσσαράκοντα ἔτη, συνάξει ἔτη τὰ πάντα ἑξακόσια δέκα.

§. 114. Ἀκριβέστερον δὲ ἡ καθ' ἡμᾶς χρονογραφία πρόεισιν, εἰ τοῖς πεντακοσίοις εἴκοσι καὶ τοισὶ καὶ μησὶν ἑπτὰ μέχρι τῆς Δαβὶδ τελευτῆς προσθήμεθα τὰ τε τοῦ Μωϋσέως ἑκατὸν εἴκοσι ἔτη τά τε τοῦ Σολομῶνος μ'. συνάξει γὰρ τὰ πάντα ἐπὶ τὴν Σολομῶνος τελευτὴν ἔτη ἑξακόσια ὀγδοήκοντα τρία μῆνας ἑπτά. Ἔραμος τὴν ἑαυτοῦ θυγατέρα Σαλομῶνι δίδωσι καθ' οὓς χρόνους μετὰ τὴν Τροίας ἅλωσιν Μενελάῳ εἰς Φοινίκην ἄφιξις, ὥς φησι Μένανδρος ὁ Περγαμηνὸς καὶ Διῖτος ἐν τοῖς Φοινικικοῖς. μετὰ δὲ Σολομῶνα βασιλεύει Ῥοβοὰμ υἱὸς αὐτοῦ ἔτη ἑπτακαίδεκα, καὶ ἦν ἀρχιερεὺς Ἀβιμέλεχ ὁ τοῦ Σαδώκ. ἐπὶ τούτου μεριστθείσης τῆς βασιλείας ἐν Σαμαρείᾳ βασιλεύει Ἱεροβοὰμ ἐκ φυλῆς Ἐφραΐμ ὁ δοῦλος Σολομῶνος, προφητεύει δὲ ἔτι Ἀχίας ὁ Σηλωνίτης καὶ Σαμαίας υἱὸς Ἀμαμὴ καὶ ὁ ἐξ Ἰούδα ἀπελθὼν ἐπὶ Ῥοβοὰμ καὶ προφητεύσας ἐπὶ τοῦ θυσιαστηρίου.

§. 115. Μετὰ τοῦτον βασιλεύει Ἀβιοὺμ υἱὸς αὐτοῦ ἔτη εἴκοσι τρία, καὶ ὁμοίως ὁ τούτου υἱὸς Ἀσαμάν· οὗτος ἐπὶ γήρως ἐποδάγρησε, προφητεύει δὲ ἐπ' αὐτοῦ Ἰοὺ υἱὸς Ἀνανίου. μετὰ τοῦτον βασιλεύει Ἰωσαφὰτ υἱὸς αὐτοῦ ἔτη ε'· ἐπὶ τούτου προφητεύουσιν Ἠλίας ὁ Θεσβίτης καὶ Μιχαίας υἱὸς Ἰεβλᾶ καὶ Ἀβδίας υἱὸς Ἀνανίου. ἐπὶ δὲ Μιχαίου καὶ ψευδοπροφήτης ἦν Σεδεκίας ὁ τοῦ Χαναάν. ἔπεται τούτοις ἡ βασιλεία Ἰωρὰμ τοῦ υἱοῦ Ἰωσαφὰτ ἐπὶ ἔτη ὀκτώ, ἐφ' οὗ προφητεύει Ἠλίας καὶ μετὰ Ἠλίαν Ἐλισσαῖος ὁ τοῦ Σαφάτ. ἐπὶ τού-

P. 387. Pott. Syb.

του οἱ ἐν Σαμαρείᾳ κόπρον ἔφαγον περιστερᾶς καὶ τὰ τέκνα τὰ ἑαυτῶν. ὁ δὲ χρόνος Ἰωσαφὰτ ἀπὸ τῶν ὑστάτων τῆς τρίτης τῶν βασιλειῶν ἄχρι τῆς τετάρτης ἐπεκτείνει. ἐπὶ δὲ τοῦ Ἰωρὰμ ἀνελήφθη μὲν Ἠλίας, ἦρξατο δὲ προφητεύειν Ἐλισσαῖος υἱὸς Σαφὰτ ἔτη ἐξ ὧν ἐτῶν τεσσαράκοντα. εἶτα Ὀχοζίας ἐβασίλευσεν ἔτος ἕν, ἐπὶ τούτου ἔτι προφητεύει Ἐλισσαῖος καὶ σὺν αὐτῷ Ἀβδαδωναῖος.

§. 116. Μετὰ τοῦτον ἡ μήτηρ Ὀζίου Γοθολία βασιλεύει ἔτη ὀκτὼ κατακτείνασα τὰ τέκνα τοῦ ἀδελφοῦ αὐτῆς, ἐκ γὰρ τοῦ γένους ἦν Ἀχαάβ. ἡ δὲ ἀδελφὴ Ὀζίου Ἰωσαβαία ἐξέκλεψε τὸν υἱὸν Ὀζίου Ἰωὰς καὶ τούτῳ περιέθηκεν ὕστερον τὴν βασιλείαν. ἐπὶ τῆς Γοθολίας ταύτης ἔτι ὁ Ἐλισσαῖος προφητεύει, μεθ' ἣν βασιλεύει ὡς προεῖπον Ἰωὰς ὁ περισωθεὶς ὑπὸ Ἰωσαβαίας τῆς Ἰωδαὲ τοῦ ἀρχιερέως γυναικὸς, καὶ τὰ πάντα γίνεται ἔτη τεσσαράκοντα. συνάγεται οὖν ἀπὸ Σολομῶνος ἐπὶ Ἐλισσαίου τοῦ προφήτου τελευτὴν ἔτη ὡς μέν τινές φασιν ἑκατόν ε', ὡς δὲ ἕτεροι ἑκατὸν δύο, ὡς δὲ ἡ προκειμένη δηλοῖ χρονογραφία ἀπὸ βασιλείας τῆς Σολομῶνος ἔτη ἑκατὸν ὀγδοήκοντα ἕν.

P. 388. Pou.

§. 117. Ἀπὸ δὲ τῶν Τρωϊκῶν ἐπὶ τὴν Ὁμήρου γένεσιν κατὰ μὲν Φιλόχορον ἑκατὸν ὀγδοήκοντα ἔτη γίνεται ὕστερον τῆς Ἰωνικῆς ἀποικίας· Ἀρίσταρχος δὲ ἐν τοῖς Ἀρχιλοχείοις ὑπομνήμασι κατὰ τὴν Ἰωνικὴν ἀποικίαν φησὶ φέρεσθαι αὐτὸν, ἢ ἐγένετο μετὰ ἑκατὸν τεσσαράκοντα ἔτη τῶν Τρωϊκῶν. Ἀπολλόδωρος δὲ μετὰ ἔτη ἑκατὸν τῆς Ἰωνικῆς ἀποικίας Ἀγησιλάου τοῦ Δορυσσάλου Λακεδαιμονίων βασιλεύοντος, ὥστε ἐπιβαλεῖν αὐτῷ Λυκοῦργον τὸν νομοθέτην ἔτι νέον ὄντα. Εὐθυμένης δὲ ἐν τοῖς χρονικοῖς συνακμάσαντα Ἡσιόδῳ ἐπὶ Ἀκάστου ἐν Χίῳ γενέσθαι περὶ τὸ διακοσιοστὸν ἔτος ὕστερον τῆς Ἰλίου ἁλώσεως. ταύτης δέ ἐστι τῆς δόξης καὶ Ἀρχέμαχος ἐν Εὐβοϊκῶν τρίτῳ· ὡς

P. 389. Pou.

εἶναι αὐτόν τε καὶ τὸν Ἡσίοδον καὶ Ἐλισσαίου τοῦ προφήτου νεωτέρους. κἂν ἕπεσθαί τις βουληθῇ τῷ γραμματικῷ Κράτητι καὶ λέγῃ περὶ τὴν Ἡρακλειδῶν κάθοδον Ὅμηρον γεγονέναι μετὰ ἔτη ὀγδοήκοντα τῆς Ἰλίου ἁλώσεως, εὑρεθήσεται πάλιν Σολομῶνος μεταγενέστερος, ἐφ' οὗ ἡ Μενελάου εἰς Φοινίκην ἄφιξις ὡς προείρηται. Ἐρατοσθένης δὲ μετὰ τὸ ἑκατοστὸν ἔτος τῆς Ἰλίου ἁλώσεως τὴν Ὁμήρου ἡλικίαν φέρει. ναὶ μὴν Θεόπομπος μὲν ἐν τῇ τεσσαρακοστῇ τρίτῃ τῶν Φιλιππικῶν μετὰ ἔτη πεντακόσια τῶν ἐπὶ Ἰλίῳ στρατευσάντων γεγονέναι τὸν Ὅμηρον ἱστορεῖ. Εὐφορίων δὲ ἐν τῷ περὶ Ἀλιάδων κατὰ Γύγην αὐτὸν τίθησι γεγονέναι, ὃς βασιλεύειν ἤρξατο ἀπὸ τῆς ὀκτωκαιδεκάτης ὀλυμπιάδος, ὃν καί φησι πρῶτον ὠνομάσθαι τύραννον. Σωσίβιος δὲ ὁ Λάκων ἐν χρόνων ἀναγραφῇ κατὰ τὸ ὄγδοον ἔτος τῆς Χαρίλλου τοῦ Πολυδέκτου βασιλείας Ὅμηρον φέρει. βασιλεύει μὲν οὖν Χάριλλος ἔτη ἑξήκοντα τέσσαρα, μεθ' ὃν υἱὸς Νίκανδρος ἔτη τριάκοντα ἐννέα· τούτου κατὰ τὸ τριακοστὸν τέταρτον ἔτος τεθῆναί φησι τὴν πρώτην ὀλυμπιάδα. ὡς εἶναι ἐννενήκοντά που ἐτῶν πρὸ τῆς τῶν ὀλυμπίων θέσεως Ὅμηρον.

§. 118. Μετὰ δὲ τὸν Ἰωὰν διαδέχεται τὴν βασιλείαν Ἀμασίας ὁ υἱὸς αὐτοῦ ἔτη τριάκοντα ἐννέα, τοῦτον Ὀζίας ὁμοίως ὁ υἱὸς αὐτοῦ ἐπὶ ἔτη πεντήκοντα δύο, καὶ λεπρῶν οὗτος ἐτελεύτα· προφητεύουσι δὲ ἐπ' αὐτοῦ Ἀμὼς καὶ Ἡσαΐας ὁ υἱὸς αὐτοῦ καὶ Ὡσηὲ ὁ τοῦ Βηερεὶ καὶ Ἰωνὰς ὁ τοῦ Ἀμαθὶ ὁ ἐκ Γὲθ Χοβὲρ ὁ κηρύξας Νινευίταις ὁ ἐκ τοῦ κήτους προελθών. ἔπειτα βασιλεύει Ἰωνάθαν ὁ υἱὸς Ὀζίου ἔτη ἑκκαίδεκα· ἐπὶ τούτου ἔτι Ἡσαΐας προφητεύει καὶ Ὡσηὲ καὶ Μιχαίας ὁ Μωραθίτης καὶ Ἰωὴλ ὁ τοῦ Βαθουήλ.

§. 119. Τοῦτον διαδέχεται ὁ υἱὸς αὐτοῦ Ἄχαζ ἐπὶ ἔτη ἑκκαίδεκα· ἐπὶ τούτου πεντεκαιδεκάτῳ ἔτει ὁ Ἰσραὴλ εἰς Βαβυλῶνα ἀπήχθη, Σαλμανασὰρ τε

P. 390. Pott.

ὁ βασιλεὺς τῶν Ἀσσυρίων μετῴκισε τοὺς ἐν Σαμαρείᾳ εἰς Μήδους καὶ Βαβυλῶνα. πάλιν τὸν Ἄχαζ διαδέχεται Ὡσηὲ ἐπὶ ἔτη ὀκτὼ, εἶτα Ἐζεκίας ἐπὶ ἔτη εἴκοσι ἐννέα. τούτῳ δὲ ὁσιότητα πρὸς τῷ τέλει τοῦ βίου γενομένῳ διὰ Ἡσαΐου δωρεῖται ὁ θεὸς ἄλλα ἔτη βιῶσαι πεντεκαίδεκα δι' ἀναποδισμοῦ ἡλίου. μέχρι τούτου διατείνουσι προφητεύοντες Ἡσαΐας καὶ Ὡσηὲ καὶ Μιχαίας. λέγονται δὲ οὗτοι μετὰ τὴν Λυκούργου τοῦ νομοθέτου Λακεδαιμονίων ἡλικίαν γεγονέναι, Λιευχίδας γὰρ ἐν τετάρτῳ Μεγαρικῶν περὶ τὸ διακοσιοστὸν ἐννενηκοστὸν ἔτος ὕστερον τῆς Ἰλίου ἁλώσεως τὴν ἀκμὴν Λυκούργου φέρει· Ἡσαΐας δὲ ἀπὸ τῆς Σολομῶντος βασιλείας, ἐφ' οὗ Μενέλεως εἰς Φοινίκην γενόμενος ἐδείχθη, διακοσιοστῷ ἔτει προφητεύων ἔτι φαίνεται Μιχαίας τε σὺν αὐτῷ καὶ Ὡσηὲ καὶ Ἰωὴλ ὁ τοῦ Βαθουήλ.

§. 120. Μετὰ δὲ Ἐζεκίαν ὁ υἱὸς αὐτοῦ Μανασσῆς βασιλεύει ἔτη πεντήκοντα πέντε, ἔπειτα ὁ τούτου υἱὸς Ἀμὼς ἔτη δύο, μεθ' ὃν Ἰωσίας ὁ υἱὸς αὐτοῦ ὁ νομικώτατος ἔτη τριάκοντα καὶ ἕν. οὗτος ἐπέθηκε τὰ κῶλα τῶν ἀνθρώπων ἐπὶ τὰ κῶλα τῶν εἰδώλων καθὼς ἐν τῷ Λευιτικῷ γέγραπται. ἐπὶ τούτου ὀκτωκαιδεκάτῳ ἔτει τὸ πάσχα ἤχθη ἐξ οὗ ἀπὸ Σαμουὴλ μήτε ἐν τῷ μεταξὺ χρόνῳ τελεσθέν. τότε καὶ Χελκίας ὁ ἱερεὺς ὁ τοῦ προφήτου Ἱερεμίου πατὴρ περιτυχὼν τῷ τοῦ νόμου βιβλίῳ ἐν τῷ ἱερῷ ἀποκειμένῳ ἀναγνοὺς ἐτελεύτησεν. ἐπὶ τούτου προφητεύει Ὀλδᾶ καὶ Σοφωνίας καὶ Ἱερεμίας. ἐπὶ δὲ Ἱερεμίου ψευδοπροφήτης γίνεται Ἀνανίας ὁ Ἰωσίου. οὗτος παρακούσας Ἱερεμίου τοῦ προφήτου ὑπὸ Νεχαὼ βασιλέως Αἰγύπτου ἀνῃρέθη κατὰ ποταμὸν Εὐφράτην ὁρμῶντι αὐτῷ πρὸς Ἀσσυρίους ἀπαντήσας.

§. 121. Ἰωσίαν διαδέχεται Ἰεχωνίας καὶ Ἰωάχας ὁ υἱὸς αὐτοῦ μῆνας τρεῖς καὶ ἡμέρας δέκα. τοῦτον Νεχαὼ βασιλεὺς Αἰγύπτου δήσας ἀπήγαγε·

εἰς Αἴγυπτον καταστήσας ἀντ' αὐτοῦ βασιλέα τὸν ἀδελφὸν αὐτοῦ Ἰωακεὶμ ἐπὶ φόρῳ τῆς γῆς ἔτη ἕνδεκα. μετὰ τοῦτον ὁ ὁμώνυμος αὐτοῦ Ἰωακεὶμ τρίμηνον βασιλεύει, εἶτα Σεδεκίας ἔτη ἕνδεκα. καὶ μέχρι τούτου προφητεύων διατείνει Ἱερεμίας, προφητεύουσι δὲ καὶ Βουζὶ καὶ Οὐρίας ὁ υἱὸς Σαμαίου καὶ Ἀμβακοὺμ σὺν αὐτῷ, καὶ τέλος ἔχει τὰ τῶν Ἑβραϊκῶν βασιλέων. γίνονται οὖν ἀπὸ μὲν τῆς Μωϋσέως γενέσεως ἕως τῆς μετοικεσίας ταύτης ἔτη, ὡς μέν τινες, ἐννακόσια ἑβδομήκοντα δύο, κατὰ δὲ τὴν ἀκριβῆ χρονογραφίαν χίλια ὀγδοήκοντα πέντε μῆνες ἓξ ἡμέραι δέκα· ἀπὸ δὲ τῆς Δαβὶδ βασιλείας ἕως τῆς αἰχμαλωσίας τῆς ὑπὸ Χαλδαίων γενομένης ἔτη τετρακόσια πεντήκοντα δύο μῆνες ἓξ, ὡς δὲ ἡ καθ' ἡμᾶς τῶν χρόνων ἀκρίβεια συνάγει ἔτη τετρακόσια ὀγδοήκοντα δύο μῆνες ἓξ ἡμέραι δέκα.

§. 122. Ἐν δὲ τῷ δωδεκάτῳ ἔτει τῆς Σεδεκίου βασιλείας Ναβουχοδονόσορ πρὸ τῆς Περσῶν ἡγεμονίας ἔτεσιν ἑβδομήκοντα ἐπὶ Φοίνικας καὶ Ἰουδαίους ἐστράτευσεν, ὡς φησι Βήρωσσος ἐν ταῖς Χαλδαϊκαῖς ἱστορίαις. Ἰώβας δὲ περὶ Ἀσσυρίων γράφων ὁμολογεῖ τὴν ἱστορίαν παρὰ Βηρώσσου εἰληφέναι μαρτυρῶν τἀληθεῖαν τἀνδρί. ὁ τοίνυν Ναβουχοδονόσορ τυφλώσας τὸν Σεδεκίαν εἰς Βαβυλῶνα ἀπάγει καὶ τὸν λαὸν πάντα μετοικίζει καὶ γίνεται ἡ αἰχμαλωσία ἐπὶ ἔτη ἑβδομήκοντα πλὴν ὀλίγων οἳ εἰς Αἴγυπτον κατέφυγον. προφητεύουσι δὲ καὶ ἐπὶ Σεδεκίου ἔτι Ἱερεμίας καὶ Ἀμβακοὺμ, ἐν δὲ τῷ πέμπτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἐν Βαβυλῶνι προφητεύουσιν Ἰεζεκιὴλ, μεθ' ὃν Ναοὺμ ὁ προφήτης, ἔπειτα Δανιὴλ, πάλιν αὖ μετὰ τοῦτον προφητεύουσιν Ἀγγαῖος καὶ Ζαχαρίας ἐπὶ Δαρείου τοῦ πρώτου ἔτη δύο, μεθ' οὓς ὁ ἐν τοῖς δώδεκα ἄγγελος.

§. 123. Μετὰ δὲ Ἀγγαῖον καὶ Ζαχαρίαν Νεεμίας ὁ ἀρχιοινοχόος Ἀρταξέρξου, υἱὸς δὲ Ἀχηλὶ

τοῦ Ἰσραηλίτου οἰκοδομεῖ τὴν πόλιν Ἱερουσαλὴμ καὶ τὸν νεὼν ἐπισκευάζει. ἐν τῇ αἰχμαλωσίᾳ ταύτῃ γίνεται Αἰσθὴρ καὶ Μαρδοχαῖος, οὗ φέρεται βιβλίον ὡς καὶ τὸ τῶν Μακκαβαϊκῶν. κατὰ τὴν αἰχμαλωσίαν ταύτην τῇ εἰκόνι λατρεῦσαι μὴ θελήσαντες, Μισαὴλ, Ἀνανίας τε καὶ Ἀζαρίας εἰς κάμινον ἐμβληθέντες πυρὸς δι' ἐπιφανείας ἀγγέλου σώζονται. τότε διὰ δράκοντα Δανιὴλ εἰς λάκκον λεόντων βληθεὶς ὑπὸ Ἀμβακοὺμ προνοίᾳ θεοῦ τραφεὶς ἑβδομαίοις ἀνασώζεται. ἐνταῦθα καὶ τὸ σημεῖον ἐγένετο Ἰωνᾶ, καὶ Τωβίας διὰ Ῥαφαὴλ τοῦ ἀγγέλου Σάῤῥαν ἄγεται γυναῖκα τοῦ δαίμονος αὐτῆς ἑπτὰ τοὺς πρώτους μνηστῆρας ἀνελόντος, καὶ μετὰ τὸν γάμον Τωβίου ὁ πατὴρ αὐτοῦ Τωβὶτ ἀναβλέπει.

§. 124. Ἐνταῦθα Ζοροβάβελ σοφίᾳ νικήσας τοὺς ἀνταγωνιστὰς τυγχάνει παρὰ Δαρείου ὠνησάμενος ἀνανέωσιν Ἱερουσαλὴμ, καὶ μετὰ Ἔσδρα εἰς τὴν πατρῴαν γῆν ἀναζεύγνυσι. δι' ὧν γίνεται ἡ ἀπολύτρωσις τοῦ λαοῦ καὶ ὁ τῶν θεοπνεύστων ἀναγνωρισμὸς καὶ ἀνακαινισμὸς λογίων καὶ τὸ σωτήριον ἄγεται πάσχα καὶ λύσις ὀθνείας ἐπιγαμβρίας. προκεκηρύχει δὲ καὶ Κῦρος τὴν Ἑβραίων ἀποκατάστασιν, τελεσθείσης δὲ ἐπὶ Δαρείου τῆς ὑποσχέσεως ἢ τῶν ἐγκαινίων ἄγεται ἑορτὴ, καθὼς καὶ ἐπὶ τῆς σκηνῆς. καὶ γίνεται τὰ πάντα ἔτη σὺν τοῖς τῆς αἰχμαλωσίας μέχρι τῆς ἀποκαταστάσεως τοῦ λαοῦ ἀπὸ μὲν τῆς Μωϋσέως γενέσεως ἔτη χίλια ἑκατὸν νέ μῆνες ἓξ ἡμέραι δέκα, ἀπὸ δὲ τῆς Δαβὶδ βασιλείας ἔτη ὡς μέν τινες τριακόσια πεντήκοντα δύο, ὡς δὲ ἀκριβέστερον πεντακόσια ἑβδομήκοντα δύο μῆνες ἓξ ἡμέραι δέκα. P. 393. Pott.

§. 125. Πεπλήρωται τοίνυν ἐκ τῆς αἰχμαλωσίας τῆς ἐπὶ Ἱερεμίου τοῦ προφήτου εἰς Βαβυλῶνα γενομένης τὰ ὑπὸ Δανιὴλ τοῦ προφήτου εἰρημένα οὕτως ἔχοντα, „ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τοῦ

συντελεσθῆναι ἁμαρτίαν καὶ τοῦ σφραγῖσαι ἁμαρτίας καὶ τοῦ ἀπαλεῖψαι τὰς ἀδικίας καὶ τοῦ ἐξιλάσασθαι καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώνιον καὶ τοῦ σφραγῖσαι ὅρασιν καὶ προφήτην καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων, καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκρίνασθαι καὶ τοῦ οἰκοδομῆσαι Ἰερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξήκοντα δύο, καὶ ἐπιστρέψει καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ τεῖχος, καὶ κενωθήσονται οἱ καιροὶ καὶ μετὰ τὰς ἑξήκοντα δύο ἑβδομάδας ἐξολοθρευθήσεται χρῖσμα καὶ κρῖμα οὐκ ἔσται ἐν αὐτῷ καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ· [καὶ] ἐκκοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς καὶ δυναμώσει διαθήκην πολλὴν ἑβδομὰς μία, καὶ ἡμι- P.
σει τῆς ἑβδομάδος ἀρθήσεταί μου θυσία καὶ σπον- 394.
P. δή· καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τὸ ἐρημώσεων καὶ Pott.
143 ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν
Sylb. ἐρήμωσιν. καὶ ἥμισυ τῆς ἑβδομάδος καταπαύσει θυμίαμα θυσίας καὶ πτερυγίου ἀφανισμοῦ ἕως συντελείας καὶ σπουδῆς τάξει ἀφανισμοῦ" *).

§. 126. Ὅτι μὲν οὖν ἐν ἑπτὰ ἑβδομάσιν ᾠκοδομήθη ὁ λαὸς, τοῦτο φανερόν ἐστι· καὶ γὰρ ἐν τῷ Ἔσδρα γέγραπται, καὶ οὕτως ἐγένετο Χριστὸς βασιλεὺς Ἰουδαίων ἡγούμενος πληρουμένων τῶν ἑπτὰ ἑβδομάδων ἐν Ἰερουσαλὴμ, καὶ ἐν ταῖς ἑξήκοντα δύο ἑβδομάσιν ἡσύχασεν ἅπασα ἡ Ἰουδαία καὶ ἐγένετο ἄνευ πολέμων, καὶ ὁ κύριος ἡμῶν Χριστὸς "ἅγιος τῶν ἁγίων" ἐλθὼν καὶ πληρώσας "τὴν ὅρασιν" καὶ "τὸν προφήτην ἐχρίσθη" τὴν σάρκα τῷ τοῦ πατρὸς ἁγίῳ πνεύματι· ἐν ταύτῃσι "ταῖς ἑξήκοντα δύο ἑβδομάσι", καθὼς εἶπεν ὁ προφήτης καὶ "ἐν τῇ μιᾷ ἑβδομάδι", ἧς ἑβδομάδος τὸ ἥμισυ κατέσχεν Νέρων βασιλεύων καὶ ἐν τῇ ἁγίᾳ πόλει Ἰερου-

*) Daniel. 9, 24 — 27.

σαλὴμ ἔστησεν τὸ βδέλυγμα καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀνῃρέθη καὶ αὐτὸς καὶ Ὄθων καὶ Γάλβας καὶ Οὐιτέλλιος, Οὐεσπεσιανὸς δὲ ἐκράτησε καὶ καθεῖλεν τὴν Ἱερουσαλὴμ καὶ τὸ ἅγιον ἠρήμωσεν. καὶ ὡς ταῦθ' οὕτως ἔχει τῷ γε συνιέναι δυναμένῳ δῆλον καθ' ἃ καὶ ὁ προφήτης εἴρηκεν.

§. 127. Τοῦ ἑνδεκάτου τοίνυν ἔτους πληρουμένου κατὰ τὴν ἀρχὴν τοῦ ἑπομένου βασιλεύοντος Ἰωακεὶμ ἡ αἰχμαλωσία εἰς Βαβυλῶνα γίνεται ὑπὸ βασιλέως Ναβουχοδονόσορ τῷ ἑβδόμῳ ἔτει βασιλεύοντος αὐτοῦ Ἀσσυρίων, Αἰγυπτίων δὲ Οὐαφρηοῦς βασιλεύοντος τῷ δευτέρῳ ἔτει, Φιλίππου δὲ Ἀθήνῃσιν ἄρχοντος τῷ πρώτῳ ἔτει τῆς ὀγδόης καὶ τεσσαρακοστῆς ὀλυμπιάδος, καὶ ἔμεινεν ἡ αἰχμαλωσία ἐπὶ ἔτη ἑβδομήκοντα καταλήξασα εἰς τὸ δεύτερον ἔτος τῆς Δαρείου τοῦ Ὑστάσπου τοῦ Περσῶν καὶ Ἀσσυρίων καὶ Αἰγυπτίων γεγενημένου βασιλέως, ἐφ' οὗ ὡς προεῖπον Ἄγγαῖος καὶ Ζαχαρίας καὶ ὁ ἐκ τῶν δώδεκα ἄγγελος προφητεύουσι, καὶ ἦν ἀρχιερεὺς Ἰησοῦς ὁ τοῦ Ἰωσεδέκ. κἀν τῷ δευτέρῳ ἔτει τῆς Δαρείου βασιλείας, ὃν φησιν Ἡρόδοτος καταλῦσαι τὴν τῶν μάγων ἀρχήν, ἀποστέλλεται Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ ἐγεῖραι καὶ ἐπικοσμῆσαι τὸν νεὼν τὸν ἐν Ἱερουσολύμοις.

§. 128. Συνάγονται οὖν καὶ τῶν Περσῶν οἱ χρόνοι οὕτως· Κῦρος ἔτη τριάκοντα, Καμβύσης δέκα ἐννέα, Δαρεῖος ἓξ καὶ τεσσαράκοντα, Ξέρξης ἓξ καὶ εἴκοσι, Ἀρταξέρξης ἓν καὶ τεσσαράκοντα, Δαρεῖος ὀκτώ, Ἀρταξέρξης τεσσαράκοντα δύο, Ὦχος ἢ Ἄρσης τρία. συνάγεται ἐπὶ τὸ αὐτὸ τῶν Περσικῶν ἔτη διακόσια τριάκοντα πέντε. καθελὼν δὲ τὸν Δαρεῖον τοῦτον Ἀλέξανδρος ὁ Μακεδὼν κατὰ τὰ προκείμενα ἔτη βασιλεύειν ἄρχεται. ὁμοίως οὖν καὶ τῶν Μακεδονικῶν βασιλέων αἱ χρόνοι οὕτω κατάγονται. Ἀλέξανδρος ἔτη δέκα ὀκτώ, Πτολεμαῖος ὁ Λαγοῦ ἔτη τεσσαράκοντα, Πτολεμαῖος ὁ Φιλάδελφος ἔτη εἴκοσι ἑπτά, εἶτα ὁ Εὐεργέτης ἔτη πέντε

P. 395. Pou.

P. 396. Pott.

καὶ εἴκοσι, εἶτα ὁ Φιλοπάτωρ ἔτη ἑπτακαίδεκα, μεθ' ὃν ὁ Ἐπιφανὴς ἔτη τέσσαρα καὶ εἴκοσι, τοῦτον διαδέχεται ὁ Φιλομήτωρ καὶ βασιλεύει ἔτη πέντε καὶ τριάκοντα, μεθ' ὃν ὁ Φύσκων ἔτη ἐννέα καὶ εἴκοσι, εἶτα ὁ Λάθουρος ἔτη ἓξ καὶ τριάκοντα, εἶτα ὁ ἐπικληθεὶς Διόνυσος ἔτη ἐννέα καὶ εἴκοσι.

§. 129. Ἐπὶ πᾶσιν ἡ Κλεοπάτρα ἐβασίλευσεν ἔτη δύο καὶ εἴκοσι, μεθ' ἣν ἡ τῶν Καππαδοκῶν βασιλεία ἡμερῶν ὀκτωκαίδεκα. γίνονται τοίνυν ἐπὶ τὸ αὐτὸ καὶ οἱ τῶν Μακεδόνων βασιλέων χρόνοι ἔτη τριακόσια δώδεκα ἡμέραι ὀκτωκαίδεκα. ἀποδείκνυνται τοίνυν οἱ ἐπὶ Δαρείου τοῦ Ὑστάσπου προφητεύσαντες κατὰ τὸ δεύτερον ἔτος τῆς βασιλείας αὐτοῦ Ἄγγαῖος καὶ Ζαχαρίας καὶ ὁ ἐκ τῶν δώδεκα ἄγγελος κατὰ τὸ πρῶτον ἔτος τῆς ὀγδόης καὶ τεσσαρακοστῆς ὀλυμπιάδος προφητεύσαντες πρεσβύτεροι εἶναι Πυθαγόρου τοῦ κατὰ τὴν δευτέραν καὶ ἑξηκοστὴν ὀλυμπιάδα φερομένου καὶ τοῦ πρεσβυτάτου τῶν παρ' Ἕλλησι σοφῶν Θαλοῦ περὶ τὴν πεντηκοστὴν ὀλυμπιάδα γενομένου. συνεχρόνισαν δὲ οἱ συγκαταλεγέντες σοφοὶ τῷ Θαλεῖ ὡς φησιν Ἄνδρων ἐν τῷ τρίποδι. Ἡράκλειτος γὰρ μεταγενέστερος ὢν Πυθαγόρου μέμνηται αὐτοῦ ἐν τῷ συγγράμματι.

§. 130. Ὅθεν ἀναμφιλέκτως τῆς τῶν προειρημένων προφητῶν ἡλικίας σὺν καὶ τοῖς ἑπτὰ λεγομένοις σοφοῖς προγενεστέρα ἂν εἴη ἡ ὀλυμπιὰς ἡ πρώτη, ἣ καὶ ὑστέρα τῶν Ἰλιακῶν δείκνυται ἔτεσι τετρακοσίοις ἑπτά. ῥᾴδιον τοίνυν συνιδεῖν Σολομῶνα τὸν κατὰ Μενέλαον γενόμενον — ὁ δὲ κατὰ τὰ Ἰλιακὰ ἦν — πολλοῖς ἔτεσι πρεσβύτερον τῶν παρ' Ἕλλησι σοφῶν. τούτου δ' αὖ ὁπόσοις ἔτεσι Μωϋσῆς προτερεῖ ἐν τοῖς ἔμπροσθεν ἡμῖν δεδήλωται. Ἀλέξανδρος δὲ ὁ Πολυΐστωρ ἐπικληθεὶς ἐν τῷ περὶ Ἰουδαίων συγγράμματι ἀνέγραψέν τινας ἐπιστολὰς Σολομῶνος μὲν πρός τε Οὐάφρην τὸν Αἰγύπτου βασι-

λέα πρός τε τὸν Φοινίκης Τυρίων τάς τε αὐτῶν πρὸς Σολομῶντα, καθ' ἃ δείκνυται ὁ μὲν Οὐάφρης ὀκτὼ μυριάδας ἀνδρῶν Αἰγυπτίων ἀπεσταλκέναι αὐτῷ εἰς οἰκοδομὴν τοῦ νεὼ, ἄτερος δὲ τὰς ἴσας σὺν ἀρχιτέκτονι Τυρίῳ ἐκ μητρὸς Ἰουδαίας ἐκ τῆς φυλῆς Δαβὶδ, ὡς ἐκεῖ γέγραπται, Ὑπέρων τοὔνομα. P.

§. 131. Ναὶ μὴν Ὀνομάκριτος ὁ Ἀθηναῖος, οὗ τὰ εἰς Ὀρφέα φερόμενα ποιήματα λέγεται εἶναι, κατὰ τὴν τῶν Πεισιστρατιδῶν ἀρχὴν περὶ τὴν πεντηκοστὴν ὀλυμπιάδα εὑρίσκεται, Ὀρφεύς τε ὁ συμπλεύσας Ἡρακλεῖ Μουσαίου μαθητὴς, Ἀμφίων γὰρ P. δυσὶ προάγει γενεαῖς τῶν Ἰλιακῶν, Δημόδοκος δὲ 144 καὶ Φήμιος μετὰ τὴν Ἰλίου ἅλωσιν, ὁ μὲν γὰρ Sylb. παρὰ τοῖς Φαίαξιν, ὁ δὲ παρὰ τοῖς μνηστῆρσι κατὰ τὸ κιθαρίζειν εὐδοκίμουν. καὶ τοὺς μὲν ἀναφερομένους εἰς Μουσαῖον χρησμοὺς Ὀνομακρίτου εἶναι λέγουσι, τὸν Κράτητα δὲ τὸν Ὀρφέως Ζωπύρου τοῦ Ἡρακλεώτου, τήν τε εἰς Ἅιδου κατάβασιν Προδίκου τοῦ Σαμίου. Ἴων δὲ ὁ Χῖος ἐν τοῖς τριγράμμοις καὶ Πυθαγόραν εἰς Ὀρφέα ἀνενεγκεῖν τινὰ ἱστορεῖ. Ἐπιγένης δὲ ἐν τοῖς περὶ τῆς εἰς Ὀρφέα ποιήσεως Κέρκωπος εἶναι λέγει τοῦ Πυθαγορείου τὴν εἰς Ἅιδου κατάβασιν καὶ τὸν ἱερὸν λόγον, τὸν δὲ πέπλον καὶ τὰ φυσικὰ Βροντῖνου. ναὶ μὴν καὶ Τέρπανδρον ἀρχαΐζουσί τινες, Ἑλλάνικος γοῦν τοῦτον ἱστορεῖ κατὰ Μίδαν γεγονέναι, Φανείας δὲ πρὸ P. Τερπάνδρου τιθεὶς Λέσχην τὸν Λέσβιον Ἀρχιλόχου 398. νεώτερον φέρει τὸν Τέρπανδρον, διημιλλῆσθαι Pott. δὲ τὸν Λέσχην Ἀρκτίνῳ καὶ νενικηκέναι, Ξάνθος δὲ ὁ Λυδὸς περὶ τὴν ὀκτωκαιδεκάτην ὀλυμπιάδα, ὡς δὲ Διονύσιος περὶ τὴν πεντεκαιδεκάτην Θάσον ἐκτίσθαι. ὡς εἶναι συμφανὲς τὸν Ἀρχίλοχον μετὰ τὴν εἰκοστὴν ἤδη γνωρίζεσθαι ὀλυμπιάδα. μέμνηται γοῦν καὶ τῆς Μαγνητῶν ἀπωλείας προσφάτως γεγενημένης. Σιμωνίδης μὲν οὖν κατὰ Ἀρχίλοχον φέρεται, Καλλῖνος δὲ πρεσβύτερος οὐ μακρῷ, τῶν γὰρ Μαγνη-

τῶν ὁ μὲν Ἀρχίλοχος ἀπολωλότων ὁ δὲ εὐημερούντων μέμνηται, Εὔμηλος δὲ ὁ Κορίνθιος πρεσβύτερος ὢν ἐπιβεβληκέναι Ἀρχίᾳ τῷ Συρακούσας κτίσαντι.

§. 132. Καὶ ταῦτα μὲν προϊχθημεν εἰπεῖν, ὅτι σπιάλιστα ἐν τοῖς πάνυ παλαιοῖς τοὺς τοῦ κύκλου ποιητὰς τιθέασιν. ἤδη δὲ καὶ παρ' Ἕλλησι χρησμολόγοι συχνοὶ γεγονέναι φέρονται, ὡς οἱ Βακίδες — ὁ μὲν Βοιώτιος, ὁ δὲ Ἀρκὰς — πολλὰ πολλοῖς προαγορεύσαντες. τῇ δὲ τοῦ Ἀθηναίου Ἀμφιλήτου συμβουλῇ καὶ Πεισίστρατος ἐκράτυνε τὴν τυραννίδα τὸν καιρὸν τῆς ἐπιθέσεως δηλώσαντος. σιγάσθω γὰρ Κομήτης ὁ Κρὴς, Κινύρας ὁ Κύπριος, Ἄδμητος ὁ Θετταλὸς, Ἀρισταῖος ὁ Κυρηναῖος, P.
Ἀραφιάραος ὁ Ἀθηναῖος, Τιμόξενος ὁ Κερκυραῖος, 399.
Δημαίνετος ὁ Φωκαεὺς, Ἐπιγένης ὁ Θεσπιεὺς, Ni-Pott.
κίας ὁ Καρύστιος, Ἀρίστων ὁ Θετταλὸς, Διονύσιος ὁ Καρχηδόνιος, Κλεοφῶν ὁ Κορίνθιος, Ἵππων τε ἡ Χείρωνος καὶ Βοιὼ καὶ Μαντὼ καὶ τῶν Σιβυλλῶν τὸ πλῆθος, ἡ Σαμία ἡ Κολοφωνία ἡ Κυμαία ἡ Ἐρυθραία ἡ Φυτὼ ἡ Ταραξάνδρα ἡ Μακέτις ἡ Θεττταλὴ ἡ Θεσπρωτὶς, Κάλχας τε αὖ καὶ Μόψος οἱ κατὰ τὰ Τρωϊκὰ γεγόνασι, πρεσβύτερος δὲ ὁ Μόψος ὡς ἂν συμπλεύσας τοῖς Ἀργοναύταις.

§. 133. Φασὶ δὲ τὴν Μόψου καλουμένην μαντικὴν συντάξαι τὸν Κυρηναῖον Βάττον, Δωρόθεός τε ἐν τῷ πρώτῳ παυδέκτῃ ἀλκυόνος καὶ κορώνης ἐπακοῦσαι τὸν Μόψον ἱστορεῖ. προγνώσει δὲ καὶ Πυθαγόρας ὁ μέγας προσανεῖχεν αἰεί, Ἄβαρίς τε ὁ Ὑπερβόρεος καὶ Ἀρισταίας ὁ Προκοννήσιος, Ἐπιμενίδης τε ὁ Κρὴς ὅστις εἰς Σπάρτην ἀφίκετο καὶ Ζωροάστρης ὁ Μῆδος Ἐμπεδοκλῆς τε ὁ Ἀκραγαντῖνος καὶ Φορμίων ὁ Λάκων, καὶ μὴν Πολυάρατος ὁ Θάσιος Ἐμπεδότιμός τε ὁ Συρακούσιος, ἐπὶ τε τούτοις Σωκράτης ὁ Ἀθηναῖος μάλιστα· ἔστι γάρ μοι, φησὶν ἐν τῷ Θεάγει, ἐκ παιδὸς ἀρξάμενον θεία μοῖρα παραγινόμενον δαιμόνιον σημεῖον, τοῦτο δέ ἐστι φωνή, ἣ ὅταν γένηται, ἐπίσχει τοῦτο

δ μέλλω πράττειν, προτρέπει δὲ οὐδέ ποτε. Ἐξήκιστός τε ὁ Φωκέων τύραννος δύο δακτυλίους φορῶν γεγονητυμένους τῷ ψόφῳ τῷ πρὸς ἀλλήλους διεσθάνετο τοὺς καιροὺς τῶν πράξεων, ἀπέθανεν δὲ ὅμως δολοφονηθεὶς καίτοι προσημήναντος τοῦ ψόφου ὡς φησιν Ἀριστοτέλης ἐν τῇ Φωκέων πολιτείᾳ.

§. 134. Ἀλλὰ καὶ τῶν παρ' Αἰγυπτίοις ἀνθρώπων ποτὲ, γενομένων δὲ ἀνθρωπίνῃ δόξῃ θεῶν, Ἑρμῆς τε ὁ Θηβαῖος καὶ Ἀσκληπιὸς ὁ Μεμφίτης, Τειρεσίας τε αὖ, καὶ Μόψος ἐν Θήβαις ὡς φησιν Εὐριπίδης, Ἕλενος ἔθη καὶ Δμοκόων καὶ Οἰνώνη καὶ Βρῆνος ἐν Ἰλίῳ, Κρῆνος γὰρ εἷς τῶν Ἡρακλειδῶν ἐπιφανὴς φέρεται μάντις, καὶ Ἴαμος ἄλλος ἐν Ἤλιδι ἀφ' οὗ οἱ Ἰαμίδαι, Πολυΐδός τε ἐν Ἄργει καὶ ἐν Μεγάροις οὗ μέμνηται ἡ τραγῳδία. τί μοι Τήλεμον καταλέγειν, ὃς Κυκλώπων μάντις ὢν Πο- P. λυφήμῳ θεσπίζει τὰ κατὰ τὴν Ὀδυσσέως πλάνην, 400. ἢ τὸν Ἀθήνησιν Ὀνομάκριτον ἢ τὸν Ἀμφιάρεων Pott. τὸν σὺν τοῖς ἑπτὰ τοῖς ἐπὶ Θήβας στρατεύσασι μιᾷ γενεᾷ τῆς Ἰλίου ἁλώσεως πρεσβύτερον φερόμενον, ἢ Θεοκλύμενον ἐν Κεφαλληνίᾳ, ἢ Τελμισσὸν ἐν Καρίᾳ ἢ Γάλεῶν ἐν Σικελίᾳ; εἶεν δ' ἂν καὶ ἕτεροι πρὸς τούτοις, Ἴδμων ὁ σὺν τοῖς Ἀργοναύταις, Θημονόη Δελφὶς, Μόψος ὁ Ἀπόλλωνος καὶ Μαντοῦς ἐν Παμφυλίᾳ καὶ Κιλικίᾳ καὶ Ἀμφίλοχος Ἀμφιαράου ἐν Κιλικίᾳ, Ἀλκμέων ἐν Ἀκαρνᾶσιν, Ἄνιος ἐν Δήλῳ, Ἀρίστανδρός τε ὁ Τελμισσεὺς ὁ σὺν Ἀλεξάνδρῳ γενόμενος, ἤδη δὲ καὶ Ὀρφέα Φιλόχορος μάντιν ἱστορεῖ γενέσθαι ἐν τῷ πρώτῳ περὶ μαντικῆς.

§. 135. Θεόπομπος δὲ καὶ Ἔφορος καὶ Τιμαῖος Ὀρθαγόραν τινὰ μάντιν ἀναγράφουσι, καθάπερ ὁ Σάμιος Πυθαγόρας ἐν τετάρτῳ Ἰταλικῶν Γάϊον Ἰούλιον Νέπωτα. ἀλλ' οἱ μὲν „κλέπται πάντες καὶ λῃσταὶ" *), ὡς φησιν ἡ γραφὴ, τὰ πλεῖστα ἐκ παρα-

*) Ioann. 10, 18.

τηρήσεως καὶ ἐξ εἰκότων προειρηκότες καθάπερ οἱ φυσιογνωμονοῦντες ἰατροί τε καὶ μάντεις, οἱ δὲ καὶ ὑπὸ δαιμόνων κινηθέντες ἢ ὑδάτων καὶ θυμιαμάτων καὶ ἀέρος ποιοῦ ἐκταραχθέντες, παρὰ Ἑβραίοις δὲ οἱ προφῆται δυνάμει θεοῦ καὶ ἐπιπνοίᾳ, πρὸ μὲν τοῦ νόμου Ἀδὰμ ἐπί τε τῆς γυναικὸς ἐπί τε τῆς ζώων ὀνομασίας προθεσπίσας καὶ Νῶε μετάνοιαν
P. κηρύξας, Ἀβραάμ τε καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἄντι-
145 κρυς οὐκ ὀλίγα τῶν μελλόντων καὶ ἤδη ἐνεστώτων
Sylb. προφαίνοντες. σὺν δὲ τῷ νόμῳ Μωϋσῆς τε καὶ Ἀαρὼν, μεθ' οὓς προφητεύουσιν Ἰησοῦς τοῦ Ναυῆ, Σαμουὴλ, Γὰδ, Νάθαν, Ἀχίας, Σαμαίας, Ἰοὺ, Ἠλίας, Μιχαίας, Ἀβδιοὺ, Ἐλισσαῖος, Ἀβδαδωναὶ, Ἀμὼς, Ἡσαΐας, Ὠσηὲ, Ἰωνᾶς, Ἰωὴλ, Ἱερεμίας, Σοφωνίας Βουζὶ, Ἰεζεκιὴλ, Οὐρίας, Ἀμβακοὺμ, Ναοὺμ, Δανιὴλ, Μισαὴλ, ὁ τοὺς συλλογισμοὺς, Ἀγγαῖος, Ζαχαρίας καὶ ὁ ἐν τοῖς δώδεκα ἄγγελος.

§. 136. Γίνονται δὲ οἱ πάντες προφῆται πέντε καὶ τριάκοντα. γυναικῶν δὲ — καὶ γὰρ καὶ αὗται προεφήτευον — Σάρρα τε καὶ Ῥεβέκκα καὶ Μαριὰμ Δεββώρα τε καὶ Ὀλδά. ἔπειτα περὶ τοὺς αὐ- P.
τοὺς χρόνους Ἰωάννης προφητεύει μέχρι τοῦ σωτη- 401.
ρίου βαπτίσματος, μετὰ δὲ τὴν γένεσιν τοῦ Χρι- Pott.
στοῦ Ἄννα καὶ Σιμέων· Ζαχαρίας γὰρ ὁ Ἰωαννοῦ πατὴρ καὶ πρὸ τοῦ παιδὸς προφητεύειν ἐν τοῖς εὐαγγελίοις λέγεται. ἄνωθεν οὖν ἀπὸ Μωϋσέως συναγάγωμεν τὴν καθ' Ἕλληνας χρονογραφίαν, ἀπὸ τῆς Μωϋσέως γενέσεως ἐπὶ τὴν ἐξ Αἰγύπτου τῶν Ἰουδαίων ἔξοδον ἔτη ὀγδοήκοντα, καὶ τὰ μέχρι τῆς τελευτῆς αὐτοῦ ἄλλα τεσσαράκοντα, γίνεται ἡ ἔξοδος κατὰ Ἴναχον πρὸ τῆς Σωθιακῆς περιόδου ἐξελθόντος ἀπ' Αἰγύπτου Μωϋσέως ἔτεσι πρότερον τριακοσίοις τεσσαράκοντα ε'. ἀπὸ δὲ τῆς Μωϋσέως στρατηγίας καὶ Ἰνάχου ἐπὶ τὸν Δευκαλίωνος κατακλυσμὸν, τὴν δευτέραν λέγω ἐπομβρίαν, καὶ ἐπὶ τὸν Φαέθοντος ἐμπρησμὸν, ἃ δὴ συμβαίνει κατὰ Κρότωπον, γενεαὶ τέσ-

σαράκοντα ἀριθμοῦνται, εἰς μέντοι τὰ ἑκατὸν ἔτη τρεῖς ἐγκαταλέγονται γενεαί. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ ἐπὶ τὸν Ἶδης ἐμπρησμὸν καὶ τὴν εὕρεσιν τοῦ σιδήρου καὶ Ἰδαίους δακτύλους ἔτη ἑβδομήκοντα τρία, ὥς φησιν Θράσυλλος. καὶ ἀπὸ Ἶδης ἐμπρησμοῦ ἐπὶ Γανυμήδους ἁρπαγὴν ἔτη ἑξήκοντα πέντε.

§. 137. Ἐντεῦθεν δὲ ἐπὶ τὴν Περσέως στρατείαν ὅτε καὶ Γλαῦκος ἐπὶ Μελικέρτῃ τὰ Ἴσθμια ἔθηκεν ἔτη πεντεκαίδεκα· ἀπὸ δὲ Περσέως στρατείας ἐπὶ Ἴλιον κτίσιν ἔτη τριάκοντα τέσσαρα. ἐντεῦθεν ἐπὶ τὸν εἰσπλοῦν τῆς Ἀργοῦς ἔτη ἑξήκοντα τέσσαρα. ἐκ τούτου ἐπὶ Θησέα καὶ Μινώταυρον ἔτη τριάκοντα δύο, εἶτα ἐπὶ τοὺς ἑπτὰ ἐπὶ Θήβαις ἔτη δέκα, ἐπὶ δὲ τὸν Ὀλυμπιάσιν ἀγῶνα ὃν Ἡρακλῆς ἔθηκεν ἐπὶ Πέλοπι ἔτη τρία, εἶς τε τὴν Ἀμαζόνων εἰς Ἀθήνας στρατείαν, καὶ τὴν Ἑλένης ὑπὸ Θησέως ἁρπαγὴν ἔτη ἐννέα. ἐντεῦθεν ἐπὶ τὴν Ἡρακλέους ἀποθέωσιν ἔτη ἕνδεκα, εἶτα ἐπὶ τὴν Ἑλένης ὑπὸ Ἀλεξάνδρου ἁρπαγὴν ἔτη τέσσαρα. ἀπὸ δὲ Τροίας ἁλώσεως ἐπὶ τὴν Αἰνείου κάθοδον καὶ κτίσιν Λαουινίου ἔτη δέκα, ἐπί τε τὴν Ἀσκανίου ἀρχὴν ἔτη ὀκτώ, καὶ ἐπὶ τὴν Ἡρακλειδῶν κάθοδον ἔτη ἑξήκοντα ἓν, ἐπί τε τὴν Ἰφίτου ὀλυμπιάδα ἔτη τρια- P. 402.
κόσια τριάκοντα ὀκτώ.

§. 138. Ἐρατοσθένης δὲ τοὺς χρόνους ὧδε Post
ἀναγράφει· ἀπὸ μὲν Τροίας ἁλώσεως ἐπὶ Ἡρακλειδῶν κάθοδον ἔτη ὀγδοήκοντα, ἐντεῦθεν δὲ ἐπὶ τὴν Ἰωνίας κτίσιν ἔτη ἑξήκοντα, τὰ δὲ τούτοις ἑξῆς ἐπὶ μὲν τὴν ἐπιτροπίαν τὴν Λυκούργου ἔτη ἑκατὸν πεντήκοντα ἐννέα, ἐπὶ δὲ προηγούμενον ἔτος τῶν πρώτων ὀλυμπίων ἔτη ἑκατὸν ὀκτώ. ἀφ' ἧς ὀλυμπιάδος ἐπὶ τὴν Ξέρξου διάβασιν ἔτη διακόσια ἐννενήκοντα ἑπτά. ἀφ' ἧς ἐπὶ τὴν ἀρχὴν τοῦ Πελοποννησιακοῦ πολέμου ἔτη τεσσαράκοντα ὀκτώ, καὶ ἐπὶ τὴν κατάλυσιν καὶ Ἀθηναίων ἧτταν ἔτη εἴκοσι ἑπτά,

καὶ ἐπὶ τὴν ἐν Λεύκτροις μάχην ἔτη τριάκοντα τέσσαρα, μεθ' ἣν ἐπὶ τὴν Φιλίππου τελευτὴν ἔτη τριάκοντα πέντε. μετὰ δὲ ταῦτα ἐπὶ τὴν Ἀλεξάνδρου μεταλλαγὴν ἔτη δώδεκα. πάλιν ἀπὸ τῆς πρώτης ὀλυμπιάδος ἔνιοί φασιν ἐπὶ Ῥώμης κτίσιν συνάγεσθαι ἔτη εἴκοσι τέσσαρα. ἐντεῦθεν ἐπὶ τὴν Βαβυλῶνος ἀναίρεσιν ὕπατοι ἐγένοντο ἐπὶ ἔτη διακόσια τεσσαράκοντα τρία, ἀπὸ δὲ τῆς Βαβυλῶνος ἁλώσεως ἐπὶ τὴν Ἀλεξάνδρου τελευτὴν ἔτη ἑκατὸν ὀγδοήκοντα ἕξ.

§. 139. Ἐντεῦθεν ἐπὶ τὴν Αὐγούστου νίκην ὅτε Ἀντώνιος ἀπέσφαξεν ἑαυτὸν ἐν Ἀλεξανδρείᾳ ἔτη διακόσια ἐννενήκοντα τέσσαρα, ὑπάτευεν Αὔγουστος τὸ τέταρτον. ἀφ' οὗ χρόνου ἐπὶ τὸν ἀγῶνα ὃν ἔθηκε Δομετιανὸς ἐν Ῥώμῃ ἔτη ἑκατὸν δέκα τέσσαρα, ἀπὸ δὲ τοῦ πρώτου ἀγῶνος ἐπὶ τὴν Κομόδου τελευτὴν ἔτη ἑκατὸν ἕνδεκα. εἰσὶ δὲ οἳ ἀπὸ Κέκροπος μὲν ἐπὶ Ἀλέξανδρον τὸν Μακεδόνα συνάγουσιν ἔτη χίλια ὀκτακόσια εἴκοσα ὀκτώ, ἀπὸ δὲ Δημοφῶντος χιλια διακόσια πεντήκοντα, καὶ ἀπὸ Τροίας ἁλώσεως ἐπὶ τὴν Ἡρακλειδῶν κάθοδον ἔτη ἑκατὸν εἴκοσι ἑκατὸν ὀγδοήκοντα. ἀπὸ τούτου ἐπὶ Εὐαίνετον ἄρχοντα ἐφ' οὗ φασὶν Ἀλέξανδρον εἰς τὴν Ἀσίαν διαβῆναι ὡς μὲν Φανείας ἔτη ἑπτακόσια δέκα πέντε, ὡς δὲ Ἔφορος ἑπτακόσια τριάκοντα πέντε, ὡς δὲ Τίμαιος καὶ Κλείταρχος ὀκτακόσια εἴκοσι, ὡς δὲ Ἐρατοσθένης ἑπτακόσια ἑβδομήκοντα τέσσαρα, ὡς δὲ Δοῦρις ἀπὸ Τροίας ἁλώσεως ἐπὶ τὴν Ἀλεξάνδρου εἰς Ἀσίαν διάβασιν ἔτη χίλια, ἐντεῦθεν ἐπὶ Εὐαίνετον τὸν Ἀθήνησιν ἄρχοντα ἐφ' οὗ θνήσκει Ἀλέξανδρος ἔτη ια'. ἐντεῦθεν ἐπὶ τὴν ἡγεμονίαν Γερμανικοῦ Κλαυδίου Καίσαρος ἔτη τριακόσια ἑξήκοντα πέντε, ἀφ' οὗ χρόνου δῆλα γίνεται καὶ τὰ ἐπὶ τὴν Κομόδου τελευτὴν ἔτη ὅσα γε συνάγεται.

§. 140. Μετὰ δὲ τὰ Ἑλληνικὰ καὶ ἀπὸ τῶν κατὰ τοὺς βαρβάρους χρόνων ἀποδοτέον κατὰ τὰ

P. 403. Patt.

μέγιστα διαστήματα, ἀπὸ μὲν Ἀδὰμ ἕως τοῦ κατα-
κλυσμοῦ συνάγεται ἔτη δισχίλια ἑκατὸν τεσσαράκοντα
P. ὀκτὼ ἡμέραι τέσσαρες, ἀπὸ δὲ Σὴμ ἕως Ἀβραὰμ
146 ἔτη χίλια διακόσια ν', ἀπὸ δὲ Ἰσαὰκ ἕως τῆς κλη-
8yl. ροδοσίας ἔτη ἑξακόσια δέκα ἕξ. ἔπειτα ἀπὸ κριτῶν
ἕως Σαμοηὴλ ἔτη τετρακόσια ἑξήκοντα τρία μῆνες
ἑπτά. καὶ μετὰ τοὺς κριτὰς βασιλειῶν ἔτη πεντα-
κόσια ἑβδομήκοντα δύο μῆνες ἓξ ἡμέραι δέκα. μεθ'
οὓς χρόνους Περσικῆς βασιλείας ἔτη διακόσια τριά-
10κοντα πέντε, ἔπειτα τῆς Μακεδονικῆς ἕως Ἀντωνίου
ἀναιρέσεως ἔτη τριακόσια ὀκτώδεκα, ἡμέραι δέκα ὀκτώ.
μεθ' ὃν χρόνον ἡ Ῥωμαίων βασιλεία ἕως τῆς Κο-
μόδου τελευτῆς ἔτη διακόσια εἴκοσι δύο. πάλιν τε
αὖ ἀπὸ τῆς ἑβδομηκονταετοῦς αἰχμαλωσίας καὶ τῆς
15τοῦ λαοῦ εἰς πατρῴαν γῆν ἀποκαταστάσεως εἰς τὴν
αἰχμαλωσίαν τὴν ἐπὶ Οὐεσπεσιανοῦ ἔτη συνάγεται
τετρακόσια δέκα, τελευταῖα δὲ ἀπὸ Οὐεσπεσιανοῦ
ἕως τῆς Κομόδου τελευτῆς εὑρίσκεται ἔτη ἑκατὸν
εἴκοσι ἓν μῆνες ἓξ ἡμέραι εἴκοσι τέσσαρες.

20 §. 141. Δημήτριος δέ φησιν ἐν τῷ περὶ τῶν
ἐν τῇ Ἰουδαίᾳ βασιλέων τὴν Ἰούδα φυλὴν καὶ Βε-
νιαμεὶν καὶ Λευὶ μὴ αἰχμαλωτισθῆναι ὑπὸ τοῦ Σε-
ναχηρείμ, ἀλλ' εἶναι ἀπὸ τῆς αἰχμαλωσίας ταύτης
εἰς τὴν ἐσχάτην ἣν ἐποιήσατο Ναβουχοδονόσορ ἐξ
25 Ἱεροσολύμων ἔτη ἑκατὸν εἴκοσι ὀκτὼ μῆνας ἓξ.
ἀφ' οὗ δὲ αἱ φυλαὶ αἱ δέκα ἐκ Σαμαρείας αἰχμά-
λωτοι γεγόνασιν ἕως Πτολεμαίου τετάρτου ἔτη πεν-
τακόσια ἑβδομήκοντα τρία μῆνας ἐννέα, ἀφ' οὗ δὲ
ἐξ Ἱεροσολύμων ἔτη τριακόσια τριάκοντα ὀκτὼ μῆνας P.
30 τρεῖς. Φίλων δὲ καὶ αὐτὸς ἀνέγραψε τοὺς βασι- 404
λεῖς τοὺς Ἰουδαίων διαφώνως τῷ Δημητρίῳ. ἔτι Pol
δὲ καὶ Εὐπόλεμος ἐν τῇ ὁμοίᾳ πραγματείᾳ τὰ πάντα
ἔτη φησὶν ἀπὸ Ἀδὰμ ἄχρι τοῦ πέμπτου ἔτους Δη-
μητρίου βασιλείας Πτολεμαίου τὸ δωδέκατον βασι-
35 λεύοντος Αἰγύπτου συνάγεσθαι ἔτη ϛρμϑ'. ἀφ' οὗ
δὲ χρόνου ἐξήγαγε Μωϋσῆς τοὺς Ἰουδαίους ἐξ Αἰ-

γύπτου ἐπὶ τὴν προειρημένην προθεσμίαν συνάγεσθαι ἔτη δισχίλια πεντακόσια ὀγδοήκοντα. ἀπὸ δὲ τοῦ χρόνου τούτου ἄχρι τῶν ἐν Ῥώμῃ ὑπάτων Γαΐου Λομετιανοῦ Κασσιανοῦ συναθροίζεται ἔτη ἑκατὸν εἴκοσι.

§. 142. Ἔφορος δὲ καὶ ἄλλοι πολλοὶ τῶν ἱστορικῶν καὶ ἔθνη καὶ γλώσσας πέντε καὶ ἑβδομήκοντα λέγουσιν εἶναι ἐπακούσαντες τῆς φωνῆς Μωϋσέως λεγούσης· „ἦσαν δὲ πᾶσαι αἱ ψυχαὶ ἐξ Ἰακὼβ πέντε καὶ ἑβδομήκοντα αἱ εἰς Αἴγυπτον κατελθοῦσαι" *). φαίνονται δὲ εἶναι καὶ κατὰ τὸν ἀληθῆ λόγον αἱ γενικαὶ διάλεκτοι δύο καὶ ἑβδομήκοντα ὡς αἱ ἡμέτεραι παραδιδόασι γραφαί, αἱ δὲ ἄλλαι αἱ πολλαὶ ἐπὶ κοινωνίᾳ διαλέκτων δύο ἢ τριῶν ἢ καὶ πλειόνων γίνονται. διάλεκτος δέ ἐστι λέξις ἴδιον χαρακτῆρα τόπου ἐμφαίνουσα ἢ λέξις ἴδιον ἢ κοινὸν ἔθνους ἐπιφαίνουσα χαρακτῆρα. φασὶ δὲ οἱ Ἕλληνες διαλέκτους εἶναι τὰς παρὰ σφίσι πέντε, Ἀττίδα, Ἰάδα, Δωρίδα, Αἰολίδα καὶ πέμπτην τὴν κοινήν, ἀπερι-
λήπτους δὲ οὔσας τὰς βαρβάρων φωνὰς μηδὲ διαλέκτους, ἀλλὰ γλώσσας λέγεσθαι.

§. 143. Ὁ Πλάτων δὲ καὶ τοῖς θεοῖς διάλεκτον ἀπονέμει τινά· μάλιστα μὲν ἀπὸ τῶν ὀνειράτων τεκμαιρόμενος καὶ τῶν χρημῶν, ἄλλως δὲ καὶ ἀπὸ τῶν δαιμονώντων, οἳ τὴν αὐτῶν οὐ φθέγγονται φωνὴν οὐδὲ διάλεκτον, ἀλλὰ τὴν τῶν ὑπεισιόντων δαιμόνων. οἴεται δὲ καὶ ἀλόγων ζώων διαλέκτους εἶναι, ὧν τὰ ὁμογενῆ ἐπακούειν. ἐλέφαντος γοῦν ἐμπεσόντος εἰς βόρβορον καὶ βοήσαντος παρών τις ἄλλος καὶ τὸ συμβὰν θεωρήσας ὑποστρέψας μετ' οὐ πολὺ ἄγει μεθ' ἑαυτοῦ ἀγέλην ἐλεφάντων καὶ σώζει τὸν ἐμπεπτωκότα. φασὶ δὲ καὶ ἐν τῇ Λιβύῃ σκορπίον ἐὰν μὴ ἐφικνῆται παίειν τὸν ἄνθρωπον ἀπιόντα μετὰ πλειόνων ἀναστρέφειν, ἐξαρτώ-

*) Genes. 46, 27.

μενον δὲ θάτερον θατέρου ἀλύσεως ἅπτειν, οὕτως δὴ φθάνειν ἐπιχειροῦντα τῇ ἐπιβουλῇ, οὐ δή που νεύματι ἀφανεῖ τῶν ἀλόγων ζώων κεχρημένων οὐδὲ μὴν τῷ σχήματι μηνυόντων σφᾶσιν, ἀλλ' οἶμαι τῇ οἰκείᾳ διαλέκτῳ. φασὶ δὲ καὶ ἄλλοι τινὲς ὡς εἴ τις ἰχθῦς ἀνασπώμενος τῆς μηρίνθου ἀπαρραγείσης ἀποδράσει οὐκέτ' ἂν ἐν τῷ αὐτῷ τόπῳ τοῦ αὐτοῦ εἴδους ἰχθῦς μὴ τῆς ἐκείνης εὑρεθήσεται τῆς ἡμέρας. αἱ δὲ πρῶται καὶ γενικαὶ διάλεκτοι βάρβαροι μέν, φύσει δὲ τὰ ὀνόματα ἔχουσιν, ἐπεὶ καὶ τὰς εἰχὰς ὁμολογοῦσιν οἱ ἄνθρωποι δυνατωτέρας εἶναι τὰς βαρβάρῳ φωνῇ λεγομένας. καὶ Πλάτων δὲ ἐν Κρατύλῳ τὸ πῦρ ἑρμηνεῦσαι βουλόμενος βαρβαρικόν φησιν εἶναι τὸ ὄνομα· μαρτυρεῖ γοῦν τοὺς Φρύγας οὕτω καλοῦντας μικρόν τι παραχλίνοντας.

§. 144 Οὐδὲν δὲ οἶμαι ἐπὶ τούτοις χεῖρον καὶ τοὺς χρόνους τῶν Ῥωμαϊκῶν βασιλέων παραθέσθαι εἰς ἐπίδειξιν τῆς τοῦ σωτῆρος γενέσεως· Αὔγουστος ἔτη τεσσαράκοντα τρία, Τιβέριος ἔτη κβ', Γάϊος ἔτη δ', Κλαύδιος ἔτη ιδ', Νέρων ἔτη ιδ', Γάλβας ἔτος ἓν, Οὐεσπεσιανὸς ἔτη ι', Τίτος ἔτη γ', Δομιτιανὸς ἔτη ιε', Νέρβας ἔτος α', Τραϊανὸς ἔτη ιθ', Ἀδριανὸς ἔτη κα', Ἀντωνῖνος ἔτη κα', ὁμοίως πάλιν Ἀντωνῖνος καὶ Κόμοδος ἔτη λβ'. γίνεται τὰ πάντα ἀπὸ Αὐγούστου ἕως Κομόδου ἔτη σκβ', καὶ τὰ ἀπὸ Ἀδὰμ ἕως Κομόδου τελευτῆς ἔτη εψπδ' μῆνες δύο ἡμέραι δώδεκα. τινὲς μέντοι τοὺς χρόνους τῶν Ῥωμαϊκῶν βασιλέων οὕτως ἀναγράφουσι, Γάϊος Ἰούλιος Καῖσαρ ἔτη γ' μῆνας δ' ἡμέρας ξ', μεθ' ὃν Αὔγουστος ἐβασίλευσεν ἔτη μς' μῆνας δ' ἡμέραν μίαν, ἔπειτα Τιβέριος ἔτη κ ξ' μῆνας ς' ἡμέρας ιθ', ὃν διαδέχεται Γάϊος Καῖσαρ ἔτη τρία μῆνας ι' ἡμέρας ὀκτώ, τοῦτον Κλαύδιος ἔτη ιγ' μῆνας η' ἡμέρας κη', Νέρων ἔτη ιγ' μῆνας ὀκτὼ ἡμέρας κη', Γάλβας μῆνας ἑπτὰ ἡμέρας ς', Ὄθων μῆνας ε' ἡμέραν α', Οὐϊτέλ-

P. 406. Pott. 147 Sylb.

λιὸς μῆνας ἑπτὰ ἡμέραν α', Οὐεσπεσιανὸς ἔτη ια' μῆνας ια' ἡμέρας κβ', Τίτος ἔτη β' μῆνας β', Δομιτιανὸς ἔτη ιε' μῆνας η' ἡμέρας ε', Νέρβας ἔτος α' μῆνας δ' ἡμέρας ι', Τραϊανὸς ἔτη ιθ' μῆνας ζ' ἡμέρας ιε', Ἀδριανὸς ἔτη κ' μῆνας ι' ἡμέρας κη', Ἀντωνῖνος ἔτη κβ' μῆνας τρεῖς ἡμέρας ζ', Μάρκος Αὐρήλιος Ἀντωνῖνος ἔτη ιθ' ἡμέρας εα', Κόμοδος ἔτη ιβ' μῆνας θ' ἡμέρας ιδ'. ἀπὸ Ἰουλίου τοίνυν Καίσαρος ἕως Κομόδου τελευτῆς γίνονται ἔτη σλε' μῆνες ς'. συνάγεται δὲ πάντα τὰ ἀπὸ Ῥωμύλου τοῦ κτίσαντος Ῥώμην ἕως Κομόδου τελευτῆς ἔτη ,ϡνγ' μῆνες ς'.

§. 145. Ἐγεννήθη δὲ ὁ κύριος ἡμῶν τῷ ὀγδόῳ καὶ εἰκοστῷ ἔτει ὅτε πρῶτον ἐκέλευσεν ἀπογραφὰς γενέσθαι ἐπὶ Αὐγούστου. ὅτι δὲ τοῦτ' ἀληθές ἐστιν ἐν τῷ εὐαγγελίῳ τῷ κατὰ Λουκᾶν γέγραπται οὕτως· "ἔτει δὲ πεντεκαιδεκάτῳ ἐπὶ Τιβερίου Καίσαρος ἐγένετο ῥῆμα κυρίου ἐπὶ Ἰωάννην τὸν Ζαχαρίου υἱόν" *). καὶ πάλιν ἐν τῷ αὐτῷ· "ἦν δὲ Ἰησοῦς ἀρχόμενος ἐπὶ τὸ βάπτισμα ὡς ἐτῶν λ'" **). καὶ ὅτι ἐνιαυτὸν μόνον ἔδει αὐτὸν κηρῦξαι καὶ τοῦτο γέγραπται οὕτως· "ἐνιαυτὸν δεκτὸν κυρίου κηρῦξαι ἀπέστειλέν με" ***). τοῦτο καὶ ὁ προφήτης εἶπεν καὶ τὸ εὐαγγέλιον, πεντεκαιδεκάτῳ οὖν ἔτει Τιβερίου καὶ πεντεκαιδεκάτῳ Αὐγούστου, οὕτω πληροῦται τὰ τριάκοντα ἔτη ἕως οὗ ἔπαθεν. ἀφ' οὗ δὲ ἔπαθεν ἕως τῆς καταστροφῆς Ἱερουσαλὴμ γίνονται ἔτη μβ' μῆνες γ'. καὶ ἀπὸ τῆς καταστροφῆς Ἱερουσαλὴμ ἕως Κομόδου τελευτῆς ἔτη ρκη' μῆνες ε' ἡμέραι γ'. γίνονται οὖν ἀφ' οὗ ὁ κύριος ἐγεννήθη ἕως Κομόδου τελευτῆς τὰ πάντα ἔτη ἑκατὸν ἐννενήκοντα τέσσαρα μὴν εἷς ἡμέραι ιγ'. εἰσὶ δὲ οἱ περιεργότερον τῇ γενέσει τοῦ σωτῆρος ἡμῶν

*) Luc. 2, 1. **) Ibid. 3, 1 sq. ***) Iesai. 61, 1 sq. Luc. 4, 19.

οὐ μόνον τὸ ἔτος, ἀλλὰ καὶ τὴν ἡμέραν προστιθέντες, ἣν φασιν ἔτους κη' Αὐγούστου ἐν πέμπτῃ Πάχων καὶ εἰκάδι.

§. 146. Οἱ δὲ ἀπὸ Βασιλείδου καὶ τοῦ βαπτίσματος αὐτοῦ τὴν ἡμέραν ἑορτάζουσι προδιανυκτερεύοντες· φασὶ δὲ εἶναι τὸ πεντεκαιδέκατον ἔτος Τιβερίου Καίσαρος τὴν πεντεκαιδεκάτην τοῦ Τυβὶ μηνός, τινὲς δὲ αὐτὴν ἐνδεκάτην τοῦ αὐτοῦ μηνός· τό τε πάθος αὐτοῦ ἀκριβολογούμενοι φέρουσιν· οἱ μέν τινες τῷ ἐκκαιδεκάτῳ ἔτει Τιβερίου Καίσαρος Φαμενὼθ κε', οἱ δὲ Φαρμοῦθι κέ· ἄλλοι δὲ Φαρμοῦθι κθ' πεπονθέναι τὸν σωτῆρα λέγουσιν· καὶ μήν τινες αὐτῶν φασὶ Φαρμοῦθι γεγενῆσθαι κδ' ἢ κέ. ἔτι δὲ κἀκεῖνα τῇ χρονογραφίᾳ προσαποδοτέον, τὰς ἡμέρας λέγω ἃς αἰνίττεται Δανιὴλ ἀπὸ τῆς ἐρημώσεως Ἱερουσαλήμ, τὰ Οὐεσπεσιανοῦ ἔτη ζ μῆνας ζ. τὰ γὰρ δύο ἔτη προσλαμβάνεται τοῖς Ὄθωνος καὶ Γάλβα καὶ Οὐιτελλίου μησὶ ιζ' ἡμέραις ἡ. καὶ οὕτω γίνεται ἔτη τρία καὶ μῆνες ς', ὃ ἐστι „τὸ ἥμισυ τῆς ἑβδομάδος" *), καθὼς εἴρηκε Δανιὴλ ὁ προφήτης. εἴρηκεν δὲ β' ἡμέρας γενέσθαι ἀφ' οὗ ἔστη τὸ βδέλυγμα ὑπὸ Νέρωνος εἰς τὴν πόλιν τὴν ἁγίαν μέχρι τῆς καταστροφῆς αὐτῆς. οὕτω γὰρ τὸ ῥητὸν τὸ ὑποτεταγμένον δείκνυσιν· „ἕως πότε ἡ ὅρασις σταθήσεται ἡ θυσία ἡ ἀρθεῖσα ἡ ἁμαρτία ἐρημωθήσεται ἡ δοθεῖσα καὶ ἡ δύναμις καὶ τὸ ἅγιον συμπατηθήσεται· καὶ εἶπεν αὐτῷ, ἕως ἑσπέρας καὶ πρωὶ ἡμέραι β' τ', καὶ ἁγισθήσεται τὸ ἅγιον" **). αὗται οὖν αἱ β' τ' ἡμέραι γίνονται ἔτη ς' μῆνες δ', ὧν τὸ ἥμισυ κατέσχε Νέρων βασιλεύων, καὶ ἐγένετο ἥμισυ ἑβδομάδος· τὸ δὲ ἥμισυ Οὐεσπεσιανὸς σὺν Ὄθωνι καὶ Γάλβᾳ καὶ Οὐιτελλίῳ. καὶ διὰ τοῦτο λέγει Δανιήλ· „μακάριος ὁ φθάσας εἰς ἡμέρας

*) Dan. 9, 27. **) Ibid. 8, 13 sq.

ατλέ" *). μέχρι γὰρ τούτων τῶν ἡμερῶν ὁ πόλεμος ἦν, μετὰ δὲ ταῦτα ἐπαύσατο.

§. 147. Δείκνυται δὲ καὶ οὗτος ὁ ἀριθμὸς ἐκ τοῦ ὑποτεταγμένου κεφαλαίου ἔχοντος ὧδε· „καὶ ἀπὸ καιροῦ παραλλάξεως τοῦ ἐνδελεχισμοῦ καὶ δοθῆναι βδέλυγμα ἐρημώσεως ἡμέρας χιλίους διακοσίους ἐνενήκοντα, μακάριος ὁ ὑπομένων καὶ φθάσας εἰς ἡμέρας ατλέ." Φλαύιος δὲ Ἰώσηπος ὁ Ἰουδαῖος ὁ τὰς Ἰουδαϊκὰς συντάξας ἱστορίας κυταγαγὼν τοὺς χρόνους φησὶν ἀπὸ Μωϋσέως ἕως Δαβὶδ ἔτη γίγνεσθαι φπέ, ἀπὸ δὲ Δαβὶδ ἕως Οὐεσπεσιανοῦ δευτέρου ἔτους ,αροθ', εἶτα ἀπὸ τούτου μέχρι Ἀντωνίνου δεκάτου ἔτους ἔτη οζ, ὡς εἶναι ἀπὸ Μωϋσέως ἐπὶ τὸ δέκατον ἔτος Ἀντωνίνου πάντα ἔτη ,αωλγ'. ἄλλοι δὲ μέχρι τῆς Κομόδου τελευτῆς ἀριθμήσαντες ἀπὸ Ἰνάχου καὶ Μωϋσέως ἔτη ἔφησαν γίνεσθαι βωμβ', οἱ δὲ βλκα'. ἐν δὲ τῷ κατὰ Ματθαῖον εὐαγγελίῳ ἡ ἀπὸ Ἀβραὰμ γενεαλογία μέχρι Μαρίας τῆς μητρὸς τοῦ κυρίου περαιοῦται· „γίνονται γὰρ", φησὶν, „ἀπὸ Ἀβραὰμ ἕως Δαβὶδ γενεαὶ ιδ', καὶ ἀπὸ Δαβὶδ ἕως τῆς μετοικεσίας Βαβυλῶνος γενεαὶ ιδ'· καὶ ἀπὸ τῆς μετοικεσίας Βαβυλῶνος ἕως τοῦ Χριστοῦ ὁμοίως ἄλλαι γενεαὶ ιδ'" **), τρία διαστήματα μυστικὰ ἓξ ἑβδομάσι τελειούμενα.

Cap. XXII.

§. 148. Καὶ τὰ μὲν περὶ τῶν χρόνων διαφόρως πολλοῖς ἱστορηθέντα καὶ πρὸς ἡμῶν ἐκτεθέντα ὧδε ἐχέτω, ἑρμηνευθῆναι δὲ τὰς γραφὰς τάς τε τοῦ νόμου καὶ τὰς προφητικὰς ἐκ τῆς τῶν Ἑβραίων διαλέκτου εἰς τὴν Ἑλλάδα γλῶτταν φασιν ἐπὶ βασιλέως Πτολεμαίου τοῦ Λάγου, ἢ ὡς τινες ἐπὶ τοῦ Φιλαδέλφου ἐπικληθέντος τὴν μεγίστην φιλοτιμίαν Ptol. 410.

*) Dan. 12, 11 sq. **) Matth. 1, 17.

εἰς τοῦτο προσενεγκαμένου Δημητρίου τοῦ Φαληρέως καὶ τὰ περὶ τὴν ἑρμηνείαν ἀκριβῶς πραγματευσαμένου· ἔτι γὰρ Μακεδόνων τὴν Ἀσίαν κατεχόντων φιλοτιμούμενος ὁ βασιλεὺς τὴν ἐν Ἀλεξαν-
P. δρείᾳ πρὸς αὐτὸν γενομένην βιβλιοθήκην πάσαις
148 κατακοσμῆσαι γραφαῖς ἠξίωσε καὶ τοὺς Ἱεροσολυ-
Syb. μίτας τὰς παρ' αὐτοῖς προφητείας εἰς τὴν Ἑλλάδα διάλεκτον ἑρμηνεῦσαι.

§. 149. Οἱ δὲ ἅτε ἔτι ὑπακούοντες Μακεδόσι
10 τῶν παρὰ σφίσιν εὐδοκιμωτάτων περὶ τὰς γραφὰς ἐμπείρους καὶ τῆς Ἑλληνικῆς διαλέκτου εἰδήμονας ἑβδομήκοντα πρεσβυτέρους ἐκλεξάμενοι ἀπέστειλαν αὐτῷ μετὰ καὶ τῶν θείων βίβλων. ἑκάστου δὲ ἐν μέρει κατ' ἰδίαν ἑκάστην ἑρμηνεύσαντος προφητείαν
15 συνέπνευσαν αἱ πᾶσαι ἑρμηνεῖαι συναντιβληθεῖσαι καὶ τὰς διανοίας καὶ τὰς λέξεις, θεοῦ γὰρ ἦν βούλημα μεμελετημένον εἰς Ἑλληνικὰς ἀκοάς. οὐ δὴ ξένον ἐπιπνοίᾳ θεοῦ τοῦ τὴν προφητείαν δεδωκότος καὶ τὴν ἑρμηνείαν οἱονεὶ Ἑλληνικὴν προφητείαν ἐνερ-
20 κεῖσθαι, ἐπεὶ κἂν τῇ Ναβουχοδονόσορ αἰχμαλωσίᾳ διαφθαρεισῶν τῶν γραφῶν κατὰ τοὺς Ἀρταξέρξου τοῦ Περσῶν βασιλέως χρόνους ἐπίπονος Ἔσδρας ὁ Λευίτης ὁ ἱερεὺς γενόμενος πάσας τὰς παλαιὰς αὖθις ἀνανεούμενος προεφήτευσε γραφάς.

25 §. 150. Ἀριστόβουλος δὲ ἐν τῷ πρώτῳ τῷ πρὸς τὸν Φιλομήτορα κατὰ λέξιν γράφει· κατηκολούθηκε δὲ καὶ ὁ Πλάτων τῇ καθ' ἡμᾶς νομοθεσίᾳ, P.
καὶ φανερός ἐστι περιεργασάμενος ἕκαστα τῶν ἐν 411.
αὐτῇ λεγομένων. διειρμήνευται δὲ πρὸ Δημητρίου Pol.
30 ὑφ' ἑτέρου πρὸ τῆς Ἀλεξάνδρου καὶ Περσῶν ἐπικρατήσεως τά τε κατὰ τὴν ἐξ Αἰγύπτου ἐξαγωγὴν τῶν Ἑβραίων τῶν ἡμετέρων πολιτῶν καὶ ἡ τῶν γεγονότων ἁπάντων αὐτοῖς ἐπιφάνεια καὶ κράτησις τῆς χώρας καὶ τῆς ὅλης νομοθεσίας ἐπεξήγησις. ὥστε
35 εὐδηλον εἶναι τὸν προειρημένον φιλόσοφον εἰληφέναι πολλὰ — γέγονε γὰρ πολυμαθής — καθὼς καὶ Πυ-

Θαγόρας πολλὰ τῶν παρ' ἡμῖν μετενέγκας εἰς τὴν ἑαυτοῦ δογματοποιίαν. Νουμήνιος δὲ ὁ Πυθαγόρειος φιλόσοφος ἄντικρυς γράφει· τί γάρ ἐστι Πλάτων ἢ Μωϋσῆς ἀττικίζων; οὗτος ὁ Μωϋσῆς θεοσλόγος καὶ προφήτης, ὡς δέ τινες νόμων ἱερῶν ἑρμηνεὺς ἦν. τὸ γένος αὐτοῦ καὶ τὰς πράξεις καὶ τὸν βίον ἀξιώπιστοι κηρύσσουσιν αὐταὶ αἱ γραφαί, λεκτέον δὲ ὅμως καὶ ἡμῖν ὡς ὅτι μάλιστα.

Cap. XXIII.

§. 151. Μωϋσῆς ἄνωθεν τὸ γένος Χαλδαῖος ὢν ἐν Αἰγύπτῳ γεννᾶται τῶν προγόνων αὐτοῦ διὰ πολυχρόνιον λιμὸν ἐκ Βαβυλῶνος εἰς Αἴγυπτον μεταναστάντων. ἑβδόμῃ γενεᾷ γεννηθεὶς καὶ τραφεὶς βασιλικῶς περιστάσει κέχρηται τοιαύτῃ. εἰς πολυανθρωπίαν ἐπιδεδωκότων ἐν Αἰγύπτῳ τῶν Ἑβραίων δείσας ὁ βασιλεὺς τῆς χώρας τὴν ἐκ τοῦ πλήθους ἐπιβουλὴν τῶν γεννωμένων ἐκ τῶν Ἑβραίων κελεύει τὰ μὲν θήλεα τρέφειν αὐτούς — ἀσθενὲς γὰρ εἰς πόλεμιον γυνή —, διαφθείρειν δὲ τὰ ἄρρενα εὐαλκῆ νεότητα ὑφορώμενος. εὐπατρίδην δὲ τὸν παῖδα ὄντα τρεῖς ἐφεξῆς κρύπτοντες ἔτρεφον μῆνας οἱ γονεῖς νικώσης τῆς φυσικῆς εὐνοίας τὴν τυραννικὴν ὠμότητα. δείσαντες δὲ ὕστερον μὴ συναπόλωνται τῷ παιδὶ ἐκ βίβλου τῆς ἐπιχωρίου σκεύός τι ποιησάμενοι τὸν παῖδα ἐνθέμενοι ἐκτιθέασι παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ ἑλώδους ὄντος, ἐπετήρει δὲ τὸ ἀποβησόμενον ἄπωθεν ἑστῶσα τοῦ παιδὸς ἡ ἀδελφή.

§. 152. Ἔνταῦθα ἡ θυγάτηρ τοῦ βασιλέως, συχνῷ χρόνῳ μὴ κυΐσκουσα, τέκνον δὲ ἐπιθυμοῦσα, ἐκείνης ἀφικνεῖται τῆς ἡμέρας ἐπὶ τὸν ποταμὸν λουτροῖς καὶ περιρραντηρίοις χρησομένη, ἐπακούσασα δὲ κλαυθμυριζομένου τοῦ παιδὸς κελεύει προσενεχθῆναι αὐτῇ, καὶ κατοικτείρασα ἐζήτει τροφόν. ἐνταῦθα προσδραμοῦσα ἡ ἀδελφὴ τοῦ παιδὸς ἔχειν

P. 412. Pott.

ἔφασκεν Ἑβραίαν γυναῖκα μὴ πρὸ πολλοῦ τετοκυῖαν παραστήσειν αὐτῇ τροφὸν, εἰ βούλοιτο· τῆς δὲ συνθεμένης καὶ δεηθείσης παρήνεγκε τὴν μητέρα τὴν τοῦ παιδὸς τροφὸν ἐσομένην ὡς τινα ἄλλην οὖσαν ἐπὶ ῥητῷ μισθῷ. εἶτα τίθεται τῷ παιδίῳ ὄνομα ἡ βασιλὶς Μωϋσῆν ἐτύμως διὰ τὸ ἐξ ὕδατος ἀνελέσθαι αὐτό· τὸ γὰρ ὕδωρ μῶυ ὀνομάζουσιν Αἰγύπτιοι, εἰς ὃ ἐκτίθεται τεθηγμένος. καὶ γάρ τοι Μωϋσῆν τὸν ἀποπνεύσαντα τῷ ὕδατι προσαγορεύουσι.

§. 153. Δῆλον οὖν ὡς ἐν τῷ ἔμπροσθεν χρόνῳ περιτμηθέντι τῷ παιδίῳ οἱ γονεῖς ἔθεντο ὄνομά τι, ἐκαλεῖτο δὲ Ἰωακείμ. ἔσχεν δὲ καὶ τρίτον ὄνομα ἐν οὐρανῷ μετὰ τὴν ἀνάληψιν ὡς φασιν οἱ μύσται Μελχί. ἐν δὲ ἡλικίᾳ γενόμενος ἀριθμητικήν τε καὶ γεωμετρίαν, ῥυθμητικήν τε καὶ ἁρμονικὴν, ἔτι τε ἰατρικὴν ἅμα καὶ μουσικὴν παρὰ τοῖς διαπρέπουσιν Αἰγυπτίων ἐδιδάσκετο, καὶ προσέτι τὴν διὰ συμβόλων φιλοσοφίαν ἣν ἐν τοῖς ἱερογλυφικοῖς γράμμασιν ἐπιδείκνυται, τὴν δὲ ἄλλην ἐγκύκλιον παιδείαν Ἕλληνες ἐδίδασκον ἐν Αἰγύπτῳ, ὡς ἂν βασιλικὸν παιδίον, ᾗ φησὶ Φίλων ἐν τῷ Μωϋσέως βίῳ. προσεμάνθανε δὲ τὰ Αἰγυπτίων γράμματα καὶ τὴν τῶν οὐρανίων ἐπιστήμην παρά τε Χαλδαίων παρά τε Αἰγυπτίων, ὅθεν ἐν ταῖς πράξεσι „πᾶσαν σοφίαν Αἰγυπτίων πεπαιδεῦσθαι“ *) φέρεται. Εὐπόλεμος δὲ ἐν τῷ περὶ τῶν ἐν τῇ Ἰουδαίᾳ βασιλέων τὸν Μωϋσῆ φησὶ πρῶτον σοφὸν γενέσθαι καὶ γραμματικὴν πρῶτον τοῖς Ἰουδαίοις παραδοῦναι, καὶ παρὰ Ἰουδαίων Φοίνικας παραλαβεῖν, Ἕλληνας δὲ παρὰ Φοινίκων. εἰς δὲ τὴν αὐτῶν φύσιν ἄξας ἐπέτεινε τὴν φρόνησιν τὴν συγγενικὴν καὶ προγονικὴν ζηλώσας παιδείαν ἄχρι καὶ τὸν Αἰγύπτιον τὸν τῷ Ἑβραίῳ ἀδίκως ἐπιθέμενον πατάξας ἀποκτεῖναι.

P. 413. Pott.

*) Actor. 7, 22.

§. 154. *Φασὶ δὲ οἱ μύσται λόγῳ μόνῳ ἀνελεῖν τὸν Αἰγύπτιον ὥσπερ ἀμέλει ὕστερον Πέτρος ἐν*
P. *ταῖς πράξεσι* *) *φέρεται τοὺς νοσφισαμένους τῆς*
149 *τιμῆς τοῦ χωρίου καὶ ψευσαμένους λόγῳ ἀποκτείνας.*
Sylb. *Ἀρτάπανος γοῦν ἐν τῷ περὶ Ἰουδαίων συγγράμματι ἱστορεῖ κατακλεισθέντα εἰς φυλακὴν Μωϋσέα ὑπὸ*
Χενεφρέους τοῦ Αἰγυπτίων βασιλέως ἐπὶ τῷ παραιτεῖσθαι τὸν λαὸν ἐξ Αἰγύπτου ἀπολυθῆναι νύκτωρ
ἀνοιχθέντος τοῦ δεσμωτηρίου κατὰ βούλησιν τοῦ
10 *θεοῦ ἐξελθόντα καὶ εἰς τὰ βασίλεια παρελθόντα,*
ἐπιστῆναι κοιμωμένῳ τῷ βασιλεῖ καὶ ἐξεγεῖραι αὐτὸν, τὸν δὲ καταπλαγέντα τῷ γεγονότι κελεῦσαι τῷ
Μωϋσεῖ τὸ τοῦ πέμψαντος εἰπεῖν ὄνομα θεοῦ, καὶ
τὸν μὲν προσκύψαντα πρὸς τὸ οὖς εἰπεῖν, ἀκού-
15 *σαντα δὲ τὸν βασιλέα ἄφωνον πεσεῖν, διακρατηθέντα δὲ ὑπὸ τῶν Μωϋσέως πάλιν ἀναβιῶναι.* P.

§. 155. *Περὶ δὲ τῆς ἀνατροφῆς τοῦ Μωϋσέως*
414. *συνάσεται ἡμῖν καὶ ὁ Ἐζεκίηλος ὁ τῶν Ἰουδαϊκῶν*
Pott. *τραγῳδιῶν ποιητὴς ἐν τῷ ἐπιγραφομένῳ δράματι*
20 *ἐξαγωγὴ γράφων ὧδε ἐκ προσώπου Μωϋσέως·*

εἶδὼν γὰρ ἡμῶν γένναν ὤλις ηὐξημένην
δόλον καθ' ἡμῶν πολὺν ἐμηχανήσατο
βασιλεὺς Φαραὼ, τοὺς μὲν ἐν πλινθεύμασιν
οἰκοδομίας τε βάρεσιν αἰκίζων βροτοὺς
25 *πόλεσί τε πύργους σφῶν ἔκτι δυσμόρων.*
ἔπειτα κηρύσσει μὲν Ἑβραίων γένει
τἀρσενικὰ ῥίπτειν ποταμὸν ἐς βαθύῤῥοον.
ἐνταῦθα μήτηρ ἡ τεκοῦσ' ἔκρυπτέ με
τρεῖς μῆνας ὡς ἔφασκεν, οὐ λαθοῦσα δὲ
30 *ὑπεξέθηκε κόσμον ἀμφιθεῖσά μοι*
παρ' ἄκρα ποταμοῦ λάσιον εἰς ἕλος βαθύ·
Μαριὰμ δ' ἀδελφή μου κατώπτευεν πέλας.
κἄπειτα θυγάτηρ βασιλέως ἅβραις ὁμοῦ
κατῆλθε λουτροῖς χρῶτα φαιδρῦναι νέον.

*) Cf. Actor. 5, 1.

ἰδοῦσά μ' εὐθὺς καὶ λαβοῦσ' ἀνείλετο,
ἔγνω δ' Ἑβραῖον ὄντα, καὶ λέγει τάδε
Μιριὰμ ἀδελφὴ προσδραμοῦσα βασιλίδι·
Θέλεις τροφάν σοι παιδὶ τῷδ' εὕρω ταχὺ
ἐκ τῶν Ἑβραίων; ἡ δ' ἐπέσπευσεν κόρην.
μολοῦσα δ' εἶπεν μητρί, καὶ παρῆν ταχὺ
αὐτή γε μήτηρ κἄλαβέν μ' εἰς ἀγκάλας.
εἶπεν δὲ θυγάτηρ βασιλέως· τοῦτον γόνου
τρόφευε, κἀγὼ μισθὸν ἀποδώσω σέθεν.
ὄνομα δὲ Μωσῆν ὠνόμαζε τοῦ χάριν
ὑγρᾶς ἀνεῖλε ποταμίας ἀπ' ἠόνος.
ἐπεὶ δὲ καιρὸς νηπίων παρῆλθέ με,
ἦγέν με μήτηρ βασιλίδος πρὸς δώματα
ἅπαντα μυθεύσασα καὶ λέξασά με,
γένος πατρῶον καὶ θεοῦ δωρήματα.
ἕως μὲν οὖν τὸν παιδὸς εἶχομεν χρόνον,
τροφαῖσι βασιλικαῖσι καὶ παιδεύμασιν
ἅπαντ' ὑπισχνεῖθ', ὡς ἀπὸ σπλάγχνων ἐμῶν· P. 415. Pott.
ἐπεὶ δὲ πλήρης κόλπος ἡμερῶν παρῆν,
ἐξῆλθον οἴκων βασιλικῶν.

§. 156. Ἔπειτα τὴν διαμάχην τοῦ θ' Ἑβραίου καὶ τοῦ Αἰγυπτίου διηγησάμενος καὶ τὴν ταφὴν τὴν ἐν τῇ ψάμμῳ τοῦ Αἰγυπτίου ἐπὶ τῆς ἑτέρας μάχης φησὶν οὕτως·

τί τύπτεις ἀσθενέστερον σέθεν;
ὁ δ' εἶπεν· ἡμῖν τίς σ' ἀπέστειλεν κριτὴν
ἢ πιστάτην ἐνταῦθα; μὴ κτείνεις δέ με
ὥσπερ τὸν ἐχθὲς ἄνδρα καὶ δείσας ἐγὼ
ἔλεξα· πῶς ἐγένετο συμφανὲς τόδε;

φεύγει δὴ ἐντεῦθεν καὶ ποιμαίνει πρόβατα προδιδασκόμενος εἰς ἡγεμονίαν ποιμενικὴν, προγυμνασία γὰρ βασιλείας τῷ μέλλοντι τῆς ἡμερωτάτης τῶν ἀνθρώπων ἐπιστατεῖν ἀγέλης ἡ ποιμενικὴ καθάπερ καὶ τοῖς πολεμικοῖς τῇ φύσει ἡ θηρευτική. ἄγει δὲ αὐτὸν ἐντεῦθεν ὁ θεὸς ἐπὶ τὴν τῶν Ἑβραίων στρατηγίαν.

§. 157. Ἔπειτα νουθετοῦνται μὲν Αἰγύπτιοι πολλάκις οἱ πολλάκις ἀσύνετοι, θεαταὶ δὲ Ἑβραῖοι ἐγίνοντο ὧν ἕτεροι κακῶν ὑπέμεγον ἀκινδύνως ἐκμανθάνοντες τὴν δύναμιν τοῦ θεοῦ. ἐπεὶ δὲ Αἰγύπτιοι ἀκοῇ μὴ παραδεχόμενοι τὰ τῆς δυνάμεως ἀποτελέσματα δι' ἀφροσύνην οἱ νήπιοι ἀπιστοῦντες, τότε, ὡς εἴρηται, ἔρεχθέν δέ τε οἱ νήπιοι ἔγνωσαν *), ὕστερόν τε ἐξιόντες οἱ Ἑβραῖοι πολλὴν λείαν τῶν Αἰγυπτίων ἐκφορήσαντες ἀπῆεσαν οὐ διὰ φιλοχρηματίαν, ὡς οἱ κατήγοροί φασιν — οὐδὲ γὰρ ἀλλοτρίων αὐτοὺς ἀνέπειθεν ἐπιθυμεῖν ὁ θεός —, ἀλλὰ πρῶτον μὲν ὧν παρὰ πάντα τὸν χρόνον ὑπηρέτησαν τοῖς Αἰγυπτίοις μισθὸν ἀναγκαῖον κομιζόμενοι, ἔπειτα δὲ καὶ τρόπον τινὰ ἠμύναντο ἀντιλυποῦντες ὡς φιλαργύρους Αἰγυπτίους τῇ τῆς λείας ἐκφορήσει, καθάπερ ἐκεῖνοι τοὺς Ἑβραίους τῇ καταδουλώσει, εἴτ' οὖν ὡς ἐν πολέμῳ φαίη τις τοῦτο γεγονέναι τὰ τῶν ἐχθρῶν φέρειν ἠξίουν νόμῳ τῶν κεκρατηκότων ὡς κρείττονες ἠττόνων. καὶ τοῦ πολέμου ἡ αἰτία δικαία. ἱκέται διὰ λιμὸν Ἑβραῖοι ἦκον πρὸς Αἰγυπτίους. οἱ δὲ τοὺς ξένους καταδουλωσάμενοι τρόπον αἰχμαλώτων ὑπηρετεῖν ἠνάγκασαν σαῖσι μηδὲ τὸν μισθὸν ἀποδιδόντες. εἴτε ὡς ἐν εἰρήνῃ μισθὸν ἔλαβον τὴν λείαν παρὰ ἀκόντων τῶν πολὺν χρόνον οὐκ ἀποδιδόντων, ἀλλὰ ἀποστερούντων.

P. 416. Pott.

Cap. XXIV.

§. 158. Ἔστιν οὖν ὁ Μωϋσῆς ἡμῖν προφητικὸς, νομοθετικὸς, τακτικὸς, στρατηγικὸς, πολιτικὸς, φιλόσοφος. ὅπως μὲν οὖν ἦν προφητικὸς μετὰ ταῦτα λεχθήσεται, ὁπηνίκα ἂν περὶ προφητείας διαλαμβάνωμεν· τὸ τακτικὸν δὲ μέρος ἂν εἴη τοῦ στρατηγικοῦ, τὸ στρατηγικὸν δὲ τοῦ βασιλικοῦ. πάλιν τε αὖ τὸ νομοθετικὸν μέρος ἂν εἴη τοῦ βασιλικοῦ,

*) Cf. Hesiod. Ἔργ. v. 216.

καθάπερ καὶ τὸ δικαστικόν. τοῦ δὲ βασιλικοῦ τὸ μὲν θεῖον μέρος ἐστὶν, οἷον τὸ κατὰ τὸν θεὸν καὶ τὸν ἅγιον υἱὸν αὐτοῦ, παρ' ὧν τά τε ἀπὸ γῆς ἀγαθὰ καὶ τὰ ἐκτὸς καὶ ἡ τελεία εὐδαιμονία χορηγεῖται, αἰτεῖσθε γὰρ, φησὶ, τὰ μεγάλα καὶ τὰ μικρὰ P. ὑμῖν προστεθήσεται *). δεύτερον δέ ἐστιν εἶδος βα-
150 σιλείας μετὰ τὴν ἀκραιφνῶς λογικὴν καὶ θείαν διοί-
Sylb. κησιν τὸ μόνον τῷ θυμοειδεῖ τῆς ψυχῆς εἰς βασι-
λείαν συγχρώμενον, καθ' ὃ εἶδος Ἡρακλῆς μὲν Ἄρ-
10γους, Ἀλέξανδρος δὲ Μακεδόνων ἐβασίλευσε. τρίτον δὲ τὸ ἑνὸς ἐφιέμενον τοῦ νικῆσαι μόνον καὶ καταστρέψασθαι. τὸ δὲ πρὸς κακὸν ἢ ἀγαθὸν τὴν νίκην ποιεῖσθαι τῷ τοιούτῳ οὐ πρόσεστιν, ᾧ Πέρσαι ἐπὶ τὴν Ἑλλάδα στρατεύσαντες συνεχώρησαντο. τοῦ γὰρ
15θυμοῦ τὸ μὲν φιλόνεικον μόνον ἐστὶν αὐτοῦ τοῦ κρατεῖν ἕνεκα τὴν δυναστείαν πεποιημένον, τὸ δὲ φιλόκαλον εἰς καλὴν καταχρωμένης τῆς ψυχῆς τῷ θυμῷ.

§. 159. Τετάρτη δὲ ἡ πασῶν κακίστη, ἣ κατὰ τὰς ἐπιθυμίας τάττεται βασιλεία, ὡς ἡ Σαρδανα-
20πάλλου καὶ τῶν τὸ τέλος ποιουμένων ταῖς ἐπιθυμίαις ὡς πλεῖστα χαρίζεσθαι. τοῦ δὴ βασιλικοῦ τοῦ τε κατ' ἀρετὴν νικῶντος καὶ τοῦ κατὰ βίαν ὄργανον P. τὸ τακτικὸν, ἄλλο δὲ κατ' ἄλλην φύσιν τε καὶ ὕλην. 417.
ἐν μέν γε ὅπλοις καὶ τοῖς μαχίμοις ζῴοις δὶ ἐμψύ- Pott.
25χων τε καὶ ἀψύχων ψυχὴ τὸ τάττον ἐστὶ καὶ νοῦς, ἐν δὲ τοῖς τῆς ψυχῆς πάθεσιν ὧν ἐπικρατοῦμεν τῇ ἀρετῇ λογισμός ἐστι τὸ τακτικὸν ἐπισφραγιζόμενος ἐγκράτειαν καὶ σωφροσύνην μεθ' ὁσιότητος καὶ γνῶσιν ἀγαθὴν μετ' ἀληθείας τὸ τέλος εἰς εὐσέβειαν
30ἀναφέρων θεοῦ, οὕτω γὰρ τῇ ἀρετῇ χρωμένοις φρόνησις ἡ τάττουσά ἐστι, τὰ δὲ θεῖα ἡ σοφία, τὰ ἀνθρώπεια δὲ ἡ πολιτικὴ, σύμπαντα δὲ ἡ βασιλική. βασιλεὺς τοίνυν ἐστὶν ὁ ἄρχων κατὰ νόμους ὁ τὴν τοῦ ἄρχειν ἐκόντων ἐπιστήμην ἔχων, οἷός ἐστιν ὁ

*) Cf. Matth. 6, 33.

κύριος τοὺς εἰς αὐτὸν καὶ δι' αὐτοῦ πιστεύοντας προϊέμενος, πάντα γὰρ παρέδωκεν ὁ Θεὸς, καὶ πάντα ὑπέταξεν Χριστῷ τῷ βασιλεῖ ἡμῶν, „ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ κάμψῃ ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ πατρός" *).

§. 160. Ἰδέαις δὲ ἐνέχεται τὸ στρατήγημα τρισὶν, ἀσφαλεῖ, παραβόλῳ καὶ τῷ ἐκ τούτων μικτῷ, συντίθεται δὲ τούτων ἕκαστον ἐκ τριῶν ἢ διὰ λόγου ἢ δι' ἔργων ἢ καὶ δι' ἀμφοτέρων ἅμα τούτων. ταῦτα δὲ ὑπάρξει πάντα ἐπιτελεῖν ἢ πείθοντας ἢ βιαζομένους ἢ ἀδικοῦντας ἐν τῷ ἀμύνασθαι, οἷς ἐμπεριέχεται ἢ τὰ δίκαια ποιοῦντας ἢ ψευδομένους ἢ ἀληθεύοντας, ἢ καὶ τούτων ἅμα τισὶ χρωμένους κατὰ τὸν αὐτὸν καιρόν. ταῦτα δὲ σύμπαντα καὶ τὸ πῶς δεῖ χρῆσθαι τούτων ἑκάστῳ παρὰ Μωϋσέως λαβόντες Ἕλληνες ὠφέληνται. τύπου δὲ ἕνεκεν ἑνὸς ἢ καὶ δευτέρου ἐπιμνησθήσομαι παραδείγματος στρατηγικοῦ. Μωϋσῆς τὸν λαὸν ἐξαγαγὼν ὑποπτεύσας ἐπιδιώξειν τοὺς Αἰγυπτίους τὴν ὀλίγην καὶ σύντομον ἀπολιπὼν ὁδὸν ἐπὶ τὴν ἔρημον ἐτρέπετο, καὶ νύκτωρ τὰ πολλὰ τῇ πορείᾳ ἐκέχρητο. ἑτέρα γὰρ ἦν οἰκονομίᾳ καθ' ἣν ἐπαιδεύοντο Ἑβραῖοι δι' ἐρημίας πολλῆς καὶ χρόνου μακροῦ εἰς μόνον τὸ πιστεύειν τὸν Θεὸν εἶναι δι' ὑπομονῆς ἐθιζόμενοι σώφρονος.

§. 161. Τὸ γοῦν στρατήγημα τοῦ Μωϋσέως διδάσκει πρὸ τῶν κινδύνων δεῖν τὰ χρήσιμα συνιδεῖν καὶ οὕτως ἐπιβαλεῖν. ἀμέλει γέγονεν ὅπερ καὶ ὑπώπτευσεν, ἐπεδίωξαν γὰρ οἱ Αἰγύπτιοι ἐφ' ἵπποις καὶ ὀχημάτων, ἀλλ' ἀπώλοντο θᾶττον ῥαγείσης τῆς θαλάσσης καὶ σὺν ἵπποις καὶ ἅρμασιν αὐτοὺς κατακλυσάσης ὡς μηδὲ λείψανον αὐτῶν ἀπολειφθῆναι. μετὰ δὲ ταῦτα στῖλος πυρὸς ἑπόμενος, ὡδήγει γὰρ

*) Philipp. 2, 10 sq.

ἔμπροσθεν αὐτῶν, ἦγε νύκτωρ τοὺς Ἑβραίους διὰ P.
ἀβάτου, ἐν πόνοις καὶ ὁδοιπορίαις εἰς τε ἀνδρείαν 418.
εἰς τε καρτερίαν γυμνάζων καὶ συμβιβάζων αὐτούς, Pott.
ἵνα καὶ χρηστὰ τὰ τῆς χώρας μετὰ τὴν πεῖραν τῶν
δοκούντων δεινῶν φανῇ εἰς ἣν ἐξ ἀνοδίας παρέπεμ-
πεν αὐτούς.

§. 162. Ναὶ μὴν καὶ τοὺς πολεμίους τοὺς τῆς χώρας προκαθεζομένους τροπωσάμενος ἀπέκτεινεν ἐξ ἐρήμου καὶ τραχείας ὁδοῦ — τοιαύτη γὰρ ἡ ἀρετὴ τοῦ στρατηγικοῦ — ἐπιθέμενος αὐτοῖς. ἐμπειρίας γὰρ καὶ στρατηγίας ἔργον ἦν τὸ τὴν χώραν τῶν πολεμίων λαβεῖν. τοῦτο συνιδὼν Μιλτιάδης ὁ τῶν Ἀθηναίων στρατηγὸς ὁ τῇ ἐν Μαραθῶνι μάχῃ νικήσας τοὺς Πέρσας ἐμιμήσατο τόνδε τὸν τρόπον. ἦγαγε τοὺς Ἀθηναίους νύκτωρ δι' ἀνοδίας βαδίσας καὶ πλανήσας τοὺς τηροῦντας αὐτὸν τῶν βαρβάρων, ὁ γὰρ Ἱππίας ὁ τῶν Ἀθηναίων ἀποστὰς ἐπήγαγε τοὺς βαρβάρους εἰς τὴν Ἀττικήν· καὶ τοὺς ἐπικαίρους τῶν τόπων προκαταλιβόμενος ἐφύλαττεν διὰ τὸ τῆς χώρας ἔχειν τὴν ἐμπειρίαν. ἔργον μὲν οὖν ἦν τὸν Ἱππίαν λαθεῖν, ὅθεν εἰκότως ὁ Μιλτιάδης συγχρησάμενος ἀνοδίᾳ τε καὶ νυκτὶ ἐπιθέμενος τοῖς Πέρσαις ὧν Δάτις ἡγεῖτο τὰ κατὰ τὸν ἀγῶνα μετ' ἐκείνων ὧν αὐτὸς ἡγεῖτο κατώρθωσεν.

§. 163. Ἀλλὰ καὶ Θρασυβούλῳ τοὺς ἐκπεσόντας ἀπὸ Φυλῆς καταγαγόντι καὶ βουλομένῳ λαθεῖν στῦλος ὁδηγὸς γίνεται διὰ τῶν ἀτριβῶν ἰόντι. τῷ Θρασυβούλῳ νυκτωρ ἀσελήνου καὶ δυσχειμερίου τοῦ καταστήματος γεγονότος πῦρ ἐωρᾶτο προηγούμενον, ὅπερ αὐτοὺς ἀπταίστως προπέμψαν κατὰ τὴν Μουνυχίαν ἐξέλιπεν, ἔνθα νῦν ὁ τῆς Φωσφόρου βωμός ἐστι. πιστὰ τοίνυν τὰ ἡμέτερα κἂν ἐντεῦθεν γενέσθω τοῖς Ἕλλησιν, ὅτι ἄρα δυνατὸν τῷ παντοκράτορι θεῷ προηγεῖσθαι ποιῆσαι τοῖς Ἑβραίοις νύκτωρ στῖλον πυρὸς τὸν καὶ καθηγησάμενον αὐτοῖς τῆς ὁδοῦ. λέγεται δὲ καὶ ἐν χρησμῷ τινί·

στῦλος Θηβαίοισι Διώνυσσος πολυγηθὴς,

P. ἐκ τῆς παρ' Ἑβραίοις ἱστορίας. ἀλλὰ καὶ Εὐριπί-
151 δης ἐν Ἀντιόπῃ φησὶν,
Sylb. ἔνδον δὲ θαλάμοις βουκόλον
5 κομῶντα κισσῷ στῦλον Εὐίου θεοῦ.

σημαίνει δὲ ὁ στῦλος τὸ ἀνεικόνιστον τοῦ θεοῦ, ὁ δὲ πεφωτισμένος στῦλος πρὸς τῷ τὸ ἀνεικόνιστον σημαίνειν δηλοῖ τὸ ἐστὼς καὶ μόνιμον τοῦ θεοῦ καὶ τὸ ἄτρεπτον αὐτοῦ φῶς καὶ ἀσχημάτιστον.

10 §. 164. Πρὶν γοῦν ἀκριβωθῆναι τὰς τῶν ἀγαλμάτων σχέσεις κίονας ἱστάντες οἱ παλαιοὶ ἔσεβον τούτους ὡς ἀφιδρύματα τοῦ θεοῦ. γράφει γοῦν ὁ τὴν Φορωνίδα ποιήσας·

Καλλιθόη κλειδοῦχος ὀλυμπιάδος βασιλείης,
13 Ἥρης Ἀργείης, ἣ στέμμασι καὶ θυσάνοισι
πρώτη ἐκόσμησεν περὶ κίονα μακρὸν ἀνάσσης. P.
ἀλλὰ καὶ ὁ τὴν Εὐρωπίαν ποιήσας ἱστορεῖ τὸ ἐν 419.
Δελφοῖς ἄγαλμα Ἀπόλλωνος κίονα εἶναι διὰ τῶνδε· Pott.

ὄφρα θεῷ δεκάτην ἀκροθίνιά τε κρεμάσαιμεν
20 σταθμῶν ἐκ ζαθέων καὶ κίονος ὑψηλοῖο.

Ἀπόλλων μέν τοι μυστικῶς κατὰ στέρησιν τῶν πολλῶν νοούμενος ὁ εἷς ἐστὶ θεός. ἀλλ' οὖν τὸ πῦρ ἐκεῖνο τὸ ἐοικὸς στύλῳ καὶ πῦρ τὸ διὰ βάτου σύμβολόν ἐστι φωτὸς ἁγίου τοῦ διαβαίνοντος ἐκ γῆς καὶ ἀνατρέ-
25χοντος αὖθις εἰς οὐρανὸν διὰ τοῦ ξύλου δι' οὗ καὶ τὸ βλέπειν ἡμῖν νοητῶς δεδώρηται.

Cap. XXV.

§. 165. Πλάτων δὲ ὁ φιλόσοφος ἐκ τῶν Μωϋσέως τὰ περὶ τὴν νομοθεσίαν ὠφεληθεὶς ἐπιτίμησε
30μὲν τῇ Μίνωος καὶ Λυκούργου πολιτείᾳ πρὸς ἀνδρείαν μόνην ἀποβλεπομέναις, ἐπῄνεσε δὲ ὡς σεμνοτέραν τὴν ἔν τι λέγουσαν καὶ πρὸς δόγμα ἓν νεύουσαν αἰεί, καὶ γὰρ ἰσχύϊ καὶ σεμνότητι καὶ φρονήσει πρέπειν ἂν μᾶλλον φιλοσοφεῖν ἡμᾶς λέγει πρὸς τὸ ἀξίωμα τοῦ οὐρανοῦ ἀμετανοήτως χρωμένους

γνώμῃ τῇ αὐτῇ καὶ περὶ τῶν αὐτῶν. ἆρα οὖν τὰ κατὰ τὸν νόμον ἑρμηνεύει πρὸς ἕνα θεὸν ἀφορᾷν καὶ δικαιοπραγεῖν ἐντελλόμενος. τοῦ δὲ πολιτικοῦ δύο εἴδη λέγει, τὸ μὲν νομικὸν, τὸ δὲ πολιτικὸν ὁμωνύμως ὠνομασμένον, καὶ πολιτικὸν μὲν κυρίως αἰνίττεται τὸν δημιουργὸν ἐν τῷ ὁμωνύμῳ βιβλίῳ, τοὺς τε εἰς αὐτὸν ἀφορῶντας καὶ βεοῦντας ἐνεργῶς καὶ δικαίως σὺν καὶ τῇ θεωρίᾳ καὶ αὐτοὺς πολιτικοὺς ὀνομάζει, τὸ δὲ ἐπ' ἴσης τῷ νομικῷ κεκλημένον πολιτικὸν εἰς τε κοσμικὴν μεγαλόνοιαν διαιρεῖ εἴς τε ἰδιωτικὴν σύνταξιν ἣν κοσμιότητα καὶ ἁρμονίαν καὶ σωφροσύνην ὠνόμασεν, ὅταν ἄρχοντες μὲν πρέπωσι τοῖς ἀρχομένοις, πειθήνιοι δὲ οἱ ἀρχόμενοι τοῖς ἄρχουσι γίγνωνται, ὅπερ ἡ κατὰ Μωϋσέα πραγματεία διὰ σπουδῆς ἔχει γενέσθαι. 420. P.

§. 166. Ἔτι τὸ μὲν νομικὸν πρὸς γενέσεως εἶναι, τὸ πολιτικὸν δὲ πρὸς φιλίας καὶ ὁμονοίας ὁ Πλάτων ὠφεληθεὶς τοῖς μὲν νόμοις τὸν φιλόσοφον τὸν ἐν τῇ ἐπινομίδι συνέταξεν τὸν τὴν διέξοδον πάσης γενέσεως τῆς διὰ τῶν πλανωμένων εἰδότα, φιλόσοφον δὲ ἄλλον τὸν Τίμαιον ὄντα ἀστρονομικὸν καὶ θεωρητικὸν τῆς ἐκείνων φορᾶς συμπαθείας τε καὶ κοινωνίας τῆς πρὸς ἄλληλα ἑπομένους τῇ πολιτείᾳ συνάπτει. ἔπειτα, τέλος γὰρ οἶμαι τοῦ τε πολιτικοῦ τοῦ τε κατὰ νόμον βιοῦντος ἡ θεωρία, ἀναγκαῖον γοῦν τὸ πολιτεύεσθαι ὀρθῶς, ἄριστον δὲ τὸ φιλοσοφεῖν. ὁ γὰρ νοῦν ἔχων πάντα τὰ αὑτοῦ εἰς γνῶσιν συντείνας βιώσειεν, κατευθύνας μὲν τὸν βίον ἔργοις ἀγαθοῖς, ἀτιμάσας δὲ τὰ ἐναντία τά τε πρὸς ἀλήθειαν συλλαμβανόμενα μεθέπων μαθήματα. νόμος δέ ἐστιν οὐ τὰ νομιζόμενα — οὐδὲ γὰρ τὰ ὁρώμενα ὅρασις — οὐδὲ δόξα πᾶσα — οὐ γὰρ καὶ ἡ πονηρὰ —, ἀλλὰ νόμος ἐστὶ χρηστὴ δόξα, χρηστὴ δὲ ἡ ἀληθής, ἀληθὴς δὲ ἡ τὸ ὂν εὑρίσκουσα καὶ τούτου τυγχάνουσα, „ὁ ὢν δὲ ἐξαπέσταλκέ με" *),

*) Exod. 3, 15.

φησὶν ὁ Μωϋσῆς. ἢ τινὲς ἀκολούθως δηλονότι τῇ χρηστῇ δόξῃ λόγον ὀρθὸν τὸν νόμον ἔφασαν, προστακτικὸν μὲν ὧν ποιητέον, ἀπαγορευτικὸν δὲ ὧν οὐ ποιητέον.

Cap. XXVI.

§. 167. Ὅθεν ὁ νόμος εἰκότως εἴρηται διὰ Μωϋσέως δεδόσθαι κανὼν τυγχάνων δικαίων τε καὶ ἀδίκων. καὶ τοῦτον κυρίως θεσμὸν ἂν εἴποιμεν τὸν ὑπὸ θεοῦ διὰ Μωϋσέως παραδεδομένον. ἔχει γοῦν τὴν ἀγωγὴν εἰς τὸ θεῖον. λέγει δὲ καὶ ὁ Παῦλος· P. „ὁ νόμος τῶν παραβάσεων χάριν ἐτέθη ἄχρις ἂν 421. ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται." εἶτα οἱονεὶ ἐπεξ- Pott. ηγούμενος τὴν διάνοιαν ἐπιφέρει· „πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν ὑπὸ νόμον ἐφρουρούμεθα συγκεκλεισμένοι φόβῳ, δηλαδὴ ἀπὸ ἁμαρτιῶν, εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθήσεσθαι. ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν ἐγένετο εἰς Χριστὸν ἵνα ἐκ πίστεως δικαιωθῶμεν" *). ὁ νομοθετικὸς δέ ἐστιν ὁ τὸ προσῆκον ἑκάστῳ μέρει τῆς ψυχῆς καὶ τοῖς τούτων ἔργοις ἀπονέμων, Μωϋσῆς δὲ συνελόντι εἰπεῖν νόμος ἔμψυχος ἦν τῷ χρηστῷ λόγῳ κυβερνώμενος.

§. 168. Πολιτείαν γοῦν διηκόνησεν ἀγαθὴν, ἡ δέ ἐστι τροφὴ ἀνθρώπων καλὴ κατὰ κοινωνίαν. αὐτίκα τὴν δικαστικὴν μετεχειρίζετο ἐπιστήμην οὖσαν διορθωτικὴν τῶν ἁμαρτανομένων ἕνεκεν τοῦ δικαίου. σύστοιχος δὲ αὐτῇ ἡ κολαστικὴ τοῦ κατὰ τὰς κολάσεις μέτρου ἐπιστημονική τις οὖσα. κόλασις δὲ οὖσα διόρθωσίς ἐστι ψυχῆς. ἔστι δὲ ὡς ἔπος εἰπεῖν τῷ Μωϋσεῖ ἡ πᾶσα ἀγωγὴ παιδευτικὴ μὲν, τῶν οἵων τε γενέσθαι καλῶν κἀγαθῶν ἀνδρῶν· θηρευτικὴ δὲ τῶν ὁμοίων τούτοις, ἥτις ἂν εἴη στρατηγική· ἡ δὲ χρηστικὴ τοῖς θηρευθεῖσι λόγῳ κατὰ τρόπον σοφία

*) Galat. 19, 23 sq.

εἴη ἂν νομοθετική· κτᾶσθαί τε γὰρ καὶ χρῆσθαι ταύτης ἴδιον βασιλικώτατης οὔσης. μόνον γοῦν τὸν Ρ. σοφὸν οἱ φιλόσοφοι βασιλέα, νομοθέτην, στρατηγὸν, 152 δίκαιον, ὅσιον, θεοφιλῆ κηρύττουσιν. εἰ δὲ ταῦτα Sylb. περὶ τὸν Μωϋσέα. εὕροιμεν, ὡς ἐξ αὐτῶν δείκνυται τῶν γραφῶν, εὖ μάλα πεπεισμένως ἂν ἀγορεύοιμεν σοφὸν τῷ ὄντι τὸν Μωϋσέα.

§. 169. Καθάπερ οὖν, τὴν ποιμενικὴν τὸ τῶν προβάτων προνοεῖν φαμὲν, οὕτω γὰρ „ὁ ἀγαθὸς 10 ποιμὴν τὴν ψυχὴν τίθησιν ὑπὲρ τῶν προβάτων“ *), οὕτω γε καὶ τὴν νομοθετικὴν τὴν ἀνθρώπων ἀρετὴν κατασκευάζειν ἐροῦμεν τὸ ἀνθρώπινον κατὰ δύναμιν ἀγαθὸν ἀναζωπυροῦσαν, ἐπιστατικὴν οὖσαν καὶ κηδεμονικὴν τῆς ἀνθρώπων ἀγέλης. εἰ δὲ ἡ ποίμνη ἡ 15 ἀλληγορουμένη πρὸς τοῦ Θεοῦ οὐδὲν ἄλλο ἢ ἀγέλη τις ἀνθρώπων ἐστὶν, ὁ αὐτὸς ἔσται ποιμήν τε καὶ νομοθέτης ἀγαθὸς μιᾶς τῆς ἀγέλης „τῶν αὐτοῦ ἐπαϊόντων προβάτων“ **), ὁ εἷς κηδεμὼν, ὁ τὸ ἀπολωλὸς ἐπιζητῶν τε καὶ εὑρίσκων νόμῳ καὶ λόγῳ, εἴ 20 γε ὁ νόμος πνευματικὸς καὶ ἐπὶ τὴν εὐδαιμονίαν ἄγων· ὁ γὰρ πνεύματι ἁγίῳ γενόμενος πνευματικός. οὗτος δὲ ὁ τῷ ὄντι νομοθέτης, ὃς οὐ μόνον ἐπαγγέλλεται τὰ ἀγαθά τε καὶ καλὰ, ἀλλὰ καὶ ἐπίσταται ***). τούτου καὶ ὁ νόμος τοῦ τὴν ἐπιστήμην 25 ἔχοντος τὸ σωτήριον πρόσταγμα, μᾶλλον δὲ ἐπιστήμης πρόσταγμα ὁ νόμος, „δύναμις γὰρ καὶ σοφία ὁ λόγος“ †) τοῦ Θεοῦ. νόμων τε αὖ ἐξηγητὴς οὗτος δι' οὗ ὁ νόμος ἐδόθη, ὁ πρῶτος ἐξηγητὴς τῶν θείων Ρ. προσταγμάτων, ὁ τὸν κόλπον τοῦ πατρὸς ἐξηγούμε- 422. 30 νος υἱὸς μονογενής. Pott.

§. 170. Ἔπειτα οἱ μὲν πειθόμενοι τῷ νόμῳ τῷ τε γνῶσιν ἔχειν τινὰ αὐτοῦ οὔτ' ἀπιστεῖν οὔτ' ἀγνοεῖν δύνανται τὴν ἀλήθειαν, οἱ δὲ ἀπιστοῦντες ἥκι-

*) Ioann. 10, 11. **) Ibid. v. 16. ***) Cf. Matth. 18, 12. †) 1 Corinth. 1, 24.

στά τε ἐν τοῖς ἔργοις εἶναι βεβρυλλημένοι, εἴπερ τινὲς ἄλλοι, καὶ οὗτοι ἀγνοεῖν ὁμολογοῦνται τὴν ἀλήθειαν. τίς τοίνυν ἡ ἀπιστία τῶν Ἑλλήνων; μή πη βούλεσθε πείθεσθαι τῇ ἀληθείᾳ φασκούσῃ θεόθεν διὰ Μωϋσέως δεδόσθαι τὸν νόμον, ὁπότε γε καὶ αὐτοὶ ἐκ τῶν παρὰ σφίσι τιμῶσι Μωϋσῆ; τόν τε Μίνω παρὰ Διὸς δι' ἐννάτου ἔτους λαμβάνειν τοὺς νόμους ἱστοροῦσι φοιτῶντα εἰς τὸ τοῦ Διὸς ἄντρον, τόν τε αὖ Λυκοῦργον τὰ νομοθετικὰ εἰς Δελφοὺς πρὸς τὸν Ἀπόλλωνα συνεχὲς ἀπιόντα παιδεύεσθαι γράφουσι. Πλάτων τε καὶ Ἀριστοτέλης, καὶ Ἔφορος, Χαμαιλέων τε ὁ Ἡρακλείδης ἐν τῷ περὶ μέθης καὶ Ἀριστοτέλης ἐν τῇ Λοκρῶν πολιτείᾳ Ζάλευκον τὸν Λοκρὸν παρὰ τῆς Ἀθηνᾶς τοὺς νόμους λαμβάνειν ἀπομνημονεύουσιν. οἱ δὲ τὸ ἀξιόπιστον τῆς παρ' Ἕλλησι νομοθεσίας ὡς οἷόν τε αὐτοῖς ἐπαίροντες εἰς τὸ θεῖον κατ' εἰκόνα τῆς κατὰ τὸν Μωϋσέα προφητείας ἀγνώμονες οὐκ αὐτόθεν ὁμολογοῦντες τήν τε ἀλήθειαν καὶ τὸ ἀρχέτυπον τῶν παρὰ σφίσιν ἱστορουμένων.

Cap. XXVII.

§. 171. *Μὴ τοίνυν κατατρυχέτω τις τοῦ νόμου διὰ τῆς τιμωρίας ὡς οὐ καλοῦ κἀγαθοῦ· οὐ γὰρ ὁ μὲν τὴν τοῦ σώματος νόσον ἀπέχων εὐεργέτης δόξει, ψυχῆς δὲ ἀδικίας ὁ πειρώμενος ἀπαλλάττειν οὐ μᾶλλον ἂν εἴη κηδεμών, ὅσῳπερ ψυχὴ σώματος ἐντιμότερον. ἀλλ' ἄρα τῆς μὲν τοῦ σώματος ὑγιείας ἕνεκα καὶ τομὰς καὶ καύσεις καὶ φαρμακοποσίας ὑφιστάμεθα, καὶ ὁ ταῦτα προτάττων σωτήρ τε καὶ ἰατρὸς καλεῖται, οὐ φθόνῳ τινὶ οὐδὲ δυσμενείᾳ τῇ πρὸς τὸν πάσχοντα, ὡς δ' ἂν ὁ τῆς τέχνης ὑπαγορεύοι λόγος καὶ μέρη τινὰ ἀποτέμνων, ὡς μὴ τὰ ὑγιαίνοντα συνδιαφθείρεσθαι αὐτῷ, καὶ οὐκ ἄν τις πονηρίας αἰτιάσαιτο τοῦ ἰατροῦ τὴν τέχνην, τῆς δὲ ψυχῆς ἕνεκα οὐχ ὁμοίως ὑποπτησόμεθα, ἐάν τε*

φεύγειν ἐάν τε ἐκτίνειν ζημίας ἐάν τε δεσμὰ, εἰ μέλλοι τις μόνον ἐξ ἀδικίας ποτὲ δικαιοσύνην κτᾶσθαι; ὁ γὰρ νόμος κηδόμενος τῶν ὑπηκόων πρὸς μὲν τὴν θεοσέβειαν παιδεύει καὶ ὑπαγορεύει τὰ ποιητέα, εἴρηκέ τε ἕκαστον τῶν ἁμαρτημάτων δίκας ἐπιτιθεὶς τοῖς μετρίοις αὐτῶν, ὅταν δέ τινα οὕτως ἔχοντα κατίδῃ ὡς ἀνίατον δοκεῖν εἰς ἔσχατον ἀδικίας ἐλαύνοντα, τότε ἤδη τῶν ἄλλων κηδόμενος ὅπως ἂν μὴ διαφθείρωνται πρὸς αὐτοῦ, ὥσπερ μέρος τι τοῦ παντὸς σώματος ἀποτεμὼν οὕτω πρὸ τὸν τοιοῦτον ὑγιέστατα ἀποκτίννυσι.

P. 423. Pott.

§. 172. „Κρινόμενοι δὲ ὑπὸ τοῦ κυρίου", φησὶν ὁ ἀπόστολος, „παιδευόμεθα ἵνα μὴ σὺν τῷ κόσμῳ κατακριθῶμεν" *). προεῖπεν γὰρ ὁ προφήτης „παιδεύων ἐπαίδευσέν με ὁ κύριος, τῷ δὲ θανάτῳ οὐ παρέδωκέν με" **), „ἕνεκα γὰρ τοῦ διδάξαι σε τὴν δικαιοσύνην αὐτοῦ ἐπαίδευσέν σε", φησὶ, „καὶ ἐπείρασέν σε καὶ ἐλιμαγχόνησέν σε καὶ ἐδίψησέν σε ἐν γῇ ἐρήμῳ, ἵνα γνωσθῇ πάντα τὰ δικαιώματα καὶ τὰ κρίματα αὐτοῦ ἐν τῇ καρδίᾳ σοὺ ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, καὶ γνώσῃ ἐν τῇ καρδίᾳ σοὺ ὅτι ὡς εἴ τις παιδεύσει ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, οὕτω παιδεύσει σε κύριος ὁ θεὸς ἡμῶν" ***). ὅτι δὲ τὸ ὑπόδειγμα σωφρονίζει αὐτίκα φησὶ, „πανοῦργος ἰδὼν τιμωρούμενον πονηρὸν κραταιῶς αὐτὸς παιδεύεται, ἐπεὶ γενεὰ σοφίας φόβος κυρίου" †).

§. 173. Μέγιστον δὲ καὶ τελεώτατον ἀγαθὸν, ὅταν τινὰ ἐκ τοῦ κακῶς πράττειν εἰς ἀρετήν τε καὶ εὐπραγίαν μετάγειν δύνηταί τις, ὅπερ ὁ νόμος ἐργάζεται, ὥστε καὶ ὅταν ἀνηκέστῳ τινὶ κακῷ περιπέσῃ τις ὑπό τε ἀδικίας καὶ πλεονεξίας καταληφθεὶς εὐεργετοῖτ' ἂν ὁ ἀποκτιννύμενος, εὐεργέτης γὰρ ὁ νόμος τοὺς μὲν δικαίους ἐξ ἀδίκων ποιεῖν δυνάμε-

*) 1 Corinth. 11, 32. **) Psalm. 118, 18. ***) Deuteron. 3, 2 sq. 5. 11. †) Prouerb. 22, 3 sq.

νος, ἢν μόνον ἐπαΐειν ἐθελήσωσιν αὐτοῦ, τοὺς δὲ ἀπαλλάττων τῶν παρόντων κακῶν, τοὺς γὰρ σωφρόνως καὶ δικαίως βιοῦν ἑλομένους ἀθανατίζειν ἐπάγεται. τὸ δὲ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς. καὶ πάλιν· „ἄνδρες κακοὶ οὐ νοοῦσι νόμον, οἱ δὲ ζητοῦντες τὸν κύριον συνήσουσιν ἐν παντὶ ἀγαθῷ" *). δεῖ δὴ τὴν διοικοῦσαν πρόνοιαν κυρίαν φε-
P. εἶναι καὶ ἀγαθήν, ἀμφοῖν γὰρ ἡ δύναμις οἰκειοῦται
153 σωτηρίαν, ἡ μὲν κολάσει σωφρονίζουσα ὡς κυρία,
vlb. ἡ δὲ δι' εὐποιΐας χρηστευομένη ὡς εὐεργέτις. ἔξεστι δὲ μὴ εἶναι ἀπειθείας υἱὸν, ἀλλὰ μεταβαίνειν ἐκ τοῦ σκότους εἰς ζωὴν καὶ παραθέντα τῇ σοφίᾳ τὴν ἀκοὴν νόμιμον εἶναι θεοῦ, δοῦλον μὲν τὰ πρῶτα, ἔπειτα δὲ πιστὸν γενέσθαι θεράποντα, φοβούμενον κύριον τὸν θεὸν, εἰ δέ τις ἐπιναβαίη, τοῖς υἱοῖς ἐγκαταλέγεται· ἐπὰν δὲ „ἀγάπη καλύψῃ πλῆθος ἁμαρτιῶν" **), μακαρίας ἐλπίδος τελειώσει αὐξηθέντα ἐν ἀγάπῃ ἐκδέχεσθαι τοῦτον ἐγκαταταγέντι τῇ ἐκλεκτῇ υἱοθεσίᾳ τῇ φίλῃ κεκλημένῃ τοῦ θεοῦ ἤδη τὴν εὐχὴν καὶ λέγοντα· „γενέσθω μοὶ κύριος εἰς θεόν."

§. 174. *Τοῦ νόμου δὲ τὴν εὐποιΐαν διὰ τῆς πρὸς τοὺς Ἰουδαίους περικοπῆς δεδήλωκεν ὁ ἀπόστολος γράφων ὧδέ πως·* „ἴδε σὺ Ἰουδαῖος ἐπονο-
P. μάζῃ καὶ ἐπαναπαύῃ νόμῳ καὶ καυχᾶσαι ἐν θεῷ 424.
καὶ γινώσκεις τὸ θέλημα τοῦ θεοῦ καὶ δοκιμάζεις Pott.
τὰ διαφέροντα κατηχούμενος ἐκ τοῦ νόμου πέποιθάς τε σεαυτὸν ὁδηγὸν εἶναι τυφλῶν, φῶς τῶν ἐν σκότει, παιδευτὴν ἀφρόνων, διδάσκαλον νηπίων, ἔχοντα τὴν μόρφωσιν τῆς γνώσεως καὶ ἀληθείας ἐν τῷ νόμῳ" ***). *ταῦτα γὰρ δύνασθαι τὸν νόμον ὁμολογεῖται, κἂν οἱ κατὰ νόμον μὴ πολιτευόμενοι ὡς ἐν νόμῳ ἀλαζονεύωνται βιοῦντες·* „μακάριος δὲ ἀνὴρ

*) Proverb. 28, 5. **) 1 Petr. 4, 8. ***) Roman. 2, 17—20.

ὃς εὗρεν σοφίαν καὶ ἔνητὸς ὃς εἶδεν φρόνησιν, ἐκ δὲ τοῦ στόματος αὐτῆς", τῆς σοφίας δηλονότι, „δικαιοσύνη ἐκπορεύεται, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ" *). ἑνὸς γὰρ κυρίου ἐνέργεια ὅς ἐστι „δύναμις καὶ σοφία" **) τοῦ θεοῦ ὅ τε νόμος τό τε εὐαγγέλιον, καὶ ὃν ἐγέννησε φόβον ὁ νόμος ἐλεήμων οὗτος εἰς σωτηρίαν· „ἐλεημοσύναι δὲ καὶ πίστεις καὶ ἀλήθεια μὴ ἐκλιπέτωσάν σε, ἄφαψαι δὲ αὐτὰς περὶ σῶ τραχήλῳ" ***).

§. 175. Ὁμοίως δὲ τῷ Παύλῳ ἡ προφητεία ὀνειδίζει τὸν λαὸν ὡς μὴ συνιέντα τὸν νόμον. „σύντριμμα καὶ ταλαιπωρία ἐν ταῖς ὁδοῖς αὐτῶν καὶ ὁδὸν εἰρήνης οὐκ ἔγνωσαν" ****), „οὐκ ἔστι φόβος θεοῦ ἀπέναντι τῶν ὀφθαλμῶν αὐτῶν" †). „φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν" ††). „οἴδαμεν δὲ ὅτι καλὸς ὁ νόμος ἐάν τις αὐτῷ νομίμως χρήσηται· οἱ δὲ θέλοντες εἶναι νομοδιδάσκαλοι οὐ νοοῦσι", φησὶν ὁ ἀπόστολος, „οὔτε ἃ λέγουσιν οὔτε περὶ τίνων διαβεβαιοῦνται, τὸ δὲ τέλος τῆς παραγγελίας ἀγάπη ἐκ καθαρᾶς καρδίας καὶ συνειδήσεως ἀγαθῆς καὶ πίστεως ἀνυποκρίτου" †††).

Cap. XXVIII.

§. 176. Ἡ μὲν οὖν κατὰ Μωϋσέα φιλοσοφία τετραχῇ τέμνεται εἴς τε τὸ ἱστορικὸν καὶ τὸ κυρίως λεγόμενον νομοθετικόν, ἅπερ ἂν εἴη τῆς ἠθικῆς πραγματείας ἴδια, τὸ τρίτον δὲ εἰς τὸ ἱερουργικόν, ὅ ἐστιν ἤδη τῆς φυσικῆς θεωρίας, καὶ τέταρτον ἐπὶ πᾶσι τὸ θεολογικὸν εἶδος ἡ ἐποπτεία, ἣν φησιν ὁ Πλάτων τῶν μεγάλων ὄντως εἶναι μυστηρίων, Ἀριστοτέλης δὲ τὸ εἶδος τοῦτο μετὰ τὰ φυσικὰ καλεῖ. καὶ ἥ γε κατὰ Πλάτωνα διαλεκτικὴ ὡς φησιν ἐν τῷ πολιτικῷ τῆς τῶν ὄντων ὑφηλώσεως εὑρετικὴ τίς ἐστιν

*) Proverb. 3, 12. 16. **) 1 Corinth. 1, 24. ***) Proverb. 3, 3. ****) Iesai. 59, 7 sq. Roman. 3, 16 sq. †) Psalm. 36, 1. Roman. 3, 18. ††) Roman. 1, 22. †††) 1 Timoth. 1, 8. 7. 5.

ἐπιστήμη, κτητὴ δὲ αὕτη τῷ σώφρονι οὐχ ἕνεκα τοῦ λέγειν τι πράττειν τι τῶν πρὸς τοὺς ἀνθρώπους, P. 425. Bott. ὥσπερ οἱ νῦν διαλεκτικοὶ περὶ τὰ σοφιστικὰ ἀσχολούμενοι ποιοῦσιν, ἀλλὰ τῷ θεῷ κεχαρισμένα μὲν λέγειν δύνασθαι, κεχαρισμένα δὲ πράττειν τὸ πᾶν εἰς δύναμιν.

§. 177. Μικτὴ δὲ φιλοσοφία οὖσα τῇ ἀληθείᾳ ἡ ἀληθὴς διαλεκτικὴ ἐπισκοποῦσα τὰ πράγματα καὶ τὰς δυνάμεις καὶ τὰς ἐξουσίας δοκιμάζουσα ὑπεξαναβαίνει περὶ τὴν πάντων κρατίστην οὐσίαν, τολμᾷ τε ἐπέκεινα ἐπὶ τὸν τῶν ὅλων θεὸν οὐκ ἐμπειρίαν τῶν θνητῶν, ἀλλ' ἐπιστήμην τῶν θείων καὶ οὐρανίων ἐπαγγελλομένη, ᾗ συνέπεται καὶ ἡ περὶ τῶν ἀνθρωπείων περί τε τοὺς λόγους καὶ τὰς πράξεις οἰκεία χρῆσις. εἰκότως ἄρα καὶ ἡ γραφὴ τοιούτους τινὰς ἡμᾶς διαλεκτικοὺς οὕτως ἐθέλουσα γενέσθαι παραινεῖ· „γίνεσθε δὲ δόκιμοι τραπεζῖται" *), τὰ μὲν ἀποδοκιμάζοντες, τὸ δὲ καλὸν κατέχοντες **), αὕτη γὰρ τῷ ὄντι ἡ διαλεκτικὴ φρόνησίς ἐστι περὶ τὰ νοητὰ διαιρετικὴ ἑκάστου τῶν ὄντων ἀμίκτως τε καὶ εἰλικρινῶς τοῦ ὑποκειμένου δεικτική, ἡ δύναμις περὶ τὰ τῶν πραγμάτων γένη διαιρετική, μέχρι τῶν ἰδικωτάτων καταβαίνουσα, παρεχομένη ἕκαστον τῶν ὄντων καθαρὸν οἷόν ἐστι φαίνεσθαι.

§. 178. Διὸ καὶ μόνη αὕτη ἐπὶ τὴν ἀληθῆ σοφίαν χειραγωγεῖ, ἥτις ἐστὶ δύναμις θεία, τῶν ὄντων ὡς ὄντων γνωστική, τὸ τέλειον ἔχουσα, παντὸς πάθους ἀπηλλαγμένη, οὐκ ἄνευ τοῦ σωτῆρος τοῦ καταγαγόντος ἡμῶν τῷ θείῳ λόγῳ τοῦ ὁρατικοῦ τῆς ψυχῆς τὴν ἐπιχυθεῖσαν ἐκ φαύλης ἀναστροφῆς ἄγνοιαν ἀχλυώδη καὶ τὸ βέλτιστον ἀποδεδωκότος, ὅφρ' εὖ γινώσκοιμεν ἡμὲν τὸν θεὸν ἠδὲ καὶ ἄνδρα ***).

*) De hoc dicto vid. adnotat. **) Cf. 1 Thessalon. 5, 21. ***) Cf. Homer. Il. ε. v. 128.

οὗτός ἐστιν ὁ τῷ ὄντι δείξας ὅπως τε γνωστέον ἑαυτοὺς, οὗτος ὁ τῶν ὅλων τὸν πατέρα ἐκκαλύπτων, ᾧ ἂν βούληται, καὶ ὡς οἷόν τε τὴν ἀνθρωπίνην φύσιν χωρῆσαι νοεῖν, „οὐδεὶς γὰρ ἔγνω τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, οὐδὲ τὸν πατέρα εἰ μὴ ὁ υἱὸς καὶ ᾧ ἂν ὁ υἱὸς ἀποκαλύψῃ“ *).

§. 179. Εἰκότως ἄρα ὁ ἀπόστολος „κατὰ ἀποκάλυψιν“ φησὶν „ἐγνωκέναι τὸ μυστήριον καθὼς προέγραψα ἐν ὀλίγῳ πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ“ **). „πρὸς ὃ δύνασθε“ εἶπεν, ἐπεὶ ἤδει τινὰς γάλα μόνον εἰληφότας, οὐδέπω δὲ καὶ βρῶμα, αὐτίκα οὐχ ἁπλῶς γάλα. τετραχῶς δὲ ἡμῖν ἐκληπτέον τοῦ νόμου τὴν βούλησιν, ἢ ὡς σημεῖον ἐμφαίνουσαν ἢ ὡς ἐντολὴν κυροῦσαν εἰς πολιτείαν ὀρθὴν ἢ θεσπίζουσαν ὡς προφητείαν. ἀνδρῶν δὲ εὖ οἶδ' ὅτι τὰ τοιαῦτα διακρίνειν τε καὶ λέγειν, οὐ γὰρ δὴ μία Μύκονος ἡ πᾶσα πρὸς νόησιν γραφὴ, ἣ φασὶν οἱ παροιμιαζόμενοι διαλεκτικώτερον δὲ ὡς ἕνι μάλιστα προσιτέον αὐτῇ τὴν ἀκολουθίαν τῆς θείας διδασκαλίας θηρωμένοις.

P. 1426. Pott. 154 Sylb.

Cap. XXIX.

§. 180. Ὅθεν παγκάλως ὁ παρὰ τῷ Πλάτωνι Αἰγύπτιος ἱερεὺς, Ὦ Σόλων, Σόλων, εἶπεν, Ἕλληνες ὑμεῖς αἰεὶ παῖδές ἐστε, οὐδ' ἡντινοῦν ἐν ταῖς ψυχαῖς ἔχοντες δι' ἀρχαίαν ἀκοὴν παλαιὰν δόξαν, γέρων δὲ Ἑλλήνων οὐκ ἔστιν οὐδείς. γέροντας οἶμαι ἔφην τοὺς τὰ πρεσβύτερα, τουτέστι τὰ ἡμέτερα εἰδότας, ὡς ἔμπαλιν νέους τοὺς τὰ νεώτερα καὶ ὑπὸ Ἑλλήνων ἐπιτετηδευμένα τὰ χθὲς καὶ πρώην γενόμενα ὡς παλαιὰ καὶ ἀρχαῖα ἱστοροῦντας. ἐπήγαγεν οὖν μάθημα χρόνῳ πολιὸν κατὰ βαρβαρικόν τινα τρόπον ἁπλάστῳ καὶ οὐκ εὐχρινεῖ χρωμένων ἡμῶν τῇ

*) Matth. 11, 27. **) Ephes. 3, 3 sq.

μεταφορᾷ. ἀτεχνῶς γοῦν οἱ εὐγνάμπτους ὥσπερ τῷ πλύσματι τῷ τῆς ἑρμηνείας πρασίασιν, ἐπὶ δὲ τῶν Ἑλλήνων φησὶ τὴν οἴησιν αὐτῶν βραχύ τι διακρέρειν μάψων, οὐ γὰρ μύθων παιδικῶν ἐξακουστέον οὐδὲ μὴν τῶν τοῖς παισὶ γενομένων μύθων· παῖδας δὲ εἰρηκεν αὐτοὺς γε τοὺς μύθους, ὡς ἂν μικρὸν διορύττων τῶν παρ' Ἕλλησιν οἰησισόφων, αἰνιττόμενος τὸ μάθημα τὸ πολιὸν τὴν παρὰ βαρβάροις προγενεστάτην ἀλήθειαν, ᾧ ῥήματι τέθεικε τὸ παῖς μῦθος, τὸ μυθικὸν τῆς τῶν νεωτέρων ἐπιβολῆς διελέγχων ὡς ἥκιστα παίδων μηδὲν πρεσβύτερον ἐχούσης. ἄμφω κοινῶς τοὺς μύθους αὐτῶν καὶ τοὺς λόγους παιδικοὺς εἶναι παριστάς.

§. 181. Θείως τοίνυν ἡ δύναμις ἡ τῷ Ἑρμῇ κατὰ ἀποκάλυψιν λαλοῦσα τὰ δράματά φησι καὶ τὰ ἀποκαλύμματα, διὰ τοὺς διψύχους τοὺς διαλογιζομένους ἐν ταῖς καρδίαις αὐτῶν, εἰ ἄρα ἔστι ταῦτα ἢ οὐκ ἔστιν, ὁμοίως δὲ καὶ ἐκ τῆς πολυμαθοῦς περιουσίας ἀποδείξεις ἰσχυροποιοῦσι καὶ βεβαιοῦσι P. καὶ θεμελιοῦσι τοὺς ἀποδεικτικούς, ὅσον ἔτι αἱ 427. αὐτῶν ὡς νέων φρένες ἠρέθονται *). „λαμπτὴρ Pott. ἄρα ἐντολὴ ἀγαθή", κατὰ τὴν γραφήν, „νόμος δὲ φῶς ὁδοῦ, ὁδοὺς γὰρ βιότητος ἐλέγχει παιδεία" **).

νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων,
λέγει Πίνδαρος. ἐγὼ δὲ τὸν θέμενον τὸν νόμον διὰ τούτων ἐξακούω, καὶ τό γε Ἡσιόδειον ἐπὶ τοῦ πάντων κελεύεσθαι θεοῦ λαμβάνω, εἰ καὶ στοχαστικῶς εἴρηται τῷ ποιητῇ, ἀλλ' οὐ καταληπτικῶς·

τόνδε γὰρ ἀνθρώποισι νόμον διέταξε Κρονίων,
ἰχθύσι γὰρ καὶ θηρσὶ καὶ οἰωνοῖς πετεηνοῖς,
ἐσθέμεν ἀλλήλους, ἐπεὶ οὐ δίκη ἐστὶ μετ' αὐτῶν·
ἀνθρώποισι δ' ἔδωκε δίκην, ἣ πολλὸν ἀρίστη ***).

---

*) Cf. Homer. Iliad. γ. v. 108. **) Prouerb. 6, 23.
***) Hesiod. ἔργ. v. 274—277.

§. 182. *Εἴτ' οὖν τὸν ἅμα τῇ γενέσει φύσει νόμον εἴτε καὶ τὸν αὐθις δοθέντα πλὴν ἐκ θεοῦ, ὅ τε τῆς φύσεως ὅ τε τῆς μαθήσεως νόμος εἷς, ὡς καὶ Πλάτων ἐν τῷ πολιτικῷ ἕνα τὸν νομοθέτην φησὶν, ἐν δὲ τοῖς νόμοις ἕνα τὸν συνήσοντα τῶν μουσικῶν, διὰ τούτων διδάσκων τὸν λόγον εἶναι ἕνα καὶ τὸν θεὸν ἕνα. Μωϋσῆς δὲ φαίνεται τὸν κύριον διαθήκην καλῶν· „ἰδοὺ ἐγὼ", λέγων, „ἡ διαθήκη μου μετὰ σοῦ" *)· ἐπεὶ καὶ πρότερον εἶπεν διαθήκην μὴ ζητεῖν αὐτὴν ἐν γραφῇ. ἔστι γὰρ διαθήκη ἣν ὁ αἴτιος τοῦ παντὸς θεὸς τίθεται, θεὸς δὲ παρὰ τὴν θέσιν εἴρηται καὶ τάξιν τὴν διακόσμησιν. ἐν δὲ τῷ Πέτρου κηρύγματι εὕροις ἂν νόμον καὶ λόγον τὸν κύριον προαναφερυόμενον. ἀλλ' ὅ μὲν κατὰ τὴν ἀληθῆ φιλοσοφίαν γνωστικῶν ὑπομνημάτων πρῶτος ἡμῖν στρωματεὺς ἐνταυθοῖ περιγεγράφθω.*

Περὶ τῶν κατὰ τὴν ἀληθῆ φιλοσοφίαν ὑπομνημάτων στρωματεὺς πρῶτος.

---

*) Genes. 17, 4.

ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΤΩΝ ΣΤΡΩΜΑΤΕΩΝ ΛΟΓΩΝ Ὁ ΔΕΥΤΕΡΟΣ.

CLEMENTIS ALEXANDRINI STROMATUM LIBER SECUNDUS.

Argumentum.

Cap. I. Praefatio in qua res deinceps a se tractandas proponit (§. 1—3.). C. II. per fidem solam ad dei cognitionem posse peruenîri (§. 4—9.). C. III. contra haereticos disputat qui fidem ex naturae necessitate prouenire statuant (§. 10. 11.). C. IV. denuo de vtilitate credendi, fidemque esse omnis scientiae fundamentum (§. 12—19.). C. V. Graecos ex sacris scriptoribus plurima hausisse multis exemplis probat (§. 20—24.). C. VI. de fidei praestantia et vtilitate (§. 25—31.). C. VII. timoris vsum ostendit eumque a vituperantium obiectionibus vindicat (§. 32—35.). C. VIII. Basilidae et Valentini deliria de timore vt rerum caussa refutat (§. 36—40.). C. IX. virtutes Christianas esse inter se connexas (§. 41—45.). C. X. quid sibi vindicet philosophus Christianus (§. 46. 47.). C. XI. cognitionem illam quae per fidem traditur esse omnium certissimam (§. 48—52.). C. XII. de fide duplici (§. 53—55.). C. XIII. de prima et secunda poenitentia (§. 56—59.). C. XIV. quot modis fiat involuntarium (§. 60. 61.). C. XV. de diuersis voluntari et peccatorum exinde sequentium generibus (§. 62—71.). C. XVI. quo modo loci sacrae scripturae exponendi sint qui affectus humanos deo tribuunt (§. 72—75.). C. XVII. de variis co-

gnitionis generibus (§. 76. 77.). C. XVIII. legem Moysaicam omnis doctrinae moralis esse fontem atque inde Graecos ἠθικὰ sua hausisse (§. 78—96.). C. XIX. de vero gnostico qui sit dei imitator praecipue in beneficentia (§. 97—102.). C. XX. eundem tolerantiam et abstinentiam exercere (§. 103—126.). C. XXI. recenset varias philosophorum de summo bono sententias (§. 127—130.). C. XXII. Plato summum bonum in assimilatione cum deo ait consistere, quocum concordant sacri scriptores (§. 131—136.). C. XXIII. de matrimoni commodis et praeceptis in eius usu observandis, quae plenius tractat libro sequenti (§. 137—146.).

Cap. I.

§. 1. Ἐξῆς δ' ἂν εἴη διαλαβεῖν, ἐπεὶ κλέπτας τῆς βαρβάρου φιλοσοφίας Ἕλληνας εἶναι προσεῖπεν ἡ γραφή, ὅπως τοῦτο δι' ὀλίγων δειχθήσεται. οὐ γὰρ μόνον τὰ παράδοξα τῶν παρ' ἡμῖν ἱστορουμένων ἀπομιμουμένους ἀναγράφειν αὐτοὺς παρασήσομεν, πρὸς δὲ τὰ κυριώτατα τῶν δογμάτων σκευωρουμένους καὶ παραχαράσσοντας προγενεστέρων οὐσῶν τῶν παρ' ἡμῖν γραφῶν ὡς ἀπεδείξαμεν διελέγξομεν, ἔν τε τοῖς περὶ πίστεως περί τε σοφίας γνώσεώς τε καὶ ἐπιστήμης, ἐλπίδος τε καὶ ἀγάπης, περί τε μετανοίας καὶ ἐγκρατείας καὶ δὴ καὶ φόβου θεοῦ, σμῆνος ἀτεχνῶς τῶν ἀληθείας ἀρετῶν, ὅσα τε ἀπαιτήσει ἡ κατὰ τὸν τόπον τὸν προκείμενον ὑποσημείωσις περιληφθήσεται καὶ ὡς τὰ μάλιστα τὸ ἐπικεχρυμμένον τῆς βαρβάρου φιλοσοφίας, τὸ συμβολικὸν τοῦτο καὶ αἰνιγματῶδες εἶδος, ἐζήλωσαν οἱ πραγματικῶς τὰ τῶν ἀρχαίων φιλοσοφήσαντες χρησιμώτατον, μᾶλλον δὲ ἀναγκαιότατον τῇ γνώσει τῆς ἀληθείας ὑπάρχον.

§. 2. Ἐπὶ τούτοις ἀκόλουθον οἶμαι ὑπὲρ ὧν κατατρέχουσιν ἡμῶν Ἕλληνες ἀπολογήσασθαι ὀλίγαις συγχρωμένους γραφαῖς, εἴ πως ῥᾴδιον καὶ ὁ Ἰουδαῖος ἐπαΐων ἐπιστρέψαι δυνηθείη ἐξ ὧν ἐπίστευσεν, εἰς

ὃν οὐκ ἐπίστευσεν. διαδέξεται δὲ εἰκότως τοὺς γενναίους τῶν φιλοσόφων ἔλεγχος ἀγαπητικὸς τοῦ βίου τε αὐτῶν καὶ τῆς εὑρέσεως τῶν καινῶν δογμάτων
P. οὐκ ἀμυνομένων ἡμῶν τοὺς κατηγόρους, πολλοῦ γε
155 καὶ δεῖ, τοὺς εὐλογεῖν μεμαθηκότας τοὺς καταρω-
Sylb. μένους, κἂν βλασφήμους κενῶς καταφέρωσιν ἡμῶν λόγους, ἀλλ' εἰς ἐπιστροφὴν τὴν ἐκείνων αὐτῶν, εἴ πως ἐπαισχυνθεῖεν οἱ πάνσοφοι δι' ἐλέγχου βαρβάρου σωφρονισθέντες, ὡς διδεῖν ὀψὲ γοῦν δυνηθῆναι,
10 ὁποῖα ἄρα εἴη τὰ μαθήματα, ἐφ' ἃ στέλλονται τὰς ἀποδημίας τὰς διαποντίους. ὧν μὲν γὰρ δὴ κλέπται καὶ δὴ καὶ ταῦτα ἀποδεικτέα περιαιρεθείσης αὐτοῖς τῆς φιλαυτίας, ἃ δὲ αὐτοὶ διζησάμενοι ἑαυτοὺς ἐξευρηκέναι φρονάττονται τούτων ὁ ἔλεγχος,
15 κατεπακολουθήσει δὲ καὶ περὶ τῆς ἐγκυκλίου καλουμένης παιδείας εἰς ὅσα ἄχρηστος, περί τε ἀστρολογικῆς καὶ μαθηματικῆς καὶ μαγικῆς γοητείας τε ἐπιδραμητέον. αὐχοῦσι γὰρ δὴ καὶ ἐπὶ ταῖσδε οἱ Πανέλληνες ὡς μεγίσταις ἐπιστήμαις. „ὃς δ' ἐλέγχει
20 μετὰ παρρησίας εἰρηνοποιεῖ" *).

§. 3. Ἔφαμεν δὲ πολλάκις ἤδη μήτε μεμελετηκέναι μήτε μὴν ἐπιτηδεύειν ἑλληνίζειν, ἱκανὸν γὰρ δὴ τοῦτο ἀποδημαγωγεῖν τῆς ἀληθείας τοὺς πολλούς. τὸ δὲ τῷ ὄντι φιλοσόφημα οὐκ εἰς τὴν γλῶσ-
25 σαν, ἀλλ' εἰς τὴν γνώμην ὀνήσει τοὺς ἐπαΐοντας.
δεῖ δ' οἶμαι τὸν ἀληθείας κηδόμενον οὐκ ἐξ ἐπι-P.
βουλῆς καὶ φροντίδος τὴν φράσιν συνθεῖναι, πει-430.
ρᾶσθαι δὲ ὀνομάζειν μόνον ὡς δύναται ὃ βούλεται, Pott.
τοὺς γὰρ τῶν λέξεων ἐχομένους καὶ περὶ ταύτας
30 ἀσχολουμένους διαδιδράσκει τὰ πράγματα. γεωργοῦ μὲν οὖν ἴδιον τὸ ἐν ἀκάνθαις φυόμενον ῥόδον ἀβλαβῶς λαβεῖν, καὶ τεχνίτου τὸν ἐν ὀστρείῳ σαρκὶ κατορωρυγμένον μαργαρίτην ἐξευρεῖν. φασὶ δὲ καὶ τὰς ὄρνιθας ἡδίστην ἔχειν τὴν σαρκὸς ποιότητα ὅτε οὐκ

*) Prouerb. 10, 11.

ἀφθόνου τροφῆς παρατεθείσης αὐταῖς αἳ δὲ σκαλεύουσαι τοῖς ποσὶν ἐκλέγονται μετὰ πόνου τὰς τροφάς. εἴ τις οὖν τοῦ ὁμοίου θεωρητικὸς ἐν πολλοῖς τοῖς πιθανοῖς τε καὶ Ἑλληνικοῖς τὸ ἀληθὲς διαλεληθέναι ποθεῖ καθάπερ ὑπὸ τοῖς μορμολυκείοις τὸ πρόσωπον τὸ ἀληθινὸν πολυπραγμονήσας, θηράσεται. φησὶ γὰρ ἐν τῷ ὁράματι τῷ Ἑρμᾷ ἡ δύναμις ἡ φανεῖσα· ὃ ἐὰν ἐνδέχηταί σοι ἀποκαλυφθῆναι, ἀποκαλυφθήσεται.

Cap. II.

§. 4. „Ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου", αἱ παροιμίαι λέγουσιν, „ἐν πάσαις δὲ ὁδοῖς γνώριζε αὐτὴν, ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου, ὁ δὲ ποῦς σοὺ οὐ μὴ προσκόπτῃ"*). βούλεται μὲν γὰρ διὰ τούτων δεῖξαι ἀκόλουθα δεῖν γενέσθαι τῷ λόγῳ τὰ ἔργα, ἤδη δὲ ἐμφαίνειν χρῆναι τὸ ἐξ ἁπάσης παιδείας χρήσιμον ἐκλεγομένους ἡμᾶς ἔχειν. αἱ δὴ ὁδοὶ σοφίας ποικίλαι ὀρθοτομεῖν ἐπὶ τὴν ὁδὸν τῆς ἀληθείας, ὁδὸς δὲ ἡ πίστις· „ὁ δὲ ποῦς σοὺ μὴ προσκοπτέτω", λέγει περὶ τινῶν ἐναντιοῦσθαι δοκούντων τῇ μιᾷ καὶ θείᾳ τῇ προνοητικῇ διοικήσει. ὅθεν ἐπάγει· „μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ", κατὰ τοὺς ἀθέους λογισμοὺς τοὺς ἀντιστασιώδεις τῇ οἰκονομίᾳ τοῦ θεοῦ, „φοβοῦ δὲ τὸν" μόνον δυνατὸν „θεὸν", ᾧ ἕπεται μηδὲν ἀντικεῖσθαι τῷ θεῷ. ἄλλως τε καὶ ἡ ἐπαγωγὴ διδάσκει σαφῶς, ὅτι „ὁ θεῖος φόβος ἔκκλισίς ἐστι κακοῦ." φησὶ γάρ· „καὶ ἔκκλινον ἀπὸ παντὸς κακοῦ"· αὕτη παιδεία σοφίας· „ὃν γὰρ ἀγαπᾷ κύριος παιδεύει", ἀλγεῖν μὲν ποιῶν εἰς σύνεσιν, ἀποκαθιστὰς δὲ εἰς εἰρήνην καὶ ἀφθαρσίαν.

§. 5. Ἡ μὲν οὖν βάρβαρος φιλοσοφία ἣν μεθέπομεν ἡμεῖς τελεία τῷ ὄντι καὶ ἀληθής. φησὶ

*) Proverb. 3, 5—7. 12. 13.

γοῦν ἐν τῇ σοφίᾳ· „αὐτὸς γάρ μοι δέδωκεν τῶν ὄντων γνῶσιν ἀψευδῆ εἰδέναι σύστασιν κόσμου" *) καὶ τὰ ἑξῆς ἕως „καὶ δυνάμεις ῥιζῶν." ἐν τούτοις ἅπασι τὴν φυσικὴν ἐμπεριείληφε θεωρίαν τὴν κατὰ τὸν αἰσθητὸν κόσμον ἁπάντων τῶν γεγονότων. ἑξῆς δὲ καὶ περὶ τῶν νοητῶν αἰνίττεται δι' ὧν ἐπάγει· „ὅσα τέ ἐστι κρυπτὰ καὶ ἐμφανῆ ἔγνων, ἡ γὰρ πάντων τεχνῖτις ἐδίδαξέ με σοφία." ἔχεις ἐν βραχεῖ τὸ P. ἐπάγγελμα τῆς καθ' ἡμᾶς φιλοσοφίας. ἀνάγει δὲ 431. ἡ τούτων μάθησις μετὰ ὀρθῆς πολιτείας ἀσκηθεῖσα Pott. διὰ τῆς πάντων τεχνίτιδος σοφίας ἐπὶ τὸν ἡγεμόνα τοῦ παντὸς δυσάλωτόν τι χρῆμα καὶ δυσθήρατον ἐξαναχωροῦν ἀεὶ καὶ πόρρω ἀφιστάμενον τοῦ διώκοντος. ὁ δὲ αὐτὸς μακρὰν ὢν ἐγγυτάτω βέβηκεν θαῦμα ἄρρητον· „θεὸς ἐγγίζων ἐγὼ" **), φησὶ κύριος· πόρρω μὲν κατ' οὐσίαν· πῶς γὰρ ἂν συνεγγίσαι ποτὲ τὸ γεννητὸν ἀγεννήτῳ; ἐγγυτάτω δὲ δυνάμει, ἣ τὰ πάντα ἐγκεκόλπισται. „εἰ ποιήσει τις κρύφα" φησί „τι καὶ οὐκ ἐπόψομαι αὐτόν;" καὶ δὴ πάρεστιν ἀεὶ τῇ τε ἐποπτικῇ τῇ τε εὐεργετικῇ τῇ τε παιδευτικῇ ἁπτομένη ἡμῶν δυνάμει δύναμις τοῦ θεοῦ.

§. 6. Ὅθεν ὁ Μωϋσῆς οὔποτε ἀνθρωπίνῃ σοφίᾳ γνωσθήσεσθαι τὸν θεὸν πεπεισμένος, „ἐμφάνισόν μοι σεαυτὸν" ***), φησὶ καὶ εἰς τὸν γνόφον οὗ ἦν ἡ φωνὴ τοῦ θεοῦ εἰσελθεῖν βιάζεται, τουτέστιν εἰς τὰς ἀδύτους καὶ ἀειδεὶς περὶ τοῦ ὄντος ἐννοίας, οὐ γὰρ ἐν γνόφῳ ἢ τόπῳ ὁ θεὸς, ἀλλ' ὑπεράνω καὶ τόπου καὶ χρόνου καὶ τῆς τῶν γεγονότων ἰδιότητος. διὸ οὐδ' ἐν μέρει καταγίνεταί ποτε οὔτε περιέχων οὔτε περιεχόμενος ἢ κατὰ ὁρισμόν τινα ἢ κατὰ ἀποτομήν. „ποῖον γὰρ οἶκον οἰκοδομήσετέ μοι; λέγει κύριος" †), ἀλλ' οὐδὲ ἑαυτῷ ᾠκοδόμησεν

*) Sapient. 7, 17. 20—22. **) Ierem. 23, 23 sq. ***) Exod. 33, 13. †) Iesai. 66, 1.

ἀχώρητος ὤν, κἂν „ὁ οὐρανὸς θρόνος" αὐτοῦ λέγηται οὐδ' οὕτω περιέχεται, ἐπαναπαύεται δὲ τερπόμενος τῇ δημιουργίᾳ. δῆλον οὖν ἡμῖν ἐστὶ κεκρύφθαι τὴν ἀλήθειαν, εἰ καὶ ἐξ ἑνὸς παραδείγματος ἤδη δέδεικται, μικρὸν δ' ὕστερον καὶ διὰ πλειόνων παραστήσομεν.

§. 7. Πῶς δ' οὐχὶ ἀποδοχῆς ἄξιοι οἵ τε μαθεῖν P. 432.
ἐθέλοντες οἵ τε δυνάμενοι κατὰ τὸν ΣολομῶνταPou.
„γνῶναι σοφίαν καὶ παιδείαν νοῆσαί τε λόγους
P. φρονήσεως δέξασθαί τε στροφὰς λόγων νοῆσαί τε
156 δικαιοσύνην ἀληθῆ" *)· ὡς αὐσης καὶ ἑτέρας τῆς
Sylb. μὴ κατὰ τὴν ἀλήθειαν διδασκομένης πρὸς τῶν
νόμων τῶν Ἑλληνικῶν καὶ τῶν ἄλλων τῶν φιλοσόφων, „καὶ κρίματα", φησὶν, „εὐθῦναι", οὐ τὰ
15 δικαστικὰ, ἀλλὰ τὸ κριτήριον τὸ ἐν ἡμῖν ὑγιὲς καὶ ἁπλανὲς ἔχειν δεῖν μηνύει, „ἵνα δῷ ἀκάκοις πανουργίαν, παιδὶ δὲ νέῳ αἴσθησίν τε καὶ εὔνοιαν. τῶνδε γὰρ ἀκούσας σοφὸς" ὁ ὑπακούειν ταῖς ἐντολαῖς πεπεισμένος, „σοφώτερος ἔσται" κατὰ τὴν γνῶσιν, „ὁ
20 δὲ νοήμων κυβέρνησιν κτήσεται, νοήσει τε παραβολὴν καὶ σκοτεινὸν λόγον ῥήσεις τε σοφῶν καὶ αἰνίγματα"· οὐ γὰρ κιβδήλους οἱ ἔπιπνοι ἐκ Θεοῦ λόγους προφέρουσιν οὐδ' οἱ παρὰ τούτων ἐμπορευόμενοι, οὐδὲ μὴν πήγας αἷς οἱ πολλοὶ τῶν σοφιστῶν
25 τοὺς νέους ἐμπλέκουσι πρὸς οὐδὲν ἀληθὲς σχολάζοντες, ἀλλ' οἱ μὲν τὸ ἅγιον „πνεῦμα" κεκτημένοι „ἐρευνῶσι τὰ βάθη τοῦ Θεοῦ" **), τουτέστι τῆς περὶ τὰς προφητείας ἐπικρύψεως ἐπήβολοι γενόμενοι, „τῶν δὲ ἁγίων μεταδιδόναι τοῖς κυσὶν" ***) ἀπα-
30 γορεύεται ἔστ' ἂν μένῃ θηρία, οὐ γάρ ποτε ἐγχειρήναι προσήκει φθαρεροῖς καὶ τεταραγμένοις ἀπίστοις τε ἔτι ἥθεσιν, εἰς ὕλακὴν ζητήσεων ἀναιδέσι τοῦ θείου καὶ καθαροῦ νάματος τοῦ ζῶντος ὕδατος.

---

*) Proverb. 1, 2—6. **) 1 Corinth. 2, 10. ***) Matth. 7, 6.

§. 8. „*Μὴ δὴ ὑπερεκχείσθω σοὶ ὕδατα ἔξω πηγῆς σοῦ, εἰς δὲ σὰς πλατείας διαπορευέσθω σὰ ὕδατα*" *). *οὐ γὰρ φρονέουσι τοιαῦτα πολλοὶ ὁκόσοι ἐγκυρσεύουσιν, οὐδὲ μαθόντες γινώσκουσιν, ἐωϋ-5τοῖσι δὲ δοκέουσι, κατὰ τὸν γενναῖον Ἡράκλειτον. ἆρ' οὐ δοκεῖ σοὶ καὶ οὗτος τοὺς μὴ πιστεύοντας ψέγειν; „ὁ δὲ δίκαιός μου ἐκ πίστεως ζήσεται" **), ὁ προφήτης εἴρηκεν. λέγει δὲ καὶ ἄλλος προφήτης· „ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε" ***). πῶς 10γὰρ τούτων ὑπερφυᾶ θεωρίαν χωρήσαι πότ' ἂν ψυχὴ διαμαχομένης ἔνδον τῆς περὶ τὴν μάθησιν ἀπιστίας; πίστις δὲ ἦν διαβάλλουσι κενὴν καὶ βάρβαρον νομίζοντες Ἕλληνες πρόληψις ἑκούσιός ἐστι, θεοσεβείας συγκατάθεσις, „ἐλπιζομένων ὑπόστασις, πρα-15γμάτων ἔλεγχος οὐ βλεπομένων", κατὰ τὸν θεῖον P.
ἀπόστολον, „ταύτῃ γὰρ" μάλιστα „ἐμαρτυρήθησαν 433.
οἱ πρεσβύτεροι, χωρὶς δὲ πίστεως ἀδύνατόν ἐστιν Pott.
εὐαρεστῆσαι" †) θεῷ.

§. 9. Ἄλλοι δ' ἀφανοῦς πράγματος ἐνωτικὴν 20συγκατάθεσιν ἀπέδωκαν εἶναι τὴν πίστιν, ὥσπερ ἀμέλει τὴν ἀπόδειξιν ἀγνοουμένου πράγματος φανερὰν συγκατάθεσιν. εἰ μὲν οὖν προαίρεσίς ἐστιν ὀρεκτική τινος οὖσα ἡ ὄρεξις νοῦν διανοητικὴν, ἐπεὶ δὲ πράξεως ἀρχὴ ἡ προαίρεσις πίστις εὑρίσκεται, ἀρχὴ γὰρ 25πράξεως θεμέλιος ἔμφρονος προαιρέσεως προαποδεικνύντος τινὸς αὐτῷ διὰ τῆς πίστεως τὴν ἀπόδειξιν. ἐθελοντὴν δὲ συνέπεσθαι τῷ συμφέροντι, συνέσεως ἀρχή. μεγάλην γοῦν εἰς γνῶσιν ὁδοπὴν ἀπερίσπαστος παρέχει προαίρεσις. αὐτίκα ἡ μελέτη τῆς 30πίστεως ἐπιστήμη γίνεται θεμελίῳ βεβαίῳ ἐπερηρεισμένη. τὴν γοῦν ἐπιστήμην ὁρίζονται φιλοσόφων παῖδες ἕξιν ἀμετάπτωτον ὑπὸ λόγου. ἔστιν οὖν ἄλλη τις τοιαύτη κατάστασις ἀληθὴς θεοσεβείας αὐτῆς,

*) Proverb. 5, 16. **) Habac. 2, 4. ***) Ies. 7, 9.
†) Hebr. 11, 1 sq. 6.

ἧς μόνος διδάσκαλος ὁ λόγος; οὐκ ἐγωγε οἶμαι. Θεόφραστος δὲ τὴν αἴσθησιν ἀρχὴν εἶναι πίστεώς φησιν, ἀπὸ γὰρ ταύτης αἱ ἀρχαὶ πρὸς τὸν λόγον τὸν ἐν ἡμῖν καὶ τὴν διάνοιαν ἐκτείνονται. ὁ πιστεύσας τοίνυν ταῖς γραφαῖς ταῖς θείαις τὴν κρίσιν βεβαίαν ἔχων ἀπόδειξιν ἀναντίρρητον τὴν τοῦ τὰς γραφὰς δεδωρημένου φωνὴν λαμβάνει θεοῦ· οὐκέτ' οὖν πίστις γίνεται δι' ἀποδείξεως ὠχυρωμένη. μακάριοι τοίνυν οἱ μὴ ἰδόντες καὶ πιστεύσαντες *). αἱ γοῦν τῶν Σειρήνων ἐπιτελέσεις δύναμιν ὑπὲρ ἄνθρωπον ἐνδεικνύμεναι ἐξέπληττον τοὺς παρατυγχάνοντας πρὸς τὴν τῶν λεγομένων παραδοχὴν σχεδὸν ἄκοντας εὐτρεπίζουσαι.

Cap. III.

§. 10. Ἐνταῦθα φυσικὴν ἡγοῦνται τὴν πίστιν οἱ ἀμφὶ τὸν Βασιλείδην, καθ' ὃ καὶ ἐπὶ τῆς ἐκλογῆς τάττουσιν αὐτὴν τὰ μαθήματα ἀναποδείκτως εὑρίσκουσαν καταλίψει νοητικῇ, οἱ δὲ ἀπὸ Οὐαλεντίνου τὴν μὲν πίστιν τυῖς ἁπλοῖς ἀπονείμαντες ἡμῖν, αὐτοῖς δὲ τὴν γνῶσιν τοῖς φύσει σωζομένοις κατὰ τὴν τοῦ διαφέροντος πλεονεξίαν σπέρματος ἐνυπάρχειν P. 434. Pott. βούλονται μακρῷ δὴ κεχωρισμένην πίστεως ἣ τὸ πνευματικὸν τοῦ ψυχικοῦ λέγοντες. ἔτι φασὶν οἱ ἀπὸ Βασιλείδου πίστιν ἅμα καὶ ἐκλογὴν οἰκείαν εἶναι· καθ' ἕκαστον διάστημα, κατ' ἐπακολούθημα δ' αὖ τῆς ἐκλογῆς τῆς ὑπερκοσμίου τὴν κοσμικὴν ἁπάσης φύσεως συνέπεσθαι πίστιν, κατάλληλόν τε εἶναι τῇ ἑκάστου ἐλπίδι καὶ τῆς πίστεως τὴν δωρεάν.

§. 11. Οὐκέτ' οὖν προαιρέσεως κατόρθωμα ἡ πίστις, εἰ φύσεως πλεονέκτημα, οὐδὲ ἀμοιβῆς δικαίας τεύξεται ἀναίτιος ὢν ὁ μὴ πιστεύσας, καὶ οὐκ

*) Ioann. 20, 29.

αἴτιος ὁ πιστεύσας, πᾶσα δὲ ἡ τῆς πίστεως καὶ ἀπιστίας ἰδιότης καὶ διαφορότης οὔτ' ἐπαίνῳ οὔτε μὴν ψόγῳ ὑποπέσοι ἂν ὀρθῶς λογιζομένοις προηγουμένην ἔχουσα τὴν ἐκ τοῦ τὰ πάντα δυνατοῦ φυσικὴν ἀνάγκην γενομένην· νευροσπαστουμένων δὲ ἡμῶν ἀψύχων δίκην φυσικαῖς ἐνεργείαις τό τε ἀκούσιον παρέλκει, ὁρμή τε ἡ προκαθηγουμένη τούτων. καὶ οὐκ ἔτι ἔγωγε ἐννοῶ ζῶον τοῦτο οὗ τὸ ὁρμητικὸν ἀνάγκη λέλογχεν ὑπὸ τῆς ἔξωθεν αἰτίας κινούμενον. ποῦ δὲ ἔτι ἡ τοῦ ποτὲ ἀπίστου μετάνοια δι' ἣν ἄφεσις ἁμαρτιῶν; ὥστε οὐδὲ βάπτισμα ἔτι εὔλογον οὐδὲ μακαρία σφραγὶς οὐδὲ ὁ υἱὸς οὐδὲ ὁ πατήρ, ἀλλὰ θεὸς οἶμαι ἡ τῶν φύσεων αὐτοῖς εὑρίσκεται δεσμὴ τὸν θεμέλιον τῆς σωτηρίας τὴν ἑκούσιον πίστιν οὐκ ἔχουσα.

Cap. IV.

§. 12. Ἡμεῖς δὲ οἱ τὴν αἵρεσιν καὶ φυγὴν δέ-
P. δύσθαι τοῖς ἀνθρώποις αὐτοκρατορικὴν παρὰ τοῦ
157 κυρίου διὰ τῶν γραφῶν παρειληφότες, ἀμεταπτώτῳ
Sylb. κριτηρίῳ τῇ πίστει ἐπαναπαυώμεθα τὸ πνεῦμα προθύμων ἐνδειξάμενοι, ὅτι εἱλόμεθα τὴν ζωὴν καὶ τῷ θεῷ διὰ τῆς ἐκείνου φωνῆς πεπιστεύκαμεν· καὶ ὁ τῷ λόγῳ πιστεύσας οἶδεν τὸ πρᾶγμα ἀληθές, ἀλήθεια γὰρ ὁ λόγος· ὁ δὲ ἀπιστήσας τῷ λέγοντι ἠπίστησε τῷ θεῷ. „πίστει νοοῦμεν κατηρτίσθαι τοὺς αἰῶνας ῥήματι θεοῦ εἰς τὸ μὴ ἐκ φαινομένων τὸ βλεπόμενον γεγονέναι", φησὶν ὁ ἀπόστολος· „πίστει πλείονα θυσίαν Ἄβελ παρὰ Κάϊν προσήνεγκε, δι' ἧς ἐμαρτυρήθη εἶναι δίκαιος μαρτυροῦντος ἐπὶ τοῖς δώροις αὐτῷ τοῦ θεοῦ· καὶ δι' αὐτῆς ἀποθανὼν ἔτι λαλεῖ" καὶ τὰ ἑξῆς ἕως „ἡ πρόσκαιρον ἔχειν ἁμαρ-P.
τίας ἀπόλαυσιν" *). τούτους μὲν οὖν καὶ πρὸ νόμου 435.
Pott.

*) Hebr. 11, 3 sq. 25.

ἡ πίστις δικαιώσασα κληρονόμους κατέστησε τῆς θείας ἐπαγγελίας.

§. 13. Τί οὖν ἔτι τὰ τῆς πίστεως ἐκ τῆς παρ' ἡμῖν ἱστορίας ἀναλεγόμενος παρατίθεμαι μαρτύρια; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεών, Βαρὰκ, Σαμψών, Ἰεφθαέ, Δαβίδ τε καὶ Σαμουὴλ καὶ τῶν προφητῶν" *) καὶ τὰ τούτοις ἑπόμενα. τεσσάρων δὲ ὄντων ἐν οἷς τὸ ἀληθὲς, αἰσθήσεως, νοῦ, ἐπιστήμης, ὑπολήψεως, φύσει μὲν πρῶτος ὁ νοῦς, ἡμῖν δὲ καὶ πρὸς ἡμᾶς ἡ αἴσθησις, ἐκ δὲ αἰσθήσεως καὶ τοῦ νοῦ ἡ τῆς ἐπιστήμης συνίσταται οὐσία, κοινὸν δὲ νοῦ τε καὶ αἰσθήσεως τὸ ἐναργές. ἀλλ' ἡ μὲν αἴσθησις ἐπιβάθρα τῆς ἐπιστήμης, ἡ πίστις δὲ διὰ τῶν αἰσθητῶν ὁδεύσασα ἀπολείπει τὴν ὑπόληψιν, πρὸς δὲ τὰ ἀψευδῆ σπεύδει καὶ εἰς τὴν ἀλήθειαν καταμένει. εἰ δέ τις λέγοι τὴν ἐπιστήμην ἀποδεικτικὴν εἶναι μετὰ λόγου, ἀκουσάτω ὅτι καὶ αἱ ἀρχαὶ ἀναπόδεικτοι· οὔτε γὰρ τέχνῃ οὔτε μὴν φρονήσει γνωσταί. ἡ μὲν γὰρ περὶ τὰ ἐνδεχόμενά ἐστιν ἄλλως ἔχειν, ἡ δὲ ποιητικὴ, μονονουχὶ δὲ καὶ θεωρητική.

§. 14. Πίστει οὖν ἐφικέσθαι μόνῃ οἴονται τῆς τῶν ὅλων ἀρχῆς. πᾶσα γὰρ ἐπιστήμη διδακτή ἐστι, τὸ δὲ διδακτὸν ἐκ προγινωσκομένου. οὐ προεγινώσκετο δὲ ἡ τῶν ὅλων ἀρχὴ τοῖς Ἕλλησιν· οὔτ' οὖν Θαλῆς ὕδωρ ἐπιστευμένῳ τὴν πρώτην αἰτίαν οὔτε τοῖς ἄλλοις τοῖς φυσικοῖς τοῖς ἑξῆς, ἐπεὶ καὶ Ἀναξαγόρας πρῶτος ἐπέστησε τὸν νοῦν τοῖς πράγμασιν· ἀλλ' οὐδὲ οὗτος ἐτήρησε τὴν ἀξίαν τὴν ποιητικὴν, δίνους τινὰς ἀνοήτους ἀναζωγραφῶν σὺν τῇ τοῦ νοῦ ἀπραξίᾳ τε καὶ ἀνοίᾳ. διὸ καί φησιν ὁ λόγος „μὴ εἴπητε ἑαυτοῖς διδάσκαλον ἐπὶ τῆς γῆς, ἡ μὲν γὰρ ἐπιστήμη ἕξις ἀποδεικτική" **)· ἡ πίστις δὲ χάρις ἐξ ἀναποδείκτων εἰς τὸ καθόλου ἀναβιβάζουσα τὸ

*) Hebr. 11, 32. **) Matth. 23, 9.

ἁπλοῦν, ὃ οὔτε σὺν ὕλῃ ἐστὶν οὔτε ὕλη οὔτε ὑπὸ ὕλης.

§. 15. Οἱ δὲ ἄπιστοι ὡς ἔοικεν ἐξ οὐρανοῦ καὶ τοῦ ἀοράτου πάντα ἤκουσιν εἰς γῆν ταῖς χερ- P.
σὶν ἀτεχνῶς πέτρας καὶ δρῦς περιλαμβάνοντες 436.
κατὰ τὸν Πλάτωνα· τῶν γὰρ τοιούτων ἐφαπτόμενοι Pott.
πάντων διισχυρίζονται τοῦτ' εἶναι μόνον, ὅπερ ἔχει προσβολὴν καὶ ἁφὴν τινα· ταυτὸν σῶμα καὶ οὐσίαν ὁριζόμενοι πρὸς αὐτοὺς ἀμφισβητοῦντες μάλα εὐλαβῶς ἄνωθεν ἐξ ἀοράτου ποθὲν ἀμύνονται νοητὰ ἄττα καὶ ἀσώματα εἴδη, βιαζόμενοι τὴν ἀληθινὴν οὐσίαν εἶναι. „Ἰδοὺ δή, ποιῶ καινὰ", ὁ λόγος φησὶν, „ἃ ὀφθαλμὸς οὐκ εἶδεν οὐδὲ οἷς ἤκουσεν οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη" *)· καινῷ ὀφθαλμῷ, καινῇ ἀκοῇ, καινῇ καρδίᾳ ὅσα ὁρατὰ καὶ ἀκουστὰ, καταληπτὰ διὰ τῆς πίστεως καὶ συνέσεως πνευματικῶς λεγόντων, ἀκουόντων, πραττόντων τῶν τοῦ κυρίου μαθητῶν· ἔστι γὰρ δόκιμον νόμισμα καὶ ἄλλο κίβδηλον, ὅπερ οὐδὲν ἧττον ἀπατᾷ τοὺς ἰδιώτας, οὐ μὴν τοὺς ἀργυραμοιβούς, οἳ ἴσασι μαθόντες τό τε παρακεχαραγμένον καὶ τὸ δόκιμον χωρίζειν καὶ διακρίνειν. οὕτως ὁ ἀργυραμοιβὸς τῷ ἰδιώτῃ τὸ νόμισμα τοῦτο μόνον ὅτι κίβδηλόν ἐστί φησι· τὸ δὲ πῶς μόνος ὁ τοῦ τραπεζίτου γνώριμος καὶ ὁ ἐπὶ τοῦτο ἀλειφόμενος μανθάνει. Ἀριστοτέλης δὲ τὸ ἑπόμενον τῇ ἐπιστήμῃ κρῖμα ὡς ἀληθὲς, τὸ δέ τι πίστιν εἶναί φησι. κυριώτερον οὖν τῆς ἐπιστήμης ἡ πίστις καὶ ἔστιν αὐτῆς κριτήριον.

§. 16. Ὑποκρίνεται δὲ τὴν πίστιν ἡ εἰκασία ἀσθενὴς οὖσα ὑπόληψις, καθάπερ ὁ κόλαξ τὸν φίλον καὶ ὁ λύκος τὸν κύνα. ἐπειδὴ δὲ ὁρῶν ὁ τέκτων ὅτι μαθών τινα τεχνίτης γίνεται καὶ ὁ κυβερνήτης παιδευθεὶς τὴν τέχνην κυβερνᾶν δυνήσεται, οὐκ ἀπαρκεῖν λογιζόμενος τὸ βούλεσθαι καλὸν γενέσθαι

*) Iesai. 43, 19.

κἀγαθὸν, ἀνάγκη δὲ ἄρα πειθόμενον μαθεῖν· τὸ δὲ πείθεσθαι τῷ λόγῳ, ὃν διδάσκαλον ἀνηγορεύσαμεν, αὐτῷ ἐκείνῳ πιστεῦσαί ἐστι κατ' οὐδὲν ἀντιβαίνοντα. πῶς γὰρ οἷόν τε ἀντεπίστασθαι τῷ θεῷ; ἐπιστὴ τοίνυν ἡ γνῶσις, γνωστὴ δὲ ἡ πίστις θεία τινὶ ἀκολουθίᾳ τε καὶ ἀνακολουθίᾳ γίνεται. ναὶ μὴν καὶ ὁ Ἐπίκουρος ὁ μάλιστα τῆς ἀληθείας προ- P. τιμήσας τὴν ἡδονὴν πρόληψιν εἶναι διανοίας τὴν 437. πίστιν ὑπολαμβάνει, πρόληψιν δὲ ἀποδίδωσιν ἐπι- Pon. βολὴν ἐπί τι ἐναργὲς καὶ ἐπὶ τὴν ἐναργῆ τοῦ πράγματος ἐπίνοιαν· μὴ δύνασθαι δὲ μηδένα μήτε ζητῆσαι μήτε ἀπορῆσαι μηδὲ μὴν δοξάσαι, ἀλλ' οὐδὲ ἐλέγξαι χωρὶς προλήψεως.

§. 17. Πῶς δ' ἂν μὴ ἔχων τις πρόληψιν οὗ ἐφίεται μάθοι περὶ οὗ ζητεῖ; ὁ μαθὼν δὲ ἤδη κατάληψιν ποιεῖ τὴν πρόληψιν. εἰ δὲ ὁ μανθάνων οὐκ ἄνευ προλήψεως μανθάνει τῆς τῶν λεγομένων παραδεκτικῆς, αὐτὸς μὲν ὥτα ἔχει τὰ ἀκουστικὰ τῆς ἀληθείας· μακάριος δὲ ὁ λέγων εἰς ὦτα ἀκουόντων ὥσπερ ἀμέλει μακάριος καὶ αὐτὸς ὁ τῆς ὑπακοῆς. τὸ δὲ καταξιοῦσαι συνεῖναί ἐστιν. εἰ τοίνυν ἡ πίστις οὐδὲν ἄλλο ἢ πρόληψίς ἐστι διανοίας περὶ τὰ P. λεγόμενα, καὶ τοῦτο ὑπακοή τε εἴρηται σύνεσίς τε 158 πειθὼ, οὐ μὴν μαθήσεταί τις ἄνευ πίστεως, ἐπεὶ Sylb. μηδὲ ἄνευ προλήψεως. ἀληθὲς δ' οὖν ὂν πάντως μᾶλλον ἀποδείκνυται τὸ ὑπὸ τοῦ προφήτου εἰρημένον· „ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε“ *). τοῦτο καὶ Ἡράκλειτος ὁ Ἐφέσιος τὸ λόγιον παραφράσας εἴρηκεν· ἐὰν μὴ ἔλπηται, ἀνέλπιστον οὐκ ἐξευρήσει, ἀνεξερεύνητον ἐὸν καὶ ἄπορον.

§. 18. Ἀλλὰ καὶ Πλάτων ὁ φιλόσοφος ἐν τοῖς νόμοις τὸν μέλλοντα μακάριόν τε καὶ εὐδαίμονα γενέσθαι τῆς ἀληθείας ἐξ ἀρχῆς εὐθὺς εἶναι μέτοχον χρῆναί φησιν, ἵν' ὡς πλεῖστον χρόνον ἀληθὴς ὢν

*) Iesai. 7, 9.

διαβιώῃ· πιστὸς γάρ. ὁ δὲ ἄπιστος, ᾧ φίλον ψεῦ- P.
δος ἑκούσιον· ὅτῳ δὲ ἀκούσιον ἄνους· ὧν οὐδ' 438.
ἕτερον ζηλωτόν· ἄφιλος γὰρ πᾶς ὅ γε ἄπι- Pott.
στος καὶ ἀμαθής. καὶ μή τι ταύτην σοφίαν
βασιλικὴν ἐν Εὐθυδήμῳ ἐπικεκρυμμένως λέγει. ἐν
γοῦν τῷ πολιτικῷ πρὸς λέξιν φησίν· ὥστε ἡ τοῦ
ἀληθινοῦ βασιλέως ἐπιστήμη βασιλικὴ καὶ ὁ ταύ-
την κεκτημένος ἐάν τε ἄρχων ἐάν τε ἰδιώτης ὢν
τυγχάνῃ πάντως κατά γε τὴν τέχνην αὐτὴν βασι-
λικὸς ὀρθῶς προσαγορευθήσεται. αὐτίκα οἱ εἰς τὸν
Χριστὸν πεπιστευκότες χρηστοί τε εἰσὶ καὶ λέγονται,
ὡς οἱ τῷ ὄντι βασιλικοὶ βασιλεῖ μεμελημένοι. ὡς
γὰρ οἱ σοφοὶ σοφίᾳ εἰσὶ σοφοὶ καὶ οἱ νόμιμοι νόμῳ
νόμιμοι, οὕτως οἱ Χριστῷ βασιλεῖ βασιλεῖς καὶ οἱ
Χριστοῦ Χριστιανοί. εἶθ' ὑποβὰς ἐπιφέρει σαφῶς·
τὸ μὲν ὀρθὸν ἂν εἴη νόμιμον καὶ νόμος φύσει ὢν
ὁ λόγος ὁ ὀρθὸς καὶ οὐκ ἐν γράμμασιν οὐδὲ ἑτέ-
ροις. ὅ τε Ἐλεάτης ξένος τὸν βασιλικὸν καὶ πολι-
τικὸν ἄνδρα νόμου ἔμψυχον ἀποφαίνεται.

§. 19. Τοιοῦτος δὲ ὁ πληρῶν μὲν τὸν νόμον,
„ποιῶν δὲ τὸ θέλημα τοῦ πατρός" *)· ἀναγεγραμμέ-
νος δὲ ἄντικρυς ἐπὶ ξύλου τινὸς ὑψηλοῦ παράδειγμα
θείας ἀρετῆς τοῖς διορᾶν δυναμένοις ἐκκείμενος.
ἴσασι δὲ Ἕλληνες τὰς τῶν ἐν Λακεδαίμονι ἐφόρων
σκυτάλας νόμῳ ἐπὶ ξύλων ἀναγεγραμμένας· ὃ δὲ
ἐμὸς νόμος ὡς προείρηται βασιλικός τέ ἐστι καὶ
ἔμψυχος καὶ λόγος ὁ ὀρθός·

νόμος ὁ πάντων βασιλεὺς
θνατῶν τε καὶ ἀθανάτων,

ὡς ὁ Βοιώτιος ᾄδει Πίνδαρος. Σπεύσιππος γὰρ ἐν
τῷ πρὸς Κλεοφῶντα πρώτῳ τὰ ὅμοια τῷ Πλάτωνι
ἔοικε διὰ τούτου γράφειν· εἰ γὰρ ἡ βασιλεία σπου-
δαῖον ὅ τε σοφὸς μόνος βασιλεὺς καὶ ἄρχων ὁ νό-
μος λόγος ὢν ὀρθὸς σπουδαῖος· ἃ καὶ ἔστιν. τού-

*) Matth. 21, 31.

τοις ἀκόλουθα οἱ Στωϊκοὶ φιλόσοφοι δογματίζουσιν βασιλείαν, ἱερωσύνην, προφητείαν, νομοθετικὴν, πλοῦτον, κάλλος ἀληθινὸν, εὐγένειαν, ἐλευθερίαν μόνῳ προσάπτοντες τῷ σοφῷ, ὁ δὲ δυσεύρετος πάνυ σφόδρα καὶ πρὸς αὐτῶν ὁμολογεῖται.

Cap. V.

§. 20. Πάντα τοίνυν τὰ προειρημένα φαίνεται παρὰ Μωϋσέως τοῦ μεγάλου ἐπὶ τοὺς Ἕλληνας διαδεδόσθαι δόγματα. πάντα μὲν οὖν τοῦ σοφοῦ ὑπάρχειν διὰ τούτων διδάσκει· „καὶ διότι ἠλέησέν με ὁ θεὸς, ἔστι μοὶ πάντα" *). θεοφιλῆ δὲ αὐτὸν μηνύει λέγων· „θεὸς Ἀβραὰμ, θεὸς Ἰσαὰκ, θεὸς Ἰακώβ" **). ὁ μὲν γὰρ „φίλος" ἄντικρυς κεκλημένος εὑρίσκεται, ὁ δὲ „ὁρῶν τὸν θεὸν" ***) μετωνομασμένος δείκνυται· τόν τε Ἰσαὰκ ὡς καθωσιωμένον ἱερεῖον ἀλληγορήσας ἐξελέξατο ἑαυτῷ τύπον ἐσόμενον ἡμῖν οἰκονομίας σωτηρίου. παρά τε Ἕλλησιν ᾄδεται ὁ Μίνως ἐννέωρος βασιλεὺς ὀαριστὴς Διὸς, ἀκηκοότων αὐτῶν ὅπως ποτὲ μετὰ Μωϋσέως διελέγετο ὁ θεὸς, „ὡς εἴ τις λαλήσαι πρὸς τὸν ἑαυτοῦ φίλον" †).

P. 439. Pott.

§. 21. Ἦν δ' οὖν ὁ μὲν Μωϋσῆς σοφὸς, βασιλεὺς, νομοθέτης, ὁ σωτὴρ δὲ ἡμῶν ὑπερβάλλει πᾶσαν ἀνθρωπίνην φύσιν· καλὸς μὲν ὡς ἀγαπᾶσθαι μόνος πρὸς ἡμῶν τὸ καλὸν τὸ ἀληθινὸν ἐπιποθούντων, „ἦν γὰρ τὸ φῶς τὸ ἀληθινόν" ††)· βασιλεὺς δὲ καὶ ὑπὸ παίδων ἀπείρων ἔτι καὶ ὑπὸ Ἰουδαίων ἀπιστούντων καὶ ἀγνοούντων ἀναγορευόμενος καὶ πρὸς αὐτῶν προφητῶν ἀνακηρυττόμενος δείκνυται· πλούσιος δὲ εἰς τοσοῦτον, ὡς πᾶσαν τὴν γῆν καὶ τὸ ὑπὲρ γῆς καὶ ὑπ' αὐτὴν χρυσίον ὑπερη-

*) Genes. 33, 11. **) Exod. 3, 16. ***) Iacob. 2, 23. †) Exod. 33, 11. ††) Ioann. 1, 9.

φάνησεν σὺν καὶ δόξῃ πάσῃ διδόμενα αὐτῷ πρὸς τοῦ ἀντικειμένου. τί δεῖ λέγειν, ὡς μόνος ὁ ἀρχιερεὺς ὁ μόνος ἐπιστήμων τῆς τοῦ θεοῦ θεραπείας; „βασιλεὺς εἰρήνης Μελχισεδὲκ" *), ὁ πάντων ἱκανώτατος ἀφηγεῖσθαι τοῦ τῶν ἀνθρώπων γένους. νομοθέτης δὲ ὡς ἂν διδοὺς τὸν νόμον ἐν τῷ στόματι τῶν προφητῶν τά τε πρακτέα καὶ μὴ σαφέστατα ἐντελλόμενός τε καὶ διδάσκων.

§. 22. Τίς δ' ἂν τούτου εὐγενέστερος, οὗ μόνος πατὴρ ὁ θεός; φέρε δὴ καὶ Πλάτωνα τοῖς αὐτοῖς ἐπιβάλλοντα παραστησώμεθα δόγμασιν· πλούσιον μὲν τὸν σοφὸν εἴρηκεν ἐν τῷ Φαίδρῳ· ὦ φίλε Πὰν, λέγων, καὶ ὅσοι ἄλλοι τῇδε θεοί, δοίητέ μοι καλῷ γενέσθαι τἄνδοθεν, ἔξωθεν δὲ ὅσα ἔχω τοῖς ἐντὸς εἶναί μοι φίλα, πλούσιον δὲ νομίζοιμι τὸν σοφόν. καταμεμφόμενος δὲ ὁ Ἀθηναῖος ξένος τῶν οἰομένων πλουσίους εἶναι τοὺς πολλὰ κεκτημένους χρήματα ὧδε λέγει· πλουσίους δ' αὖ σφόδρα εἶναι κἀγαθοὺς ἀδύνατον, οὗς γε δὴ πλουσίους οἱ πολλοὶ καταλέγουσι· λέγουσι δὲ τοὺς κεκτημένους ἐν ὀλίγοις τῶν ἀνθρώπων πλείστου νομίσματος ἄξια κτή- P.
ματα, ἃ καὶ κακός τις κέκτηται. τοῦ πιστοῦ ὅλος 440.
ὁ κόσμος τῶν χρημάτων, ὁ Σολομὼν λέγει, τοῦ δὲ Pott.
ἀπίστου οὐδὲ ὀβολός. πιστέον οὖν πολλῷ μᾶλλον τῇ γραφῇ λεγούσῃ „θᾶττον κάμηλον διὰ τρυπήματος βελόνης διελεύσεσθαι ἢ πλούσιον" **) φιλοσοφεῖν· μακαρίζει δ' ἔμπαλιν τοὺς πένητας, ὡς συνῆκεν Πλάτων λέγων, πενίαν δὲ ἡγητέον, οὐ τὸ τὴν P.
οὐσίαν ἐλάττω ποιεῖν, ἀλλὰ τὸ τὴν ἀπληστίαν πλείω· 59
οὐ γάρ ποτε ἡ ὀλιγοχρηματία ἀλλ' ἡ ἀπληστία, yb.
ἧς φροῦδος ἂ ἀγαθὸς ὢν καὶ πλούσιός γ' ἂν εἴη. ἔν τε τῷ Ἀλκιβιάδῃ δουλοπρεπὲς μὲν τὴν κακίαν προσαγορεύει, ἐλευθεροπρεπὲς δὲ τὴν ἀρετήν. „ἄρατε", φησὶν, „ἀφ' ὑμῶν τὸν βαρὺν ζυγὸν καὶ λάβετε τὸν

*) Hebr. 7, 2. **) Matth. 18, 24.

πρᾶον", ἡ γραφή φησι, καθάπερ καὶ οἱ ποιηταὶ „δούλειον" καλοῦσι „ζυγόν." καὶ τὸ „ἐπράθητε ταῖς ἁμαρτίαις ὑμῶν" „τοῖς προειρημένοις συνάδει. „πᾶς μὲν οὖν ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλός ἐστιν, ὁ δὲ δοῦλος οὐ μένει ἐν τῇ οἰκίᾳ εἰς τὸν αἰῶνα, ἐὰν δὲ ὁ υἱὸς ὑμᾶς ἐλευθερώσῃ, ἐλεύθεροι ἔσεσθε καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς" *). καλὸν δ' αὖ εἶναι τὸν σοφὸν ὁ Ἀθηναῖος ξένος ὠδὶ λέγει ὡς εἴ τις διισχυρίζοιτο εἶναι τοὺς δικαίους, ἂν καὶ τυγχάνωσιν ὄντες αἰσχροὶ τὰ σώματα, κατά γε τὸ δικαιότατον ἦθος τινὶ τῇ ἂν καλοὺς εἶναι σχεδὸν οὐδεὶς ἂν λέγων οὕτω πλημμελῶς δόξειεν λέγειν· καὶ „τὸ εἶδος αὐτοῦ ἐκλεῖπον παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων ἦν" **) ἡ προφητεία προηγόρευσεν. Πλάτων δὲ βασιλέα τὸν σοφὸν εἴρηκεν ἐν τῷ πολιτικῷ, καὶ πρόκειται ἡ λέξις.

§. 23. Τούτων δὴ ἐπιδεδειγμένων ἀναδράμωμεν αὖθις ἐπὶ τὸν περὶ τῆς πίστεως λόγον. ναὶ μὴν μετὰ πάσης ἀποδείξεως ὁ Πλάτων ὅτι πίστεως χρεία πανταχοῦ ὧδέ πως παρίστησιν ἐξωμνῶν ἅμα τὴν εἰρήνην· πιστὸς μὲν γὰρ καὶ ὑγιὴς ἐν στάσεσιν οὐκ ἄν που γένοιτο ἄνευ ξυμπάσης ἀρετῆς, μαχητικοὶ δὲ καὶ ἐθελονταὶ ἀποθνήσκειν ἐν πολέμῳ τῶν μισοφόρων εἶναι πάμπολλοι, ὧν πλεῖστοι γίνονται θρασεῖς καὶ ἄδικοι ὑβρισταί τε καὶ ἄφρονες ἐκτὸς δή τινων μάλα ὀλίγων. εἰ δὴ ταῦτα ὀρθῶς λέγεται πᾶς νομοθέτης οὗ καὶ σμικρὸν ὄφελος παρὰ τὴν μεγίστην ἀρετὴν ἀποβλέπων μάλιστα σταθήσεται τοὺς νόμους. αὕτη δέ ἐστι πιστότης ἧς κατὰ πάντα καιρὸν χρήζομεν ἔν τε εἰρήνῃ καὶ παντὶ πολέμῳ κἂν τῷ ἄλλῳ σύμπαντι βίῳ, συλλαβοῦσα γὰρ ἔοικε τὰς ἄλλας περιέχειν, τὸ δὲ ἄριστον οὔθ' ὁ πόλεμος οὔτε ἡ στάσις, ἀπευκτὸν γὰρ τὸ δεηθῆναι

*) Matth. 11, 28—30. **) Ioann. 8, 32—36. ***) Iesai. 53, 3.

P. 441. Pott.

τούτων, εἰρήνη δὲ πρὸς ἀλλήλους ἅμα καὶ φιλοφροσύνη τὸ κράτιστον. ἐκ δὴ τούτων καταφαίνεται μεγίστη μὲν εὐχὴ τὸ εἰρήνην ἔχειν κατὰ Πλάτωνα, μεγίστη δὲ ἀρετῶν μήτηρ ἡ πίστις.

§. 24. Εἰκότως οὖν εἴρηται παρὰ τῷ Σολομῶντι „σοφία ἐν στόματι πιστῶν" *), ἐπεὶ καὶ Ξενοκράτης ἐν τῷ περὶ φρονήσεως τὴν σοφίαν ἐπιστήμην τῶν πρώτων αἰτίων καὶ τῆς νοητῆς οὐσίας εἶναί φησι, τὴν φρόνησιν ἡγούμενος διττήν, τὴν μὲν πρακτικὴν, τὴν δὲ θεωρητικὴν, ἣν δὴ σοφίαν ὑπάρχειν ἀνθρωπίνην. διόπερ ἡ μὲν σοφία φρόνησις, οὐ μὴν πᾶσα φρόνησις σοφία. δέδεικται δὲ τῆς τῶν ὅλων ἀρχῆς ἐπιστήμη πιστὴ, ἀλλ' οὐκ ἀπόδειξις εἶναι. καὶ γὰρ ἄτοπον τοὺς μὲν Πυθαγόρου τοῦ Σαμίου ζηλωτὰς τῶν ζητουμένων τὰς ἀποδείξεις παραιτουμένους τὸ αὐτὸς ἔφα πίστιν ἡγεῖσθαι καὶ ταύτῃ ἀρκεῖσθαι μόνῃ τῇ φωνῇ πρὸς τὴν βεβαίωσιν ὧν ἀκηκόασι, τοὺς δὲ τῆς ἀληθείας φιλοθεάμονας ἀπιστεῖν ἐπιχειροῦντας ἀξιοπίστῳ διδασκάλῳ τῷ μόνῳ σωτῆρι θεῷ βασάνους τῶν λεγομένων ἀπαιτεῖν παρ' αὐτοῦ, ὃ δὲ „ὃ ἔχων ὦτα ἀκούειν ἀκουέτω" **) λέγει. καὶ τίς οὗτος; Ἐπίχαρμος εἰπάτω·

νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει, τἄλλα κωφὰ καὶ τυφλά.

ἀπίστους εἶναί τινας ἐπιστύφων Ἡράκλειτος φησίν· ἀκοῦσαι οὐκ ἐπιστάμενοι οὐδ' εἰπεῖν, ὠφεληθεὶς δήπουθεν παρὰ Σολομῶντος, „ἐὰν ἀγαπήσῃς ἀκούειν ἐκδέξῃ καὶ ἐὰν κλίνῃς τὸ σὸν σοφὸς ἔσῃ" ***).

Cap. VI.

§. 25. „Κύριε, τίς ἐπίστευσεν τῇ ἀκοῇ ἡμῶν" †); Ἡσαΐας φησίν. „ἡ μὲν γὰρ πίστις ἐξ ἀκοῆς, ἡ δὲ

*) Eccles. 15, 10. **) Matth. 11, 15. ***) Eccles. 6, 35. †) Iesai. 53, 1.

P. 442. Pott.

ἀκοὴ διὰ ῥήματος Θεοῦ", φησὶν ὁ ἀπόστολος. „πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσουσιν, οὗ οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσουσι χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται· ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὰ ἀγαθά;" *) ὁρᾷς πῶς ἅπαγε τὴν πίστιν δι' ἀκοῆς καὶ τῆς τῶν ἀποστόλων κηρύξεως ἐπὶ τὸ ῥῆμα κυρίου καὶ τὸν υἱὸν τοῦ Θεοῦ; οὐδέπω συνίεμεν ἀπόδειξιν εἶναι τὸ ῥῆμα κυρίου. ὥσπερ οὖν τὸ σφαιρίζειν οὐκ ἐκ τοῦ κατὰ τέχνην πέμποντος τὴν σφαῖραν ἤρτηται μόνον, ἀλλὰ καὶ τοῦ εὐρύθμως ἀποδεχομένου προσδεῖ αὐτῷ, ἵνα δὴ κατὰ νόμους τοὺς σφαιρητικοὺς τὸ γυμνάσιον ἐκτελῆται, οὕτω καὶ τὴν διδασκαλίαν ἀξιόπιστον εἶναι συμβέβηκεν, ὅταν ἡ πίστις τῶν ἀκροωμένων τέχνη τις ὡς εἰπεῖν ὑπάρχουσα φυσικὴ πρὸς μάθησιν συλλαμβάνει.

§. 26. Συνεργεῖ οὖν καὶ ἡ γόνιμος ὑπάρχουσα πρὸς τὴν τῶν σπερμάτων καταβολήν, οὔτε γὰρ τῆς ἀρίστης παιδεύσεως ὄφελός τι ἄνευ τῆς τοῦ μανθάνοντος παραδοχῆς οὔτε μὴν προφητείας οὔτε τῆς τῶν ἀκουόντων εὐπειθείας μὴ παρούσης. καὶ γὰρ τὰ κάρφη τὰ ξηρὰ ἕτοιμα ὄντα καταδέχεσθαι τὴν δύναμιν τὴν καυστικὴν ῥᾷον ἐξάπτεται, καὶ ἡ λίθος ἡ θρυλουμένη ἕλκει τὸν σίδηρον διὰ συγγένειαν, ὥσπερ καὶ τὸ δάκρυον τὸ σούχιον ἐπισπᾶται τὰ κάρφη καὶ τὸ ἤλεκτρον τὰς ἀχυρμιὰς ἀνακινεῖ, πείθεται δὲ αὐτοῖς τὰ ἑλκόμενα ἀρρήτῳ ἑλκόμενα πνεύματι οὐχ ὡς αἴτια, ἀλλ' ὡς συναίτια. διπλοῦ τοίνυν ὄντος τοῦ τῆς κακίας εἴδους τοῦ μὲν μετὰ ἀπάτης καὶ τοῦ λανθάνειν, τοῦ δὲ μετὰ βίας ἄγοντος καὶ φέροντος, ὁ θεῖος λόγος κέκραγεν πάντας συλλήβδην καλῶν, εἰδὼς μὲν καὶ μάλιστα τοὺς μὴ πεισθησο-

*) Roman. 10, 17. 14 sq.

μέμους, ὅμως δ' οὖν ὅτι ἐφ' ἡμῖν τὸ πείθεσθαί τε καὶ μὴ ὡς μὴ ἔχειν ἄγνοιαν προφασίσασθαί τινας δικαίαν τὴν κλῆσιν πεποίηται, τὸ κατὰ δύναμιν δὲ ἑκάστου ἀπαιτεῖ. τοῖς μὲν γὰρ ὁμοῦ τῷ θέλειν καὶ τὸ δύνασθαι πάρεστιν, ἐκ συνασκήσεως ηὐξηκόσι τοῦτο καὶ κεκαθαρμένοις, οἱ δὲ εἰ καὶ μήπω δύνανται τὸ βούλεσθαι ἤδη ἔχουσιν. ἔργον δὲ τὸ μὲν βούλεσθαι ψυχῆς, τὸ πράττειν δὲ οὐκ ἄνευ σώματος. οὐδὲ μὴν τῷ τέλει παραμετρεῖται μόνῳ τὰ πράγματα, ἀλλὰ καὶ τῇ ἑκάστου κρίνεται προαιρέσει, εἰ ῥᾳδίως εἵλετο, εἰ ἐφ' οἷς ἥμαρτεν μετενόησεν, εἰ σύνεσιν ἔλαβεν ἐφ' οἷς ἔπταισεν καὶ μετέγνω ὅπερ ἐστὶ μετὰ ταῦτα ἔγνω· βραδεῖα γὰρ γνῶσις μετάνοια, γνῶσις δὲ ἡ πρώτη ἀναμαρτησία.

§. 27. Πίστεως οὖν καὶ ἡ μετάνοια κατόρθωμα, ἐὰν γὰρ μὴ πιστεύσῃ ἁμάρτημα εἶναι ᾧ προκατείχετο, οὐδὲ μεταθήσεται· κἂν μὴ πιστεύσῃ, κόλασιν μὲν ἐπηρτῆσθαι τῷ πλημμελοῦντι, σωτηρίαν δὲ τῷ κατὰ τὰς ἐντολὰς βιοῦντι, οὐδ' οὕτως μεταβολεῖται. ἤδη δὲ καὶ ἡ ἐλπὶς ἐκ πίστεως συνέστηκεν. ὁρίζονται γοῦν οἱ ἀπὸ Βασιλείδου τὴν πίστιν ψυχῆς συγκατάθεσιν πρός τι τῶν μὴ κινούντων αἴσθησιν διὰ τὸ μὴ παρεῖναι. ἐλπὶς δὲ προσδοκία κτήσεως ἀγαθοῦ. πιστὴν δὲ ἀνάγκη τὴν προσδοκίαν εἶναι, πιστὸς δὲ ὁ ἀπαραβάτως τηρητικὸς τῶν ἐγχειρισθέντων, ἐγχειρίζονται δὲ ἡμῖν οἱ περὶ Θεοῦ λόγοι καὶ οἱ θεῖοι λόγοι αἱ ἐντολαὶ σὺν τῇ καταπράξει τῶν παραγγελμάτων. οὗτός ἐστιν „ὁ δοῦλος ὁ πιστὸς“ *) ὁ πρὸς τοῦ κυρίου ἐπαινούμενος. ἐπὰν δὲ εἴπῃ, „πιστὸς ὁ Θεὸς“ **) ᾧ ἀποφαινομένῳ πιστεύειν ἄξιον μηνύει, ἀποφαίνεται δὲ ὁ λόγος αὐτοῦ καὶ αὐτὸς ἂν εἴη πιστὸς ὁ Θεός. πῶς οὖν εἰ τὸ πιστεύειν ὑπολαμβάνειν ἐστὶ, βέβαια τὰ παρ' αὐτῶν οἱ φιλόσοφοι νομίζουσιν; οὐ γάρ ἐστιν ὑπόληψις

*) Matth. 24, 35. 25, 21. **) 1 Corinth. 1, 9. 10. 13.

ἡ ἑκούσιος προαποδείξεως συγκατάθεσις, ἀλλὰ συγ- P. κατάθεσις ἰσχυρῷ τινί. 441

§. 28. Τίς δ' ἂν εἴη δυνατώτερος θεοῦ; ἡ δὲ ἀπιστία ὑπόληψις τοῦ ἀντικειμένου ὡσθενὴς ἀποφατική· καθάπερ ἡ δυσπιστία ἕξις δυσπαράδεκτος πίστεως. καὶ ἡ μὲν πίστις ὑπόληψις ἑκούσιος καὶ πρόληψις εὐγνώμονος προκαταλήψεως, προσδοκία δὲ δόξα μέλλοντος, ἡ δὲ τῶν ἄλλων προσδοκία δόξα ἀδήλου, πεποίθησις δὲ διάληψις βεβαία περί τινος. διὸ πιστεύομεν ᾧ ἂν πεποιθότες ὦμεν εἰς δόξαν θείαν καὶ σωτηρίαν, πεποίθαμεν δὲ τῷ μόνῳ θεῷ, ὃν γινώσκομεν ὅτι οὐ παραβήσεται τὰ καλῶς ἡμῖν ἐπηγγελμένα καὶ διὰ ταῦτα δεδημιουργημένα καὶ δεδωρημένα ὑπ' αὐτοῦ ἡμῖν εὐνοϊκῶς. εὔνοια δέ ἐστι βούλησις ἀγαθῶν ἑτέρῳ ἕνεκεν αὐτοῦ ἐκείνου. ὁ μὲν γάρ ἐστιν ἀνενδεής, εἰς ἡμᾶς δὲ ἡ εὐεργεσία καὶ ἡ παρὰ τοῦ κυρίου εὐμένεια καταλήγει εὔνοια θεία οὖσα καὶ εὔνοια πρὸς τὸ εὐποιεῖν οὖσα. εἰ δὲ τῷ Ἀβραὰμ πιστεύσαντι ἐλογίσθη εἰς δικαιοσύνην *), σπέρμα δὲ Ἀβραὰμ ἡμεῖς δι' ἀκοῆς καὶ ἡμῖν πιστευτέον. Ἰσραηλῖται γὰρ ἡμεῖς οἱ μὴ διὰ σημείων, δι' ἀκοῆς δὲ εὐπειθεῖς. διὰ τοῦτο εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον", φησίν, ἡ οὐκ ὠδινοῦσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. ἐβίωσας εἰς τὸ περίφραγμα τοῦ λαοῦ, ἐνευλογήθησαν τὰ τέκνα σοὺ εἰς τὰς σκηνὰς τῶν πατέρων" **). εἰ δὲ αἱ αὐταὶ μοναὶ ὑπὸ τῆς προφητείας ἡμῖν τε αὖ καὶ τοῖς πατριάρχαις καταγγέλλονται, εἰς ἀμφοῖν ταῖν διαθήκαιν δείκνυται ὁ θεός.

§. 29. Ἐπιφέρει γοῦν σαφέστερον ἐκληρονόμησας τὴν διαθήκην τοῦ Ἰσραήλ" ***), τῇ ἐξ ἐθνῶν κλήσει, λέγων, τῇ στείρᾳ ποτὲ τούτου τοῦ ἀνδρὸς,

*) Roman. 4, 9. **) Iesai. 54, 1. Galat. 4, 27. ***) Cf. Iesai. 54, 2. 10.

ὅς ἐστιν ὁ λόγος, τῇ ἐρήμῳ πρότερον τοῦ νυμφίου. „ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται“ *), τῆς κατὰ τὴν διαθήκην καὶ τὰς ἐντολὰς, ἐπειδὴ δύο αὗται ὀνόματι καὶ χρόνῳ καθ' ἡλικίαν καὶ προκοπὴν οἰκονομικῶς δεδομέναι δυνάμει μία οὖσαι, ἡ μὲν παλαιὰ, ἡ δὲ καινὴ, διὰ υἱοῦ παρ' ἑνὸς θεοῦ χορηγοῦνται. ᾗ καὶ ὁ ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ λέγει· „δικαιοσύνη γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν“ **) τὴν μίαν τὴν ἐκ προφητείας εἰς εὐαγγέλιον τετελειωμένην δι' ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου διδάσκων σωτηρίαν. „ταύτην“, ἔφη, „παρατίθεμαί σοι τὴν παραγγελίαν, τέκνον Τιμόθεε, κατὰ τὰς προαγούσας ἐπὶ σὲ προφητείας, ἵνα στρατεύσῃ ἐν αὐταῖς τὴν καλὴν στρατείαν ἔχων πίστιν καὶ ἀγαθὴν συνείδησιν, ἥν τινες ἀπωσάμενοι περὶ τὴν πίστιν ἐναυάγησαν“ ***), ὅτι τὴν θεόθεν ἠκουσαν συνείδησιν ἀπιστίᾳ κατεμίαναν. P. 445. Pott.

§. 30. Οὔκουν ἔτ' εἰκότως πρόχειρον τὴν πίστιν διαβλητέον ὡς εὐκολόν τε καὶ πάνδημον καὶ πρὸς ἔτι τῶν τυχόντων. εἰ γὰρ ἀνθρώπινον ἦν τὸ ἐπιτήδευμα ὡς Ἕλληνες ὑπέλαβον, κἂν ἀπέσβη, εἰ δὲ αὔξει, οὐκ ἔστιν ἔνθα οὐκ ἔστιν. φημὶ τοίνυν τὴν πίστιν εἴτε ὑπὸ ἀγάπης θεμελιωθῇ εἴτε καὶ ὑπὸ φόβου ᾗ φασὶν οἱ κατήγοροι θεῖόν τι εἶναι, μήτε ὑπὸ ἄλλης φιλίας κοσμικῆς διασπωμένην μήτε ὑπὸ φόβου παρόντος διαλυομένην. ἡ μὲν γὰρ ἀγάπη τῇ πρὸς τὴν πίστιν φιλίᾳ τοὺς πιστοὺς ποιεῖ, ἡ δὲ πίστις ἔδρασμα ἀγάπης ἀντεπάγουσα τὴν εὐποιΐαν, ὅτε καὶ τοῦ νόμου παιδαγωγὸς φόβος ἀφ' ὧν πιστεύεται καὶ φόβας εἶναι πιστεύεται. εἰ γὰρ ἐν τῷ ἐνεργεῖν τῷ εἶναι δείκνυται, ὁ δὲ μέλλων καὶ ἀπειλῶν, οὐχὶ δὲ ἐνεργῶν καὶ παριὼν πιστεύεται καὶ τὸ εἶναι πιστευόμενος οὐκ αὐτὸς τῆς πίστεως γεννη-

*) Roman. 1, 17. **) Ibidem. ***) 1 Timoth. 1, 18 sq.

τικὸς ὅ γε πρὸς αὐτῆς ἀξιόπιστος εἶναι δοκιμασθείς.

§. 31. Θεία τοίνυν ἡ τοσαύτη μεταβολὴ ἐξ ἀπι-
P. στίας πιστόν τι γενόμενον καὶ τῇ ἐλπίδι καὶ τῷ
161 φόβῳ πιστεῦσαι. καὶ δὴ ἡ πρώτη πρὸς σωτηρίαν
Sylb. νεῦσις ἡ πίστις ἡμῖν ἀναφαίνεται, μεθ' ἣν φόβος τε καὶ ἐλπὶς καὶ μετάνοια σύν τε ἐγκρατείᾳ καὶ ὑπομονῇ προκύπτουσαι ἄγουσιν ἡμᾶς ἐπί τε ἀγάπην ἐπί τε γνῶσιν. εἰκότως οὖν ὁ ἀπόστολος Βαρνάβας, ἀφ' οὗ, φησὶν, ἔλαβον μέρους ἐσπούδασα κατα-
μικρὸν ὑμῖν πέμψαι, ἵνα μετὰ τῆς πίστεως ὑμῶν τελείαν ἔχητε καὶ τὴν γνῶσιν. τῆς μὲν οὖν πίστεώς ἡμῶν εἰσιν οἱ συλλήπτορες φόβος καὶ ὑπομονή, τὰ δὲ συμμαχοῦντα ἡμῖν μακροθυμία καὶ ἐγκράτεια. τούτων οὖν, φησὶ, τὰ πρὸς τὸν κύριον μενόντων ἀγνῶς συνευφραίνονται αὐτοῖς σοφία, σύνεσις, ἐπιστήμη, γνῶσις. στοιχείων γοῦν τῆς γνώσεως τῶν προειρημένων ἀρετῶν στοιχειωδεστέραν εἶναι συμβέβηκε τὴν πίστιν οὕτως ἀναγκαίαν τῷ γνωστικῷ ὑπάρχουσαν, ὡς τῷ κατὰ τὸν κόσμον τόνδε βιοῦντι πρὸς τὸ ζῆν τὸ ἀναπνεῖν. ὡς δ' ἄνευ τῶν τεσσάρων στοιχείων οὐκ ἔστι ζῆν οὐδ' ἄνευ πίστεως γνῶσιν ἐπακολουθῆσαι. αὕτη τοίνυν κρηπὶς ἀληθείας.

Cap. VII.

P. §. 32. Οἱ δὲ τοῦ φόβου κατηγοροῦντες κατα-
161 τρέχουσι τοῦ νόμου. εἰ δὲ τοῦ νόμου δῆλόν που ἐστὶν ὡς καὶ τοῦ δεδωκότος τὸν νόμον θεοῦ. τρία γάρ Pra. ταῦτα ἐξ ἀνάγκης ὑφέστηκεν παρὰ τὸ ὑποκείμενον, ὁ διοικῶν, ἡ διοίκησις, τὸ διοικούμενον. εἰ γοῦν καθ' ὑπόθεσιν ἐξέλοιεν τὸν νόμον, ἀνάγκη δήπου ἕκαστον ὃς ἄγεται ὑπὸ ἐπιθυμίας ἡδυνῇ χαριζόμενον ἀμελεῖν μὲν τοῦ καλῶς ἔχοντος, ὑπερφρονεῖν δὲ τοῦ θείου, ἀσεβεῖν δὲ ἅμα καὶ ἀδικεῖν ἀδεῶς ἀποσκιρτήσαντα τῆς ἀληθείας. ναὶ, φασὶν, ἄλογος ἐκκλισις

ὁ φόβος ἐστὶ καὶ πάθος. τί σὺ λέγεις; καὶ πῶς ἄν σοι ἔτι σώζοιτο οὗτος ὁ ὅρος διὰ λόγου δοθείσης μοὶ τῆς ἐντολῆς, ἐντολὴ δὲ ἀπαγορεύει τὸν φόβον ἐπαρτῶσα διὰ παιδείαν τὸν οὕτως ἐπιδεχόμενον νουθετεῖσθαι. οὐ τοίνυν ἄλογος ὁ φόβος, λογικὸς μὲν οὖν· πῶς γὰρ οὔ; παραινῶν, „οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις, οὐ ψευδομαρτυρήσεις" *). ἀλλ' εἰ σοφίζονται τὰ ὀνόματα, εὐλάβειαν καλούντων οἱ φιλόσοφοι τὸν τοῦ νόμου φόβον εὔλογον οὖσαν ἔκκλισιν.

§. 33. Ὀνοματομάχους τούτους οὐκ ἄπο τρόπου ὁ Φασηλίτης ἐκάλει Κριτόλαος. ἀστεία μὲν οὖν ἤδη καὶ καλλίστη πέφηνε τοῖς ἐγκαλοῦσιν ἡμῖν ἡ ἐντολὴ ὀνόματος ἐναλλαγῇ νοηθεῖσα. ἡ οὖν εὐλάβεια λογικὴ δείκνυται τοῦ βλάπτοντος ἔκκλισις οὖσα. ἑξῆς ἡ μετάνοια τῶν προημαρτημένων φύεται· „ἀρχὴ γὰρ σοφίας φόβος κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν" **). τὴν σοφίαν λέγει ποίησιν ἥ ἐστι φόβος θεοῦ ὁδοποιῶν εἰς σοφίαν. εἰ δὲ ὁ νόμος φόβου ἐμποιητικὸς ἀρχὴ σοφίας γνῶσις νόμου, καὶ οὐκ ἔστιν ἄνευ νόμου σοφός. ἄσοφοι τοίνυν οἱ παραιτούμενοι τὸν νόμον, ᾧ ἕπεται ἀθέους αὐτοὺς λογίζεσθαι. παιδεία δὲ ἀρχὴ σοφία· „σοφίαν δὲ καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν" ***), λέγει ἡ γραφή. τίνα δὲ τὰ φοβερὰ ὁ νόμος κατηγγέλλει θεασώμεθα.

§. 34. Εἰ μὲν τὰ μεταξὺ ἀρετῆς καὶ κακίας οἷον πενίαν καὶ νόσον καὶ ἀδοξίαν καὶ δυσγένειαν καὶ ὅσα παραπλήσια, ταῦτα μὲν καὶ οἱ κατὰ πόλιν νόμοι προτείνοντες ἐπαινοῦνται, καὶ τοῖς ἐκ περιπάτου τρία γένη τῶν ἀγαθῶν εἰσηγουμένοις καὶ τὰ τούτων ἐναντία λογιζομένοις εἶναι κακὰ ἁρμόνιος ἥδε ἡ δόξα, ἡμῖν δὲ ὁ δοθεὶς νόμος τὰ τῷ ὄντι κακὰ P. 447. Pott.

*) Exod. 20, 13—16. **) Psalm. 111, 10. Proverb. 1, 7. ***) Proverb. l. c.

ἀποφεύγειν προστάττει μοιχείαν, ἀσέλγειαν, παιδεραστίαν, ἄγνοιαν, ἀδικίαν, νόσον ψυχῆς θάνατον, οὐ τὸν διαλύοντα ψυχὴν ἀπὸ σώματος, ἀλλὰ τὸν διαλύοντα ψυχὴν ἀπὸ ἀληθείας, δειναὶ γὰρ καὶ φοβεραὶ τῷ ὄντι κακίαι αὗται καὶ αἱ ἀπὸ τούτων ἐνέργειαι. „οὐ μὴν ἀδίκως ἐκτείνεσθαι δίκτυα πτερωτοῖς" λέγουσιν οἱ χρησμοὶ οἱ θεῖοι, „αὐτοὶ γὰρ αἱμάτων μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά" *). πῶς οὖν ἔτι οὐκ ἀγαθὸς ὁ νόμος πρὸς τινὼν αἱρέσεων λέγεται ἐπιβοωμένων τὸν ἀπόστολον λέγοντα „διὰ γὰρ νόμου γνῶσις ἁμαρτίας" **); πρὸς οὓς φαμεν, ὁ νόμος οὐκ ἐποίησεν, ἀλλ' ἔδειξεν τὴν ἁμαρτίαν· προστάξας γὰρ ἃ ποιητέον ἤλεγξε τὰ μὴ ποιητέα. ἀγαθοῦ δὲ τὸ μὲν σωτήριον ἐκδιδάξαι, τὸ δὲ δηλητήριον ἐπιδεῖξαι, καὶ τῷ μὲν χρῆσθαι συμβουλεῦσαι, τὸ δὲ ἀποφυγεῖν κελεῦσαι.

§. 35. Αὐτίκα ὁ ἀπόστολος ὃν οὐ συνιεῖσι γνῶσιν εἶπεν ἁμαρτίας διὰ νόμου πεφανερῶσθαι, οὐχὶ ὑπόστασιν εἰληφέναι. πῶς δ' οὐκ ἀγαθὸς ὁ παιδεύων νόμος „ὁ παιδαγωγὸς εἰς Χριστὸν" ***) δοθείς, ἵνα δὴ ἐπιστρέψωμεν διὰ φόβου παιδευτικῶς κατευθυνόμενοι πρὸς τὴν διὰ Χριστοῦ τελείωσιν; „οὐ βούλομαι", φησὶν, „τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τὴν μετάνοιαν αὐτοῦ" †). μετάνοιαν δὲ ἐντολὴ ποιεῖ κωλυτικὴν μὲν τῶν μὴ ποιητέων, ἐπαγγελτικὴν δὲ τῶν εὐεργεσιῶν. θάνατον οἶμαι τὴν ἄγνοιαν λέγει· καὶ „ὁ ἐγγὺς κυρίου πλήρης μαστίγων" ††)· ὁ συνεγγίζων δηλονότι τῇ γνώσει κινδύνων, φόβων, ἀνιῶν, θλίψεων, διὰ τὸν πόθον τῆς ἀληθείας ἀπολαύει, „υἱὸς γὰρ πεπαιδευμένος σοφὸς ἀπέβη καὶ διεσώθη ἀπὸ καιρίματος υἱὸς νοήμων, υἱὸς δὲ νοήμων δέξεται ἐντολάς" †††). καὶ Βαρνάβας ὁ ἀπό-

*) Proverb. 1, 17 sq. **) Roman. 3, 20. ***) Galat. 3, 24. †) Ezech. 23, 11. 18, 23. 32. ††) Judith. 8, 27. †††) Proverb. 20, 4 sq. 8.

στολας „οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες" *) προστάξας ἐπήγαγεν· „πνευματικοὶ γενώμεθα, ναὸς τέλειος τῷ θεῷ ἐφ' ὅσον ἐστὶν ἐφ' ἡμῖν μελετῶμεν τὸν φόβον τοῦ θεοῦ καὶ φυλάσσειν ἀγωνιζώμεθα τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἐν τοῖς δικαιώμασιν αὐτοῦ εὐφρανθῶμεν." ὅθεν „ἀρχὴ σοφίας φόβος θεοῦ" **) θείως λέλεκται. P. 448. Pott.

Cap. VIII.

§. 36. Ἐνταῦθα οἱ ἀμφὶ τὸν Βασιλείδην τοῦτο ἐξηγούμενοι τὸ ῥητὸν αὐτόν φασιν ἄρχοντα ἐπακούσαντα τὴν φάσιν τοῦ διακονουμένου πνεύματος ἐκπλαγῆναι τῷ τε ἀκούσματι καὶ τῷ θεάματι παρ' ἐλπίδας εὐηγγελισμένον, καὶ τὴν ἔκπληξιν αὐτοῦ φόβον κληθῆναι ἀρχὴν γενόμενον σοφίας φυλοκρινητικῆς τε καὶ διακριτικῆς καὶ τελειωτικῆς καὶ ἀποκαταστατικῆς· οὐ γὰρ μόνον τὸν κόσμον, ἀλλὰ καὶ τὴν ἐκλογὴν διακρίνας ὁ ἐπὶ πᾶσι προπέμπει. ἔοικε δὲ καὶ Οὐαλεντῖνος ἔν τινι ἐπιστολῇ τοιαῦτά τινα ἐν νῷ λαβὼν, αὐταῖς γράφει ταῖς λέξεσι· „καὶ ὡς περίφοβος ἐπ' ἐκείνου τοῦ πλάσματος ὑπῆρξε τοῖς ἀγγέλοις ὅτε μείζονα ἐφθέγξατο τῆς πλάσεως διὰ τὸν ἀοράτως ἐν αὐτῷ σπέρμα δεδωκότα τῆς ἄνωθεν οὐσίας καὶ παρρησιαζόμενον, οὕτω καὶ ἐν ταῖς γενεαῖς τῶν κοσμικῶν ἀνθρώπων φόβοι τὰ ἔργα τῶν ἀνθρώπων τοῖς ποιοῦσιν ἐγένετο, οἷον ἀνδριάντες καὶ εἰκόνες· καὶ πάνθ' ἃ χεῖρες ἀνύουσιν εἰς ὄνομα θεοῦ, εἰς γὰρ ὄνομα ἀνθρώπου πλασθεὶς Ἀδὰμ φόβον παρέσχεν προόντος ἀνθρώπου ὡς δὴ αὐτοῦ ἐν αὐτῷ καθεστῶτος, καὶ κατεπλάγησαν καὶ ταχὺ τὸ ἔργον ἠφάνισαν.'

§. 37. Μιᾶς δ' οὔσης ἀρχῆς ὡς δειχθήσεται ὕστερον τερετίσματα καὶ μινυρίσματα ἀναπλάσσον-

*) Iesai. 5, 21. **) Prouerb. 1, 7.

τες οἵδε οἱ ἄνδρες φανήσονται, ἐπειδὴ δὲ ἐκ νόμου καὶ προφητῶν προπωδεύεσθαι διὰ κυρίου τῷ θεῷ συμφέρειν ἔδοξεν „ἀρχὴ σοφίας φόβος" εἴρηται „κυρίου" *), παρὰ κυρίου διὰ Μωϋσέως δοθεὶς τοῖς ἀπειθοῦσι καὶ σκληροκαρδίοις. οὓς γὰρ οὐχ αἱρεῖ λόγος, τιθασσεύει τοῦτους φόβος· ὃ καὶ προϊδὼν ἄνωθεν ὁ παιδεύων λόγος ἑκατέρῳ τῶν τρόπων ἐκαθαίρων οἰκείως εἰς θεοσέβειαν ἥρμοσεν ὄργανον. ἔστι μὲν οὖν ἡ μὲν ἔκπληξις φόβος ἐκ φαντασίας ἀσυνήθους, ἢ ἐπ' ἀπροσδοκήτῳ φαντασίᾳ ἅτε καὶ ἀγγελίας, φόβος δὲ ὡς γεγονότι ἢ ὄντι, ἡ θαυμασιότης ὑπερβάλλουσα. οὐ συνορῶσι τοίνυν ἐμπαθῆ ποιήσαντες διὰ ἐκπλήξεως τὸν μέγιστον καὶ πρὸς αὐτῶν ἀνυμνούμενον θεὸν καὶ πρό γε τῆς ἐκπλήξεως ἐν ἀγνοίᾳ γενόμενον. εἰ δὴ ἄγνοια προκατῆρξε τῆς ἐκπλήξεως, εἰ δ' ἡ ἔκπληξις καὶ ὁ φόβος ἀρχὴ σοφίας φόβος τοῦ θεοῦ γεγένηται, κινδυνεύει τῆς τε σοφίας, τοῦ θεοῦ καὶ τῆς κοσμοποιίας ἁπάσης, ἀλλὰ καὶ τῆς ἀποκαταστάσεως αὐτῆς τῆς ἐκλογῆς ἄγνοια προκατάρχειν αἰτιώδης.

P. 449. Rom.

§. 38. Πότερον οὖν τῶν καλῶν ἢ φαύλων ἡ ἄγνοια; ἀλλ' εἰ μὲν τῶν καλῶν, τί παύεται ἐκπλήττει καὶ παρέλκει ὁ διάκονος αὐτοῖς καὶ τὰ κήρυγμα καὶ τὸ βάπτισμα; εἰ δὲ τῶν φαύλων, πῶς τῶν καλλίστων αἴτιον τὸ κακόν; εἰ μὴ γὰρ προϋπῆρχεν ἄγνοια, οὐκ ἂν ὁ διάκονος κατῆλθεν, οὐδ' ἂν ἔκπληξις εἶλε τὸν ἄρχοντα, ὡς αὐτοὶ λέγουσιν, οὐδ' ἂν ἀρχὴν σοφίας ἐκ τοῦ φόβου ἔλαβεν εἰς τὴν φυλοκρίνησιν τῆς τε ἐκλογῆς τῶν τε κοσμικῶν. εἰ δὲ ὁ φόβος τοῦ προόντος ἀνθρώπου ἐπιβούλους τοῦ σφετέρου πλάσματος πεποίηκε τοὺς ἀγγέλους, ὡς ἐνιδρυμένου τῷ δημιουργήματι ἀοράτου τοῦ σπέρματος τῆς ἄνωθεν οὐσίας, ἢ ὑπολήψει κενῇ παρεζήλωσαν ὅπερ ἀπίθανον ἀγγέλους δημιουργίας ἐ-

*) Psalm. 111, 10.

ἐπιστεύθησαν οἷον τέκνου τινὸς αὐθέντας γενέσθαι ἄγνοιαν πᾶσαν κατεγνωσμένους, ἢ προγνώσει ἐνεχόμενοι κεκίνηνται· ἀλλ' οὐκ ἂν ἐπεβούλευσαν δι' οὗ ἐπεχείρησαν, ᾧ προέγνωσαν, οὐδ' ἂν κατεπλάγησαν τὸ ἔργον τὸ αὐτῶν ἐκ προγνώσεως τὸ ἄνωθεν σπέρμα νενοηκότες, ἢ τὸ τελευταῖον γνώσει πεποιθότες ἐτόλμησαν ὃ καὶ αὐτὸ ἀδύνατον μαθόντες τὸ διαφέρον τὸ ἐν πληρώματι ἀνθρώπῳ ἐπεβουλεύειν, ἔτι καὶ τὸ κατ' εἰκόνα ἐν ᾧ καὶ τὸ ἀρχέτυπον καὶ ὃ σὺν τῇ γνώσει τῇ λοιπῇ ἄφθαρτον παρειλήφεσαν.

§. 39. *Τούτοις τε οὖν αὐτοῖς καὶ ἑτέροις τισὶ, μάλιστα δὲ τοῖς ἀπὸ Μαρκίωνος ἐκβοᾷ οὐκ ἐπαίουσιν ἡ γραφή· „ὁ δὲ ἐμοῦ ἀκούων ἀναπαύσεταί ἐπ' εἰρήνης πεποιθὼς καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ" *). τί τοίνυν τὸν νόμον βούλονται, κακὸν μὲν οὖν οὐ φήσουσι, δίκαιον δὲ διαστέλλοντες τὸ ἀγαθὸν τοῦ δικαίου. ὁ δὲ κύριος φοβεῖσθαι τὸ κακὸν προστάττων οὐ κακῶ τὸ κακὸν ἀπαλλάττει, τῷ δὲ ἐναντίῳ τὸ ἐναντίον καταλύει. ἀγαθῷ δὲ κακὸν ἐναντίον ὡς δίκαιον ἀδίκῳ. εἰ τοίνυν κακῶν ἀρχὴν ἀφοβίαν εἴρηκεν ἣν ὁ τοῦ κυρίου φόβος ἐργάζεται, ἀγαθὸν ὁ φόβος, καὶ ὁ ἐκ τοῦ νόμου φόβος οὐ μόνον δίκαιος, ἀλλὰ καὶ ἀγαθὸς κακίαν ἀνιερῶν, φόβῳ δὲ ἀφοβίαν εἰσάγων οὐ πάθει ἀπαθείαν, παιδείᾳ δὲ μετριοπάθειαν ἐμποιεῖ. ἐπὰν οὖν ἀκούσωμεν, „τίμα τὸν κύριον καὶ ἰσχύσεις, πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον **), τὸ φοβεῖσθαι ἁμαρτάνειν, ἕπεσθαι δὲ ταῖς ὑπὸ θεοῦ δοθείσαις ἐντολαῖς τιμὴν ἣν ἀπὸ τοῦ θεοῦ ἐκδεχόμεθα.*

§. 40. *Λέος δέ ἐστι φάβας θείου. ἀλλ' εἰ καὶ πάθος ὁ φόβος ὡς βούλονταί τινες ὅτι φόβος ἐσχὶ πάθος, οὐχ ὁ πᾶς φόβος πάθος· ἡ γοῦν δεισιδαιμονία πάθος, φόβος δαιμόνων οὖσα ἐκπαθῶν τε*

*) Proverb. 1, 33. **) Ibid. 7, 2.

καὶ ἐμπαθῶν. ἔμπαλιν οὖν ὁ τοῦ ἀπαθοῦς θεοῦ φόβος ἀπαθὴς, φοβεῖται γάρ τις οὐ τὸν θεὸν, ἀλλὰ τὸ ἀποπεσεῖν τοῦ θεοῦ. ὁ δὲ τοῦτο δεδιὼς τὸ τοῖς κακοῖς περιπεσεῖν φοβεῖται καὶ δέδιεν τὰ κακά. ὁ δεδιὼς δὲ τὸ πτῶμα ἄφθαρτον ἑαυτὸν καὶ ἀπαθῆ εἶναι βούλεται. „σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ, ὁ δὲ ἄφρων μίγνυται πεποιθὼς" ἡ γραφὴ λέγει· αὖθίς τε „ἐν φόβῳ κυρίου ἐλπὶς ἰσχύος" *) φησίν.

Cap. IX.

§. 41. Ἀνάγει γοῦν ὁ τοιοῦτος φόβος ἐπί τε τὴν μετάνοιαν ἐπί τε τὴν ἐλπίδα. ἐλπὶς δὲ προσδοκία ἀγαθῶν ἢ ἀπόντος ἀγαθοῦ εὔελπις. ἀμέλει καὶ ἡ ἐμπτωσία λαμβάνεται εἰς εὐέλπιδα ἣν ἐπὶ τὴν ἀγάπην χειραγωγεῖν μεμαθήκαμεν. ἀγάπη δὲ ὁμόνοια ἂν εἴη τῶν κατὰ τὸν λόγον καὶ τὸν βίον καὶ P. τὸν τρόπον ἢ συνελόντι φάναι κοινωνία βίου ἢ 163 ἐκτένειά φιλίας καὶ φιλοστοργίας μετὰ λόγου ὀρθοῦ Sylb. περὶ χρῆσιν ἑταίρων. ὁ δὲ ἑταῖρος ἕτερος ἐγώ. ᾗ καὶ ἀδελφοὺς τοὺς τῷ αὐτῷ λόγῳ ἀναγεννηθέντας προσαγορεύομεν. παράκειται δὲ τῇ ἀγάπῃ ἥ τε φιλοξενία φιλοτεχνία τις οὖσα περὶ χρῆσιν ξένων· ξένοι δὲ ὧν ξένα τὰ κοσμικὰ, κοσμικοὺς γὰρ τοὺς εἰς γῆν ἐλπίζοντας καὶ τὰς σαρκικὰς ἐπιθυμίας ἐξακούομεν· „μὴ συσχηματίζεσθε" φησὶν ὁ ἀπόστολος „τῷ αἰῶνι τούτῳ, ἀλλὰ μεταμορφοῦσθε τῇ ἀνακαινώσει τοῦ νοὸς εἰς τὸ δοκιμάζειν ὑμᾶς τί τὸ θέλημα τοῦ θεοῦ τὸ ἀγαθὸν καὶ εὐάρεστον καὶ τέλειον" **). ἀναστρέφει τοίνυν ἡ φιλοξενία περὶ τὸ ὠφέλιμον τοῖς P. ξένοις, ξένοι δὲ οἱ ἐπίξενοι, ἐπίξενοι δὲ οἱ φίλοι, 451. φίλοι δὲ οἱ ἀδελφοί· ‚φίλε κασίγνητε' ***) φησὶν Pat.

*) Prouerb. 14, 16. 26. **) Roman. 12, 2. ***) Iliad. ε. v. 359.

Ὅμηρος, ἥ τε φιλανθρωπία δι' ἣν καὶ ἡ φιλαστοργία φιλική χρῆσις ἀνθρώπων ὑπάρχουσα ἥ τε φιλοστοργία φιλοτεχνία τις οὖσα περὶ στέρξιν φίλων ἢ οἰκείων συμπαρομαρτοῦσιν ἀγάπη.

§. 42. Εἰ δὲ τῷ ὄντι ἄνθρωπος ὁ ἐν ἡμῖν ἐστὶν ὁ πνευματικὸς, φιλαδελφία ἡ φιλανθρωπία τοῖς τοῦ αὐτοῦ πνεύματος κεκοινωνηκόσιν, στέρξις δ' αὖ τήρησίς ἐστιν εὐνοίας ἢ ἀγαπήσεως, ἀγάπησις δὲ ἀπόδειξις παντελὴς, καὶ τὸ ἀγαπᾶσθαι ἀρέσκεσθαι τῷ ἠθεῖ ἀγόμενόν τε καὶ ἀπαγόμενον. ἄχονται δὲ εἰς ταυτότητα δι' ὁμόνοιαν ἐπιστήμην οὖσαν κοινῶν ἀγαθῶν. καὶ γὰρ ἡ ὁμογνωμοσύνη συμφωνία γνωμῶν. καὶ „ἡ ἀγάπη" φησὶν „ἀνυπόκριτος ἔστω ἡμῖν, αὐτοί τε ἀποστυγοῦντες τὸ πονηρὸν γινώμεθα κολλώμενοι τῷ ἀγαθῷ τῇ φιλαδελφίᾳ τε" *) καὶ τὰ ἑξῆς ἕως „εἰ δυνατὸν τὸ ἐξ ὑμῶν μετὰ πάντων ἀνθρώπων εἰρηνεύοντες." ἔπειτα „μὴ νικῶ" λέγει „ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακόν." Ἰουδαίοις τε ὁ αὐτὸς ἀπόστολος „μαρτυρεῖν" ὁμολογεῖ „ὅτι ζῆλον θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν, ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην καὶ τὴν ἰδίαν ζητοῦντες στῆσαι τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑπετάγησαν" **). οὐ γὰρ τὸ βούλημα τοῦ νόμου ἔγνωσάν τε καὶ ἐπλήρωσαν, ἀλλ' ὃ ὑπέλαβαν αὐτοὶ τοῦτο καὶ βούλεσθαι τὸν νόμον ᾠήθησαν, οὐδ' ὡς προφητεύοντι τῷ νόμῳ ἐπίστευσαν, λόγῳ δὲ ψιλῷ καὶ φόβῳ, ἀλλ' οὐ διαθέσει καὶ πίστει ἠκολούθησαν· „τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην" ὁ ὑπὸ νόμου προφητευθεὶς „παντὶ τῷ πιστεύοντι."

§. 43. Ὅθεν εἴρηται τούτοις παρὰ Μωϋσέως· „ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνει, ἐπ' ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς" ***) τῷ εἰς ὑπακοὴν δηλονότι εὐτρεπεῖ γενομένῳ. καὶ διὰ Ἡσαΐου „εὑρέ-

*) Roman. 12, 9 sq. 18. 21. **) Ibid. 10, 2—4. ***) Ibid. v. 19. Deuteron. 32, 21.

θην" λέγει „τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσι" *), πρὸ τῆς τοῦ κυρίου παρουσίας δηλαδὴ, μεθ' ἣν καὶ τῷ Ἰσραὴλ ἐκεῖνα τὰ προφητευθέντα οἰκείως λέγεται νῦν, „ἐξεπέτασα τὰς χεῖράς μου ὅλην τὴν ἡμέραν ἐπὶ λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα." ὁρᾷς τὴν αἰτίαν τῆς ἐξ ἐθνῶν κλήσεως σαφῶς πρὸς τοῦ προφήτου ἀπείθειαν τοῦ λαοῦ καὶ ἀντιλογίαν εἰρημένην; εἶθ' ἡ ἀγαθότης καὶ ἐπὶ τούτοις δείκνυται τοῦ θεοῦ· φησὶ γὰρ ὁ ἀπόστολος· „ἀλλὰ τῷ αὐτῶν παραπτώματι ἡ σωτηρία τοῖς ἔθνεσιν εἰς τὸ παραζηλῶσαι αὐτούς" **) καὶ μετανοῆσαι βουληθῆναι. ὁ ποιμὴν δὲ ἁπλῶς ἐπὶ τῶν κεκοιμημένων θεὶς τὴν λέξιν δικαίους οὐδέ τινας ἐν ἔθνεσι καὶ ἐν Ἰουδαίοις οὐ μόνον πρὸ τῆς τοῦ κυρίου παρουσίας, ἀλλὰ καὶ πρὸ νόμου κατὰ τὴν πρὸς θεὸν εὐαρέστησιν, ὡς Ἄβελ, ὡς Νῶε, ὡς εἴ τις ἕτερος δίκαιος.

§. 44. Φησὶ γοῦν τοὺς ἀποστόλους καὶ διδασκάλους τοὺς κηρύξαντας τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ καὶ κοιμηθέντας τῇ δυνάμει καὶ τῇ πίστει κηρῦξαι τοῖς προκεκοιμημένοις. εἶτα ἐπιφέρει· „καὶ αὐτοὶ ἔδωκαν αὐτοῖς τὴν σφραγῖδα τοῦ κηρύγματος. κατέβησαν οὖν μετ' αὐτῶν εἰς τὸ ὕδωρ καὶ πάλιν ἀνέβησαν. ἀλλ' οὗτοι ζῶντες κατέβησαν καὶ πάλιν ζῶντες ἀνέβησαν, ἐκεῖνοι δὲ οἱ προκεκοιμημένοι νεκροὶ κατέβησαν, ζῶντες δὲ ἀνέβησαν. διὰ τούτων οὖν ἐζωοποιήθησαν καὶ ἐπέγνωσαν τὸ ὄνομα τοῦ υἱοῦ τοῦ θεοῦ, διὰ τοῦτο καὶ συνανέβησαν μετ' αὐτῶν καὶ συνήρμοσαν εἰς τὴν οἰκοδομὴν τοῦ πύργου καὶ ἀλατόμητοι συνῳκοδομήθησαν, ἐν δικαιοσύνῃ κοιμήθησαν καὶ ἐν μεγάλῃ ἁγνείᾳ, μόνην δὲ τὴν σφραγῖδα ταύτην οὐκ ἔσχον." „ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα φύσει τὰ τοῦ νόμου ποιῶσιν, οὗτοι

*) Romans. 10, 20 sq. Iesai. 65, 1 sq. **) Roman. 11, 11.

νόμον μὴ ἔχοντες ἑαυτοῖς εἰσὶ νόμος" *) κατὰ τὸν ἀπόστολον.

§. 45. Ὡς μὲν οὖν ἀντακολουθοῦσιν ἀλλήλαις αἱ ἀρεταὶ τί χρὴ λέγειν, ἐπιδεδειγμένοι ἤδη ὡς πίστις μὲν ἐπὶ μετανοίᾳ ἐλπίζεται, εὐλάβεια δὲ ἐπὶ πίστει, καὶ ἡ ἐν τούτοις ἐπιμονή τε καὶ ἄσκησις ἅμα μαθήσει συμπεραιοῦται εἰς ἀγάπην, ἡ δὲ τῇ γνώσει τελειοῦται. ἐκεῖνο δὲ ἐξ ἀνάγκης παρασημειωτέον ὡς μόνον τὸ θεῖον σοφὸν εἶναι φύσει νοεῖσθαι χρή. διὸ καὶ ἡ σοφία δύναμις θεοῦ ἡ διδάξασα τὴν ἀλήθειαν· κἀνταῦθά που εἴληπται ἡ τελείωσις τῆς γνώσεως, φιλεῖ δὲ καὶ ἀγαπᾷ τὴν ἀλήθειαν ὁ φιλόσοφος ἐκ τοῦ θεράπων εἶναι γνήσιος δι' ἀγάπην ἤδη φίλος νομισθείς. ταύτης δὲ ἀρχὴ τὸ θαυμάσαι τὰ πράγματα ὡς Πλάτων ἐν Θεαιτήτῳ λέγει, καὶ Ματθίας ἐν ταῖς παραδόσεσι παραινῶν, ‚θαύμασον τὰ P. παρόντα', βαθμὸν τοῦτον πρῶτον τῆς ἐπέκεινα γνώ- 453. σεως ὑποτιθέμενος. ᾗ κἀν τῷ καθ' Ἑβραίους εὐαγγε- Pott. λίῳ ‚ὁ θαυμάσας βασιλεύσει' γέγραπται ‚καὶ ὁ βασιλεύσας ἀναπαήσεται.' ἀδύνατον οὖν τὸν ἀμαθῆ ἔστ' ἂν μένῃ ἀμαθὴς, φιλοσοφεῖν δὲ τόν γε μὴ ἔννοιαν σοφίας εἰληφότα φιλοσοφίας οὔσης ὀρέξεως τοῦ ὄντως P. ὄντος καὶ τῶν εἰς τοῦτο συντεινόντων μαθημάτων, 164 κἀν τῷ ποιεῖν καλῶς ἤ τισιν ἐξησκημένον, ἀλλὰ τὸ Sylb. ἐπίστασθαι ὡς χρηστέον καὶ ποιητέον καὶ συνεκπονητέον, καθὸ καὶ ὁμοιοῦταί τις θεῷ, θεῷ λέγω τῷ σωτῆρι, θεραπεύων τὸν τῶν ὅλων θεὸν διὰ τοῦ ἀρχιερέως λόγου δι' οὗ καθορᾶται τὰ κατ' ἀλήθειαν καλὰ καὶ δίκαια. εὐσέβειά ἐστι πρᾶξις ἑπομένη καὶ ἀκόλουθος θεῷ.

---

*) Roman. 2, 14.

Cap. X.

§. 46. *Τριῶν τοίνυν τούτων ἀντέχεται ὁ ἡμεδαπὸς φιλόσοφος, πρῶτον μὲν τῆς θεωρίας, δεύτερον δὲ τῆς τῶν ἐντολῶν ἐπιτελέσεως, τρίτον ἀνδρῶν ἀγαθῶν κατασκευῆς. ἃ δὴ συνελθόντα τὸν γνωστικὸν ἐπιτελεῖ. ὅ τι δ' ἂν ἐνδέῃ τούτων χωλεύει τὰ τῆς γνώσεως. ὅθεν θείως ἡ γραφή φησι· „καὶ εἶπεν κύριος πρὸς Μωϋσῆν λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν. κατὰ τὰ ἐπιτηδεύματα γῆς Αἰγύπτου ἐν ᾗ κατῳκήσατε ἐν αὐτῇ, οὐ ποιήσετε, καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναὰν εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε, καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε, τὰ κρίματά μου ποιήσετε καὶ τὰ προστάγματά μου φυλάξεσθε, πορεύεσθε ἐν αὐτοῖς, ἐγὼ κύριος ὁ θεὸς ὑμῶν· καὶ φυλάξεσθε πάντα τὰ προστάγματά μου καὶ ποιήσετε αὐτά. ὁ ποιήσας αὐτὰ ἄνθρωπος ζήσεται ἐν αὐτοῖς. ἐγὼ κύριος ὁ θεὸς ὑμῶν" *).*

§. 47. *Εἴτ' οὖν κόσμου καὶ ἀπάτης εἴτε παθῶν καὶ κακιῶν σύμβολον Αἴγυπτος καὶ ἡ Χανανῖτις γῆ ὧν μὲν ἀφεκτέον, ὁποῖα δὲ ἐπιτηδευτέον ὡς θεῖα καὶ οὐ κοσμικὰ ἐπιδείκνυσιν ἡμῖν τὸ λόγιον. ὅταν δὲ εἴπῃ „ὁ ποιήσας ἄνθρωπος ζήσεται ἐν αὐτοῖς", τήν τε Ἑβραίων αὐτῶν ἐπανόρθωσιν τήν τε τῶν πέλας ἡμῶν αὐτῶν συνάσκησίν τε καὶ προκοπὴν ζωὴν λέγει αὐτῶν τε καὶ ἡμῶν. „οἱ γὰρ νεκροὶ τοῖς παραπτώμασι συζωοποιοῦνται Χριστῷ" **) διὰ τῆς ἡμετέρας διαθήκης. πολλάκις δὲ ἐπαναλαμβάνουσα ἡ γραφὴ τὸ „ἐγὼ κύριος ὁ θεὸς ὑμῶν" δυσωπεῖ μὲν διατρεπτικώτατα ἕπεσθαι διδάσκουσα τῷ τὰς ἐντολὰς δεδωκότι θεῷ, ὑπομιμνήσκει δὲ ῥᾴδιον ζητεῖν τὸν θεὸν καὶ ὡς οἷόν τε γινώσκειν ἐπιχειρεῖν,*

P. 454. Pott.

*) Levit. 18; 1—5. **) Ephes. 2, 5.

ἥτις ἂν εἴη θεωρία μεγίστη, ἡ ἐποπτικὴ ἡ τῷ ὄντι ἐπιστήμη, ἡ ἀμετάπτωτος λόγῳ γινομένη, αὕτη ἂν εἴη μόνη ἡ τῆς σοφίας γνῶσις ἧς οὐδέποτε χωρίζεται ἡ δικαιοπραγία.

Cap. XI.

§. 48. Ἀλλ' ἡ μὲν τῶν οἰησισόφων εἴτε αἱρέσεις εἴεν βάρβαροι εἴτε οἱ παρ' Ἕλλησι φιλόσοφοι „γνῶσις ψυσιοῦ" *) κατὰ τὸν ἀπόστολον, πιστὴ δὲ ἡ γνῶσις ἥτις ἂν εἴη ἐπιστημονικὴ ἀπόδειξις τῶν κατὰ τὴν ἀληθῆ φιλοσοφίαν παραδιδομένων. φήσαιμεν δ' ἂν αὐτὴν λόγον εἶναι τοῖς ἀμφισβητουμένοις ἐκ τῶν ὁμολογουμένων ἐκπορίζοντα τὴν πίστιν. πίστεως δ' οὔσης διττῆς τῆς μὲν ἐπιστημονικῆς, τῆς δὲ δοξαστικῆς οὐθὲν κωλύει ἀπόδειξιν ὀνομάζειν διττὴν, τὴν μὲν ἐπιστημονικὴν, τὴν δὲ δοξαστικὴν, ἐπεὶ καὶ ἡ γνῶσις καὶ ἡ πρόγνωσις διττὴ λέγεται, ἡ μὲν ἀπηκριβωμένην ἔχουσα τὴν ἑαυτῆς φύσιν, ἡ δὲ ἐλλιπῆ. καὶ μή τι ἡ παρ' ἡμῖν ἀπόδειξις μόνη ἂν εἴη ἀληθὴς, ἅτε ἐκ θείων χορηγουμένη γραφῶν τῶν ἱερῶν γραμμάτων καὶ τῆς θεοδιδάκτου**) σοφίας κατὰ τὸν ἀπόστολον. μάθησις γοῦν καὶ τὸ πείθεσθαι παῖς ἐντολαῖς, ὅ ἐστι πιστεύειν τῷ Θεῷ. καὶ ἡ πίστις δύναμίς τις τοῦ Θεοῦ ἰσχὺς οὖσα τῆς ἀληθείας.

§. 49. Αὐτίκα φησὶν „ἐὰν ἔχητε πίστιν ὡς κόκκον σινάπεως, μεταστήσετε τὸ ὄρος" ***)· καὶ πάλιν „κατὰ τὴν πίστιν σοὶ γενηθήτω σοι" †)· καὶ ὁ μὲν θεραπείεται προσλαβὼν τῇ πίστει τὴν ἴασιν, ὁ δὲ νεκρὸς ἀνίσταται διὰ τὴν τοῦ πιστεύσαντος ὅτι ἀναστήσεται ἰσχύν. ἡ δὲ δοξαστικὴ ἀπόδειξις ἀνθρωπική τέ ἐστι καὶ πρὸς τῶν ῥητορικῶν γινομένη ἐπιχειρημάτων ἢ καὶ διαλεκτικῶν συλλογισμῶν. ἡ

*) 1 Corinth. 8, 1. **) Cf. 1 Thessal. 4, 9. ***) Matth. 19, 20. †) Ibid. 9, 29.

γὰρ ἀνωτάτω ἀπόδειξις ἦν ἠνεξάμεθα ἐπιστημονικὴν πίστιν ἐντίθηαι διὰ τῆς τῶν γραφῶν παραθέσεώς τε καὶ διηλέγξεως ταῖς τῶν μανθάνειν ὀρεγομένων ψυχαῖς, ἥτις ἂν εἴη γνῶσις. εἰ γὰρ τὰ παραλαμβανόμενα πρὸς τὸ ζητούμενον ἀληθῆ λαμβάνεται, ὡς ἂν θεία ὄντα καὶ προφητικά, δῆλόν που ὡς καὶ τὸ συμπέρασμα τὸ ἐπιφερόμενον αὐτοῖς ἀκολούθως ἀληθὲς ἐπεκυρώσεται· καὶ εἴη ἂν ὀρθῶς ἡμῖν ἀπόδειξις ἡ γνῶσις. P. 455. Pott.

§. 50. Ἡμέρα γοῦν τῆς οὐρανίου καὶ θείας τροφῆς τὸ μνημόσυνον ἐν στάμνῳ χρυσῇ καθιεροῦσθαι προσετάττετο, „τὸ γόμορ" φησὶ „τὸ δέκατον τῶν τριῶν μέτρων ἦν" *). ἐν ἡμῖν γὰρ αὐτοῖς τρία μέτρα, τρία κριτήρια μηνύεται, αἴσθησις μὲν αἰσθητῶν, λεγομένων δὲ ὀνομάτων καὶ ῥημάτων ὁ λόγος, νοητῶν δὲ νοῦς, ὁ τοίνυν γνωστικὸς ἀφέξεται μὲν τῶν κατὰ λόγον καὶ τῶν κατὰ διάνοιαν καὶ τῶν κατὰ αἴσθησιν καὶ ἐνέργειαν ἁμαρτημάτων, ἀκηκοὼς ἅπας „ὁ ἰδὼν πρὸς ἐπιθυμίαν ἐμοίχευσεν" **)· λαβών τε ἐν νῷ ὡς „μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται" ***), κἀκεῖνο ἐπιστάμενος ὅτι „οὐ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα διὰ τοῦ στόματος ἐκεῖνα κοινοῖ τὸν ἄνθρωπον, ἐκ γὰρ τῆς καρδίας ἐξέρχονται διαλογισμοί" †). τοῦτ' οἶμαι τὸ κατὰ θεὸν ἀληθινὸν καὶ δίκαιον μέτρον ᾧ μετρεῖται τὰ μετρούμενα ἡ τὸν ἄνθρωπον συνέχουσα δεκὰς, ἣν ἐπὶ κεφαλαίων τὰ προειρημένα τρία ἐδήλωσεν μέτρα. εἴη δ' ἂν σῶμά τε καὶ ψυχὴ αἵ τε πέντε αἰσθήσεις καὶ τὸ φωνητικὸν καὶ σπερματικὸν καὶ τὸ διανοητικὸν ἢ πνευματικὸν ἢ ὅπως καὶ βούλει καλεῖν.

*) Exod. 16, 36. **) Matth. 5, 28. ***) Ibid. v. 8. †) Ibid. 15, 11. 19.

§. 51. *Χρὴ δὲ ὡ ἕκος εἰπεῖν τῶν ἄλλων πάντων ὑπερκαθαίνοντος ἐπὶ τὸν νοῦν ἵστασθαι ὥσπερ ἀμέλει καὶ τῷ κόσμῳ τὰς ἐννέα μοίρας ὑπερπηδήσαντας, πρώτην μὲν τὴν διὰ τῶν τεσσάρων*
P. *στοιχείων ἐν μιᾷ χώρᾳ τιθεμένων διὰ τὴν ἕστη τρο-*
165 *πήν, ἔπειτα δὲ τὰς ἑπτὰ τὰς πλανωμένας, τήν τε*
Sylb. *ἀπλανῆ ἐννάτην ἐπὶ τὸν τέλειον ἀριθμὸν τὸν ὑπερ-*
άνω τῶν θεῶν, τὴν δὲ δεκάτην μοῖραν ἐπὶ τὴν γνῶσιν ἀφικνεῖσθαι τοῦ θεοῦ, συνελόντι φάναι μετὰ
10 *τὴν κτίσιν τὸν ποιητὴν ἐπιποθοῦντας. διὰ τοῦτο αἱ δεκάται τοῦ τε οἴφι τῶν τε ἱερείων τῷ θεῷ προσε-κομίζοντο, καὶ ἡ τοῦ πάσχα ἑορτὴ ἀπὸ δεκάτης ἤρ-*P.
*χετο πάντως πάθους καὶ πεντὸς αἰσθητοῦ διάβα-*456.
σις οὖσα. πέπηγεν οὖν τῇ πίστει ὁ γνωστικὸς, ὁPott.
15 *δὲ οἰησίσοφος ἐκ τῶν τῆς ἀληθείας οὐχ ἅπτεται ἀστάτους καὶ ἀνιδρύτους ὁρμαῖς κεχημένος. εἰκότως οὖν γέγραπται· „ἐξῆλθεν δὲ Κάϊν ἀπὸ προσώπου τοῦ θεοῦ καὶ ᾤκησεν ἐν γῇ Ναὶδ κατέναντι Ἐδέμ"* *)· *ἑρμηνεύεται δὲ ἡ μὲν Ναὶδ σάλος, ἡ δὲ Ἐδὲμ*
20 *τρυφὴ, πίστις δὲ καὶ γνῶσις καὶ εἰρήνη ἡ τρυφὴ, ἧς ὁ παρακούσας ἐκβάλλεται, ὁ δὲ οἰησίσοφος τὴν ἀρχὴν οὐδὲ ἐπαΐειν βούλεται τῶν θείων ἐντολῶν, ἀλλ' οἷον αὐτομαθὴς ἀφηνιάσας εἰς σάλον κυμαι-νόμενον ἐκὼν μεθίσταται, εἰς τὸ θνητά τε καὶ γε-*
25 *νητὰ καταβαίνων ἐκ τῆς τοῦ ἀγενήτου γνώσεως ἄλ-λοτε ἀλλοῖα δοξάζων· „οἷς δὲ μὴ ὑπάρχει κυβέρνη-σις πίπτουσιν ὥσπερ φύλλα"* **)· *ὁ λογισμὸς καὶ τὸ ἡγεμονικὸν ἄπτωτον μένον καὶ καθηγούμενον τῆς ψυχῆς κυβερνήτης αὐτῆς εἴρηται· ὄντως γὰρ*
30 *ἀτρέπτως πρὸς τὸ ἄτρεπτον ἡ προσαγωγή.*

§. 52. *Οὕτως „Ἀβραὰμ ἑστὼς ἦν ἀπέναντι κυ-ρίου καὶ ἐγγίσας εἶπεν"* ***)· *καὶ τῷ Μωϋσεῖ λέ-γεται „σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ"* †). *οἱ δὲ ἀμφὶ*

---

*) Genes. 4, 16. **) Proverb. 11, 14. ***) Genes. 18, 22 sq. †) Exod. 34, 2.

τὸν Σίμωνα τῷ ἑστῶτι ὃν σέβουσιν ἐξομοιοῦσθαι τρόπον βούλονται. ἡ πίστις οὖν ἥ τε γνῶσις τῆς ἀληθείας αἰεὶ κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχειν κατασκευάζουσι τὴν ἐλομένην αὐτὰς ψυχήν. συγγενὲς δὲ τῷ ψεύδει μετάβασις, ἐκτροπὴ καὶ ἀπόστασις, ὥσπερ τῷ γνωστικῷ ἠρεμία καὶ ἀνάπαυσις καὶ εἰρήνη. καθάπερ οὖν τὴν φιλοσοφίαν ὁ τῦφος καὶ ἡ οἴησις διαβέβληκεν, οὕτως καὶ τὴν γνῶσιν ἡ ψευδὴς γνῶσις ἥ τε ὁμωνύμως καλουμένη, περὶ ἧς ὁ ἀπόστολος γράφων „ὦ Τιμόθεε" φησὶν „τὴν παρακατα-θήκην φύλαξον ἐκτρεπόμενος τὰς βεβήλους κενοφωνίας καὶ ἀντιθέσεις τῆς ψευδωνύμου γνώσεως ἣν τινες ἐπαγγελλόμενοι περὶ τὴν πίστιν ἠστόχησαν" *). ὑπὸ ταύτης ἐλεγχόμενοι τῆς φωνῆς οἱ ἀπὸ τῶν αἱρέσεων τὰς πρὸς Τιμόθεον ἀθετοῦσιν ἐπιστολάς. φέρε οὖν εἰ ὁ κύριος ἀλήθεια καὶ σοφία καὶ δύναμις θεοῦ, ὥσπερ οὖν ἐστί, δειχθείη ὅτι τῷ ὄντι γνωστικὸς ὁ τοῦτον ἐγνωκὼς καὶ τὸν πατέρα τὸν αὐτοῦ δὲ αὐτοῦ, συναίσθεται γὰρ τοῦ λέγοντος· „χεὶρ δικαίων ἐπίσταται ὕψηλά" **).

P. 457. Pott.

Cap. XII.

§. 53. Τῆς δὲ πίστεως καθάπερ τοῦ χρόνου δικτῶν ὄντων εὕρομεν ἂν δικτὰς ἀρετὰς συνοικούσας ἄμφω. τοῦ γὰρ χρόνου τῷ μὲν παρῳχηκότι ἡ μνήμη, τῷ δὲ μέλλοντι ἐλπὶς ἐστι, πιστεύομεν δὲ τὰ παρῳχηκότα γεγονέναι καὶ τὰ μέλλοντα ἔσεσθαι, ἀγαπῶμέν τε οὕτως ἔχειν τὰ παρῳχηκότα πίστει πεπεισμένοι, τὰ μέλλοντα ἐλπίδι ἀπεκδεχόμενοι. διὰ πάντων γὰρ ἡ ἀγάπη τῷ γνωστικῷ πεφοίτηκεν ἕνα θεὸν εἰδότι, „καὶ ἰδοὺ πάντα ὅσα δεδημιούργηκε λίαν καλὰ" ***), οἰδέν τε καὶ θαυμάζει, θεοσέβεια

*) 1 Timoth. 6, 20 sq. **) Proverb. 10, 24. 12, 1. ***) Genes. 1, 31.

δὲ προστίθησι μῆκος βίου, καὶ φόβος κυρίου προστίθησιν ἡμέρας. ὡς οὖν αἱ ἡμέραι μόριον βίου τοῦ κατ' ἐπανάβασιν, οὕτω καὶ ὁ φόβος τῆς ἀγάπης ἀρχὴ κατὰ παραύξησιν πίστις γινόμενος, εἶτα ἀγάπη· ἀλλ' οὐχ ὡς φοβοῦμαι τὸ θηρίον, καὶ μισῶ διττοῦ τυγχάνοντος τοῦ φόβου, ὡς δὲ καὶ τὸν πατέρα δέδια, ὃν φοβοῦμαι ἅμα καὶ ἀγαπῶν· πάλιν φοβούμενος μὴ κολασθῶ, ἐμαυτὸν ἀγαπῶ αἱρούμενος τὸν φόβον· ὁ φοβούμενος προσκόψαι τῷ πατρὶ ἀγαπᾷ ἑαυτόν. μακάριος οὖν ὃς πιστὸς γίνεται ἀγάπῃ καὶ φόβῳ κεκραμένος, πίστις δὲ ἰσχὺς εἰς σωτηρίαν καὶ δύναμις εἰς ζωὴν αἰώνιον.

§. 54. Πάλιν ἡ προφητεία πρόγνωσίς ἐστιν, ἡ δὲ γνῶσις προφητείας νόησις, οἷον γνῶσις τῶν ἐκείνοις προεγνωσμένων ὑπὸ τοῦ προφαίνοντος τὰ πάντα κυρίου. ἡ τοίνυν γνῶσις τῶν προαγορευθέντων τριττὴν ἐνδείκνυται τὴν ἔκβασιν ἢ γεγονυῖαν πάλαι ἢ ἐνεστηκυῖαν ἤδη ἢ ἔσεσθαι μέλλουσαν. εἶθ' αἱ μὲν ἀκρότητες ὑποπεπτώκασι πίστει ἢ τελεσθέντων ἢ ἐλπιζομένων, πειθὼ δὲ παρέχει ἡ ἐνεστηκυῖα ἐνέργεια πρὸς τὴν βεβαίωσιν ἀμφοῖν τοῖν ἄκροιν. εἰ γὰρ μιᾶς οὔσης τῆς προφητείας τὸ μὲν ἤδη τελεῖται, τὸ δὲ πεπλήρωται, πιστὸν ἐντεῦθεν καὶ τὸ ἐλπιζόμενον καὶ τὸ παρῳχηκὸς ἀληθές. πρότερον γὰρ ἐνεστὼς ἦν, εἶτα ἡμῖν παρῴχηκεν ὡς εἶναι καὶ τὴν τῶν παρῳχηκότων πίστιν κατάληψιν παρῳχηκότος, καὶ τὴν μὲν ἐσομένην ἐλπίδα κατάληψιν ἐσομένου πράγματος, τὰς δὲ συγκαταθέσεις οὐ μόνον οἱ ἀπὸ Πλάτωνος, ἀλλὰ καὶ οἱ ἀπὸ τῆς Στοᾶς ἐφ' ἡμῖν εἶναι λέγουσιν.

P. 458. Pott.

§. 55. Πᾶσα οὖν δόξα καὶ κρίσις καὶ ὑπόληψις καὶ μάθησις οἷς ζῶμεν καὶ σύνεσμεν αἰεὶ τῷ γένει τῶν ἀνθρώπων συγκατάθεσίς ἐστιν, ἡ δ' οὐδὲν ἄλλο ἢ πίστις εἴη ἄν, ἥ τε ἀπιστία ἀποσύστασις οὖσα τῆς πίστεως δυνατὴν δείκνυσι τὴν συγκατάθεσίν τε καὶ πίστιν· ἀνυπαρξία γὰρ στέρησις οὐκ ἂν λεχθείη. κἂν

τὰς ταλαιπώρους σκοπῇ, εὑρήσει τὸν ἄνθρωπον φύσει διαβεβλημένον μὲν πρὸς τὴν τοῦ ψεύδους συγκατάθεσιν, ἔχοντα δὲ ἀφορμὰς πρὸς πίστιν ταλαιπώρους. ἡ τοίνυν συνέχουσα τὴν ἐκκλησίαν, ὡς φησιν ὁ ποιμήν, ἀρετὴ ἡ πίστις ἐστί, δι' ἧς σώζονται οἱ ἐκλεκτοὶ τοῦ θεοῦ, ἡ δὲ ἀνδριζομένη ἐγκράτεια. ἕπεται δ' ἀπτώτως ἁπλότης, ἀκακία, σεμνότης, ἀγάπη. πᾶσαι δὲ αὗται πίστεως εἰσι θυγατέρες. καὶ πάλιν προηγεῖται μὲν πίστις, φόβος δὲ οἰκοδομεῖ, τελειοῖ δὲ ἡ ἀγάπη. φοβητέον οὖν τὸν κύριον, λέγει, εἰς οἰκοδομήν, ἀλλ' οὐ τὸν διάβολον εἰς καταστροφήν. ἔμπαλιν δὲ τὰ μὲν ἔργα τοῦ κυρίου, τουτέστι τὰς ἐντολάς, ἀγαπητέον καὶ ποιητέον, τὰ δὲ ἔργα τοῦ διαβόλου φοβητέον καὶ οὐ ποιητέον, ὁ μὲν γὰρ τοῦ θεοῦ φόβος παιδεύει καὶ εἰς ἀγάπην ἀποκυΐσκησιν, ὁ δὲ τῶν τοῦ διαβόλου ἔργων μῖσος ἔχει σύνοικον. ὁ δὲ αὐτὸς καὶ τὴν μετάνοιαν σύνεσιν εἶναί φησι μεγάλην, μετανοοῦν γὰρ ἐφ' οἷς ἔδρασαν οὐκ ἔτι ποιεῖ ἢ λέγει, βασανίζων ἐφ' οἷς ἥμαρτεν τὴν ἑαυτοῦ ψυχὴν ἀγαθοεργεῖ. ἄφεσις τοίνυν ἁμαρτιῶν μετανοίας διαφέρει, ἄμφω δὲ δίδωσι τὰ ἐφ' ἡμῖν.

Cap. XIII.

§. 56. Τὸν οὖν εἰληφότα τὴν ἄφεσιν τῶν ἁμαρτιῶν οὐκ ἔτι ἁμαρτάνειν χρή· ἐπὶ γὰρ τῇ πρώτῃ καὶ μόνῃ μετανοίᾳ τῶν ἁμαρτιῶν αὐτῇ ἄφεσις ἦν τῶν προϋπαρξάντων κατὰ τὸν ἐθνικὸν καὶ πρῶτον βίον τὸν ἐν ἀγνοίᾳ λέγω. αὐτίκα τοῖς κλητοῖσι πρόκειται μετάνοια ἡ καθαίρουσα τὸν τόπον τῆς ψυχῆς ἀπὸ τῶν πλημμελημάτων, ἵνα ἡ πίστις θεμελιωθῇ. καρδιογνώστης δὲ ὢν ὁ κύριος καὶ τὰ μέλλοντα προγινώσκων τό τε ἐμμετάβολον τοῦ ἀνθρώπου καὶ τὸ παλίμβολον καὶ πανοῦργον τοῦ διαβόλου ἄνωθεν ἀρχῆθεν προεῖδεν, ὡς ζηλώσας ἐπὶ

τῇ ἀφέσει τῶν ἁμαρτιῶν τὸν ἄνθρωπον προστρίψηταί τινας αἰτίας τῶν ἁμαρτημάτων τοῖς δούλοις τοῦ θεοῦ, φρονίμως πονηρευόμενος, ὅπως δὴ καὶ αὐτοὶ συνεκπέσοιεν αὐτῷ.

§. 57. Ἔδωκεν οὖν ἄλλην ἐπὶ τοῖς κἂν τῇ πίστει περιπίπτουσί τινι πλημμελήματι πολυέλεος ὢν μετάνοιαν δευτέραν, ἣν εἴ τις ἐκπειρασθείη μετὰ τὴν κλῆσιν, βιασθὼς δὲ καὶ κατασοφισθεὶς μίαν ἔτι μετάνοιαν ἀμετανόητον λάβῃ. ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία, φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους *). αἱ δὲ συνεχεῖς καὶ ἐπάλληλοι ἐπὶ τοῖς ἁμαρτήμασι μετάνοιαι οὐδὲν τῶν καθάπαξ μὴ πεπιστευκότων διαφέρουσιν ἢ μόνῳ τῷ συναισθέσθαι ὅτι ἁμαρτάνουσι, καὶ οὐκ οἶδ' ὁπότερον αὐτοῖν χεῖρον ἢ τὸ εἰδότα ἁμαρτάνειν ἢ μετανοήσαντα ἐφ' οἷς ἥμαρτεν πλημμελεῖν αὖθις· τῷ ἐλέγχεσθαι γὰρ ἑκατέρωθεν ἡ ἁμαρτία φαίνεται, ἡ μὲν ἐπὶ τῷ πραχθῆναι καταγινωσκομένη πρὸς τοῦ ἐργάτου τῆς ἀνομίας, ἡ δὲ τὸ πραχθησόμενον προγινώσκοντος ὡς φαῦλον ἐπιχειροῦντος. καὶ ὃς μὲν θυμῷ χαρίζεται ἴσως καὶ ἡδονῇ οὐκ ἀγνοῶν τίσι χαρίζεται, ὁ δὲ ἐφ' οἷς ἐχαρίσατο μετανοῶν, εἶτα παλινδρομῶν αὖθις εἰς ἡδονὴν συνάπτει τῷ τὴν ἀρχὴν ἑκουσίως ἐξαμαρτάνοντι, ἐφ' ᾧ γάρ τις μετενόησεν αὖθις τοῦτο ποιῶν οὗ πράσσει κατεγνωκὼς τοῦτο ἑκὼν ἐπιτελεῖ.

§. 58. Ὁ μὲν οὖν ἐξ ἐθνῶν καὶ τῆς προβιότητος ἐκείνης ἐπὶ τὴν πίστιν ὁρμήσας ἅπαξ ἔτυχεν ἀφέσεως ἁμαρτιῶν, ὁ δὲ καὶ μετὰ ταῦτα ἁμαρτήσας, εἶτα μετανοῶν, κἂν συγγνώμης τυγχάνῃ, αἰδεῖσθαι ὀφείλει μηκέτι λουόμενος εἰς ἄφεσιν ἁμαρτιῶν. δεῖ γὰρ οὐ τὰ εἴδωλα μόνον καταλιπεῖν ἃ πρότερον

P. 460. Pott.

*) Hebr. 10, 26 sq.

ἐξεθείαζεν, ἀλλὰ καὶ τὰ ἔργα τοῦ προτέρου βίου „τὸν οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματος σαρκὸς" *), ἐν πνεύματι δὲ ἀναγεννώμενον. ὅπερ εἴη ἂν τὸ μὴ εἰς ταυτὸν ὑπενεχθέντα πλημμέλημα μετανοῆσαι· μελέτη γὰρ ἔμπαλιν ἁμαρτιῶν τὸ πολλάκις μετανοεῖν καὶ ἐπιτηδειότης εἰς εὐτρεψίαν ἐξ ἀνασκησίας.

§. 59. Δόκησις τοίνυν μετανοίας, οὐ μετάνοια, τὸ πολλάκις αἰτεῖσθαι συγγνώμην, ἐφ' οἷς πλημμελοῦμεν πολλάκις· „δικαιοσύνη δὲ ἀμώμους ὀρθοτομεῖ ὁδοὺς" **), κέκραγεν ἡ γραφή. καὶ πάλιν αὖ, „ἡ τοῦ ἀκάκου δικαιοσύνη κατορθώσει τὴν ὁδὸν αὐτοῦ" ***). ναὶ μὴν, „καθὼς οἰκτείρει πατὴρ υἱοὺς ᾠκτείρησεν κύριος τοὺς φοβουμένους αὐτὸν" ****) ὁ Δαβὶδ γράφει· „οἱ σπείροντες" οὖν „ἐν δάκρυσιν ἐν ἀγαλλιάσει θεριοῦσι" †), τῶν ἐν μετανοίᾳ ἐξομολογουμένων· „μακάριοι γὰρ πάντες οἱ φοβούμενοι τὸν κύριον" ††). ὁρᾷς τὸν ἐν τῷ εὐαγγελίῳ ἐμφερῆ μακαρισμόν; „μὴ φοβοῦ", φησὶν, „ὅταν πλουτήσῃ ἄνθρωπος καὶ ὅταν πληθυνθῇ ἡ δόξα τοῦ οἴκου αὐτοῦ, ὅτι οὐκ ἐν τῷ ἀποθνήσκειν αὐτὸν λήψεται τὰ πάντα οὐδὲ συγκαταβήσεται αὐτῷ ἡ δόξα αὐτοῦ" †††), „ἐγὼ δὲ ἐν τῷ ἐλέει σοὺ εἰσελεύσομαι εἰς τὸν οἶκόν σου, προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σού. κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σού" ††††). ὁρμὴ μὲν οὖν φορὰ διανοίας ἐπί τι ἢ ἀπό του, πάθος δὲ πλεονάζουσα ὁρμὴ ἢ ὑπερτείνουσα τὰ κατὰ τὸν λόγον μέτρα ἢ ὁρμὴ ἐκφερομένη καὶ ἀπειθὴς λόγῳ. παρὰ φύσιν οὖν κίνησις ψυχῆς κατὰ τὴν πρὸς τὸν λόγον ἀπείθειαν τὰ πάθη, ἡ δ' ἀπόστασις καὶ ἔκστασις καὶ ἀπείθεια ἐφ' ἡμῖν ὥσπερ καὶ ἡ ὑπακοὴ ἐφ' ἡμῖν, διὸ καὶ τὰ ἑκούσια κρί-

---

*) Ioann. 1, 13. **) Prouerb. 11, 5. ***) Ibid. 13, 6. ****) Psalm. 103, 13. †) Ibid. 126, 5. ††) Ibid. 128, 1. †††) Ibid. 49, 16 sq. ††††) Ibid. 5, 7 sq.

νεται. αὐτίκα καθ' ἓν ἕκαστον τῶν παθῶν εἴ τις P.
ἐπεξίοι ἀλόγους ὀρέξεις εὕροι ἂν αὐτά. 461.
Pott.

Cap. XIV.

§. 60. Τὸ γοῦν ἀκούσιον οὐ κρίνεται. διττὸν δὲ τοῦτο, τὸ μὲν γινόμενον μετ' ἀγνοίας, τὸ δὲ ἀνάγκῃ, ἐπεὶ πῶς ἂν καὶ δικάσειας περὶ τῶν κατὰ τοὺς ἀκουσίους τρόπους ἁμαρτάνειν λεγομένων; ἢ γὰρ αὐτόν τις ἠγνόησεν ὡς Κλεομένης καὶ Ἀθάμας οἱ μανέντες, ἢ τὸ πρᾶγμα ὃ πράσσει, ὡς Αἰσχύλος τὰ μυστήρια ἐπὶ σκηνῆς ἐξειπὼν ἐν Ἀρείῳ πάγῳ κριθεὶς οὕτως ἀφείθη ἐπιδείξας αὐτὸν μὴ μεμυημένον, ἢ ὅπερ πράττεται ἀγνοήσας τις, ὥσπερ ὁ τὸν ἀντίπαλον ἀφεὶς καὶ ἀποκτείνας οἰκεῖον ἀντὶ τοῦ πολεμίου, ἢ τὸ ἐν τίνι πράττεται καθάπερ ὁ ταῖς ἐσφαιρωμέναις λόγχαις γυμναζόμενος καὶ ἀποκτείνας P. τινὰ τοῦ δόρατος ἀποβαλόντος τὴν σφαῖραν, ἢ τὸ 167 παρὰ τὸ πῶς, ὡς ὁ ἐν σταδίῳ ἀποκτείνας τὸν ἀν- Sylb. ταγωνιστήν· οὐ γὰρ θανάτου, ἀλλὰ νίκης χάριν ἠγωνίζετο, ἢ τὸ οὗ ἕνεκα πράττεται, οἷον ὁ ἰατρὸς δέδωκεν ἀντίδοτον ὑγιεινὴν καὶ ἀπέκτεινεν, ὁ δὲ οὐ τούτου χάριν δέδωκεν, ἀλλὰ τοῦ σῶσαι.

§. 61. Ἐκράτει μὲν οὖν ὁ νόμος τότε καὶ τὸν ἀκουσίως φονεύσαντα ὡς τὸν ἀκουσίως γονορρυῆ, ἀλλ' οὐ κατ' ἴσον τῷ ἑκουσίως. καίτοι κἀκεῖνος ὡς ἐπὶ ἑκουσίῳ κολασθήσεται εἴ τις μεταγάγοι τὸ πάθος ἐπὶ τὴν ἀλήθειαν· τῷ ὄντι γὰρ κολαστέος ὁ ἀκρατὴς τοῦ γονίμου λόγου, ὃ καὶ αὐτὸ πάθος ἐστὶ ψυχῆς ἄλογον, ἐγγὺς ἀδολεσχίας ἰόν· „πιστὸς δὲ ᾕρηται πνοῇ κρύπτειν πράγματα" *). τὰ προαιρετικὰ τοίνυν κρίνεται. „κύριος γὰρ ἐτάζει καρδίας καὶ νεφρούς" **)· καὶ ὁ „ἐμβλέψας πρὸς ἐπιθυ-

*) Prouerb. 11, 13. **) Psalm. 7, 9. Jerem. 12, 10.

ὁ μακαρισμὸς ἐγένετο ἐπὶ τοὺς ἐκλελεγμένους ἀπὸ τοῦ Θεοῦ διὰ Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. καλύπτει μὲν γὰρ ἀγάπη πλῆθος ἁμαρτιῶν" *), ἀπαλείφει δὲ ὁ „τὴν μετάνοιαν μᾶλλον τοῦ ἁμαρτωλοῦ ἢ τὸν θάνατον αἱρούμενος" **).

§. 66. Οὐ λογίζονται δὲ ὅσαι μὴ κατὰ προαίρεσιν συνίστανται· „ὁ γὰρ ἐπιθυμήσας ἤδη μεμοίχευκε" ***) φησίν. ἀφήρηέ τε τὰς ἁμαρτίας ὁ φωτίζων λόγος· „καὶ ἐν τῷ καιρῷ ἐκείνῳ, φησὶν ὁ κύριος, ζητήσουσιν τὴν ἀδικίαν Ἰσραὴλ καὶ οὐκ ὑπάρξει καὶ τὰς ἁμαρτίας Ἰούδα καὶ οὐ μὴ εὑρεθῶσιν" †) „ὅτι οἷς ὥσπερ ἐγώ; καὶ τίς ἀντιστήσεται κατὰ πρόσωπόν μου" ††); ὁρᾷς ἕνα θεὸν καταγγελλόμενον ἀγαθὸν τῶν καὶ ἀξίαν ἀπονεμητικὸν P. 464 καὶ τε καὶ ἀφετικὸν ἁμαρτημάτων. φαίνεται δὲ Paul. καὶ Ἰωάννης ἐν τῇ μείζονι ἐπιστολῇ τὰς διαφορὰς τῶν ἁμαρτιῶν ἐκδιδάσκων ἐν τούτοις· „ἐάν τις ἴδῃ τὸν ἀδελφὸν αὐτοῦ ἁμαρτάνοντα ἁμαρτίαν μὴ πρὸς θάνατον, αἰτήσει καὶ δώσει αὐτῷ ζωὴν τοῖς ἁμαρτάνουσι μὴ πρὸς θάνατον" εἶπεν· „ἔστι γὰρ ἁμαρτία πρὸς θάνατον· οὐ περὶ ἐκείνης λέγω, ἵνα ἐρωτήσῃ τις. πᾶσα ἀδικία ἁμαρτία ἐστί, καὶ ἔστιν ἁμαρτία μὴ πρὸς θάνατον" †††).

§. 67. Ἀλλὰ καὶ Δαβὶδ καὶ πρὸ Δαβὶδ ὁ Μωϋσῆς τῶν τριῶν δογμάτων τὴν γνῶσιν ἐμφαίνουσιν διὰ τούτων· „μακάριος ἀνὴρ ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν" καθὼς οἱ ἐχθροὶ πορεύονται ἐν σκότει εἰς τὰ βάθη· οἱ γὰρ λέπιδα μὴ ἔχοντες ὧν P. ἀπαγορεύει Μωϋσῆς ἐφάπτεσθαι κάτω τῆς θαλάσ- 168 σης νέμονται· „οὐδὲ ἐν ὁδῷ ἁμαρτωλῶν ἔστη", Sylb. καθὼς οἱ δοκοῦντες φορτίσθαι τὸν κύριον ἁμαρτάνουσιν ὡς ὁ χοῖρος, πεινῶν γὰρ κραυγάζει, πλη-

*) 1 Petr. 4, 8. **) Ezech. 33, 11. ***) Matth. 5. 28. †) Jerem. 50, 20. ††) Ibid. 49, 19. †††) 1 Ioann. 5, 16 sq.

ρωθεὶς δὲ τὸν δεσπότην οὐ γνωρίζει· „οὐδὲ ἐπὶ καθέδραν λοιμῶν ἐκάθισεν" *), καθὼς τὰ πτηνὰ εἰς ἁρπαγὴν ἕτοιμα. παρῄνεσε δὲ Μωϋσῆς **) οὐ φάγεσθαι χοῖρον οὐδὲ ἀετὸν οὐδὲ ὀξύπτερον οὐδὲ κόρακα οὐδὲ πάντ' ἰχθὺν ὃς οὐκ ἔχει λεπίδα ἐν αὐτῷ. ταῦτα μὲν ὁ Βαρνάβας, ἀκήκοα δ' ἔγωγε σοφοῦ τὰ τοιαῦτα ἀνδρὸς „βουλὴν μὲν ἀσεβῶν" τὰ ἔθνη λέγοντος, „ὁδὸν δὲ ἁμαρτωλῶν" τὴν Ἰουδαϊκὴν ὑπόληψιν καὶ „καθέδραν λοιμῶν" τὰς αἱρέσεις ἐκλαμβάνοντος.

§. 68. Ἕτερος δὲ κυριώτερον ἔλεγεν τὸν μὲν πρῶτον μακαρισμὸν τετάχθαι ἐπὶ τῶν μὴ κατακολουθησάντων ταῖς γνώμαις ταῖς πονηραῖς ταῖς ἀπόστατησάσαις τοῦ θεοῦ, τὸν δεύτερον δὲ ἐπὶ τῶν τῇ εὐρυχώρῳ καὶ πλατείᾳ ὁδῷ οὐκ ἐμμενόντων ἢ τῶν ἐν νόμῳ τραφέντων ἢ καὶ τῶν ἐξ ἐθνῶν μετανενοηκότων, „καθέδρα δὲ λοιμῶν" καὶ τὰ θέατρα καὶ τὰ δικαστήρια εἴη ἄν. ὅπερ καὶ μᾶλλον ἡ ἐξακολούθησις ταῖς πονηραῖς καὶ ταῖς λυμαντικαῖς ἐξουσίαις καὶ ἡ κατὰ τὰ ἔργα αὐτῶν κοινωνία. „ἀλλ' ἢ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα αὐτοῦ" ***) ὁ Πέτρος ἐν τῷ κηρύγματι νόμον καὶ λόγον τὸν κύριον προσεῖπεν. δοκεῖ δὲ καὶ ἄλλως τριῶν ἀποδοχὴν ἁμαρτίας τρόπων διδάσκειν ὁ νομοθέτης, τῶν μὲν ἐν λόγῳ διὰ τῶν ἰχθύων τῶν ἀναύδων, ἔστι γὰρ τῷ ὄντι οὗ σιγὴ λόγου διαφέρει· ἔστι καὶ

σιγῆς ἀκίνδυνον γέρας·

τῶν δὲ ἐν ἔργῳ διὰ τῶν ἁρπακτικῶν καὶ σαρκοβόρων ὀρνέων, χοῖρος βορβόρῳ ἥδεται καὶ κόπρῳ· καὶ χρὴ μηδὲ „τὴν συνείδησιν" ἔχειν „μεμολυσμένην" †).

§. 69. Εἰκότως οὖν φησὶν ὁ προφήτης, „οὐχ οὕτως", φησὶν, „οἱ ἀσεβεῖς, ἀλλ' ἢ ὡσεὶ χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς." διὰ τοῦτο

P. 465. Pott.

*) Psalm. 1, 1. **) Cf. Leuit. c. 11. Deuteron. c. 14. ***) Psalm. 1, 2. †) 1 Corinth. 8, 7.

οὐκ ἀνασήσονται ἀσεβεῖς ἐν κρίσει, οἱ ἤδη κατακεκριμένοι, ἐπεὶ „ὁ μὴ πιστεύων ἤδη κέκριται“ *). „οὐδὲ οἱ ἁμαρτωλοὶ ἐν βουλῇ δικαίων“ **) οἱ ἤδη κατεγνωσμένοι εἰς τὸ μὴ ἐνωθῆναι τοῖς ἀπταίστως βεβιωκόσιν, „ὅτι γινώσκει κύριος ὁδὸν δικαίων καὶ ὁδὸς ἀσεβῶν ἀπολεῖται“ ***). πάλιν ὁ κύριος δείκνυσιν ἄντικρυς ἐφ' ἡμῖν καὶ τὰ παραπτώματα καὶ τὰ πλημμελήματα τρόπους θεραπείας καταλλήλους τοῖς πάθεσιν ὑποτιθέμενος, πρὸς τῶν ποιμένων ἐπανορθοῦσθαι βουλόμενος ἡμᾶς διὰ Ἰεζεκιήλ· αἰτιώμενος αὐτῶν οἶμαί τινας ἐφ' οἷς οὐκ ἐτήρησαν τὰς ἐντολάς· „τὸ ἠσθενηκὸς οὐκ ἐνισχύσατε“ ****) καὶ τὰ ἑξῆς ἕως „καὶ οὐκ ἦν ὁ ἐπιζητῶν οὐδὲ ἀποστρέφων“ †)· „μεγάλη γὰρ χαρὰ παρὰ τῷ πατρὶ ἑνὸς ἁμαρτωλοῦ σωθέντος“ ††) ὁ κύριός φησι. ταύτῃ πλέον ἐπαινετὸς ὁ Ἀβραὰμ ὅτι ἐπορεύθη καθάπερ ἐλάλησεν αὐτῷ ὁ κύριος.

§. 70. Ἐντεῦθεν ἀρυσάμενός τις τῶν παρ' Ἕλλησι σοφῶν τὸ „ἕπου θεῷ“ ἀπεφθέγξατο. „οἱ δὲ εὐσεβεῖς“, φησὶν Ἡσαΐας, „συνετὰ ἐβουλεύσαντο“ †††). βουλὴ δέ ἐστι ζήτησις περὶ τοῦ πῶς ἂν ἐν τοῖς πράγμασιν ὀρθῶς διεξάγοιμεν, εὐβουλία δὲ φρόνησις πρὸς τὰ βουλεύματα. τί δέ; οὐχὶ καὶ ὁ Θεὸς μετὰ τὴν ἐπὶ τῷ Κάϊν συγγνώμην ἀκολούθως τοῦ πολλῷ ὕστερον τὸν μετανοήσαντα Ἐνὼχ εἰσάγει δηλῶν ὅτι συγγνώμην μετάνοια πέφυκε γεννᾶν; ἡ συγγνώμη δὲ οὐ κατὰ ἄφεσιν, ἀλλὰ κατὰ ἴασιν συνίστατει. τὸ δ' αὐτὸ γίνεται κἂν τῇ κατὰ τὸν Ἀαρὼν τοῦ λαοῦ μοσχοποιΐᾳ. ἐντεῦθέν τις τῶν παρ' Ἕλλησι σοφῶν συγγνώμην ἁμαρτίας κρεῖσσον ἀπεφθέγξατο, ὥσπερ ἀμέλει καὶ τὸ „ἐγγύα, πάρα δ' ἄτα“, ἀπὸ τῆς Σολομῶντος φωνῆς λεγούσης, „υἱέ; ἐὰν

*) Psalm. 1, 4 aq. **) Ioann. 3, 8. ***) Psalm. 1, 5 sq. ****) Ezech. 34, 4. †) Ibid. v. 6. ††) Cf. Luc. c. 15. †††) Iesai. 32, 8.

ἐγγνήσῃ σὸν φίλον, παραδώσεις σὴν χεῖρα ἐχθρῷ, παγὶς γὰρ ἀνδρὶ ἰσχυρὰ τὰ ἴδια χείλη, καὶ ἁλίσεται ῥήμασιν ἰδίοις στόματος" *). μυστικώτερον δὲ ἤδη τὸ „γνῶθι σαυτὸν" ἐκεῖθεν εἴληπται, εἰδὼς τὸν ἀδελφόν σου, εἰδὼς τὸν Θεόν σου.

§. 71. Ταύτῃ που „ἀγαπήσεις κύριον τὸν Θεόν σου ἐξ ὅλης καρδίας καὶ τὸν πλησίον σοὺ ὡς σεαυτόν· ἐν ταύταις" λέγει „ταῖς ἐντολαῖς ὅλον τὸν νόμον καὶ τοὺς προφήτας κρεμᾶσθαί τε καὶ ἐξηρτῆσθαι" **). συνάδει τούτοις κἀκεῖνα· „ταῦτα λελάληκα ὑμῖν ἵνα ἡ χαρὰ ἡ ἐμὴ πληρωθῇ, αὕτη δέ ἐστιν ἡ ἐντολὴ ἡ ἐμὴ ἵνα ἀγαπᾶτε ἀλλήλους καθὼς ἠγάπησα ὑμᾶς" ***)· „ἐλεήμων γὰρ καὶ οἰκτίρμων ὁ κύριος" ****), καὶ Χριστὸς κύριος τοῖς σώμασι. σαφέστερον δὲ τὸ „γνῶθι σαυτὸν" παρεγγυῶν ὁ Μωϋσῆς λέγει πολλάκις „πρόσεχε σεαυτῷ" †). ἐλεημοσύναις οὖν καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι· τῷ δὲ φόβῳ κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ" ††). „φόβος δὲ κυρίου παιδεία καὶ σοφία" †††).

Cap. XVI.

§. 72. Ἐνταῦθα πάλιν ἐπαφύονται οἱ κατήγοροι χαρὰν καὶ λύπην πάθη ψυχῆς λέγοντες, τὴν μὲν γὰρ χαρὰν εὔλογον ἔπαρσιν ἀποδιδόασι, καὶ τὸ ἀγάλλεσθαι χαίρειν ἐπὶ καλοῖς, τὸ δὲ ἔλεος λύπην ἐπὶ ἀνωξίως πεπονθόσι. τροπὰς δὲ εἶναι ψυχῆς καὶ πάθη τὰ τοιαῦτα. ἡμεῖς δὲ ὡς ἔοικεν οὐ παν- P. 467. μεθα τὰ τοιαῦτα σαρκικῶς νοοῦντες τὰς γραφὰς καὶ ἀπὸ τῶν ἡμετέρων παθῶν ἀναγόμενοι τὸ βούλημα τοῦ ἀπαθοῦς Θεοῦ ὁμοίως τοῖς ἡμεδαποῖς κινήμασιν Rott.

*) Proverb. 6, 1 sq. **) Luc. 10, 27. Matth. 22, 37. 39 sq. Marc. 12, 30. ***) Ioann. 15, 11 sq. ****) Psalm. 102, 8. 110, 4. †) Genes. 24, 6. Exod. 10, 28. 34, 12. Deuteron. 4, 9. ††) De his dictis vid. annotat. †††) Eccles. 1, 27.

ἀπαδεχόμενοι. ὡς δ' ἡμεῖς ἐκυῦσαι δυναποὶ οὕτως ἔχειν ἐπὶ ταῦ παντοκράτορος ὑπολαμβάνοντες ἀθέως πλανώμεθα. οὐ γὰρ ὡς ἔχει τὸ θεῖον, οὕτως οἷόν τε ἦν λέγεσθαι, ἀλλ' ὡς οἷόν τε ἦν ἐπαΐειν ἡμᾶς σαρκὶ πεπεδημένους, οὕτως ἡμῖν ἐλάλησαν οἱ προφῆται συμπεριφερομένου σωτηρίως τῇ τῶν ἀνθρώπων ἀσθενείᾳ τοῦ κυρίου.

§. 73. Ἐπεὶ τοίνυν βούλημά ἐστι τοῦ θεοῦ σώζεσθαι τὸν ταῖς ἐντολαῖς πειθήνιον τόν τε ἐκ τῶν ἁμαρτημάτων μετάνοοῦντα, χαίρομεν δὲ ἡμεῖς ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν, τὸ χαρτὸν ἡμῶν ἐξεδιοποιήσατο
P. ὁ διὰ τῶν προφητῶν λαλήσας κύριος, καθάπερ ἐν
169 τῷ εὐαγγελίῳ φιλανθρώπως λέγων, «ἐπείνασα καὶ
Syh. ἐδώκατέ μοι φαγεῖν, ἐδίψησα καὶ ἐδώκατέ μοι πεῖν,
15ὃ γὰρ ἑνὶ τούτων τῶν ἐλαχίστων πεποιήκατε, ἐμοὶ πεποιήκατε» *). ὥσπερ οὖν τρέφεται μὴ τρεφόμενος διὰ τὸ πετρώφθαι ὅπερ βούλεται, οὕτως ἐχάρη μὴ τραπεὶς διὰ τὸ ἐν χαρᾷ γεγονέναι τὸν μετανενοηκότα ὡς ἐβούλετο. ἐπεὶ δὲ πλουσίως ἐλεεῖ ἀγαθὸς
20ὢν ὁ θεὸς τάς τε ἐντολὰς διδοὺς διὰ νόμου, διὰ προφητῶν καὶ προσεχέστερον ἤδη διὰ τῆς τοῦ υἱοῦ παρουσίας, σώζων καὶ ἐλεῶν ὡς εἴρηται τοὺς ἠλεημένους, κυρίως τε ἐλεεῖ ὃ κρείττων τὸν ἐλάσσω, καὶ κρείττων μὲν ἄνθρωπος ἀνθρώπου οὐκ ἂν εἴη,
25καθὸ ἄνθρωπος πέφυκεν, κρείττων δὲ ὁ θεὸς τοῦ ἀνθρώπου κατὰ πάντα, εἰ ταύτῃ ὁ κρείττων τὸν ἧσσω ἐλεεῖ, μόνος ἡμᾶς ὁ θεὸς ἐλεήσει, ποινωνικὸς μὲν γὰρ ἄνθρωπος ὑπὸ δικαιοσύνης γίνεται καὶ μεταδίδωσιν ὧν ἔλαβεν παρὰ τοῦ θεοῦ διά τε φυσι-
30κὴν εὔνοιαν καὶ σχέσιν διά τε τὰς ἐντολὰς αἷς πείθεται.

§. 74. Ὁ θεὸς δὲ οὐδὲ μίαν ἔχει πρὸς ἡμᾶς φυσικὴν σχέσιν ὡς οἱ τῶν αἱρέσεων κτίσται θέλουσιν οὔτ' εἰ ἐκ μὴ ὄντων ποιοίη οὔτ' εἰ ἐξ ὕλης δη-

*) Matth. 25, 35. 40.

ὅλως ὄν, ἡ δὲ κατὰ πάντα ἑτέρα τυγχάνει τοῦ θεοῦ, εἰ μή τις μέρος αὐτοῦ καὶ ὁμοουσίους ἡμᾶς τῷ θεῷ τολμήσει λέγειν· καὶ οὐκ οἶδ' ὅπως ἀνέξεταί τις ἐπαΐων τούτου θεὸν ἐγνωκὼς ἀπιδὼν εἰς τὸν βίον τὸν ἡμέτερον ἐν ὅσοις φυρόμεθα κακοῖς. εἴη γὰρ ἂν οὕτως ὁ μηδ' εἰπεῖν θέμις μερικῶς ἁμαρτάνων θεὸς, εἴ γε τὰ μέρη τοῦ ὅλου μέρη καὶ συμπληρωτικὰ τοῦ ὅλου, εἰ δὲ μὴ συμπληρωτικὰ, οὐδὲ μέρη εἴη ἄν. ἀλλὰ γὰρ φύσει πλούσιος ὢν ὁ θεὸς ἐν ἐλέῳ διὰ τὴν αὐτοῦ ἀγαθότητα κήδεται ἡμῶν μήτε μορίων ὄντων αὐτοῦ μήτε φύσει τέκνων. P. 468. Pott.

§. 75. Καὶ δὴ ἡ μεγίστη τῆς τοῦ θεοῦ ἀγαθότητος ἔνδειξις αὕτη τυγχάνει ὅτι οὕτως ἐχόντων ἡμῶν πρὸς αὐτὸν καὶ φύσει ἀπηλλοτριωμένων παντελῶς ὅμως κήδεται. φυσικὴ μὲν γὰρ ἡ πρὸς τὰ τέκνα φιλοστοργία τοῖς ζώοις ἥ τε ἐκ συνηθείας τοῖς ὁμογνώμοσι φιλία, θεοῦ δὲ ὁ ἔλεος εἰς ἡμᾶς πλουσίως τοὺς κατὰ μηδὲν αὐτῷ προσήκοντας ἢ οὐσίᾳ ἡμῶν λέγω ἢ φύσει ἢ δυνάμει τῇ οἰκείᾳ τῆς οὐσίας ἡμῶν, μιόνῳ δὲ τῷ ἔργον εἶναι τοῦ θελήματος αὐτοῦ, καὶ δὴ τὸν ἐκόντα μετὰ ἀσκήσεως καὶ διδασκαλίας τὴν γνῶσιν τῆς ἀληθείας ἐπαγῃρημένον εἰς υἱοθεσίαν καλεῖ τὴν μεγίστην πασῶν προκοπήν. „παρανομίαι δὲ ἄνδρα ἀγρεύουσι, σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται“ *), καὶ ἔστιν ὁ θεὸς ἀναίτιος καὶ τῷ ὄντι „μακάριος ἀνὴρ ὃς καταπτήσσει πάντα δι' εὐλάβειαν“ **).

Cap. XVII.

§. 76. Ὡς οὖν ἡ ἐπιστήμη ἐπιστητική ἐστιν ἕξις ἀφ' ἧς τὸ ἐπίστασθαι συμβαίνει, γίνεται δὲ ἡ κατάληψις αὐτῇ ἀμετάπτωτος ὑπὸ λόγου, οὕτω καὶ

*) Proverb. 5, 22. **) Ibid. 28, 14.

ἡ ἄγνοια φαντασία ἐστὶν εἴκουσα μεταπιστικὴ ὑπὸ λόγου, τὸ δὲ μεταπῖπτον ὡς καὶ τὸ συνασκούμενον ἐκ λόγου ἐφ' ἡμῖν. παράκειται δὲ τῇ ἐπιστήμῃ ἥ τ' ἐμπειρία καὶ ἡ εἴδησις, σύνεσίς τε καὶ νόησις καὶ γνῶσις. καὶ ἡ μὲν εἴδησις ἐπιστήμη τῶν καθ' ὅλου κατ' εἶδος εἴη ἄν, ἡ δὲ ἐμπειρία ἐπιστήμη ὥστε καὶ οἷόν ἐστιν ἕκαστον πολυπραγμονεῖν, νόησις δὲ ἐπιστήμη νοητοῦ, καὶ σύνεσις ἐπιστήμη περιληπτικὴ συμβλητοῦ ἢ σύμβλησις ἀμετάπτωτος ἢ συμβλητικὴ δύναμις, ὧν φρόνησις ἐστι καὶ ἐπιστήμη καὶ ἑνὸς καὶ ἑκάστου καὶ πάντων τῶν εἰς ἕνα λόγον, γνῶσις δὲ ἐπιστήμη τοῦ ὄντος αὐτοῦ ἢ ἐπιστήμη σύμφωνος τοῖς γενομένοις, ἀλήθειά τε ἐπιστήμη ἀληθοῦς, ἡ δὲ ἕξις τῆς ἀληθείας ἐπιστήμη ἀληθῶν.

§. 77. Ἡ δὲ ἐπιστήμη διὰ τοῦ λόγου συνίσταται καὶ ἀμετάπτωτός ἐστιν ἄλλῳ λόγῳ· ἐνταῦθα τὴν P. 469 γνῶσιν πολυπραγμονεῖ. ἃ δὲ μὴ ποιοῦμεν, ἤτοι διὰ τὸ μὴ δύνασθαι οὐ ποιοῦμεν ἢ διὰ τὸ μὴ βούλεσθαι Pott. ἢ δι' ἀμφότερα. οὐχ ἁπτόμεθα μὲν οὖν, ἐπειδὴ οὔτε δυνάμεθα οὔτε βουλόμεθα, οὐ νηχόμεθα δὲ φέρ' εἰπεῖν ἄρτι, ἐπειδὴ δυνάμεθα μέν, οὐ βουλόμεθα δέ· οὐκ ἐσμὲν δὲ ὡς ὁ κύριος, ἐπειδὴ βουλόμεθα μέν, οὐ δυνάμεθα δέ. „οὐδεὶς γὰρ μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, ἀρκετὸν δὲ ἐὰν γενώμεθα ὡς ὁ διδάσκαλος“ *), οὐ κατ' οὐσίαν, ἀδύνατον γὰρ ἴσον εἶναι πρὸς τὴν ὕπαρξιν τὸ θέσει τῷ φύσει, τὸ δὲ ἀΐδιους γεγονέναι καὶ τὴν τῶν ὄντων θεωρίαν ἐγνωκέναι καὶ υἱοὺς προσηγορεῦσθαι καὶ τὸν πατέρα ἀπὸ τῶν οἰκείων καθορᾶν μόνον. προηγεῖται τοίνυν πάντων τὸ βούλεσθαι, αἱ γὰρ λογικαὶ δυνάμεις τοῦ βούλεσθαι διάκονοι πεφύκασι· θέλε, φησὶ, καὶ δυνήσῃ· τοῦ γνωστικοῦ δὲ καὶ ἡ βούλησις καὶ ἡ κρίσις καὶ ἡ ἄσκησις ἡ αὐτή. εἰ γὰρ αἱ αὐταὶ προθέσεις τὰ αὐτὰ καὶ τὰ δόγματα καὶ αἱ κρίσεις, ἵνα δὴ ὦσιν αὐτῷ καὶ οἱ λόγοι καὶ ὁ βίος καὶ ὁ τρόπος ἀκόλουθοι τῇ ἐνστάσει· καρδία δὲ

*) Matth. 10, 24 sq. Luc. 6, 40.

εὐθεῖα ἐκζητεῖ γνώσεις καὶ ἐκείνων ἐπαΐει. „ὁ θεὸς δεδίδαχέν με σοφίαν καὶ γνῶσιν ἁγίων ἔγνωκα“ *).

Cap. XVIII.

§. 78. Προφανεῖς μὲν οὖν καὶ πᾶσαι ἄλλαι ἀρέται αἱ παρὰ τῷ Μωϋσεῖ ἀναγεγραμμέναι ἀρχὴν Ἕλλησι παντὸς τοῦ ἠθικοῦ τόπου παρασχόμεναι, ἀνδρείαν λέγω καὶ σωφροσύνην καὶ φρόνησιν καὶ δικαιοσύνην, καρτερίαν τε καὶ ὑπομονὴν καὶ τὴν σεμνότητα καὶ ἐγκράτειαν τήν τε ἐπὶ τούτοις εὐσέβειαν. ἀλλ᾽ ἡ μὲν εὐσέβεια παντί που δῆλη τὸ ἀνωτάτω καὶ πρεσβύτατον αἴτιον σέβειν καὶ τιμᾶν διδάσκουσα. καὶ δικαιοσύνην δὲ αὐτὸς ὁ νόμος παρίστησι παιδεύων τήν τε φρόνησιν διὰ τῆς τῶν αἰσθητῶν εἰδώλων ἀποχῆς καὶ τῆς πρὸς τὸν ποιητὴν καὶ πατέρα τῶν ὅλων προσκληρώσεως, ἀφ᾽ ἧς δόξης οἷον πηγῆς πᾶσα σύνεσις αὔξεται. „θυσίαι γὰρ ἀνόμων βδέλυγμα κυρίῳ, εὐχαὶ δὲ κατευθυνόντων δεκταὶ παρ᾽ αὐτῷ“ **)· ἐπεὶ δεκτὴ παρὰ θεῷ δικαιοσύνη μᾶλλον ἢ θυσία. P.

§. 79. Τοιαῦτα καὶ τὰ παρὰ Ἡσαΐᾳ· „τί μοι τὸ πλῆθος τῶν θυσιῶν ὑμῶν, λέγει κύριος;“ ***), καὶ πᾶσα ἡ περικοπή, λύε πάντα σύνδεσμον ἀδικίας, αὕτη γὰρ θυσία θεῷ δεκτὴ καρδία συντετριμμένη καὶ ζητοῦσα τὸν πεπλακότα †).“ „ζυγὰ δόλια βδέλυγμα ἐναντι θεοῦ, σταθμίον δὲ δίκαιον δεκτὸν αὐτῷ“ ††). ἐντεῦθεν ζυγὸν μὴ ὑπερβαίνειν Πυθαγόρας παραινεῖ. δικαιοσύνη δὲ δολία εἴρηται ἡ τῶν αἱρέσεων ἐπαγγελία, καὶ „γλῶσσα μὲν ἀδίκων ἐξολεῖται, στόμα δὲ δικαίων ἀποστάζει σοφίαν“ †††). ἀλλὰ γὰρ „τοὺς σοφοὺς καὶ φρονίμους φαύλους καλοῦσιν“ ††††). μακρὸν δ᾽ ἂν εἴη περὶ τῶν ἀρετῶν τούτων μαρτυρίας παρατίθε-

*) Prouerb. 33, 3. **) Ibid. 15, 8. ***) Iesai. 1, 11. †) Ibid. 58, 6. ††) Prouerb. 10, 1. †††) Ibid. v. 31. ††††) Ibid. 16, 21.

σθαι ἁπάσης ταύτας ἐξυμνούσης τῆς γραφῆς, ἐπεὶ δ' οὖν τὴν μὲν ἀνδρείαν ὁρίζονται ἐπιστήμην δεινῶν καὶ οὐ δεινῶν καὶ τῶν μεταξύ, τὴν δὲ σωφροσύνην ἕξιν εἶναι αἱρέσει καὶ φυγῇ σώζουσαν τὰ τῆς φρονήσεως κρίματα, παράκειται τῇ μὲν ἀνδρείᾳ ἥ τε ὑπομονὴ ἣν καρτερίαν καλοῦσιν ἐπιστήμην ἐμμενετέων καὶ οὐκ ἐμμενετέων, ἥ τε μεγαλοψυχία ἐπιστήμη τῶν συμβαινόντων ὑπεραίρουσα, ἀλλὰ καὶ τῇ σωφροσύνῃ ἡ εὐλάβεια ἔκκλισις οὖσα σὺν λόγῳ.

§. 80. Φυλακὴ δὲ τῶν ἐντολῶν τήρησις οὖσα αὐτῶν ἀβλαβὴς περιποίησίς ἐστιν ἀσφαλείας βίου. καὶ οὐκ ἔστιν ἄνευ ἀνδρείας καρτερικὸν εἶναι, οὐδὲ μὴν ἄνευ σωφροσύνης ἐγκρατῆ. ἀντακολουθοῦσι δὲ ἀλλήλαις αἱ ἀρεταί, καὶ παρ' ᾧ αἱ τῶν ἀρετῶν ἀκολουθίαι, παρὰ τοῦτῳ καὶ ἡ σωτηρία τήρησις οὖσα τοῦ εὖ ἔχοντος. εἰκότως ἔτι περὶ τούτων διαλαβόντες τῶν ἀρετῶν περὶ πασῶν ἂν εἴημεν ἐσκεμμένοι, ὅτι ὁ μίαν ἔχων ἀρετὴν γνωστικῶς πάσας ἔχει διὰ τὴν ἀντακολουθίαν. αὐτίκα ἡ ἐγκράτεια διάθεσίς ἐστιν ἀνυπέρβατος τῶν κατὰ τὸν ὀρθὸν λόγον φανέντων. ἐγκρατεύεται δὲ ὁ κατέχων τὰς παρὰ τὸν ὀρθὸν λόγον ὁρμὰς ἢ ὁ κατέχων αὐτὸν ὥστε μὴ ὁρμᾶν παρὰ τὸν ὀρθὸν λόγον. σωφροσύνη δὲ αὐτὴ οὐκ ἄνευ ἀνδρείας, ἐπειδὴ ἐξ ἐντολῶν γίνεται ἑπομένη τῷ διατεταγμένῳ θεῷ φρόνησίς τε καὶ ἡ μιμητικὴ τῆς θείας διαθέσεως δικαιοσύνη, καθ' ἣν ἐγκρατευόμενοι καθαροὶ πρὸς εὐσέβειαν καὶ τὴν ἑπομένην ἀκολούθως τῷ θεῷ πρᾶξιν στελλόμεθα ἐξομοιούμενοι τῷ κυρίῳ κατὰ τὸ δυνατὸν ἡμῖν ἐπικήροις τὴν φύσιν ὑπάρχουσιν. P. 471. Pott.

§. 81. Τοῦτο δέ ἐστιν δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. ἀνενδεὲς μὲν γὰρ τὸ θεῖον καὶ ἀπαθές, ὅθεν οὐδὲ ἐγκρατὲς κυρίως· οὐ γὰρ ὑποπίπτει πάθει ποτέ, ἵνα καὶ κρατήσῃ τοῦδε, ἡ δὲ ἑτέρα φύσις ἐμπαθὴς οὖσα ἐγκρατείας δεῖται, δι' ἧς πρὸς τὸ ὀλιγοδεὲς συνασκουμένη συνεγγίζειν πειρᾶται

κατὰ διάθεσιν τῇ θείᾳ φύσει· ὁ γὰρ σπουδαῖος ὀλιγοδεὴς, ἀθανάτου καὶ ἀνητῆς φύσεως μεθόριος, τὸ μὲν ἐνδεὲς διά τε τὸ σῶμα διά τε τὴν γένεσιν αὐτὴν ἔχων, ὀλίγων δὲ διὰ τὴν λογικὴν ἐγκράτειαν δεῖσθαι δεδιδαγμένος, ἐπεί τινα λόγον ἔχει τὸ ἀπειπεῖν τὸν νόμον „ἀνδρὶ γυναικὸς ἀμπεχόνην ἀναλαμβάνειν“ *); ἢ οὐχὶ ἀνδρείζεσθαι ἡμᾶς βούλεται μήτε κατὰ τὸ σῶμα καὶ τὰ ἔργα μήτε κατὰ τὴν διάνοιαν καὶ τὸν λόγον ἐκθηλυνομένους; ἠρρενῶσθαι γὰρ τὸν ἀληθείᾳ σχολάζοντα ἔν τε ὑπομοναῖς ἔν τε καρτερίαις κἂν τῷ βίῳ κἂν τῷ τρόπῳ κἂν τῷ λόγῳ κἂν τῇ ἀσκήσει νύκτωρ τε καὶ μεθ' ἡμέραν καὶ εἴ που μαρτυρίου δι' αἵματος χωροῦντος ἐπικαταλάβοι χρεία βούλεται.

§. 82. Πάλιν „εἴ τις“ φησὶ, „νεωστὶ δειμάμενος οἰκίαν οὐκ ἔφθη εἰσοικίσασθαι ἢ ἀμπελῶνα νεόφυτον ἐργασάμενος μηδέπω τοῦ καρποῦ μετείληφεν, ἢ παρθένον ἐγγυησάμενος οὐδέπω ἔγημεν **)· τούτους ἀφεῖσθαι τῆς στρατείας ὁ φιλάνθρωπος κελεύει νόμος, στρατηγικῶς μὲν ὡς μὴ περισπώμενοι πρὸς τὰς ἐπιθυμίας ἀπρόθυμοι τῷ πολέμῳ ἐξυπηρετῶμεν, ἐλεύθεροι γὰρ τὰς ὁρμὰς οἱ ἀπροφασίστως τοῖς δεινοῖς ἐπαποδυόμενοι, φιλανθρώπως δὲ ἐπειδὴ τὰ κατὰ τοὺς πολέμους ἄδηλα, ἄδικον εἶναι λογισάμενος τὸν μὲν μὴ ὄνασθαι τῶν αὐτοῦ πόνων, ἕτερον δὲ τὰ τῶν καμόντων ἀταλαιπώρως λαβεῖν.

§. 83. Ἔοικεν δὲ ὁ νόμος καὶ τὴν τῆς ψυχῆς ἐμφαίνειν ἀνδρείαν δεῖν νομοθετῶν τὸν φυτεύσαντα καρποῦσθαι καὶ τὸν οἰκοδομησάμενον οἰκεῖν καὶ τὸν μνώμενον γαμεῖν, οὐ γὰρ ἀτελεῖς τὰς ἐλπίδας τοῖς ἀσκήσασι κατὰ τὸν λόγον τὸν γνωστικὸν κατασκευάζει, τελευτήσαντος γὰρ καὶ ζῶντος ἀνδρὸς ἀγαθοῦ οὐκ ἀπόλλυται ἐλπίς ***). „ἐγὼ“, φησὶ, „τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ“, ἡ σοφία λέγει, „οἱ δὲ ἐμὲ ζητοῦντες

P. 472. Pott.

*) Deuteron. 22, 5. **) Ibid. 20, 5. 7. ***) Cf. Prouerb. 11, 7.

εὑρήσουσιν εἰρήνην" *) καὶ τὰ ἑξῆς. τί δέ; οὐχὶ αἱ Μαδιηναίων γυναῖκες τῷ κάλλει τῷ σφῶν πολεμοῦντας τοὺς Ἑβραίους ἐκ σωφροσύνης δι' ἀκρασίαν εἰς ἀθεότητα ὑπηγάγοντο; προσεταιρισάμεναι γὰρ τοὺς ἐκ τῆς σεμνῆς ἀσκήσεως εἰς ἡδονὰς ἑταιρικὰς τῷ κάλλει δελεάσασαι ἐπί τε τὰς τῶν εἰδώλων θυσίας ἐπί τε τὰς ἀλλοδαπὰς ἐξέμηναν γυναῖκας, γυναικῶν δὲ ἅμα καὶ ἡδονῆς ἡττηθέντες ἀπέστησαν μὲν τοῦ θεοῦ, ἀπέστησαν δὲ καὶ τοῦ νόμου, καὶ μικρὸν δεῖν ὁ πᾶς λεὼς ὑποχείριος τοῖς πολεμίοις γυναικείῳ στρατηγήματι ἐγεγόνει ἕως αὐτοὺς κινδυνεύοντας ἀνεχαίτισε νουθετήσας φόβος.

§. 84. *Αὐτίκα οἱ περιλειφθέντες φιλοκινδύνως τὸν ὑπὲρ εὐσεβείας ἀγῶνα ἀράμενοι κύριοι κατέστησαν τῶν πολεμίων. „ἀρχὴ οὖν σοφίας θεοσέβεια, σύνεσις δὲ ἁγίων προμήθεια, τὸ δὲ γνῶναι νόμον διανοίας ἐστὶν ἀγαθῆς" **). οἱ τοίνυν ἐμπαθοῦς φόβου περιποιητικὸν τὸν νόμον ὑπολαβόντες οὔτε ἀγαθοὶ συνιέναι οὔτε ἐνενόησαν τῷ ὄντι τὸν νόμον. „φόβος γὰρ κυρίου ζωὴν ποιεῖ. ὁ δὲ πλανώμενος ἀδυνηθήσεται ἐν πόνοις οἷς οὐκ ἐπισκέπτεται γνῶσις" ***). ἀμέλει μυστικῶς ὁ Βαρνάβας· ὁ δὲ θεὸς ὁ τοῦ παντὸς κόσμου κυριεύων, φησὶ, δῴη καὶ ὑμῖν σοφίαν καὶ σύνεσιν, ἐπιστήμην, γνῶσιν τῶν δικαιωμάτων αὐτοῦ, ὑπομονήν. γίνεσθε οὖν θεοδίδακτοι ἐκζητοῦντες τί ζητεῖ ὁ κύριος ἀφ' ὑμῶν, ἵνα εὑρηται ἐν ἡμέρᾳ κρίσεως. τοὺς τούτων ἐπιβούλους ἀγάπης τέκνα καὶ εἰρήνης γνωστικῶς προσηγόρευσεν. περί τε τῆς μεταδόσεως καὶ κοινωνίας πολλῶν ὄντων ἀπόχρη μόνον τοῦτο εἰπεῖν, ὅτι ὁ νόμος ἀπαγορεύει ἀδελφῷ δανείζειν †), ἀδελφὸν ὀνομάζων οὐ μόνον τὸν ἐκ τῶν αὐτῶν φύντα γονέων, ἀλλὰ καὶ ὃς ἂν ὁμόφυλος ᾖ, ὁμογνώμων τε καὶ τοῦ αὐτοῦ λόγου κεκοινωνηκώς, οὐ δικαιῶν ἐκλέγειν τόκους ἐπὶ χρήμασιν, ἀλλὰ ἀνει-

P. 171. Syb. P. 473. Pou.

*) Proverb. 8, 17. **) Ibid. 9, 10. ***) Ibidem. 19, 23. †) Cf. Levit. 25, 35 sq. Deuteron. 23, 19 sq.

μέναις χεραὶ καὶ γνώμαις χαρίζεσθαι τοῖς δεομένοις, θεὸς γὰρ ὁ κτίστης τοιᾶσδε χάριτος, ἤδη δὲ ὁ μεταδοτικὸς καὶ τόκους ἀξιολόγους λαμβάνει τὰ τιμιώτατα τῶν ἐν ἀνθρώποις, ἡμερότητα, χρηστότητα, μεγαλόνοιαν, εὐφημίαν, εὔκλειαν.

§. 85. Ἆρ' οὐ δοκεῖ σοι φιλανθρωπίας εἶναι τὸ παράγγελμα τοῦτο ὥσπερ κἀκεῖνο, „μισθὸν πένητος αὐθημερὸν ἀποδιδόναι" *); ἀνυπερθέτως δεῖν διδάσκει ἐκτίνειν τὸν ἐπὶ ταῖς ὑπηρεσίαις μισθὸν, παραλύεται γὰρ οἶμαι ἡ προθυμία τοῦ πένητος ἀτροφήσαντος πρὸς τοὐπιόν. ἔτι φησὶ, δανειστὴς μὴ ἐπιστῇ χρεώστου οἰκίᾳ **), ἐνέχυρον μετὰ βίας ληψόμενος, ἀλλ' ὁ μὲν ἔξω προφέρειν κελευέτω, ὁ δὲ ἔχων μὴ ἀναδυέσθω. ἔν τε τῷ ἀμήτῳ ***) τὰ ἀποπίπτοντα τῶν δραγμάτων ἀναιρεῖσθαι κωλύει τοὺς κτήτορας, καθάπερ κἀν τῷ θερισμῷ ὑπολείπεσθαί τι παραινεῖ ἄτμητον, διὰ τούτου εὖ μάλα τοὺς μὲν κτήτορας εἰς κοινωνίαν καὶ μεγαλοφροσύνην συνασκῶν ἐκ τοῦ προϊέναι τι τῶν ἰδίων τοῖς δεομένοις, τοῖς πένησι δὲ ἀφορμὴν πορίζων τροφῶν.

§. 86. Ὁρᾷς ὅπως ἡ νομοθεσία τὴν τοῦ θεοῦ δικαιοσύνην ἅμα καὶ ἀγαθότητα καταγγέλλει τοῦ πᾶσιν ἀφθόνως χορηγοῦντος τὰς τροφάς. ἔν τε αὐτῇ τρυγῇ †) τὸ ἐπιέναι πάλιν τὰ καταλειφθέντα δρεπομένους καὶ τὸ τὰς ἀποπιπτούσας ῥῶγας συλλέγειν κεκώλυκεν, τὰ δ' αὐτὰ καὶ τοῖς ἐλάαις συλλέγουσιν διατάσσεται. ναὶ μὴν καὶ αἱ δεκάται τῶν τε καρπῶν καὶ τῶν θρεμμάτων εὐσεβεῖν τε εἰς τὸ θεῖον καὶ μὴ πάντα εἶναι φιλοκερδεῖς, μεταδιδόναι δὲ φιλανθρωπίας καὶ τοῖς πλησίον ἐδίδασκον. ἐκ τούτων γὰρ οἶμαι τῶν ἀπαρχῶν καὶ οἱ ἱερεῖς διετρέφοντο. ἤδη οὖν συνίεμεν εἰς εὐσέβειαν καὶ εἰς κοινωνίαν καὶ εἰς δικαιοσύνην καὶ εἰς φιλανθρωπίαν παιδευομένους

P. 474. Pott.

*) Leuit. 19, 13. Deuteron. 24, 14 sq. **) Cf. Deut. 24, 10 sq. ***) Cf. Leuit. 19, 9. 23, 22. Deuteron. 24, 19. †) Cf. Leuit. 22, 30. 32. Numer. 18, 21. 24.

ἡμᾶς πρὸς τοῦ νόμου. ἢ γὰρ οὐχὶ διὰ μὲν τοῦ ἑβδόμου ἔτους *) ἀργὴν ἀνίεσθαι τὴν χώραν προστάττει, τοὺς πένητας δὲ ἀδεῶς τοῖς κατὰ θεὸν φυεῖσι καρποῖς χρῆσθαι ἐκέλευεν τῆς φύσεως τοῖς βουλομένοις γεωργούσης; πῶς οὖν οὐ χρηστὸς ὁ νόμος καὶ δικαιοσύνης διδάσκαλος; πάλιν τε αὖ τῷ πεντηκοστῷ ἔτει *) τὰ αὐτὰ ἐπιτελεῖν κελεύει, ἃ καὶ τῷ ἑβδόμῳ, προσαποδιδοὺς ἑκάστῳ τὸ ἴδιον εἴ τις ἐν τῷ μεταξὺ διά τινα περίστασιν ἀφῃρέθη χωρίον, τήν τε ἐπιθυμίαν τῶν κτᾶσθαι ποθούντων περιορίζων χρόνῳ μεμετρημένῳ καρπώσεως τούς τε πενίᾳ μακρᾷ ὑποσχόντας δίκην μὴ διὰ βίου κολαζομένους ἑλών· „ἐλεημοσύναι δὲ καὶ πίστεις φυλακαὶ βασιλικαί" **), „εὐλογία δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος" ***) καὶ „ὁ ἐλεῶν πτωχοὺς μακαρισθήσεται" †), ὅτι τὴν ἀγάπην ἐνδείκνυται εἰς τὸ ὅμοιον διὰ τὴν ἀγάπην τὴν πρὸς τὸν δημιουργὸν τοῦ τῶν ἀνθρώπων γένους.

§. 87. Ἔχει μὲν οὖν καὶ ἄλλας ἐκδόσεις τὰ προειρημένα φυσικωτέρας περί τε ἀναπαύσεως καὶ τῆς ἀπολήψεως τῆς κληρονομίας, ἀλλ' οὐκ ἐν τῷ παρόντι λέλεκται. ἀγάπη δὲ πολλαχῶς νοεῖται διὰ πραότητος, διὰ χρηστότητος, δι' ὑπομονῆς, δι' ἀφθονίας καὶ ἀζηλίας, δι' ἀμισίας, δι' ἀμνησικακίας· ἀμέριστός ἐστιν ἐν πᾶσιν, ἀδιάκριτος, κοινωνική. πάλιν „ἐὰν ἴδῃς", φησὶ, „τῶν οἰκείων ἢ φίλων ἢ καθόλου ὧν γνωρίζεις ἀνθρώπων ἐν ἐρημίᾳ πλανώμενον ὑποζύγιον, ἀπαγαγὼν ἀπόδος. κἂν οὖν τύχῃ μακρὰν ἀφεστὼς ὁ δεσπότης μετὰ τῶν σαυτοῦ διαφυλάξας ἄχρις ἂν κομίσηται ἀπόδος ††). φυσικὴν κοινωνίαν διδάσκει τὸ εὕρημα παρακαταθήκην λογίζεσθαι μηδὲ μνησικακεῖν τῷ ἐχθρῷ.

§. 88. „Πρόσταγμα κυρίου πηγὴ ζωῆς" ὡς ἀληθῶς „ποιεῖ ἐκκλίνειν ἐκ παγίδος θανάτου" †††), τί δέ;

---

*) Cf. Levit. 25, 8 sqq. **) Proverb. 20, 28. ***) Ibid. 11, 26. †) Ibid. 14, 21. ††) Cf. Exod. 23, 4. Deuteron. 22, 1—3. †††) Proverb. 14, 27.

οὐχὶ τοὺς ἐπήλυδας *) ἀγαπᾶν κελεύει, οὐ μόνον ὡς φίλους καὶ συγγενεῖς, ἀλλ' ὡς ἑαυτοῦ κατά τε σῶμα καὶ ψυχήν; ναὶ μὴν καὶ τὰ ἔθνη τετίμηκεν καὶ τοῖς γε κακῶς πεποιηκόσιν οὐ μισοπονηρεῖ. ἄντικρυς γοῦν φησὶν „οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου κατ' Αἰγυπτον" **) ἤτοι τὸν ἐθνικὸν ἢ καὶ πάντα τὸν κοσμικὸν Αἰγύπτιον προσειπών. τούς τε πολεμίους ***) κἂν ἤδη τοῖς τείχεσιν ἐφεστῶτες ὦσιν, ἐλεῖν τὴν πόλιν πειρώμενοι μήπω νομίζεσθαι πολεμίους, ἄχρις ἂν αὐτοὺς ἐπικηρυκευσάμενοι προσκαλέσωνται πρὸς εἰρήνην. ναὶ μὴν καὶ τῇ αἰχμαλώτῳ †) οὐ πρὸς ὕβριν ὁμιλεῖν κελεύει, ἀλλὰ τὰς λ' ἡμέρας ἐπιτρέψας, φησί, πενθῆσαι ὡς βούλεται, μεταμφιάσας ὕστερον ὡς γαμετῇ νόμῳ συνέρχου· οὔτε γὰρ ἐφ' ὕβρει τὰς συνουσίας οὐδὲ μὴν διὰ μισθαρνίαν ὡς ἑταίρας, ἀλλ' ἢ διὰ μόνην τῶν τέκνων τὴν γένεσιν, γίνεσθαι τὰς ὁμιλίας ἀξιοῖ.

§. 89. Ὁρᾷς φιλανθρωπίαν μετ' ἐγκρατείας; τῷ ἐρῶντι κυρίῳ τῆς αἰχμαλώτου γεγονότι οὐκ ἐπιτρέπει χαρίζεσθαι τῇ ἡδονῇ, ἀνακόπτει δὲ τὴν ἐπιθυμίαν διαστήματι μεμετρημένῳ καὶ προσέτι ἀποκείρει τῆς αἰχμαλώτου καὶ τὰς τρίχας, ἵνα τὸν ἐφύβριστον δυσωπήσῃ ἔρωτα· εἰ γὰρ λογισμὸς ἀναπείθει γῆμαι καὶ γενομένης αἰσχρᾶς ἀνθέξεται. ἔπειτα ἐάν τις τῆς ἐπιθυμίας κατάκορος γενόμενος μηκέτι κοινωνεῖν τῇ αἰχμαλώτῳ καταξιώσῃ, μηδὲ πιπράσκειν ταύτην ἐξεῖναι διατάττεται, ἀλλὰ μηδὲ ἔτι θεράπαιναν ἔχειν, ἐλευθέραν δὲ εἶναι καὶ τῆς οἰκετίας ἀπαλλάττεσθαι βούλεται, ὡς μὴ γυναικὸς ἑτέρας ἐπεισελθούσης πάθῃ τι τῶν κατὰ ζηλοτυπίαν ἀνηκέστων.

§. 90. Τί δὲ καὶ ἐχθρῶν ὑποζύγια ἀχθοφορούντα συνεπικουφίζειν καὶ συνεγείρειν προστάσσει;

*) Cf. Exod. 22, 21. 23, 9. Levit. 19, 10. 33 sq. Numer. 15, 12 sq. **) Deuteron. 23, 7. ***) Cf. Ibid. 20, 10. †) Cf. Ibid. 21, 10 sq.

P. 172 Sylb. P. 476. Pott.

πόρρωθεν διδάσκων ἡμᾶς ὁ κύριος ἐπιχαίρεκακίαν μὴ ἀσπάζεσθαι μηδὲ ἐφήδεσθαι τοῖς ἐχθροῖς, ἵνα τούτοις ἐγγυμνασαμένους ὑπὲρ τῶν ἐχθρῶν προσεύχεσθαι διδάξῃ. οὔτε γὰρ φθονεῖν καὶ ἐπὶ τοῖς τοῦ ὄφεως ἀγαθοῖς λυπεῖσθαι προσῆκεν, οὐδὲ μὴν ἐπὶ τοῖς τοῦ πλησίον κακοῖς ἡδονὴν καρποῦσθαι. „κἂν πλανώμενον μέντοι", φησὶν, „ἐχθροῦ τινὸς ὑποζύγιον εὕρῃς, τὰ τῆς διαφορᾶς παραλιπὼν ὑπεκκαύματα ἀπαγαγὼν ἀπόδος· τῇ γὰρ ἀμνηστίᾳ ἕπεται ἡ καλοκἀγαθία, καὶ ταύτῃ ἡ τῆς ἔχθρας διάλυσις. ἐντεῦθεν εἰς ὁμόνοιαν καταρτιζόμεθα, ἡ δὲ εἰς εὐδαιμονίαν χειραγωγεῖ. κἂν τὸν ἐξ ἔθους ἐχθρὸν ὑπολάβῃς, παραλογιζόμενον δὲ τοῦτον ἀλόγως ἤτοι ἐπιθυμίᾳ ἢ καὶ θυμῷ καταλάβῃς, ἐπίστρεψον αὐτὸν εἰς καλοκἀγαθίαν *).

§. 91. Ἆρα ἤδη καταφαίνεται φιλάνθρωπος καὶ χρηστὸς ὁ νόμος „ὁ εἰς Χριστὸν παιδαγωγῶν" θεός τε ὁ αὐτὸς ἀγαθὸς μετὰ δικαιοσύνης ἀπ' ἀρχῆς εἰς τέλος ἐκάστῳ γένει προσφυῶς εἰς σωτηρίαν κεχρημένος. ἐλεᾶτε, φησὶν ὁ κύριος **), „ἵνα ἐλεηθῆτε· ἀφίετε ἵνα ἀφεθῇ ὑμῖν· ὡς ποιεῖτε, οὕτως ποιηθήσεται ὑμῖν· ὡς δίδοτε, οὕτως δοθήσεται ὑμῖν· ὡς κρίνετε, οὕτως κριθήσεσθε· ὡς χρηστεύεσθε, οὕτως χρηστευθήσεται ὑμῖν· ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν" ***). ἔτι τοὺς τροφῇ δουλεύοντας ἀτιμάζεσθαι κωλύει, τοὺς τε ἐκ δανείων καταδουλωθεῖσιν ἐκχειρίαν τῆς εἰς πᾶν δίδωσιν ἐνιαυτῷ ἑβδόμῳ †). ἀλλὰ καὶ ἑκέτας ἐκδιδόναι εἰς κόλασιν κωλύει. παντὸς οὖν μᾶλλον ἀληθὲς τὸ λόγιον ἐκεῖνο, „ὥσπερ δοκιμάζεται χρυσὸς καὶ ἄργυρος εἰς κάμινον, οὕτως ἐκλέγεται καρδίας ἀνθρώπων κύριος" ††)· καὶ „ὁ μὲν ἐλεήμων ἀνὴρ P. μακροθυμεῖ, ἐν παντί τε μεριμνῶντι ἔνεστι σοφία. ἐμ- 477. πεσεῖται γὰρ μέριμνα ἀνδρὶ νοήμονι, φρονιστὴς τε Pet.

*) Galat. 3, 24. **) Cf. Matth. c. 5 — 7. Luc. c. 6. ***) Matth. 7, 2. †) Cf. Lenit. 25, 39 sqq. Exod. 21, 2 sqq. Deuteron. 15, 12 sqq. ††) Proverbi. 17, 3.

ὧν ζωὴν ζητήσει, καὶ ὁ ζητῶν τὸν θεὸν εὑρήσει γνώσιν μετὰ δικαιοσύνης, οἱ δὲ ὀρθῶς ζητήσαντες αὐτὸν εἰρήνην εὗρον" *). ἐμοὶ δὲ δοκεῖ καὶ Πυθαγόρας τὸ ἥμερον τὸ περὶ τὰ ἄλογα ζῶα παρὰ τοῦ νόμου εἰληφέναι.

§. 92. Αὐτίκα τῶν γεννωμένων κατά τε τὰς πόας κατά τε τὰ αἰπόλια καὶ βουκόλια τῆς παραχρῆμα ἀπολαύσεως μηδὲ ἐπὶ προφάσει θυσιῶν δεηγόρευσεν ἐκγόνων τε ἕνεκα καὶ μητέρων εἰς ἡμερότητα τὸν ἄνθρωπον κάτωθεν ἀπὸ τῶν ἀλόγων ζώων ἀνατρέφων. χάρισαι γοῦν, φησὶ, τῇ μητρὶ τὸ ἔκγονον κἂν ἑπτὰ τὰς πρώτας ἡμέρας, εἰ γὰρ μηδὲν ἀνατείλας γίνεται, γάλα τε ἐπομβρεῖται ταῖς τετοκυίαις εἰς διατροφὴν τῶν ἐκγόνων ἀποσπῶν τῆς τοῦ γάλακτος οἰκονομίας τὸ τεχθὲν ἀτιμάζει τὴν φύσιν. δυσωπήσθωσαν οὖν Ἕλληνες καὶ εἴ τις ἕτερός ἐστι τοῦ νόμου καταφρόνων, εἰ ὃ μὲν καὶ ἐπ' ἀλόγων ζώων χρηστεύεται, οἱ δὲ καὶ τὰ τῶν ἀνθρώπων ἐκτιθέασιν ἔγγονα, καίτοι μακρόθεν καὶ προφητικῶς ἀνακόπτοντος αὐτῶν τὴν ἀγριότητα τοῦ νόμου διὰ τῆς προειρημένης ἐντολῆς, εἰ γὰρ τῶν ἀλόγων τὰ ἔκγονα διαζεύγνυσθαι τῆς τεκούσης πρὸ τῆς γαλακτουχίας ἀπαγορεύει, πολὺ πλέον ἐπ' ἀνθρώπων τὴν ὠμὴν καὶ ἀπιθάσσευτον προθεραπεύει γνώμην, ἵν' εἰ καὶ τῆς φύσεως, μαθήσεως γοῦν μὴ καταφρονῶσιν.

§. 93. Ἐρίφων μὲν γὰρ καὶ ἀρνῶν ἐμφορεῖσθαι ἐπιτέτραπται, καί τις ἴσως ἀπολογία τῷ διαζεύξαντι τῆς τεκούσης τὸ ἔκγονον, ἡ δὲ τοῦ παιδίου ἔκθεσις τίνα τὴν αἰτίαν ἔχει; ἐχρῆν γὰρ μηδὲ τὴν ἀρχὴν γῆμαι τῷ μηδὲ παιδοποιεῖσθαι γλιχομένῳ ἢ δι' ἡδονῆς ἀκρασίαν παιδόκτονόν γεγονέναι. πάλαι αὖ ὁ χρηστὸς νόμος ἀπαγορεύει ἡμέρᾳ τῇ αὐτῇ συγκατα- 478. θύειν ἔκγονον καὶ μητέρα. ἐντεῦθεν καὶ Ῥωμαῖοι Pott. εἰ καί τις ἔγκυος καταδικασθείη τὴν ἐπὶ θανάτῳ, οὐ

*) Proverb. 19, 11. 16, 23. 17, 12.

πρότερον ἐῶσιν ὑποσχεῖν τὴν τιμωρίαν πρὶν ἢ ἐκτεκεῖν. ἀντικρυς γοῦν καὶ ὅσα τῶν ζώων κυοφορεῖ ὁ νόμος οὐκ ἐπιτρέπει ἄχρις ἂν ἀποτέκῃ σφαγιάζεσθαι, μακρόθεν ἐπισχὼν τὴν εὐχέρειαν τῶν εἰς ἄνθρωπον ἀδικούντων. οὕτως ἄχρι καὶ τῶν ἀλόγων ζώων τὸ ἐπιεικὲς ἀπέτεινεν, ἵνα ἐν τοῖς ἀνομογενέσι ἀσκήσαντες πολλῇ τινὶ περιουσίᾳ φιλανθρωπίας ἐν τοῖς ὁμογενέσι χρησώμεθα.

§. 94. Οἱ δὲ καὶ περιλακτίζοντες τὰς γαστέρας πρὸ τῆς ἀποτέξεως ζώων τινῶν ἵνα δὴ γάλακτι ἀνακεκραμένην σάρκα θοινάζωνται τάφον τῶν κυοφορουμένων τὴν εἰς γένεσιν κτισθεῖσαν μήτραν πεποιήκασι, διαρρήδην τοῦ νομοθέτου κελεύοντος, „ἀλλ᾽ οὐδὲ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ“ *)· μὴ γὰρ γενέσθω ἢ τοῦ ζῶντος τροφὴ ἥδυσμα τοῦ ἀναιρεθέντος ζώου φησὶν ἡ σαρξ, μηδὲ τὸ τῆς ζωῆς αἴτιον συνεργὸν τῇ τοῦ σώματος καταναλώσει γινέσθω. ὁ δὲ αὐτὸς νόμος διαγορεύει „βοῦν ἁλοῶντα μὴ φιμοῦν“· δεῖ γὰρ καὶ „τὸν ἐργάτην τροφῆς ἀξιοῦσθαι“ **)· P. ἀπαγορεύει τε ἐν ταυτῷ καταζευγνύναι πρὸς ἄροτον 173 γῆς βοῦν καὶ ὄνον ***), τάχα μὲν καὶ τοῦ περὶ τὰ Sylb. ζῶα ἀνοικείου στοχασάμενος, δηλῶν δ᾽ ἅμα μηδένα τῶν ἑτεροεθνῶν ἀδικεῖν καὶ ὑπὸ ζυγὸν ἄγειν οὐδὲν ἔχοντας αἰτιάσασθαι ἢ ὅτι τὸ ἀλλογενές, ὅπερ ἐστὶν P. ἀναίτιον, μήτε κακίᾳ μήτε ἀπὸ κακίας ὁρμώμενον. 479. Pott. ἐμοὶ δὲ δοκεῖ καὶ μηνύειν ἡ ἀλληγορία μὴ δεῖν ἐπὶ σης καθαρῷ καὶ ἀκαθάρτῳ, πιστῷ τε καὶ ἀπίστῳ τῆς τοῦ λόγου μεταδιδόναι γεωργίας, διότι τὸ μέν ἐστι καθαρὸν ὁ βοῦς, ὄνος δὲ τῶν ἀκαθάρτων λελόγισται.

§. 95. Δαψιλευόμενος δὲ τῇ φιλανθρωπίᾳ ὁ χρηστὸς λόγος μηδὲ ὅσα τῆς ἡμέρου ὕλης ἐστὶ †),

*) Deuteron. 14, 21. **) Ibid. 25, 4. 1 Timoth. 5, 8. cll. Luc. 10, 7. Matth. 10, 10. ***) Deuteron. 22, 10. †) Cf. Ibid. v. 20. 19 sq.

δενδροτομεῖν ταῦτα προσῆκον εἶναι διδάσκει, μηδὲ μὴν κείρειν ἐπὶ λύμῃ στάχυν πρὸ τοῦ θερισμοῦ, ἀλλὰ μηδὲ συνόλως καρπὸν ἥμερον διαφθείρειν μήτε τὸν γῆς μήτε τὸν τῆς ψυχῆς, οὐδὲ γὰρ τὴν τῶν πολεμίων χώραν τέμνειν ἐᾷ. ναὶ μὴν καὶ γεωργικοὶ παρὰ τοῦ νόμου καὶ ταῦτα ὠφέληνται, κελεύει γὰρ τὰ νεόφυτα τῶν δένδρων ἐπὶ τριετίαν ἐξῆς τιθηνεῖσθαι τάς τε περιττὰς ἐπιφύσεις ἀποτέμνοντας ὑπὲρ τοῦ μὴ βαρυνόμενα πιέζεσθαι καὶ ὑπὲρ τοῦ μὴ κατακερματιζομένης τῆς τροφῆς δὲ ἔνδειαν ἐξασθενεῖν, γυροῦν τε καὶ περισκάπτειν ὡς μηδὲν παραβλαστάνον κωλύῃ τὴν αὔξησιν. τόν τε καρπὸν οὐκ ἐᾷ δρέπεσθαι ἀτελῆ ἐξ ἀτελῶν, ἀλλὰ μετὰ τριετίαν ἔτει τετάρτῳ καθιερώσαντα τὴν ἀπαρχὴν τῷ θεῷ μετὰ τὸ τελεωθῆναι τὸ δένδρον.

§. 96. Εἴη δ' ἂν οὗτος ὁ τῆς γεωργίας τύπος διδασκαλίας τρόπος, διδάσκων δεῖν τὰς παραφύσεις τῶν ἁμαρτιῶν ἐπικόπτειν καὶ τὰς συναναβλαλούσας τῷ γονίμῳ καρπῷ ματαίας τῆς ἐννοίας πόας, ἵνα ἂν τελειωθῇ καὶ βέβαιον γένηται τὸ ἔρνος τῆς πίστεως. τῷ τε γὰρ τετάρτῳ ἔτει, ἐπεὶ καὶ χρόνου χρεία τῷ κατηχουμένῳ βεβαίως, ἡ τετρὰς τῶν ἀρετῶν καθιεροῦται τῷ θεῷ τῆς τρίτης ἤδη μόνης συναπτούσης ἐπὶ τὴν τοῦ κυρίου τετάρτην ὑπόστασιν. θυσία δὲ αἰνέσεως ὑπὲρ ὁλοκαυτώματα· „οὗτος γάρ σοι", φησί, „δίδωσιν ἰσχὺν ποιῆσαι δύναμιν" *). ἐὰν δὲ φωτισθῇ σοὶ τὰ πράγματα λαβὼν καὶ κτησάμενος ἰσχὺν ἐν γνώσει ποίει δύναμιν. ἐμφαίνει γὰρ διὰ τούτων τά τε ἀγαθὰ τάς τε δωρεὰς παρὰ τοῦ θεοῦ χορηγεῖσθαι, καὶ δεῖν ἡμᾶς διακόνους γενομένους τῆς θείας χάριτος σπείρειν τὰς τοῦ θεοῦ εὐποιίας καὶ τοὺς πλησιάζοντας κατασκευάζειν καλούς τε καὶ ἀγαθούς, ἵνα ὡς ὅτι μάλιστα ὁ μὲν σώφρων τοὺς ἐγκρατεῖς, ὁ δὲ ἀνδρεῖος τοὺς γενναίους συνετούς τε ὁ φρόνιμος καὶ δίκαιος τοὺς δικαίους ἐκτελῇ.

P. 480. Pott.

*) Deuteron. 8, 18.

Cap. XIX.

§. 97. Οὗτός ἐστιν ὁ κατ' εἰκόνα καὶ ὁμοίωσιν ὁ γνωστικὸς ὁ μιμούμενος τὸν θεὸν καθόσον οἷόν τε, μηδὲν παραλιπὼν τῶν εἰς τὴν ἐνδεχομένην ὁμοίωσιν, ἐγκρατευόμενος, ὑπομένων, δικαίως βιοὺς, βασιλεύων τῶν παθῶν, μεταδιδοὺς ὧν ἔχει, ὡς οἷός τέ ἐστιν εὐεργετῶν καὶ λόγῳ καὶ ἔργῳ. οὗτος „μέγιστος", φησὶν, „ἐν τῇ βασιλείᾳ ὃς ἂν ποιῇ καὶ διδάσκῃ" *) μιμούμενος τὸν θεὸν τῷ παραπλήσια χαρίζεσθαι, κοινωφελεῖς γὰρ αἱ τοῦ θεοῦ δωρεαί. „ὃς δ' ἂν ἐγχειρῇ τι πράσσειν μεθ' ὑπερηφανίας, τὸν θεὸν παροξύνει" **) φησίν· ἀλαζονείᾳ γὰρ ψυχῆς ἐστὶ κακία, ἀφ' ἧς καὶ τῶν ἄλλων κακιῶν μετανοεῖν κελεύει ἁρμοζομένοις τὸν βίον ἐξ ἀναρμοστίας πρὸς τὴν ἀμείνω μεταβολὴν διὰ τῶν τριῶν τούτων, στόματος, καρδίας, χειρῶν.

§. 98. Σύμβολον δ' ἂν εἴη ταῦτα πράξεως μὲν αἱ χεῖρες, βουλῆς δὲ ἡ καρδία καὶ λόγου στόμα. καλῶς οὖν ἐπὶ τῶν μετανοούντων εἴρηται τὸ λόγιον ἐκεῖνο· „τὸν θεὸν εἵλου σήμερον εἶναί σου θεὸν, καὶ κύριος εἵλετό σε σήμερον γενέσθαι λαὸν αὐτῷ" ***). P. τὸν γὰρ σπεύδοντα θεραπεύειν τὸ ὂν οἰκέτην ὄντα 481. ἐξοικειοῦται ὁ θεός. κἂν εἷς ᾖ τὸν ἀριθμὸν, ἐπ' ἴσης Pott. τῷ λαῷ τετίμηται, μέρος γὰρ ὢν τοῦ λαοῦ συμπληρωτικὸς αὐτοῦ γίνεται ἀποκατασταθεὶς ἐξ οὗ ἦν, καλεῖται δὲ καὶ ἐκ μέρους τὸ πᾶν. αὕτη δὲ ἡ εὐγένεια, ἐν τῷ ἑλέσθαι καὶ συνασκῆσαι τὰ κάλλιστα διαδείκνυται, ἐπεὶ τί τὸν Ἀδὰμ ὠφέλησεν ἡ τοιαύτη αὐτοῦ εὐγένεια; πατὴρ δὲ αὐτοῦ θνητὸς οὐδεὶς, αὐτὸς γὰρ ἀνθρώπων τῶν ἐν γενέσει πατήρ. τὰ μὲν αἰσχρὰ οὗτος προθύμως εἵλετο ἑπόμενος τῇ γυναικὶ, τῶν δὲ

*) Matth. 5, 19. **) Numer. 15, 30. ***) Deuteron. 26, 17 sq.

ἀληθῶν καὶ καλῶν ἠμέλησεν, ἐφ' οἷς θνητὸν ἀθανάτου βίον, ἀλλ' οὐκ εἰς τέλος ἀνθυπηλλάξατο.

§. 99. Νῶε δὲ ὁ μὴ οὕτω γενόμενος ὡς ὁ Ἀδὰμ ἐπισκοπῇ θείᾳ διασώζεται, φέρων γὰρ αὐτὸν ἀνέθηκε τῷ θεῷ. τόν τε Ἀβραὰμ ἐκ τριῶν παιδοποιησάμενον γυναικῶν οὐ δι' ἡδονῆς ἀπόλαυσιν, δι' ἐλπίδα δὲ οἶμαι τοῦ πληθῦναι τὸ γένος ἐν ἀρχῇ εἰς μόνος διαδέχεται κληρονόμος τῶν πατρῴων ἀγαθῶν, οἱ δὲ ἄλλοι διῳκίσθησαν τῆς συγγενείας, ἔκ τε αὐτοῦ διδύμων γενομένων ὁ νεώτερος κληρονομεῖ εὐάρεστος τῷ πατρὶ γενόμενος, καὶ τὰς εὐχὰς λαμβάνει, δουλεύει δὲ ὁ πρεσβύτερος αὐτῷ· ἀγαθὸν γὰρ μέγιστον τῷ φαύλῳ τὸ μὴ αὐτεξούσιον. ἡ δὲ οἰκονομία αὕτη καὶ προφητικὴ καὶ τυπική. ὅτι δὲ τοῦ σοφοῦ πάντα ἐστὶ σαφῶς μηνύει λέγων, „διότι ἠλέησέν με ὁ Θεὸς, ἔστι μοι πάντα" *). ἑνὸς γὰρ δεῖν ὀρέγεσθαι διδάσκει δὲ οὗ τὰ πάντα γέγονεν καὶ τοῖς ἀξίοις τὰ ἐπηγγελμένα νέμεται. P. 482. Pott.

§. 100. Κληρονόμον οὖν τὸν σπουδαῖον γενόμενον τῆς βασιλείας συμπολίτην διὰ τῆς θείας σοφίας ἀναγράφει καὶ τῶν πάλαι δικαίων τῶν κατὰ τὸν νόμον καὶ πρὸ νόμου νομίμως βεβιωκότων ὧν αἱ πράξεις νόμοι γεγόνασιν εἰς ἡμᾶς. πάλιν τε αὖ βασιλέα τὸν σοφὸν διδάσκων τοὺς μὴ ὁμοφύλους ποιεῖ λέγοντας αὐτῷ, „βασιλεὺς παρὰ θεοῦ σὺ ἐν ἡμῖν εἶ" **). ἐθελουσίῳ γνώμῃ τῶν ἀρχομένων διὰ ζῆλον ἀρετῆς ὑπακούοντων τῷ σπουδαίῳ. Πλάτων δὲ ὁ φιλόσοφος εὐδαιμονίας τέλος τιθέμενος ὁμοίωσιν θεῷ φησὶν αὐτὴν εἶναι κατὰ τὸ δυνατὸν, εἴτε καὶ συνδρομῶν πως τῷ δόγματι τοῦ νόμου — αἱ γὰρ μεγάλαι φύσεις καὶ γυμναὶ παθῶν εὐστοχοῦσί πως περὶ τὴν ἀλήθειαν, ὥς φησιν ὁ Πυθαγόρειος Φίλων τὰ Μωϋσέως ἐξηγούμενος —, εἴτε καὶ παρὰ τινὰν τότε λογίων ἀναδιδαχθεὶς ἅτε μαθήσεως ἀεὶ διψῶν. φησὶ γὰρ ὁ νόμος, „ὀπίσω

*) Genes. 33, 11. **) Ibid. v. 6.

κυρίου τοῦ θεοῦ ὑμῶν πορεύεσθε καὶ τὰς ἐντολάς μου φυλάξετε" *). τὴν μὲν γὰρ ἐξομοίωσιν ὁ νόμος ἀκολουθίαν ὀνομάζει, ἡ δὲ τοιαύτη ἀκολουθία κατὰ δύναμιν ἐξόμοιοῖ". „γίνεσθε", φησὶν ὁ κύριος „ἐλεήμονες καὶ οἰκτίρμονες ὡς ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος οἰκτίρμων ἐστίν" **).

§. 101. Ἐντεῦθεν καὶ οἱ Στωϊκοὶ τὸ ἀκολούθως τῇ φύσει ζῆν τέλος εἶναι ἐδογμάτισαν τὸν θεὸν εἰς φύσιν μετονομάσαντες εὐπρεπῶς, ἐπειδὴ ἡ φύσις καὶ εἰς φυτὰ καὶ εἰς σπαρτὰ καὶ εἰς δένδρα καὶ εἰς λίθους διατείνει. σαφῶς τοίνυν εἴρηται· „ἄνδρες κακοὶ οὐ νοοῦσι νόμον, οἱ δὲ ἀγαπῶντες νόμον προβάλλουσιν ἑαυτοῖς τεῖχος" ***). „σοφία" γὰρ „πανούργων ἐπιγνώσεται τὰς ὁδοὺς αὐτῆς, ἄνοια δὲ ἀφρόνων ἐν πλάνῃ" †). ἐπὶ τίνα γὰρ ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾷον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους" ††); ἡ προφητεία λέγει. τριττὰ δὲ εἴδη φιλίας διδασκόμεθα, καὶ τούτων τὸ μὲν πρῶτον καὶ ἄριστον τὸ κατ' ἀρετήν, στερρὰ γὰρ ἡ ἐκ λόγου ἀγάπη. τὸ δὲ δεύτερον καὶ μέσον κατ' ἀμοιβήν, κοινωνικὸν δὲ τοῦτο καὶ μεταδοτικὸν καὶ βιωφελές, κοινὴ γὰρ ἡ ἐκ χάριτος φιλία. τὸ δὲ ὕστατον καὶ τρίτον ἡμεῖς μὲν τὸ ἐκ συνηθείας φαμέν, οἱ δὲ τὸ καθ' ἡδονὴν τρεπτὸν καὶ μεταβλητόν.

§. 102. Καί μοι δοκεῖ παγκάλως Ἱππόδαμος ὁ Πυθαγόρειος γράφειν· „τῶν φιλιῶν ἃ μὲν ἐξ ἐπιστάμας θεῶν, ἃ δ' ἐκ παροχᾶς ἀνθρώπων, ἃ δὲ ἐξ ἀδονᾶς ζώων". οὐκοῦν ἡ μέν τίς ἐστι φιλοσόφου φιλία, ἡ δὲ ἀνθρώπου, ἡ δὲ ζώου. τῷ γὰρ ὄντι εἰκὼν τοῦ θεοῦ ἄνθρωπος εὐεργετῶν, ἐν ᾧ καὶ αὐτὸς εὐεργετεῖται, ὥσπερ γὰρ ὁ κυβερνήτης ἅμα σώζει καὶ σώζεται. διὰ τοῦτο ὅταν τις αἰτῶν τύχῃ, οὐ φησὶ τῷ διδόντι „καλῶς ἔδωκας", ἀλλὰ „καλῶς εἴληφας". οὕτω λαμβάνει μὲν ὁ διδούς, δίδωσι δὲ ὁ λαμβάνων.

*) Deuteron. 13, 4. **) Luc. 6, 36. ***) Proverb. 28, 4 sq. † Ibid. 14, 8. ††) Iesai. 66, 2.

„δίκαιοι δὲ οἰκτείρουσι καὶ ἐλεοῦσι" *), „χρηστοὶ δὲ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐπ' αὐτῆς, οἱ δὲ παρανομοῦντες ἐξολοθρευθήσονται ἀπ' αὐτῆς" **). καί μοι δοκεῖ τὸν πιστὸν προμαντευόμενος Ὅμηρος εἰρηκέναι, „δὸς φίλῳ". ἐχθρῷ δὲ ἐπικουρητέον ἵνα μὴ μείνῃ ἐχθρὸς, ἐπικουρίᾳ γὰρ εὔνοια μὲν συνδεῖται, λύεται δὲ ἔχθρα. ἀλλ' „εἰ καὶ προθυμία πρόκειται καθὸ ἐὰν ἔχῃ εὖ πρόσδεκτος, οὐ καθὸ οὐκ ἔχει· οὐ γὰρ ἵνα ἄλλοις ἄνεσις, ἡμῖν δὲ θλῖψις, ἀλλ' ἐξ ἰσότητος ἐν τῷ νῦν καιρῷ" ***) καὶ τὰ ἑξῆς, „ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα" †) ἡ γραφὴ λέγει· τὸ γὰρ κατ' εἰκόνα καὶ ὁμοίωσιν ὡς καὶ πρόσθεν εἰρήκαμεν, οὐ τὸ κατὰ σῶμα μηνύεται, οὐ γὰρ θέμις θνητὸν ἀθανάτῳ ἐξομοιοῦσθαι, ἀλλ' ἢ κατὰ νοῦν καὶ λογισμὸν, ᾧ καὶ τὴν πρὸς τὸ εὐεργετεῖν καὶ τὴν πρὸς τὸ ἄρχειν ὁμοιότητα προσηκόντως ὁ κύριος ἐνσφραγίζεται· οὐ γὰρ αἱ ἡγεμονίαι σωμάτων ποιότησιν, ἀλλὰ διανοίας κρίσεσι κατορθοῦνται, βουλαῖς γὰρ ἀνδρῶν ὅσιων εὖ μὲν οἰκοῦνται πόλεις, εὖ δ' οἶκος. P. 484.

Pott.

Cap. XX.

§. 103. Ἡ γε μὴν καρτερία καὶ αὐτὴ εἰς τὴν θείαν ἐξομοίωσιν βιάζεται δι' ὑπομονῆς ἀπάθειαν καρπουμένη, εἴ τῳ ἔναυλα τὰ ἐπὶ τὸν Δανιὴλ ἱστορούμενα. ὧν εἷς καὶ Δανιὴλ ὁ προφήτης ἦν θείας πίστεως πεπληρωμένος. Βαβυλῶνα ὤκει Δανιὴλ καθάπερ ὁ μὲν Λὼτ τὰ Σόδομα, τὴν Χαλδαίων δὲ γῆν ὁ Ἀβραὰμ ὁ μετ' ὀλίγον φίλος τοῦ θεοῦ. κατήγαγεν οὖν εἰς ὀργυιὰ θηρίων ἔμπλεων τὸν Δανιὴλ ὁ Βαβυλωνίων βασιλεὺς, ἀνήγαγε δὲ αὐτὸν ἀβλαβῆ ὁ ἁπάντων βασιλεὺς ὁ πιστὸς κύριος. ταύτην κτήσεται τὴν

*) Proverb. 21, 26. **) Ibid. 2, 21 sq. ***) 1 Corinth. 8, 12 sq. †) Ps. 112, 9.

ὑπομονὴν ὁ γνωστικὸς ἢ γνωστικὸς, εὐλογήσει πειραζόμενος ὡς ὁ γενναῖος Ἰὼβ, ὡς Ἰωνᾶς εὔξεται καταπινόμενος ὑπὸ κήτους.

§. 104. Καὶ ἡ πίστις αὐτὸν ἀποκαταστήσει Νινευΐταις προφητεύοντα, κἂν μετὰ λεόντων καθειρχθῇ, ἡμερώσει τὰ θηρία, κἂν εἰς πῦρ ἐμβληθῇ, δροσισθήσεται, ἀλλ' οὐκ ἐκπυρωθήσεται, μαρτυρήσει νήκτωρ, μαρτυρήσει μεθ' ἡμέραν, ἐν λόγῳ, ἐν βίῳ, ἐν τρόπῳ μαρτυρήσει· σύνοικος ἐν τῷ κυρίῳ, ὀαριστής τε καὶ συνέστιος κατὰ τὸ πνεῦμα διαμένει καθαρὸς μὲν τὴν σάρκα, καθαρὸς δὲ τὴν καρδίαν, ἡγιασμένος τὸν λόγον. „ὁ κόσμος τούτῳ", φησὶν, „ἐσταύρωται καὶ αὐτὸς τῷ κόσμῳ" *). οὗτος τὸν σταυρὸν τοῦ σωτῆρος περιφέρων ἕπεται κυρίῳ μετ' ἴχνιον ὥστε θεὸς ὅμοιος ἁγίων γενόμενος.

§. 105. Πάσης τοίνυν ἀρετῆς μεμνημένος ὁ θεῖος νόμος ἀλείφει μάλιστα τὸν ἄνθρωπον ἐπὶ τὴν ἐγκράτειαν, θεμέλιον ἀρετῶν κατατιθέμενος ταύτην, καὶ δὴ προπαιδεύει ἡμᾶς εἰς τὴν περιποίησιν τῆς ἐγκρατείας ἀπὸ τῆς τῶν ζώων χρήσεως ἀπαγορεύων μεταλαμβάνειν τῶν ὅσα φύσει πίονα καθάπερ τὸ τῶν συῶν γένος εὐσαρκότατον τυγχάνον, τρυφητιῶσι γὰρ ἡ τοιαύτη χρῆσις χορηγεῖται. λέγεται γοῦν τινὰ τῶν φιλοσοφούντων ἐτυμολογοῦντα τὴν ὖν θῦν εἶναι φάναι, ὡς εἰς θύσιν καὶ σφαγὴν μόνον ἐπιτήδειον, δεδόσθαι γὰρ τῷδε τῷ ζώῳ ψυχὴν πρὸς οὐδὲν ἕτερον ἢ ἕνεκα τοῦ τὰς σάρκας σφριγᾶν. τῶν τε ἰχθύων ὁμοίως ἀπηγόρευσε μεταλαμβάνειν στέλλων ἡμῶν τὰς ἐπιθυμίας ἐκείνων οἷς μήτε πτερύγια μήτε λεπίδες εἰσὶν, εὐσαρκία γὰρ καὶ πιότητι τῶν ἄλλων ἰχθύων P. οὗτοι διαφέρουσιν.

175 §. 106. Ἐντεῦθεν οἶμαι καὶ τὰς τελετὰς οὐ μό- P
Sylb. νων τινῶν ζώων ἀπαγορεύειν ἅπτεσθαι, ἀλλ' ἔστιν ἃ καὶ τῶν καταθυομένων ὑπεξείλετο τῆς χρήσεως μέρη Pott.

*) Gal. 6, 14.

δι' αἰτίας ἃς ἴσασιν οἱ μύσται, εἰ δὴ γαστρὸς καὶ τῶν ὑπὸ γαστέρα κρατητέον δῆλον ὡς ἄνωθεν παρειλήφαμεν παρὰ τοῦ κυρίου διὰ τοῦ νόμου τὴν ἐπιθυμίαν ἐκκόπτειν. γένοιτο δ' ἂν τελείως τοῦτο, εἰ τοῦ ὑπερκαύματος τῆς ἐπιθυμίας τῆς ἡδονῆς λέγω, ἀνυποκρίτως καταγνοίημεν. φασὶ δὲ αὐτῆς εἶναι τὴν ἔννοιαν κίνησιν λείαν καὶ προσηνῆ μετά τινος αἰσθήσεως. ταύτῃ δουλεύοντα τὸν Μενέλεων μετὰ τὴν Ἰλίου ἅλωσιν φασὶν ὁρμήσαντα τὴν Ἑλένην ἀπελεῖν ὡς κακῶν τοσούτων αἰτίαν γενομένην, ὅμως οὐ κατισχῦσαι πρᾶξαι ἡττηθέντα τῷ κάλλει δι' οὗ ἐπὶ τὴν ἀνάμνησιν τῆς ἡδονῆς ἀφίκετο.

§. 107. Ὅθεν ἐπισκώπτοντες οἱ τραγῳδοποιοὶ ἀνειδιστικῶς ἐπεβόησαν αὐτῷ,

σὺ δ' ὡς ἐσεῖδες μαστὸν ἐκβαλὼν ξίφος
φίλημ' ἑδέξω, προδότιν αἰκάλλων κύνα.

καὶ πάλιν·

ἆρ' εἰς τὸ κάλλος ἐκκεκώφηνται ξίφη;

ἐγὼ δὲ ἀποδέχομαι τὸν Ἀντισθένην τὴν Ἀφροδίτην λέγοντα κἂν κατατοξεύσαιμι, εἰ λάβοιμι, ὅτι πολλὰς ἡμῶν καλὰς καὶ ἀγαθὰς γυναῖκας διέφθειρεν. τόν τε ἔρωτα κακίαν φησὶ φύσεως· ἧς ἥττους ὄντες οἱ κακοδαίμονες θεὸν τὴν νόσον καλοῦσιν· δείκνυται γὰρ διὰ τούτων ἡττᾶσθαι τοὺς ἀμαθεστέρους δι' ἄγνοιαν ἡδονῆς ἣν οὐ χρὴ προσίεσθαι κἂν θεὸς λέγηται. τουτέστι κἂν θεόθεν ἐπὶ τὴν τῆς παιδοποιίας χρείαν δεδομένη τυγχάνῃ. καὶ ὁ Ξενοφῶν ἀντικρυς κακίαν λέγων τὴν ἡδονὴν φησιν· ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν οἶσθα ἢ τί καλὸν σκοπεῖς; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, πρὶν μὲν πεινῆν ἐσθίουσα, πρὶν δὲ διψῆν πίνουσα καὶ ἵνα μὲν ἡδέως φάγῃς ὀψοποιοὺς μηχανωμένη, ἵνα δὲ ἡδέως πίνῃς οἴνους πολυτελεῖς παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς, ἵνα δὲ κατακοιμηθῇς ἡδέως οὐ μόνον τὰς κλίνας μαλθακὰς, ἀλλὰ καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζῃ.

§. 108. Ὅθεν ὡς ἔλεγεν Ἀρίστων πρὸς ὅλον τὸ τετράχορδον, ἡδονὴν, λύπην, φόβον, ἐπιθυμίαν, πολλῆς δεῖ τῆς ἀσκήσεως καὶ μάχης,

οὗτοι γὰρ, οὗτοι καὶ διὰ σπλάγχνων ἔσω
χωροῦσι καὶ κυκῶσιν ἀνθρώπων κέαρ.

καὶ γὰρ τῶν σεμνῶν οἰομένων εἶναι τοὺς θυμοὺς ἡ ἡδονὴ κηρίνους ποιεῖ κατὰ Πλάτωνα, ὅτι ἑκάστη ἡδονή τε καὶ λύπη προσπασσαλοῖ τῷ σώματι τὴν ψυχὴν τοῦ γε μὴ ἀφορίζοντος καὶ ἀποσταυροῦντος ἑαυτὸν τῶν παθῶν. „ὁ ἀπολέσας τὴν ψυχὴν τὴν ἑαυτοῦ", φησὶν ὁ κύριος, „σώσει αὐτὴν" *), ἤτοι ἐνδοξοκινδύνως ὑπὲρ τῆς σωτῆρος αὐτὴν ἐπιδιδοὺς ὡς αὐτὸς ὑπὲρ ἡμῶν πεποίηκεν ἢ ἀπολέσας αὐτὴν ἐκ τῆς πρὸς τὸν συνήθη βίον κοινωνίας. ἐὰν γὰρ ἀπολῦσαι καὶ ἀποστῆσαι καὶ ἀφορίσαι — τοῦτο γὰρ ὁ σταυρὸς σημαίνει — τὴν ψυχὴν ἐθελήσῃς τῆς ἐν τούτῳ τῷ ζῆν τέρψεώς τε καὶ ἡδονῆς, ἕξεις αὐτὴν ἐν τῇ ἐλπίδι τῇ προσδοκωμένῃ εὑρημένην καὶ ἀναπεπαυμένην.

§. 109. Εἴη δ' ἂν τοῦτο μελέτη θανάτου, εἰ μόναις ταῖς κατὰ φύσιν μεμετρημέναις ὀρέξεσι μηδὲν ὑπεροριζούσαις τῶν κατὰ φύσιν, ἐπὶ τὸ μᾶλλον ἢ παρὰ φύσιν ἔνθα τὸ ἁμαρτητικὸν φύεται, ἀρκεῖσθαι βουλοίμεθα. „ἐνδύσασθαι οὖν δεῖ τὴν πανοπλίαν τοῦ θεοῦ πρὸς τὸ δύνασθαι ἡμᾶς στῆναι πρὸς τὰς μεθοδείας τοῦ διαβόλου" **), „ἐπεὶ τὰ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ θεῷ, πρὸς καθαίρεσιν ὀχυρωμάτων λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ, καὶ αἰχμαλωτίζοντες πᾶν νόημα εἰς τὴν ὑπακοὴν τοῦ Χριστοῦ" ***), ὁ θεῖός φησιν ἀπόστολος. ἀνδρὸς δὴ χρεία ὅστις θαυμαστῶς καὶ ἀσυγχύτως τοῖς πράγμασι χρήσεται ἀφ' ὧν τὰ πάθη ὁρμᾶται, οἷον πλούτῳ καὶ πενίᾳ καὶ δόξῃ καὶ ἀδοξίᾳ, ὑγείᾳ καὶ νόσῳ, ζωῇ καὶ θανάτῳ,

Ps. 48.

*) Matth. 10, 39. Marc. 8, 35. **) Ephes. 6, 11. ***) 2 Corinth. 10, 4 sq.

πόνῳ καὶ ἡδονῇ. Ἵνα γὰρ ἀδιαφόρως τοῖς διαφόροις χρήσωμαι, πολλῆς ἡμῖν δεῖ διαφορᾶς ἅτε προκεκακωμένοις ἀσθενείᾳ πολλῇ καὶ προδιαστροφῇ κακῆς ἀγωγῆς τε καὶ τροφῆς μετὰ ἀμαθίας προαπολελαυκόσιν.

§. 110. Ὁ μὲν οὖν ἁπλοῦς λόγος τῆς καθ' ἡμᾶς φιλοσοφίας τὰ πάθη πάντα ἐναπερείσματα τῆς ψυχῆς φησὶν εἶναι τῆς μαλθακῆς καὶ εἰκούσης καὶ οἷον ἐναποσφραγίσματα τῶν πνευματικῶν δυνάμεων, ὁπρὸς ἃς ἡ πάλη ἡμῖν. ἔργον γὰρ οἶμαι ταῖς κακούργοις δυνάμεσιν ἐνεργεῖν τι τῆς ἰδίας ἕξεως παρ' ἕκαστα πειρᾶσθαι εἰς τὸ καταγωνίσασθαι καὶ ἐξιδιοποιήσασθαι τοὺς ἀπειπαμένους αὐτάς. ἕπεται δ' εἰκότως τοὺς μὲν καταπαλαίεσθαι, ὅσοι δὲ ἀθλητικώτεραν τὸν ἀγῶνα μεταχειρίζονται πάμμαχον ἀγωνισάμενοι καὶ μέχρι τοῦ στεφάνου χωρήσασαι αἱ προειρημέναι δυνάμεις ἐν πολλῷ τῷ λύθρῳ, τότε δὴ ἀπαυδῶσι θαυμάζουσαι τοὺς νικηφόρους. τῶν γὰρ κινουμένων ἃ μὲν καθ' ὁρμὴν καὶ φαντασίαν κινεῖται, ὡς τὰ ζῶα, τὰ δὲ κατὰ μετάθεσιν ὡς τὰ ἄψυχα. κινεῖσθαι δὲ καὶ τῶν ἀψύχων τὰ φυτὰ μεταβατικῶς φασὶν εἰς αὔξησιν, εἴ τις αὐτοῖς ἄψυχα εἶναι συγχωρήσει τὰ φυτά.

§. 111. Ἕξεως μὲν οὖν οἱ λίθοι, φύσεως δὲ τὰ φυτά, ὁρμῆς τε καὶ φαντασίας τῶν τε αὖ δυεῖν τῶν προειρημένων καὶ τὰ ἄλογα μετέχει ζῶα. ἡ λογικὴ δὲ δύναμις ἰδία οὖσα τῆς ἀνθρωπείας ψυχῆς οὐχ ὡσαύτως τοῖς ἀλόγοις ζώοις ὁρμᾶν ὀφείλει, ἀλλὰ καὶ διακρίνειν τὰς φαντασίας καὶ μὴ συναποφέρεσθαι αὐταῖς. αἱ τοίνυν δυνάμεις περὶ ὧν εἰρήκαμεν χάλλη καὶ δόξας καὶ μοιχείας καὶ ἡδονὰς καὶ τοιαύτας τινὰς φαντασίας δελεαστικὰς προτείνουσι ταῖς εὐεπιφόροις ψυχαῖς καθάπερ οἱ ἀπελαύνοντες τὰ θρέμματα θαλλοὺς προσιέντες, εἶτα κατασοφισάμεναι τοὺς μὴ διακρίνειν δυνηθέντας τὴν ἀληθῆ ἀπὸ ψεύδους ἡδονὴν καὶ τὸ ἐπικηρόν τε καὶ ἐφύβριστον ἀπὸ τοῦ ἁγίου κάλλους ἄγουσιν δουλωσάμεναι. ἑκάστη δὲ ἀπάτη συν-

ἐχῶς ἐναπερειδομένη τῇ ψυχῇ τὴν φαντασίαν ἐν αὐτῇ τυποῦται. καὶ δὴ τὴν εἰκόνα ἔλαθεν περιφέρουσα τοῦ πάθους ἡ ψυχὴ τῆς αἰτίας ἀπό τε τοῦ δελέατος καὶ τῆς ἡμῶν συγκαταθέσεως γινομένης.

§. 112. Οἱ δ' ἀμφὶ τὸν Βασιλείδην προσαρτήματα τὰ πάθη καλεῖν εἰώθασιν, πνεύματά τινα ταῦτα κατ' οὐσίαν ὑπάρχειν προσηρτημένα τῇ λογικῇ ψυχῇ κατά τινα τάραχον καὶ σύγχυσιν ἀρχικὴν, ἄλλας τε αὖ πνευμάτων νόθους καὶ ἑτερογενεῖς φύσεις προσεπιφύεσθαι ταύταις, οἷον λύκου, πιθήκου, λέοντος, τράγου, ὧν τὰ ἰδιώματα περὶ τὴν ψυχὴν φανταζόμενα τὰς ἐπιθυμίας τῆς ψυχῆς τοῖς ζώοις ἐμφερῶς ἐξομοιοῦν λέγουσιν· ὧν γὰρ ἰδιώματα φέρουσι, τούτων τὰ ἔργα μιμοῦνται, καὶ οὐ μόνον ταῖς ὁρμαῖς καὶ φαντασίαις τῶν ἀλόγων ζώων προσοικειοῦνται, ἀλλὰ καὶ φυτῶν κινήματα καὶ κάλλη ζηλοῦσι διὰ τὸ καὶ φυτῶν ἰδιώματα προσηρτημένα φέρειν. P. 188. Pos.

§. 113. Ἔχει δὲ καὶ ἕξεως ἰδιώματα οἷον ἀδάμαντος σκληρίαν. ἀλλὰ μὲν πρὸς τὸ δόγμα τοῦτο διαλεξόμεθα ὕστερον, ὁπηνίκα περὶ ψυχῆς διαλαμβάνομεν, νῦν δὲ τοῦτο μόνον παρασημειωτέον, ὡς δουρείου τινὸς ἵππου κατὰ τὸν ποιητικὸν μῦθον, εἰκόνα σώζει ὁ κατὰ Βασιλείδην ἄνθρωπος ἐν ἑνὶ σώματι τοσούτων πνευμάτων διαφόρων στρατὸν ἐγκολπισμένος. αὐτὸς γοῦν ὁ τοῦ Βασιλείδου υἱὸς Ἰσίδωρος ἐν τῷ περὶ προσφυοῦς ψυχῆς συναισθόμενος τοῦ δόγματος οἷον ἑαυτοῦ κατηγορῶν γράφει κατὰ λέξιν· ἐὰν γάρ τινι πεῖσμα δῶς, ὅτι μὴ ἔστιν ἡ ψυχὴ μονομερὴς, τῇ δὲ τῶν προσαρτημάτων βίᾳ τὰ τῶν χειρόνων γίνεται πάθη, πρόφασιν οὐ τὴν τυχοῦσαν ἕξουσιν οἱ μοχθηροὶ τῶν ἀνθρώπων λέγειν. ἐβιάσθην, ἀπηνέχθην, ἄκων ἔδρασα, μὴ βουλόμενος ἐνήργησα, τῆς τῶν κακῶν ἐπιθυμίας αὐτὸς ἡγησάμενος καὶ οὐ μαχεσάμενος ταῖς τῶν προσαρτημάτων βίαις.

§. 114. Δεῖ δὲ τῷ λογιστικῷ κρείττονας γενομένους τῆς ἐλάττονος ἐν ἡμῖν κτίσεως φανῆναι κρα-

τοῦντας. δύο γὰρ δὴ ψυχὰς ὑποτίθεται καὶ οὗτος ἐν ἡμῖν καθάπερ οἱ Πυθαγόρειοι περὶ ὧν ὕστερον ἐπισκεψόμεθα. ἀλλὰ καὶ Οὐαλεντῖνος πρός τινας ἐπιστέλλων αὐταῖς λέξεσι γράφει περὶ τῶν προσαρτημάτων· εἷς δέ ἐστιν ἀγαθὸς, οὗ παρρησία ἡ διὰ τοῦ υἱοῦ φανέρωσις, καὶ δι' αὐτοῦ μόνου δύναιτο ἂν ἡ καρδία καθαρὰ γενέσθαι παντὸς πονηροῦ πνεύματος ἐξωθουμένου τῆς καρδίας. πολλὰ γὰρ ἐνοικοῦντα αὐτῇ πνεύματα οὐκ ἐᾷ καθαρεύειν, ἕκαστον δὲ αὐτῶν τὰ ἴδια ἐκτελεῖ ἔργα πολλαχῶς ἐνυβριζόντων ἐπιθυμίαις οὐ προσηκούσαις. καί μοι δοκεῖ ὅμοιόν τι πάσχειν τῷ πανδοχείῳ ἡ καρδία· καὶ γὰρ ἐκεῖνο κατατιτρᾶταί τε καὶ ὀρύττεται καὶ πολλάκις κόπρου πίμπλαται ἀνθρώπων ἀσελγῶς ἐμμενόντων καὶ μηδὲ μίαν πρόνοιαν ποιουμένων τοῦ χωρίου, καθάπερ ἀλλοτρίου καθεστῶτος. τὸν τρόπον τοῦτον καὶ ἡ καρδία μέχρι μὴ προνοίας τυγχάνει, ἀκάθαρτος οὖσα, πολλῶν οὖσα δαιμόνων οἰκητήριον, ἐπειδὰν δὲ ἐπισκέψηται αὐτὴν ὁ μόνος ἀγαθὸς πατὴρ, ἡγίασται καὶ φωτὶ διαλάμπει, καὶ οὕτω μακαρίζεται ὁ ἔχων τὴν τοιαύτην καρδίαν, ὅτι ὄψεται τὸν Θεόν.

§. 115. Τίς οὖν ἡ αἰτία τοῦ μὴ προνοεῖσθαι ἐξ ἀρχῆς τὴν τοιαύτην ψυχὴν, εἰπάτωσαν ἡμῖν. ἤτοι γὰρ οὐκ ἔστιν ἄξια — καὶ πῶς ὥσπερ ἐκ μετανοίας ἡ πρόνοια πρόσεισιν αὐτῇ; — ἢ φύσις σωζομένη ὡς αὐτὸς βούλεται τυγχάνει καὶ ἀνάγκη ταύτην ἐξ ἀρχῆς διὰ συγγένειαν προνοουμένην μηδὲ μίαν παρείσδυσιν τοῖς ἀκαθάρτοις παρέχειν πνεύμασιν ἐκτὸς εἰ μὴ βιασθείη καὶ ἀσθενὴς ἐλεγχθείη. ἐὰν γὰρ δῷ μετανοήσασαν αὐτὴν ἐλέσθαι τὰ κρείττω, τοῦτ' ἐκεῖνος ἄκων ἐρεῖ ὅπερ ἡ παρ' ἡμῖν ἀλήθεια δογματίζει, ἐκ μεταβολῆς πειθηνίου, ἀλλ' οὐκ ἐκ φύσεως, τὴν σωτηρίαν. ὥσπερ γὰρ αἱ ἀναθυμιάσεις αἵ τε γῆθεν αἵ τε ἀπὸ τελμάτων εἰς ὀμίχλας συνίστανται καὶ νεφελώδεις συστροφὰς, οὕτως αἱ τῶν σαρκικῶν ἐπιθυμιῶν ἀναδόσεις

καχεξίαν προστρίβονται ψυχῇ κατασκεδαννύουσαι τὰ εἴδωλα τῆς ἡδονῆς ἐπίπροσθεν τῆς ψυχῆς.

§. 116. Ἐπισκοτοῦσι γοῦν τῷ φωτὶ τῷ νοερῷ ἐπισπωμένης τῆς ψυχῆς τὰς ἐκ τῆς ἐπιθυμίας ἀναδόσεις καὶ παχυνούσης τὰς συστροφὰς τῶν παθῶν ἐνδελεχείᾳ ἡδονῶν, χρυσὸς δὲ ἀπὸ γῆς οὐκ αἴρεται βῶλος, ἀλλ' ἀφεψόμενος διυλίζεται, ἔπειτα καθαρὸς γενόμενος, χρυσὸς ἀκούει, γῇ κεκαθαρμένῃ. „αἰτεῖσθε γὰρ καὶ δοθήσεται ὑμῖν" *) τοῖς ἐξ ἑαυτῶν ἐλέσθαι τὰ κάλλιστα δυναμένοις λέγεται. ὅπως δ' ἡμεῖς τοῦ διαβόλου τὰς ἐνεργείας καὶ τὰ πνεύματα τὰ ἀκάθαρτα εἰς τὴν τοῦ ἁμαρτωλοῦ ψυχὴν ἐπισπείρειν φαμὲν, οὗ μοι δεῖ πλειόνων λόγων παραθεμένῳ μάρτυν τὸν ἀποστολικὸν Βαρνάβαν, ὃ δὲ τῶν ἑβδομήκοντα ἦν καὶ συνεργὸς τοῦ Παύλου κατὰ λέξιν ὧδέ πως λέγοντα· „πρὸ τοῦ ἡμᾶς πιστεῦσαι τῷ θεῷ ἦν ἡμῶν τὸ οἰκητήριον τῆς καρδίας φθαρτὸν καὶ ἀσθενὲς ἀληθῶς οἰκοδομητὸς ναὸς διὰ χειρὸς, ὅτι ἦν πλήρης μὲν εἰδωλολατρείας καὶ ἦν οἶκος δαιμόνων διὰ τὸ ποιεῖν ὅσα ἦν ἐναντία τῷ θεῷ".

P. 490. Pot. P. 177 Sylb.

§. 117. Τὰς ἐνεργείας οὖν τὰς τοῖς δαιμονίοις καταλλήλους ἐπιτελεῖν φησι τοὺς ἁμαρτωλοὺς, οὐχὶ δὲ αὐτὰ τὰ πνεύματα ἐν τῇ τοῦ ἀπίστου κατοικεῖν ψυχῇ λέγει. διὰ τοῦτο καὶ ἐπιφέρει· „προσέχετε ἵνα ὁ ναὸς τοῦ κυρίου ἐνδόξως οἰκοδομηθῇ πώς, μάθετέ τε λαβόντες τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· καὶ ἐλπίσαντες ἐπὶ τὸ ὄνομα γενώμεθα καινοὶ, πάλιν ἐξ ἀρχῆς κτιζόμενοι", οὐ γὰρ οἱ δαίμονες ἡμῶν ἀπελαύνονται, ἀλλ' αἱ ἁμαρτίαι, φησὶν, ἀφίενται, ἃς ὁμοίως ἐκείνοις ἐπιτελοῦμεν πρὶν ἢ πιστεῦσαι. εἰκότως οὖν ἀντέθηκε τὰ ἐπιφερόμενα· „διὸ ἐν τῷ κατοικητηρίῳ ἡμῶν ἀληθῶς ὁ θεὸς, κατοικεῖ ἐν ἡμῖν πώς ὁ λόγος αὐτοῦ τῆς πίστεως, ἡ κλῆσις αὐτοῦ τῆς ἐπαγγελίας, ἡ σοφία τῶν δικαιωμάτων, αἱ ἐντολαὶ τῆς διδαχῆς".

*) Matth. 7, 7.

οἶδα ἐγὼ αἱρέσει τινὶ ἐντυχών, καὶ ὁ ταύτης προϊστάμενος διὰ τῆς χρήσεως ἔφασκεν τῆς ἡδονῆς ἡδονῇ μάχεσθαι, αὐτομολῶν πρὸς ἡδονὴν διὰ προσποιητοῦ μάχης ὁ γενναῖος οὗτος γνωστικὸς, ἔφασκε γὰρ δὴ αὐτὸν καὶ γνωστικὸν εἶναι, ἐπεὶ οὐδὲ μέγα ἔλεγεν τὸ ἀπέχεσθαι ἡδονῆς μὴ πεπειραμένον, ἐν αὐτῇ δὲ γενόμενον μὴ κρατεῖσθαι, ὅθεν γυμνάζεσθαι δι' αὐτῆς ἐν αὐτῇ.

§. 118. Ἐλάνθανεν δὲ ἑαυτὸν κατασοφιζόμενος ὁ ἄθλιος τῇ φιληδόνῳ τέχνῃ. ταύτῃ δῆλον οὖν τῇ ὁδῷ καὶ Ἀρίστιππος ὁ Κυρηναῖος προσέβαλλεν τοῦ τὴν ἀλήθειαν αὐχοῦντος σοφιστοῦ. ὀνειδιζόμενος οὖν ἐπὶ τῷ συνεχῶς ὁμιλεῖν τῇ ἑταίρᾳ τῇ Κορινθίᾳ, ἔχω γὰρ ἔλεγεν Λαΐδα καὶ οὐκ ἔχομαι ὑπὸ αὐτῆς. τοιοῦτοι δὲ καὶ οἱ φάσκοντες ἑαυτοὺς Νικολάῳ ἕπεσθαι ἀπομνημόνευμά τι τἀνδρὸς φέροντες ἐκ παραπροπῆς τὸ δεῖν παραχρῆσθαι τῇ σαρκί. ἀλλ' ὁ μὲν γενναῖος κολούειν δεῖν ἐδήλου τάς τε ἡδονὰς τάς τε ἐπιθυμίας, καὶ τῇ ἀσκήσει ταύτῃ καταμαραίνειν τὰς τῆς σαρκὸς ὁρμάς τε καὶ ἐπιθέσεις. οἱ δὲ εἰς ἡδονὴν τρώγων δίκην ἐκχυθέντες οἷον ἐφυβρίζοντες τῷ σώματι καθηδυπαθοῦσιν, οὐκ εἰδότες ὅτι τὸ μὲν ῥακοῦται φύσει ῥευστὸν ὄν, ἡ ψυχὴ δὲ αὐτῶν ἐν βορβόρῳ κακίας κατορώρυκται δόγμα ἡδονῆς αὐτῆς, οὐχὶ δὲ ἀνδρὸς ἀποστολικοῦ μεταδιωκόντων. τίνι γὰρ οὗτοι Σαρδαναπάλλου διαφέρουσιν; οὗ τὸν βίον δηλοῖ τὸ ἐπίγραμμα·

ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος
τέρπν' ἔπαθον, τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.

καὶ γὰρ ἐγὼ σποδός εἰμι Νίνου μεγάλης βασιλεύσας. καθόλου γὰρ οὐκ ἀναγκαῖον τὸ τῆς ἡδονῆς πάθος, ἐπακολούθημα δὲ χρείαις τισὶ φυσικαῖς, πείνῃ, δίψει, ῥίγει, γάμῳ.

§. 119. Εἰ γοῦν ταύτης δίχα πιεῖν οἷόν τε ἦν ἢ τροφῆς προσίεσθαι ἢ παιδοποιεῖν, ἐδείχθη ἂν οὐδὲ μία ἑτέρα χρεία ταύτης. οὔτε γὰρ ἐνέργεια οὔτε διάθεσις οὐδὲ μὴν μέρος τι ἡμέτερον ἡδονή, ἀλλ' ὑπουργίας ἕνεκα παρῆλθεν εἰς τὸν βίον ὥσπερ τοὺς ἄλας

φασὶ τῆς παραπέψεως τῆς τροφῆς χάριν. ἡ δὲ ἀφηνιάσασα καὶ τοῦ οἴκου κατακρατήσασα πρώτην ἐπιθυμίαν γεννᾷ ἔφεσιν καὶ ὄρεξιν οὖσαν ἄλογον τοῦ κεχαρισμένου αὐτῇ, καὶ τὸν Ἐπίκουρον τέλος εἶναι τοῦ φιλοσόφου ἀνέπεισε θέσθαι τὴν ἡδονήν. θεάζει γοῦν σαρκὸς εὐ- P. σταθὲς κατάστημα καὶ τὸ περὶ ταύτης πιστὸν ἔλπι- 492. σμα. τί γὰρ ἕτερον ἡ τρυφὴ ἢ φιλήδονος λιχνεία καὶ Pos. πλεονασμὸς περίεργος πρὸς ἡδυπάθειαν ἀνειμένων; ἐμφαντικῶς ὁ Διογένης ἔν τινι τραγῳδίᾳ γράφει·

οἱ τῆς ἀνάνδρου καὶ διεσκατωμένης
τρυφῆς ὕφ' ἡδοναῖσιν ἀχθέντες κέαρ
πονεῖν θέλοντες οὐδὲ βαιά.

καὶ τὰ ἐπὶ τούτοις ὅσα αἰσχρῶς μὲν εἴρηται, ἐπαξίως δὲ τῶν φιληδόνων.

§. 120. Διό μοι δοκεῖ θεῖος ὁ νόμος ἀναγκαίως τὸν φόβον ἐπαρτᾶν, ἵν' εὐλαβείᾳ καὶ προσοχῇ τὴν ἀμεριμνίαν ὁ φιλόσοφος κτήσηταί τε καὶ τηρήσῃ ἀδιάπτωτός τε καὶ ἀναμάρτητος ἐν πᾶσι διαμένων. οὐ γὰρ ἄλλως εἰρήνη καὶ ἐλευθερία περιγίνεται ἢ διὰ τῆς ἀπαύστου καὶ ἀναπαυδήτου πρὸς τὰς τῶν παθῶν ἡμῶν ἀντιμαχήσεως. οὗτοι γὰρ οἱ ἀνταγωνισταὶ παχεῖς καὶ Ὀλυμπικοὶ σφηκῶν ὡς εἰπεῖν εἰσὶ δριμύτεροι καὶ μάλιστα ἡ ἡδονὴ οὐ μόνον μεθ' ἡμέραν, ἀλλὰ καὶ νύκτωρ ἐν αὐτοῖς τοῖς ἐνυπνίοις μετὰ γοητείας δελεαστικῶς ἐπιβουλεύουσα καὶ δάκνουσα. πῶς οὖν ἔτι δίκαιοι κατατρέχειν τοῦ νόμου Ἕλληνες φόβῳ καὶ αὐτοὶ τὴν ἡδονὴν δουλοῦσθαι διδάσκοντες; ὁ γοῦν Σωκράτης φυλάσσεσθαι κελεύει τὰ ἀναπείθοντα μὴ πεινῶντας ἐσθίειν καὶ μὴ διψῶντας πίνειν καὶ τὰ βλέμματα καὶ τὰ φιλήματα τῶν καλῶν ὡς χαλεπώτερον σκορπίων καὶ φαλάγγων ἰὸν ἐνιέναι πεφυκότα.

§. 121. Καὶ Ἀντισθένης δὲ μανῆναι μᾶλλον ἢ ἡσθῆναι αἱρεῖται, ὅ τε Θηβαῖος Κράτης·

τῶν δὲ,

φησὶ,

κράτει ψυχῆς ἦθει ἀγαλλομένη,

οὔθ' ὑπὸ * χρῦσῶν δουλουμένη οὔθ' ὑπ' ἐρώτων τηξιπόθων,
οὐδ' ἔτι συνέμποροί εἰσι φιλύβρι. καὶ τὸ ὅλον ἐπιλέγει·
ἡδονῇ ἀνδραποδώδει ἀδούλωτοι καὶ ἄκαμπτοι, P.
ἀθάνατον βασίλειαν ἐλευθερίαν τ' ἀγαπῶσιν. 493.
οὗτος ἐν ἄλλοις εὐθυρρημόνως γράφει τῆς εἰς τὰ ἄφρο- Pott.
δίσια ἀκατασχέτου ὁρμῆς κατάπλασμα εἶναι λιμὸν,
εἰ δὲ μὴ, βρόχον. Ζήνωνι δὲ τῷ Στωϊκῷ τὴν δι-
δασκαλίαν μαρτυροῦσι καίτοι διασύροντες οἱ κωμι-
κοὶ ὧδέ πως·

φιλοσοφίαν κενὴν γὰρ οὗτος φιλοσοφεῖ·
πεινῆν διδάσκει καὶ μαθητὰς λαμβάνει·
εἷς ἄρτος, ὄψον ἰσχάς, ἐπιπιεῖν ὕδωρ.

§. 122. Πάντες δὴ οὗτοι οὐκ αἰσχύνονται σα-
φῶς ὁμολογεῖν τὴν ἐκ τῆς εὐλαβείας ὠφέλειαν, ἡ P.
δὲ ἀληθὴς καὶ οὐκ ἄλογος σοφία οὐ λόγοις ψιλοῖς 178
καὶ θεσπίσμασι πεποιθυῖα, ἀλλὰ σκεπαστηρίοις ἀτρώ- Sylb.
τοις καὶ μυστηρίοις δραστικοῖς ταῖς θείαις ἐντολαῖς
συγγυμνασία τε καὶ συνασκήσει μελετῶσα δύναμιν
θείαν κατὰ τὸ ἐμπνεόμενον μέρος αὐτῆς ὑπὸ τοῦ
λόγου λαμβάνει. ἤδη γοῦν καὶ τοῦ ποιητικοῦ Διὸς
τὴν αἰγίδα γράφουσι

δεινὴν, ἣν πέρι μὲν πάντῃ φόβος ἐστεφάνωται,
ἐν δ' Ἔρις, ἐν δ' Ἀλκὴ, ἐν δὲ κρυόεσσα Ἰωκή·
ἐν δέ τε Γοργείη κεφαλὴ δεινοῖο πελώρου,
δειή τε σμερδνή τε, Διὸς τέρας αἰγιόχοιο *).

§. 123. Τοῖς δὲ τὸ σωτήριον διορῶν ὀρθῶς
δυναμένοις οὐκ οἶδα εἴ τι φίλτερον φανήσεται τῆς τε
σεμνότητος τοῦ νόμου καὶ τῆς θυγατρὸς αὐτοῦ εὐ-
λαβείας. ἀλλὰ γὰρ ὅταν ὑπέρτονον ᾄδειν λέγηται
ὥσπερ καὶ ὁ κύριος ἐπί τινας, ἵνα μή τινες τῶν ζη-
λούντων αὐτὸν ἔκτονον καὶ ἀπόχορδον ᾄσωσιν, οὕτως
ἀκούω, οὐχ ὡς ὑπέρτονον, ἀλλὰ τοῖς μὴ βουλομένοις
ἀναλαβεῖν τὸν θεῖον ζυγὸν τούτοις ὑπέρτονον· τοῖς

*) Homer. Iliad. ε. v. 739—742.

γὰρ ἀτόνοις καὶ ἀσθενικοῖς τὸ μέτριον ὑπέρτονον P.
δοκεῖ, καὶ τοῖς ἀδίκοις ἀκροδίκαιον τὸ ἐπιβάλλον. 494.
ὅσους γὰρ διὰ τὸ φιλικῶς πρὸς ἁμαρτίας ἔχειν ἡ συγ- Pott.
γνώμη παρεισέρχεται, οὗτοι τὴν ἀλήθειαν ἀπήνειαν ὑπο-
λαμβάνουσιν καὶ τὴν αὐστηρίαν ἀποτομίαν, καὶ ἀνη-
λεῆ τὸν μὴ συναμαρτάνοντα μηδὲ συγκατασπώμενον.

§. 124. Εὖ γοῦν ἡ τραγῳδία ἐπὶ τοῦ Ἅιδου γράφει·

πρὸς δ' οἷον ἥξεις δαίμον' ὡς ἐρώμενον;
ὃς οὔτε τοὐπιεικὲς οὔτε τὴν χάριν
ἤδει, μόνην δ' ἔστεργε τὴν ἁπλῶς δίκην.

καὶ γὰρ εἰ μηδέ πω ποιεῖν τὰ μὴ προστατ τόμενα ὑπὸ τοῦ νόμου οἷοί τέ ἐστε, ἀλλά τοι συνορῶντες ὡς ὑποδείγματα ἡμῖν ἔκκειται κάλλιστα ἐν αὐτῷ τρέφειν καὶ αὔξειν τὸν ἔρωτα τῆς ἐλευθερίας δυνάμεθα· καὶ τῇδε ὠφελοίμεθ' ἂν κατὰ δύναμιν προθυμότερον, τὰ μὲν προκαλούμενοι, τὰ δὲ μιμούμενοι, τὰ δὲ καὶ δυσωπούμενοι. οὔτε γὰρ οἱ παλαιοὶ δίκαιοι κατὰ νόμον βιώσαντες ἀπὸ δρυὸς ἦσαν παλαιφάτου οὐδ' ἀπὸ πέτρης *), τῷ γοῦν βουληθῆναι γνησίως φιλοσοφεῖν ὅλους αὐτοὺς φέροντας ἀνέθεσαν τῷ Θεῷ καὶ εἰς πίστιν ἐλογίσθησαν.

§. 125. Καλῶς ὁ Ζήνων ἐπὶ τῶν Ἰνδῶν ἔλεγεν ἕνα Ἰνδὸν παροπτώμενον ἐθέλειν ἰδεῖν ἢ πάσας τὰς περὶ πόνου ἀποδείξεις μαθεῖν. ἡμῖν δὲ ἄφθονοι μαρτύρων πηγαὶ ἑκάστης ἡμέρας ἐν ὀφθαλμοῖς· ἡμῶν θεωρούμεναι παροπτωμένων ἀνασκινδυλευομένων, τὰς κεφαλὰς ἀποτεμνομένων. τούτους πάντας ὁ παρὰ τοῦ νόμου φόβος εἰς Χριστὸν παιδαγωγήσας συνήσκησε τὸ εὐλαβὲς καὶ δι' αἱμάτων ἐνδείκνυσθαι. „ὁ Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ" **). τίνας τούτους; τοὺς ἡδονῆς κρείττονας, τοὺς τῶν παθῶν διαφέροντας, τοὺς ἕκαστον ὧν πράσσουσιν ἐπισταμένους, τοὺς γνωστικούς, τοὺς τοῦ κόσμου μείζονας. καὶ πάλιν· „ἐγὼ εἶπα, θεοί ἐστε καὶ υἱοὶ

*) Cf. Homer. Odyss. τ. 163. **) Psalm. 82, 1.

ὑψίστου πάντες" *)· τίσι λέγει ὁ κύριος; τοῖς παραιτουμένοις ὡς οἷόν τε πᾶν τὸ ἀνθρώπινον. καὶ ὁ ἀπόστολος λέγει „ὑμεῖς γὰρ οὐκέτι ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι" **). καὶ πάλιν λέγει „ἐν σαρκὶ ὄντες P. 495. οὐ κατὰ σάρκα στρατευόμεθα" ***)· „σὰρξ" γὰρ Pott. „καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύναται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ" †), „ἰδοὺ δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε" ††) διελέγχων ἡμᾶς τὸ πνεῦμα εἴρηκεν.

§. 126. *Χρὴ τοίνυν συνασκεῖν αὐτοὺς εἰς εὐλάβειαν τῶν ὑποπιπτόντων τοῖς πάθεσι φυγαδεύοντας κατὰ τοὺς ὄντως φιλοσόφους τὰ πασχητιῶντα τῶν βρωμάτων καὶ τὴν παρὰ τὴν κοίτην ἔκλυτον ἄνεσιν καὶ τὴν τρυφὴν καὶ τὰ εἰς τρυφὴν πάθη ἄλλοις εἶναι ἄθλον βαρύ, ἡμῖν δὲ οὐκέτι, δῶρον γὰρ τοῦ θεοῦ σωφροσύνη τὸ μέγιστον, „αὐτὸς γὰρ εἴρηκεν, οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω" †††), ἄξιον κρίνας διὰ τὴν γνησίαν αἵρεσιν. οὕτω τοίνυν ἡμᾶς εὐλαβῶς προσιέναι πειρωμένους ἐκδέξεται ὁ χρηστὸς τοῦ κυρίου ζυγὸς ἐκ πίστεως εἰς πίστιν ††††) ἑνὸς ἡνιόχου κατὰ πρόκοπὴν ἐλαύνοντος ἕκαστον ἡμῶν εἰς σωτηρίαν, ὅπως ὁ προσήκων τῆς εὐδαιμονίας περιγένηται καρπός. γίνεται δὲ ἡ ἄσκησις κατὰ τὸν Κῶον Ἱπποκράτην „οὐ μόνον τοῦ σώματος, ἀλλὰ καὶ τῆς ψυχῆς ὑγίεια ἀοκνίη πόνων, ἀκορίη τροφῆς."*

Cap. XXI.

§. 127. *Ἐπίκουρος δὲ ἐν τῷ μὴ πεινῆν μηδὲ διψῆν μήτε ῥιγοῦν τὴν εὐδαιμονίαν τιθέμενος τὴν ἰσόθεον ἐπεφώνησε φωνὴν ἀσεβῶς εἰπὼν ἐν τούτοις κἂν Διὶ πατρὶ μάχεσθαι ὥσπερ ὗν σκατοφάγων καὶ

*) Psalm. 82, 6. **) Roman. 8, 9. ***) 1 Corinth. 10, 3. †) Ibid. 15, 50. ††) Psalm. 82, 7. †††) Hebr. 13, 5. ††††) Cf. Matth. 11, 30. Roman. 1, 17.

οὐχὶ τῶν λογικῶν καὶ φιλοσόφων τὴν μακαρίαν νίκην δογματίζων, τῶν γὰρ ἀπὸ τῆς ἡδονῆς ἀρχομένων τούς τε Κυρηναϊκοὺς εἶναι καὶ τὸν Ἐπίκουρον, τούτους γὰρ τέλος εἶναι λέγειν διαρρήδην τὸ ἡδέως ζῆν, τέλειον δὲ ἀγαθὸν μόνον τὴν ἡδονὴν, ὁ δὲ Ἐπίκουρος καὶ τὴν τῆς ἀλγηδόνος ὑπεξαίρεσιν ἡδονὴν εἶναι λέγει, αἱρετὸν δὲ εἶναί φησιν ὃ πρῶτον ἐξ ἑαυτοῦ ἐφ' ἑαυτὸ ἐπισπᾶται, πάντως δηλονότι ἐν κινήσει ὑπάρχον. Δεινόμαχος δὲ καὶ Καλλιφῶν τέλος εἶναι ἔφασαν πᾶν τὸ καθ' αὑτὸν ποιεῖν ἕνεκα τοῦ ἐπιτυγχάνειν ἡδονῆς καὶ τυγχάνειν, ὅ τε Ἱερώνυμος ὁ περιπατητικὸς τέλος μὲν εἶναι τὸ ἀοχλήτως ζῆν, τελικὸν δὲ ἀγαθὸν μόνον τὴν εὐδαιμονίαν. καὶ Διόδωρος ὁμοίως ἀπὸ τῆς αὐτῆς αἱρέσεως γενόμενος τέλος ἀποφαίνεται τὸ ἀοχλήτως καὶ καλῶς ζῆν.

P. 496. Pou. Sylb.

§. 128. Ἐπίκουρος μὲν οὖν καὶ οἱ Κυρηναϊκοὶ τὸ πρῶτον οἰκεῖόν φασιν ἡδονὴν εἶναι, ἕνεκα γὰρ ἡδονῆς παρελθοῦσα, φασὶν, ἡ ἀρετὴ ἡδονὴν ἐνεποίησε. κατὰ δὲ τοὺς περὶ Καλλιφῶντα ἕνεκα μὲν τῆς ἡδονῆς παρεισῆλθεν ἡ ἀρετὴ, χρόνῳ δὲ ὕστερον τὸ περὶ αὐτὴν κάλλος κατιδοῦσα ἰσότιμον ἑαυτὴν τῇ ἀρχῇ, τουτέστι τῇ ἡδονῇ, παρέσχεν. οἱ δὲ περὶ τὸν Ἀριστοτέλη τέλος ἀποδεδόασιν εἶναι τὸ ζῆν κατ' ἀρετὴν, οὔτε δὲ τὴν εὐδαιμονίαν οὔτε τὸ τέλος παντὶ τῷ τὴν ἀρετὴν ἔχοντι παρεῖναι, βασανιζόμενον γὰρ καὶ τύχαις ἀβουλήτοις περιπίπτοντα τὸν σοφὸν καὶ διὰ ταῦτα ἐκ τοῦ ζῆν ἀσμένως ἐθέλοντα διαφεύγειν μὴ εἶναι μήτε μακάριον μήτ' εὐδαίμονα, δεῖ γὰρ καὶ χρόνου τινὸς τῇ ἀρετῇ, οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ περιγίνεται, ἢ καὶ ἐν τελείῳ συνίσταται, ἐπεὶ μὴ ἔστιν, ὥς φασι, παῖς εὐδαίμων ποτέ· τέλειος δ' ἂν εἴη χρόνος ὁ ἀνθρώπινος βίος. συμπληροῦσθαι τοίνυν τὴν εὐδαιμονίαν ἐκ τῆς τριγενείας τῶν ἀγαθῶν. οὔτ' οὖν ὁ πένης οὔθ' ὁ ἄδοξος, ἀλλ' οὐδ' ὁ ἐπίνοσος, ἀλλ' οὐδ' ἂν οἰκέτης ἢ τις κατ' αὐτούς.

§. 129. *Πάλιν δ' αὖ Ζήνων μὲν ὁ Στωϊκὸς τέλος ἡγεῖται τὸ κατ' ἀρετὴν ζῆν, Κλεάνθης δὲ τὸ ὁμολογουμένως τῇ φύσει ζῆν ἐν τῷ εὐλογιστεῖν, ὃ ἐν* P. *τῇ τῶν κατὰ φύσιν ἐκλογῇ κεῖσθαι διελάμβανεν.* 497.
Ὅ τε Ἀντίπατρος ὁ τούτου γνώριμος τὸ τέλος κεῖ- Pott.
σθαι ἐν τῷ διηνεκῶς καὶ ἀπαραβάτως ἐκλέγεσθαι μὲν τὰ κατὰ φύσιν, ἀπεκλέγεσθαι δὲ τὰ παρὰ φύσιν ὑπολαμβάνει. Ἀρχέδημός τε αὖ οὕτως ἐξηγεῖτο εἶναι τὸ τέλος ἐκλεγόμενος τὰ κατὰ φύσιν μέγιστα καὶ κυριώτατα, οὐχ οἷόν τε ὄντα ὑπερβαίνειν. πρὸς τούτοις ἔτι Παναίτιος τὸ ζῆν κατὰ τὰς δεδομένας ἡμῖν ἐκ φύσεως ἀφορμὰς τέλος ἀπεφήνατο. ἐπὶ πᾶσί τε ὁ Ποσειδώνιος τὸ ζῆν θεωροῦντα τὴν τῶν ὅλων ἀλήθειαν καὶ τάξιν καὶ συγκατασκευάζοντα αὐτὴν κατὰ τὸ δυνατὸν, κατὰ μηδὲν ἀγόμενον ὑπὸ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς. τινὲς δὲ τῶν νεωτέρων Στωϊκῶν οὕτως ἀπέδοσαν τέλος εἶναι, τὸ ζῆν ἀκολούθως τῇ τοῦ ἀνθρώπου κατασκευῇ. τί δή σοι Ἀρίστωνα καταλέγωμι; τέλος οὗτος εἶναι τὴν ἀδιαφορίαν ἔφη, τὸ δὲ ἀδιάφορον ἁπλῶς ἀδιάφορον ἀπολείπει. ἢ τὰ Ἡρίλλου εἰς μέσον παράγωμι; τὸ κατ' ἐπιστήμην ζῆν τέλος εἶναι τίθησιν Ἡρίλλος. τοὺς γὰρ ἐκ τῆς ἀκαδημίας νεωτέρους ἀξιοῦσί τινες τέλος ἀποδιδόναι τὴν ἀσφαλῆ πρὸς τὰς φαντασίας ἀποχήν. ναὶ μὴν Λύκος ὁ περιπατητικὸς τὴν ἀληθινὴν χαρὰν τῆς ψυχῆς τέλος ἔλεγεν εἶναι, ὡς Λεύκιμος τὴν ἐπὶ τοῖς καλοῖς. Κριτόλαος δὲ ὁ καὶ αὐτὸς περιπατητικὸς τελειότητα ἔλεγεν κατὰ φύσιν εὐροοῦντος βίου, τὴν ἐκ τῶν τριῶν γενῶν συμπληρουμένην προγονικὴν τελειότητα μηνύων.

§. 130. *Οὔκουν ἐπὶ τούτοις ἀρκουμένους καταπαυστέον, φιλοτιμητέον δὲ ὡς ἔνι μάλιστα καὶ τὰ πρὸς τῶν φυσικῶν δογματιζόμενα περὶ τοῦ προκειμένου παραθέσθαι. Ἀναξαγόραν μὲν γὰρ τὸν Κλαζομένιον τὴν θεωρίαν φάναι τοῦ βίου τέλος εἶναι καὶ τὴν ἀπὸ ταύτης ἐλευθερίαν λέγουσιν, Ἡράκλειτόν τὸν Ἔφεσιον τὴν εὐαρέστησιν. Πυθαγόραν δὲ*

Ποντικὸς Ἡρακλείδης ἱστορεῖ τὴν ἐπιστήμην τῆς τε- P.
λειότητος τῶν ἀρετῶν τῆς ψυχῆς εὐδαιμονίαν εἶναι 498.
παραδεδωκέναι. ἀλλὰ καὶ οἱ Ἀβδηρῖται τέλος ἡδο- Pott.
νὴν διδάσκουσιν, Δημόκριτος μὲν ἐν τῷ περὶ τέλους
τὴν εὐθυμίαν, ἣν καὶ εὐεστὼ προσηγόρευσεν, καὶ
πολλάκις ἐπιλέγει· τέρψις γὰρ καὶ ἀτερπίη οὖρος
τῶν περιηκμακότων. Ἑκαταῖος δὲ αὐτάρκειαν, καὶ
δὴ Ἀπολλόδοτος ὁ Κυζικηνὸς τὴν ψυχογωγίαν, καθά-
περ Ναυσιφάνης τὴν ἀκαταπληξίαν. ταύτην γὰρ ἔφη
ὑπὸ Δημοκρίτου ἀθαμβίην λέγεσθαι. ἔτι πρὸς τού-
τοις Διότιμος τὴν παντέλειαν τῶν ἀγαθῶν ἣν εὐεστὼ
προσαγορεύεσθαι τέλος ἀπέφηνεν. πάλιν Ἀντισθένης
μὲν τὴν ἀτυφίαν, οἱ δὲ Ἀννικέρειοι καλούμενοι ἐκ
τῆς Κυρηναϊκῆς διαδοχῆς ταῦ μὲν ὅλου βίου τέλος
οὐδὲν ὡρισμένον ἔταξαν, ἑκάστῃ δὲ πράξεως ἴδιον
ὑπάρχειν τέλος τὴν ἐκ τῆς πράξεως περιγινομένην
ἡδονήν. οὗτοι οἱ Κυρηναϊκοὶ τὸν ὅρον τῆς ἡδονῆς
Ἐπικούρου, τουτέστι τὴν τοῦ ἀλγοῦντος ὑπεξαίρεσιν,
ἀθετοῦσιν, νεκροῦ κατάστασιν ἀποκαλοῦντες, χαίρειν γὰρ
ἡμᾶς μὴ μόνον ἐπὶ ἡδοναῖς, ἀλλὰ καὶ ἐπὶ ὁμιλίαις καὶ
ἐπὶ φιλοτιμίαις. ὃ δὲ Ἐπίκουρος πᾶσαν χαρὰν τῆς
ψυχῆς οἴεται ἐπὶ πρωτοπαθούσῃ τῇ σαρκὶ γενέσθαι.

Cap. XXII.

§. 131. Ὁ τε Μητρόδωρος ἐν τῷ περὶ τοῦ μεί-
ζονα εἶναι τὴν παρ' ἡμᾶς αἰτίαν πρὸς εὐδαιμονίαν τῆς
ἐκ τῶν πραγμάτων· ἀγαθὸν, φησὶ, ψυχῆς τί ἄλλο
ἢ τὸ σαρκὸς εὐσταθὲς κατάστημα καὶ τὸ περὶ ταύτης
πιστὸν ἔλπισμα; ναὶ μὴν Πλάτων ὁ φιλόσοφος διττὸν P.
εἶναι τὸ τέλος φησὶν, τὸ μὲν μεθεκτόν τε καὶ πρῶτον ἐν 499.
αἰτοῖς ὑπάρχον τοῖς εἴδεσιν, ὃ δὴ καὶ ταγαθὸν προσ- Pott.
ονομάζει, τὸ δὲ μετέχον ἐκείνου καὶ τὴν ἀπ' αὐτοῦ δεχό-
μενον ὁμοιότητα, ὃ περὶ ἀνθρώπους γίνεται τοὺς μετα-
ποιουμένους ἀρετῆς τε καὶ τῆς ἀληθοῦς φιλοσοφίας.
διὸ καὶ Κλεάνθης ἐν τῷ δευτέρῳ περὶ ἡδονῆς τὸν

Σωκράτην φησὶ παρ' ἕκαστα διδάσκειν, ὡς ὁ αὐτὸς δίκαιός τε καὶ εὐδαίμων ἀνὴρ καὶ τῷ πρώτῳ διελόντι τὸ δίκαιον ἀπὸ τοῦ συμφέροντος καταρᾶσθαι ὡς ἀσεβές τι πρᾶγμα δεδρακότι, ἀσεβεῖς γὰρ τῷ ὄντι οἱ τὸ συμφέρον ἀπὸ τοῦ κατὰ νόμον χωρίζοντες. αὐτὸς δὲ ὁ Πλάτων τὴν εὐδαιμονίαν τὸ εὖ τὸν δαίμονα ἔχειν, δαίμονα δὲ λέγεσθαι τὸ τῆς ψυχῆς ἡμῶν ἡγεμονικὸν, τὴν δὲ εὐδαιμονίαν τὸ τελειότατον ἀγαθὸν καὶ πληρέστατον λέγει. ὅτε δὲ βίον ὁμολογούμενον καὶ σύμφωνον αὐτὴν ἀποκαλεῖ, καὶ ἔσθ' ὅτε τὸ κατ' ἀρετὴν τελειότατον, τοῦτο δὲ ἐν ἐπιστήμῃ τοῦ ἀγαθοῦ τίθεται καὶ ἐν ἐξομοιώσει τῇ πρὸς τὸν Θεὸν, ὁμοίωσιν ἀποφαινόμενος δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως εἶναι. ἢ γὰρ οὐχ οὕτως τινὲς τῶν ἡμετέρων τὸ μὲν κατ' εἰκόνα εὐθέως κατὰ τὴν γένεσιν εἰληφέναι τὸν ἄνθρωπον, τὸ καθ' ὁμοίωσιν δὲ ὕστερον κατὰ τὴν τελείωσιν μέλλειν ἀπολαμβάνειν ἐκδέχονται.

§. 132. Αὐτίκα ὁ Πλάτων τὴν ὁμοίωσιν ταύτην μετὰ ταπεινοφροσύνης ἔσεσθαι τῷ ἐναρέτῳ διδάσκων ἐκεῖνό που ἑρμηνεύει, „πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται" *). λέγει οὖν ἐν τοῖς νόμοις· „ὁ μὲν δὴ Θεὸς, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν τῶν πάντων ἔχων εὐθεῖαν περαίνει κατὰ φύσιν περιπορευόμενος, τῷ δὲ αἰεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός". ὁρᾷς ὅπως καὶ αὐτὸς εὐλάβειαν προσάγει τῷ θείῳ νόμῳ; ἐπιφέρει γοῦν· „ᾗς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς καὶ κεκοσμημένος". εἶτα τούτοις τὰ ἀκόλουθα συνάψας καὶ τῷ φόβῳ νουθετήσας ἐπιφέρει· „τίς οὖν δὴ πρᾶξις φίλη καὶ ἀκόλουθος θεῷ; μία καὶ ἕνα λόγον ἔχουσα ἀρχαῖον, ὅτι τῷ μὲν ὁμοίῳ τὸ ὅμοιον ὄντι μετρίῳ φίλον ἂν εἴη, τὰ δὲ ἄμετρα οὔτε ἀλλήλοις οὔτε τοῖς ἐμμέτροις. τὸν οὖν τῷ Γ

50
Po

*) Luc. 14, 11.

Θεῷ προσφιλῆ γενησόμενον εἰς δύναμιν ὅτι μάλιστα καὶ αὐτὸν τοιοῦτον ἀναγκαῖον γίνεσθαι.

§. 133. *Καὶ κατὰ τοῦτον δὴ τὸν λόγον ὁ μὲν σώφρων ἡμῶν Θεῷ φίλος — ὅμοιος γάρ — ὅ τε μὴ σώφρων ἀνόμοιός τε καὶ διάφορος. τοῦτο ἀρχαῖον εἶναι φήσας τὸ δόγμα τὴν ἐκ τοῦ νόμου εἰς αὐτὸν ἥκουσαν διδασκαλίαν ἠνίξατο, κἂν τῷ Θεαιτήτῳ τὰ κακὰ ἀμφὶ τὴν θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖν ἐξ ἀνάγκης δοὺς ἐπιφέρει· διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα, φυγὴ δὲ ὁμοίωσις Θεῷ κατὰ τὸ δυνατόν, ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. Σπεύσιππός τε ὁ Πλάτωνος ἀδελφιδοῦς τὴν εὐδαιμονίαν φησὶν ἕξιν εἶναι τελείαν ἐν τοῖς κατὰ φύσιν ἔχουσιν, ἣ ἕξις ἀγαθῶν, ἧς δὴ καταστάσεως ἅπαντας μὲν ἀνθρώπους ὄρεξιν ἔχειν, στοχάζεσθαι δὲ τοὺς ἀγαθοὺς τῆς ἀοχλησίας. εἰεν δ' ἂν αἱ ἀρεταὶ τῆς εὐδαιμονίας ἀπεργαστικαί. Ξενοκράτης τε ὁ Χαλκηδόνιος τὴν εὐδαιμονίαν ἀποδίδωσι κτῆσιν τῆς οἰκείας ἀρετῆς καὶ τῆς ὑπηρετικῆς αὐτῇ δυνάμεως. εἶτα ὡς μὲν ἐν ᾧ γίνεται φαίνεται λέγων τὴν ψυχήν, ὡς δ' ὑφ' ὧν τὰς ἀρετάς, ὡς δ' ἐξ ὧν ὡς μερῶν τὰς καλὰς πράξεις καὶ τὰς σπουδαίας ἕξεις τε καὶ διαθέσεις καὶ κινήσεις καὶ σχέσεις, ὡς τούτων οὐκ ἄνευ τὰ σωματικὰ καὶ τὰ ἐκτός. ὁ γὰρ Ξενοκράτους γνώριμος Πολέμων φαίνεται τὴν εὐδαιμονίαν αὐτάρκειαν εἶναι βουλόμενος ἀγαθῶν πάντων ἢ τῶν πλείστων καὶ μεγίστων. δογματίζει γοῦν χωρὶς μὲν ἀρετῆς μηδέ ποτε ἂν εὐδαιμονίαν ὑπάρχειν, δίχα δὲ καὶ τῶν σωματικῶν καὶ τῶν ἐκτὸς τὴν ἀρετὴν αὐτάρκη πρὸς εὐδαιμονίαν εἶναι.*

§. 134. *Καὶ τὰ μὲν ὧδε ἐχέτω, αἱ δὲ ἀντιρρήσεις αἱ πρὸς τὰς εἰρημένας δόξας κατὰ καιρὸν τεθήσονται, ἡμῖν δὲ αὐτοῖς εἰς τέλος ἀτελεύτητον ἀφικέσθαι πρόκειται πειθομένοις ταῖς ἐντολαῖς, τουτέστι τῷ Θεῷ, καὶ κατ' αὐτὰς βιώσασιν ἀνεπιλήπτως καὶ ἐπιστημόνως διὰ τῆς τοῦ θείου θελήματος γνώσεως, ἣ*

τε πρὸς τὸν ὀρθὸν λόγον ὡς οἷόν τε ἐξομοίωσις τέλος ἐστὶ καὶ εἰς τὴν τελείαν υἱοθεσίαν διὰ τοῦ υἱοῦ ἀποκατάστασις· δοξάζουσα ἀεὶ τὸν πατέρα διὰ τοῦ μεγάλου ἀρχιερέως τοῦ ἀδελφοὺς καὶ συγκληρονόμους καταξιώσαντος ἡμᾶς εἰπεῖν καὶ ὁ μὲν ἀπόστολος συντόμως τὸ τέλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ διαγράφων λέγει· „νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον"*)· διττὴν δὲ εἰδὼς τὴν P.
ἐλπίδα τὴν μὲν προσδοκωμένην, τὴν δὲ ἀπειλημμένην 501.
ἤδη τέλος διδάσκει τὴν τῆς ἐλπίδος ἀποκατάστασιν· Pott.
„ἡ γὰρ ὑπομονὴ", φησὶ, „δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν" **). δι' ἣν ἀγάπην καὶ εἰς τὴν ἐλπίδα ἀποκατάστασις ἣν „ἀνάπαυσιν" ἀλλαχοῦ λέγει ἀποκεῖσθαι ἡμῖν.

§. 135. Τὰ ὅμοια καὶ παρὰ τῷ Ἰεζεκιὴλ εὕροις ἂν οὕτως ἔχοντα· „ἡ ψυχὴ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται καὶ ἀνὴρ ὃς ἂν γένηται δίκαιος καὶ ποιήσῃ κρῖμα καὶ δικαιοσύνην ἐπὶ τὰ ὄρη οὐκ ἔφαγεν καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἦρεν ἐπὶ τὰ εἴδωλα οἴκου Ἰσραὴλ καὶ τὴν γυναῖκα τοῦ πλησίον οὐκ ἐμίανεν καὶ πρὸς γυναῖκα ἐν καιρῷ ἀκαθαρσίας αὐτῆς οὐ προσῆλθεν" — οὐ γὰρ ἐφύβριστον τὴν ἀνθρώπου σποράν εἶναι βούλεται — „καὶ ἄνδρα" φησὶ „μὴ κακώσῃ, ἐνεχύρασμα ὀφειλοντος ἀποδώσει, ἅρπαγμα οὐ μὴ ἁρπάσῃ τὸν ἄρτον αὐτοῦ πεινῶντι δώσει, καὶ πλεονασμὸν οὐ λήψεται, ἐξ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐτοῦ, κρῖμα ἀληθινὸν ποιήσει ἀνὰ μέσον ἀνδρὸς καὶ τοῦ πλησίον, ἐν τοῖς δικαιώμασί μου πορεύσεται καὶ τὰ δικαιώματά μου ἐφύλαξε τοῦ ποιῆσαι ἀλήθειαν, δίκαιός ἐστι, ζωῇ ζήσεται, λέγει ἀδωναΐ

---

*) Roman. 6, 22. **) Ibid. 5, 4 sq.

κύριος" *). ὅ τε Ἡσαΐας τὸν μὲν πιστεύσαντα εἰς σεμνότητα βίου, τὸν γνωστικὸν δὲ εἰς ἐπίστασιν παρακαλῶν μὴ τὴν αὐτὴν εἶναι ἀρετὴν ἀνθρώπου καὶ θεοῦ παριστὰς ὧδέ φησι· „ζητήσατε τὸν κύριον καὶ ἐν τῷ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε, ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ καὶ ἀνὴρ ἄνομος τὰς ὁδοὺς αὐτοῦ, καὶ ἐπιστραφήτω πρὸς κύριον καὶ ἐλεηθήσεται" ἕως „καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου" **).

§. 136. Ἡμεῖς τοίνυν κατὰ τὸν γενναῖον ἀπόστολον „ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα, ἐν γὰρ Χριστῷ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀπάγης ἐνεργουμένη" ***). „ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος" ἕως „κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα" †). τὰ ὅμοια τῷ Παύλῳ καὶ ἡ πανάρετος σοφία λέγει· „ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ' ἐλπίδι πεποιθώς" ††) ἡ γὰρ τῆς ἐλπίδος ἀποκατάστασις ὁμωνύμως ἐλπὶς εἴρηται· διὰ τοῦ „κατασκηνώσει" τῇ λέξει παγκάλως προσέθηκε τὸ „πεποιθώς", δεικνὺς τὸν τοιοῦτον ἀναπεπαῦσθαι ἀπολαβόντα ἣν ἤλπιζεν ἐλπίδα, διὸ καὶ ἐπιφέρει „καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ". ἀντικρυς δὲ ὁ ἀπόστολος ἐν τῇ προτέρᾳ τῶν πρὸς Κορινθίους διαρρήδην φησί· „μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ" †††), ἵνα γένηται ἐκεῖνο, εἰ ὑμεῖς ἐμοῦ, ἐγὼ δὲ Χριστοῦ, ὑμεῖς οὖν μιμηταὶ Χριστοῦ γίνεσθε, Χριστὸς δὲ θεοῦ. „τὴν ἐξομοίωσιν" τοίνυν „τῷ θεῷ εἰς ὅσον οἷόν τε ἦν δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι", σκοπὸν τῆς πίστεως ὑποτίθεται, τέλος δὲ τὴν ἐπὶ τῇ πίστει τῆς ἐπαγγελίας

---

*) Ezech. 18, 4 — 9. **) Iesai. 55, 6 sq. 9. ***) Galat. 5, 5 sq. †) Hebr. 6, 11. 20. ††) Proverb. 1, 33. †††) 1 Corinth. 11, 1.

ἀποκατάστασιν. ἐκ τούτων οὖν αἱ πηγαὶ τῶν περὶ τέλους δογματισάντων ἃς προειρήκαμεν βλύζουσιν. ἀλλὰ τούτων μὲν ἅλις.

Cap. XXIII.

§. 137. Ἐπεὶ δὲ ἡδονὴ καὶ ἐπιθυμία ὑποπίπτειν γάμῳ δοκεῖ καὶ περὶ τούτου διαληπτέον. γάμος μὲν οὖν ἐστι σύνοδος ἀνδρὸς καὶ γυναικὸς ἡ πρώτη κατὰ νόμον ἐπὶ γνησίων τέκνων σπορᾷ. ὁ γοῦν κωμικὸς Μένανδρος,

παίδων,

φησί,

ἐπ' ἀρότῳ γνησίων
δίδωμί σοι 'γὼ τὴν ἐμαυτοῦ θυγατέρα.

ζητοῦμεν δὲ εἰ γαμητέον, ὅπερ τῶν κατὰ [τί] πρὸς τί πῶς ἔχειν ὠνομασμένων ἐστίν. τίνι γὰρ γαμητέον, ὅπερ καὶ πῶς ἔχοντι καὶ τίνα καὶ πῶς ἔχουσαν· οὔτε γὰρ παντὶ γαμητέον οὔτε πάντοτε, ἀλλὰ καὶ χρόνος ἐστὶν ἐν ᾧ καθῆκει, καὶ πρόσωπον ᾧ προσήκει, καὶ ἡλικία μέχρι τίνος. οὔτε οὖν παντὶ γαμητέον πᾶσαν οὔτε πάντοτε, ἀλλ' οὐδὲ παντελῶς καὶ ἀναίδην, ἀλλὰ τὸ πῶς ἔχοντι καὶ ὁπυίαν καὶ ὁπότε δεῖ καὶ χάριν παίδων καὶ τὴν κατὰ πάντα ὁμοίαν καὶ μὴ βίᾳ ἢ ἀκάγκῃ στέργουσαν τὸν ἀγαπῶντα ἄνδρα.

§. 138. Ὅθεν ὁ Ἀβραὰμ φησιν ἐπὶ τῆς γυναικὸς σκηπτόμενος ὡς ἀδελφῆς, „ἀδελφή μοί ἐστιν ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρὸς, ἐγένετο δέ μοι καὶ εἰς γυναῖκα" *), τὰς ὁμομητρίους μὴ δεῖν ἄγεσθαι πρὸς γάμιον διδάσκων. ἐπίωμεν δὲ ἐν βραχεῖ τὴν ἱστορίαν. Πλάτων μὲν οὖν ἐν τοῖς ἐκτὸς ἀγαθοῖς τάττει τὸν γάμον, ἐπισκευάσας τὴν ἀθανασίαν τοῦ γένους ἡμῶν καὶ οἱονεὶ διαμονήν τινα παισὶ παίδων μεταλαμπαδευομένην. Δημόκριτος δὲ γάμον καὶ παιδοποιίαν παραιτεῖται διὰ τὰς πολλὰς ἐξ αὐτῶν ἀηδίας τε καὶ P. 503. Pott.

*) Genes. 20, 12.

ἀφολκὰς ἀπὸ τῶν ἀναγκαιοτέρων. συγκατατέτακται δὲ αὐτῷ καὶ Ἐπίκουρος καὶ ὅσοι ἐν ἡδονῇ καὶ ἀοχλησίᾳ, ἔτι δὲ καὶ ἀλυπίᾳ τἀγαθὸν τίθενται. ἔτι κατὰ μὲν τοὺς ἀπὸ τῆς στοᾶς ἀδιάφορον ὅ τε γάμος ἢ τε παιδοτροφία, κατὰ δὲ τοὺς ἐκ τοῦ περιπάτου ἀγαθόν. συλλήβδην οὗτοι μέχρι γλώττης ἀγαγόντες τὰ δόγματα ἡδοναῖς ἐδουλώθησαν, οἱ μὲν παλλακίσιν, οἱ δὲ ἑταίραις μειρακίοις τε οἱ πλεῖστοι κεχρημένοι. ἡ σοφὴ δὲ ἐκείνη τετρακτὺς ἐν τῷ κήπῳ μετὰ τῆς ἑταίρας ἔργοις ἐκύδαινον τὴν ἡδονήν.

§. 139. Οὐκ ἂν οὖν ἐκφύγοιεν τὴν βουζύγιον ἀρὰν ὅσοι μὴ δοκιμάζοντες σφίσι συμφέρειν τινὰ ἑτέροις ταῦτα παρακελεύονται ποιεῖν, ἢ αὖ τοὔμπαλιν. τοῦτο βραχέως ἡ γραφὴ δεδήλωκεν εἰρηκυῖα, „ὃ μισεῖς, ἄλλῳ οὐ ποιήσεις“ *). πλὴν οἱ γάμιον δοκιμάζοντες „ἡ φύσις ἡμᾶς ἐποίησεν“ φασὶν „εὐθέτους πρὸς γάμον,“ ὡς δῆλον ἐκ τῆς σωμάτων κατασκευῆς τῶν τε ἀρρένων καὶ τῶν θηλειῶν, καὶ τὸ „αὐξάνεσθε καὶ πληθύνεσθε“ **) συνεχῶς ἐπιβοῶνται. εἰ δὲ καὶ ταῦθ' οὕτως ἔχει, ἀλλ' αἰσχρόν γε αὐτοῖς δοκεῖ τὸ καὶ τῶν ἀλόγων ζώων τὸν ὑπὸ θεοῦ δημιουργηθέντα ἄνθρωπον ἀκρατέστερον εἶναι, ἃ τὴν ἐπιμιξίαν οὐ ποιεῖται πρὸς πολλὰ καὶ ἐναίδην, ἀλλὰ πρὸς ἓν καὶ ὁμόφυλον, οἷαι αἱ πελειάδες καὶ αἱ φάσσαι καὶ τὸ τρυγόνων γένος καὶ ὅσα τούτοις παραπλήσια. ἔτι φασὶν, ὃ ἄτεκνος τῆς κατὰ φύσιν τελειότητος ἀπολείπεται ἅτε μὴ ἀντικαταστήσας τῇ χώρᾳ τὸν οἰκεῖον διάδοχον, τέλειος γὰρ ὁ πεποιηκὼς ἐξ αὐτοῦ τὸν ὅ-μοιον, μᾶλλον δὲ ἐπειδὰν κἀκεῖνον τὸ αὐτὸ πεποιη-κότα ἐπίδῃ, τουτέστιν ὅταν εἰς τὴν αὐτὴν καταστή-σῃ φύσιν τὸ τεκνωθὲν τῷ τεκνώσαντι.

P. 504. Rom.

§. 140. Γαμητέον οὖν πάντως καὶ τῆς πατρίδος ἕνεκα καὶ τῆς τῶν παίδων διαδοχῆς καὶ τῆς τοῦ

*) Tob. 4, 16. **) Genes. 1, 28.

κόσμου τὸ ὅσον ἐφ' ἡμῖν συντελειώσεως, ἐπεὶ καὶ γάμον τινὰ οἰκτείρουσιν οἱ ποιηταὶ ἡμιτελῆ *) καὶ ἄπαιδα, μακαρίζουσι δὲ τὸν ἀμφιθαλῆ. αἱ δὲ σωματικαὶ νόσοι μάλιστα τὸν γάμον ἀναγκαῖον δεικνύουσαι, ἡ γὰρ τῆς γυναικὸς κηδεμονία καὶ τῆς παραμονῆς ἡ ἐκτένεια τὰς ἐκ τῶν ἄλλων οἰκείων καὶ φίλων ἔοικεν ὑπερτίθεσθαι προσκαρτερήσεις, ὅσῳ τῇ συμπαθείᾳ διαφέρειν καὶ προσεδρεύειν μάλιστα πάντων προαιρεῖται, καὶ τῷ ὄντι κατὰ τὴν γραφὴν ἀναγκαία „βοηθός." **)

§. 141. Ὁ γοῦν κωμικὸς Μένανδρος καταδραμὼν τοῦ γάμου, ἀλλὰ καὶ τὰ χρήσιμα ἀντιτιθεὶς ἀποκρίνεται τῷ εἰπόντι,

α. πρὸς τὸ πρᾶγμ' ἔχω κακῶς. β. ἐπαριστερῶς γὰρ αὐτὸ λαμβάνεις.

εἶτ' ἐπιφέρει·

τὰ δυσχερῆ τε καὶ τὰ λυπήσαντά σε
ὁρᾷς ἐν αὐτῷ, τὰ δ' ἀγάθ' οὐκ ἐπιβλέπεις.

P. 82. καὶ τὰ ἑξῆς. βοηθεῖ δὲ ὁ γάμος καὶ ἐπὶ τῶν πρεσβεβηκότων τῷ χρόνῳ παριστὰς τὴν γαμετὴν ἐπιμελομένην καὶ τοὺς ἐκ ταύτης παῖδας γηροβοσκοὺς ἐκτρέφων.

παῖδες γὰρ ἀνδρὶ καθθανόντι κληδόνες
γεγάασι. φελλοὶ δ' ὣς ἄγουσι δίκτυον
τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνου

κατὰ τὸν τραγικὸν Σοφοκλέα. οἵ τε νομοθέται οὐκ ἐπιτρέπουσι τὰς μεγίστας ἀρχὰς τοῖς μὴ γαμήσασι μετεῖναι. αὐτίκα ὁ τῶν Λακώνων νομοθέτης οὐκ ἀγαμίου μόνον ἐπιτίμιον ἔστησεν, ἀλλὰ μονογαμίου καὶ ὀψιγαμίου καὶ μονοδιαιτησίας, ὁ δὲ γενναῖος Πλάτων καὶ τροφὴν γυναικὸς ἀποτίνειν εἰς τὸ δημόσιον κελεύει τὸν μὴ γήμαντα καὶ τὰς καθηκούσας δαπάνας ἀποδιδόναι τοῖς ἄρχουσιν, εἰ γὰρ μὴ γήμαντες

P. 505. Pott.

*) Cf. Homer. Iliad. β. 700. **) Genes. 2, 18.

οὐχὶ τῶν λογικῶν καὶ φιλοσόφων τὴν μακαρίαν νίκην δογματίζων, τῶν γὰρ ἀπὸ τῆς ἡδονῆς ἀρχομένων τούς τε Κυρηναϊκοὺς εἶναι καὶ τὸν Ἐπίκουρον, τούτους γὰρ τέλος εἶναι λέγειν διαρρήδην τὸ ἡδέως ζῆν, τέλειον δὲ ἀγαθὸν μόνον τὴν ἡδονὴν, ὁ δὲ Ἐπίκουρος καὶ τὴν τῆς ἀλγηδόνος ὑπεξαίρεσιν ἡδονὴν εἶναι λέγει, αἱρετὸν δὲ εἶναί φησιν ὃ πρῶτον ἐξ ἑαυτοῦ ἐφ' ἑαυτὸ ἐπισπᾶται, πάντως δηλονότι ἐν κινήσει ὑπάρχον. Δειτόμαχος δὲ καὶ Καλλιφῶν τέλος εἶναι ἔφασαν πᾶν τὸ καθ' αὑτὸν ποιεῖν ἕνεκα τοῦ ἐπιτυγχάνειν ἡδονῆς καὶ τυγχάνειν, ὅ τε Ἱερώνυμος ὁ περιπατητικὸς τέλος μὲν εἶναι τὸ ἀοχλήτως ζῆν, τελικὸν δὲ ἀγαθὸν μόνην τὴν εὐδαιμονίαν. καὶ Διόδωρος ὁμοίως ἀπὸ τῆς αὐτῆς αἱρέσεως γενόμενος τέλος ἀποφαίνεται τὸ ἀοχλήτως καὶ καλῶς ζῆν.

P. 496. Pou. 179 Sylb.

§. 128. Ἐπίκουρος μὲν οὖν καὶ οἱ Κυρηναϊκοὶ τὸ πρῶτον οἰκεῖόν φασιν ἡδονὴν εἶναι, ἕνεκα γὰρ ἡδονῆς παρελθοῦσα, φασὶν, ἡ ἀρετὴ ἡδονὴν ἐνεποίησε. κατὰ δὲ τοὺς περὶ Καλλιφῶντα ἕνεκα μὲν τῆς ἡδονῆς παρεισῆλθεν ἡ ἀρετὴ, χρόνῳ δὲ ὕστερον τὸ περὶ αὐτὴν κάλλος κατιδοῦσα ἰσότιμον ἑαυτὴν τῇ ἀρχῇ, τουτέστι τῇ ἡδονῇ, παρέσχεν. οἱ δὲ περὶ τὸν Ἀριστοτέλη τέλος ἀποδιδόασιν εἶναι τὸ ζῆν κατ' ἀρετὴν, οὔτε δὲ τὴν εὐδαιμονίαν οὔτε τὸ τέλος παντὶ τῷ τὴν ἀρετὴν ἔχοντι παρεῖναι, βασανιζόμενον γὰρ καὶ τύχαις ἀβουλήτοις περιπίπτοντα τὸν σοφὸν καὶ διὰ ταῦτα ἐκ τοῦ ζῆν ἀσμένως ἐθέλοντα διαφεύγειν μὴ εἶναι μήτε μακάριον μήτ' εὐδαίμονα, δεῖ γὰρ καὶ χρόνου τινὸς τῇ ἀρετῇ, οὐ γὰρ ἐν μιᾷ ἡμέρᾳ περιγίνεται, ᾗ καὶ ἐν τελείῳ συνίσταται, ἐπεὶ μὴ ἔστιν, ὡς φασι, παῖς εὐδαίμων ποτέ· τέλειος δ' ἂν εἴη χρόνος ὁ ἀνθρώπινος βίος. συμπληροῦσθαι τοίνυν τὴν εὐδαιμονίαν ἐκ τῆς τριγενείας τῶν ἀγαθῶν. οὔτ' οὖν ὁ πένης οὔθ' ὁ ἄδοξος, ἀλλ' οὐδ' ὁ ἐπίνοσος, ἀλλ' οὐδ' ἂν οἰκέτης ἤ τις κατ' αὐτούς.

§. 129. *Πάλιν δ' αὖ Ζήνων μὲν ὁ Στωϊκὸς τέλος ἡγεῖται τὸ κατ' ἀρετὴν ζῆν, Κλεάνθης δὲ τὸ ὁμολογουμένως τῇ φύσει ζῆν ἐν τῷ εὐλογιστεῖν, ὃ ἐν* P. *τῇ τῶν κατὰ φύσιν ἐκλογῇ κεῖσθαι διελάμβανεν.* 497.
Οὗ τε Ἀντίπατρος ὁ τούτου γνώριμος τὸ τέλος κεῖ- Pott.
σθαι ἐν τῷ διηνεκῶς καὶ ἀπαραβάτως ἐκλέγεσθαι μὲν τὰ κατὰ φύσιν, ἀπεκλέγεσθαι δὲ τὰ παρὰ φύσιν ὑπολαμβάνει. Ἀρχέδημός τε αὖ οὕτως ἐξηγεῖτο εἶναι τὸ τέλος ἐκλεγόμενος τὰ κατὰ φύσιν μέγιστα καὶ κυριώτατα, οὐχ οἷόν τε ὄντα ὑπερβαίνειν. πρὸς τούτοις ἔτι Παναίτιος τὸ ζῆν κατὰ τὰς δεδομένας ἡμῖν ἐκ φύσεως ἀφορμὰς τέλος ἀπεφήνατο. ἐπὶ πᾶσί τε ὁ Ποσειδώνιος τὸ ζῆν θεωροῦντα τὴν τῶν ὅλων ἀλήθειαν καὶ τάξιν καὶ συγκατασκευάζοντα αὐτὴν κατὰ δυνατὸν, κατὰ μηδὲν ἀγόμενον ὑπὸ τοῦ ἀλόγου μέρους τῆς ψυχῆς. τινὲς δὲ τῶν νεωτέρων Στωϊκῶν οὕτως ἀπέδοσαν τέλος εἶναι, τὸ ζῆν ἀκολούθως τῇ τοῦ ἀνθρώπου κατασκευῇ. τί δή σοι Ἀρίστωνα καταλέγωμι; τέλος οὗτος εἶναι τὴν ἀδιαφορίαν ἔφη, τὸ δὲ ἀδιάφορον ἁπλῶς ἀδιάφορον ἀπολείπει. ἢ τὰ Ἡρείλλου εἰς μέσον παράγωμι; τὸ κατ' ἐπιστήμην ζῆν τέλος εἶναι τίθησιν Ἡριλλος. τοὺς γὰρ ἐκ τῆς ἀκαδημίας νεωτέρους ἀξιοῦσί τινες τέλος ἀποδιδόναι τὴν ἀσφαλῆ πρὸς τὰς φαντασίας ἀποχήν. ναὶ μὴν Λύκος ὁ περιπατητικὸς τὴν ἀληθινὴν χαρὰν τῆς ψυχῆς τέλος ἔλεγεν εἶναι, ὡς Λεύκιμος τὴν ἐπὶ τοῖς καλοῖς. Κριτόλαος δὲ ὁ καὶ αὐτὸς περιπατητικὸς τελειότητα ἔλεγεν κατὰ φύσιν εὐροοῦντος βίου, τὴν ἐκ τῶν τριῶν γενῶν συμπληρουμένην προγονικὴν τελειότητα μηνύων.

§. 130. *Οὔκουν ἐπὶ τούτοις ἀρκουμένους καταπαυστέον, φιλοτιμητέον δὲ ὡς ἔνι μάλιστα καὶ τὰ πρὸς τῶν φυσικῶν δογματιζόμενα περὶ τοῦ προκειμένου παραθέσθαι. Ἀναξαγόραν μὲν γὰρ τὸν Κλαζομένιον τὴν θεωρίαν φάναι τοῦ βίου τέλος εἶναι καὶ τὴν ἀπὸ ταύτης ἐλευθερίαν λέγουσιν, Ἡράκλειτόν τε τὸν Ἔφέσιον τὴν εὐαρέστησιν. Πυθαγόραν δὲ ὁ*

Ποντικὸς Ἡρακλείδης ἱστορεῖ τὴν ἐπιστήμην τῆς τε- P.
λειότητος τῶν ἀρετῶν τῆς ψυχῆς εὐδαιμονίαν εἶναι 498.
παραδεδωκέναι. ἀλλὰ καὶ οἱ Ἀβδηρῖται τέλος ἡδο- Pott.
νὴν διδάσκουσιν, Δημόκριτος μὲν ἐν τῷ περὶ τέλους
τὴν εὐθυμίαν, ἣν καὶ εὐεστὼ προσηγόρευσεν, καὶ
πολλάκις ἐπιλέγει· τέρψις γὰρ καὶ ἀτερπίη οὖρος
τῶν περιηκμακότων. Ἑκαταῖος δὲ αὐτάρκειαν, καὶ
δὴ Ἀπολλόδοτος ὁ Κυζικηνὸς τὴν ψυχαγωγίαν, καθάπερ Ναυσιφάνης τὴν ἀκαταπληξίαν. ταύτην γὰρ ἔφη
ὑπὸ Δημοκρίτου ἀθαμβίην λέγεσθαι. ἔτι πρὸς τούτοις Διότιμος τὴν παντέλειαν τῶν ἀγαθῶν ἣν εὐεστὼ προσαγορεύεσθαι τέλος ἀπέφηνεν. πάλιν Ἀντισθένης μὲν τὴν ἀτυφίαν, οἱ δὲ Ἀννικέρειοι καλούμενοι ἐκ τῆς Κυρηναϊκῆς διαδοχῆς τοῦ μὲν ὅλου βίου τέλος οὐδὲν ὡρισμένον ἔταξαν, ἑκάστης δὲ πράξεως ἴδιον ὑπάρχειν τέλος τὴν ἐκ τῆς πράξεως περιγινομένην ἡδονήν. οὗτοι οἱ Κυρηναϊκοὶ τὸν ὅρον τῆς ἡδονῆς Ἐπικούρου, τουτέστι τὴν τοῦ ἀλγοῦντος ὑπεξαίρεσιν, ἀθετοῦσιν, νεκροῦ κατάστασιν ἀποκαλοῦντες, χαίρειν γὰρ ἡμᾶς μὴ μόνον ἐπὶ ἡδοναῖς, ἀλλὰ καὶ ἐπὶ ὁμιλίαις καὶ ἐπὶ φιλοτιμίαις. ὁ δὲ Ἐπίκουρος πᾶσαν χαρὰν τῆς ψυχῆς οἴεται ἐπὶ πρωτοπαθούσῃ τῇ σαρκὶ γενέσθαι.

Cap. XXII.

§. 131. Ὁ τε Μητρόδωρος ἐν τῷ περὶ τοῦ μείζονα εἶναι τὴν παρ' ἡμᾶς αἰτίαν πρὸς εὐδαιμονίαν τῆς ἐκ τῶν πραγμάτων· ἀγαθὸν, φησὶ, ψυχῆς τί ἄλλο ἢ τὸ σαρκὸς εὐσταθὲς κατάστημα καὶ τὸ περὶ ταύτης πιστὸν ἔλπισμα; ναὶ μὴν Πλάτων ὁ φιλόσοφος διττὸν P.
εἶναι τὸ τέλος φησὶν, τὸ μὲν μεθεκτόν τε καὶ πρῶτον ἐν 499.
αἰτοῖς ὑπάρχον τοῖς εἴδεσιν, ὃ δὴ καὶ ταγαθὸν προσ- Pott.
ονομάζει, τὸ δὲ μετέχον ἐκείνου καὶ τὴν ἀπ' αὐτοῦ δεχόμενον ὁμοιότητα, ὃ περὶ ἀνθρώπους γίνεται τοὺς μεταποιουμένους ἀρετῆς τε καὶ τῆς ἀληθοῦς φιλοσοφίας. διὸ καὶ Κλεάνθης ἐν τῷ δευτέρῳ περὶ ἡδονῆς τὸν

Σωκράτην φησὶ παρ' ἕκαστα διδάσκειν, ὡς ὁ αὐτὸς δίκαιός τε καὶ εὐδαίμων ἀνὴρ καὶ τῷ πρώτῳ διελόντι τὸ δίκαιον ἀπὸ τοῦ συμφέροντος καταρᾶσθαι ὡς ἀσεβές τι πρᾶγμα δεδρακότι, ἀσεβεῖς γὰρ τῷ ὄντι οἱ τὸ συμφέρον ἀπὸ τοῦ κατὰ νόμον χωρίζοντες. αὐτὸς δὲ ὁ Πλάτων τὴν εὐδαιμονίαν τὸ εὖ τὸν δαίμονα ἔχειν, δαίμονα δὲ λέγεσθαι τὸ τῆς ψυχῆς ἡμῶν ἡγεμονικὸν, τὴν δὲ εὐδαιμονίαν τὸ τελειότατον ἀγαθὸν καὶ πληρέστατον λέγει. ὅτε δὲ βίον ὁμολογούμενον καὶ σύμφωνον αὐτὴν ἀποκαλεῖ, καὶ ἔσθ' ὅτε τὸ κατ' ἀρετὴν τελειότατον, τοῦτο δὲ ἐν ἐπιστήμῃ τοῦ ἀγαθοῦ τίθεται καὶ ἐν ἐξομοιώσει τῇ πρὸς τὸν Θεὸν, ὁμοίωσιν ἀποP. φαινόμενος δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως εἶναι.
188 ἢ γὰρ οὐχ οὕτως τινὲς τῶν ἡμετέρων τὸ μὲν κατ'
8yib. εἰκόνα εὐθέως κατὰ τὴν γένεσιν εἰληφέναι τὸν ἄνθρωπον, τὸ καθ' ὁμοίωσιν δὲ ὕστερον κατὰ τὴν τελείωσιν μέλλειν ἀπολαμβάνειν ἐκδέχονται.

§. 132. Αὐτίκα ὁ Πλάτων τὴν ὁμοίωσιν ταύτην μετὰ ταπεινοφροσύνης ἕσεσθαι τῷ ἐναρέτῳ διδάσκων ἐκεῖνό που ἑρμηνεύει, „πᾶς ὁ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται" *). λέγει οὖν ἐν τοῖς νόμοις· „ὁ μὲν δὴ Θεὸς, ὥσπερ καὶ ὁ παλαιὸς λόγος, ἀρχήν τε καὶ μέσα καὶ τελευτὴν τῶν πάντων ἔχων εὐθεῖαν περαίνει κατὰ φύσιν περιπορευόμενος, τῷ δὲ αἰεὶ ξυνέπεται δίκη τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρός". ὁρᾷς ὅπως καὶ αὐτὸς εὐλάβειαν προσάγει τῷ θείῳ νόμῳ; ἐπιφέρει γοῦν· „ᾗς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος ξυνέπεται ταπεινὸς καὶ κεκοσμημένος". εἶτα τούτοις τὰ ἀκόλουθα συνάψας καὶ τῷ φόβῳ νουθετήσας ἐπιφέρει· „τίς οὖν δὴ πρᾶξις φίλη καὶ ἀκόλουθος θεῷ; μία καὶ ἕνα λόγον ἔχουσα ἀρχαῖον, ὅτι τῷ μὲν ὁμοίῳ τὸ ὅμοιον ὄντι μετρίῳ φίλον ἂν εἴη, τὰ δὲ ἄμετρα οὔτε ἀλλήλοις οὔτε τοῖς ἐμμέτροις. τὸν οὖν τῷ P. 500. Pott.

*) Luc. 14, 11.

θεῷ προσφιλῆ γενησόμενον εἰς δύναμιν ὅτι μάλιστα καὶ αὐτὸν τοιοῦτον ἀναγκαῖον γίνεσθαι.

§. 133. Καὶ κατὰ τοῦτον δὴ τὸν λόγον ὁ μὲν σώφρων ἡμῶν θεῷ φίλος — ὅμοιος γάρ — ὅ τε μὴ σώφρων ἀνόμοιός τε καὶ διάφορος. τοῦτο ἀρχαῖον εἶναι φήσας τὸ δόγμα τὴν ἐκ τοῦ νόμου εἰς αὐτὸν ἥκουσαν διδασκαλίαν ἠνίξατο, κἂν τῷ Θεαιτήτῳ τὰ κακὰ ἀμφὶ τὴν θνητὴν φύσιν καὶ τόνδε τὸν τόπον περιπολεῖν ἐξ ἀνάγκης δοὺς ἐπιφέρει· διὸ καὶ πειρᾶσθαι χρὴ ἐνθένδε ἐκεῖσε φεύγειν ὅτι τάχιστα, φυγὴ δὲ ὁμοίωσις θεῷ κατὰ τὸ δυνατόν, ὁμοίωσις δὲ δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι. Σπεύσιππός τε ὁ Πλάτωνος ἀδελφιδοῦς τὴν εὐδαιμονίαν φησὶν ἕξιν εἶναι τελείαν ἐν τοῖς κατὰ φύσιν ἔχουσιν, ἣ ἕξις ἀγαθῶν, ἧς δὴ καταστάσεως ἅπαντας μὲν ἀνθρώπους ὄρεξιν ἔχειν, στοχάζεσθαι δὲ τοὺς ἀγαθοὺς τῆς ἀοχλησίας. εἶεν δ' ἂν αἱ ἀρεταὶ τῆς εὐδαιμονίας ἀπεργαστικαί. Ξενοκράτης τε ὁ Χαλκηδόνιος τὴν εὐδαιμονίαν ἀποδίδωσι κτῆσιν τῆς οἰκείας ἀρετῆς καὶ τῆς ὑπηρετικῆς αὐτῇ δυνάμεως. εἶτα ὡς μὲν ἐν ᾧ γίνεται φαίνεται λέγων τὴν ψυχήν, ὡς δ' ὑφ' ὧν τὰς ἀρετάς, ὡς δ' ἐξ ὧν ὡς μερῶν τὰς καλὰς πράξεις καὶ τὰς σπουδαίας ἕξεις τε καὶ διαθέσεις καὶ κινήσεις καὶ σχέσεις, ὡς τούτων οὐκ ἄνευ τὰ σωματικὰ καὶ τὰ ἐκτός. ὁ γὰρ Ξενοκράτους γνώριμος Πολέμων φαίνεται τὴν εὐδαιμονίαν αὐτάρκειαν εἶναι βουλόμενος ἀγαθῶν πάντων ἢ τῶν πλείστων καὶ μεγίστων. δογματίζει γοῦν χωρὶς μὲν ἀρετῆς μηδέ ποτε ἂν εὐδαιμονίαν ὑπάρχειν, δίχα δὲ καὶ τῶν σωματικῶν καὶ τῶν ἐκτὸς τὴν ἀρετὴν αὐτάρκη πρὸς εὐδαιμονίαν εἶναι.

§. 134. Καὶ τὰ μὲν ὧδε ἐχέτω, αἱ δὲ ἀντιρρήσεις αἱ πρὸς τὰς εἰρημένας δόξας κατὰ καιρὸν τεθήσονται, ἡμῖν δὲ αὐτοῖς εἰς τέλος ἀτελεύτητον ἀφικέσθαι πρόκειται πειθομένοις ταῖς ἐντολαῖς, τουτέστι τῷ θεῷ, καὶ κατ' αὐτὰς βιώσασιν ἀνεπιλήπτως καὶ ἐπιστημόνως διὰ τῆς τοῦ θείου θελήματος γνώσεως, ἣ

τε πρὸς τὸν ὀρθὸν λόγον ὡς οἷόν τε ἐξομοίωσις τέλος ἐστὶ καὶ εἰς τὴν τελείαν υἱοθεσίαν διὰ τοῦ υἱοῦ ἀποκατάστασις δοξάζουσα ἀεὶ τὸν πατέρα διὰ τοῦ μεγάλου ἀρχιερέως τοῦ ἀδελφοὺς καὶ συγκληρονόμους καταξιώσαντος ἡμᾶς εἰπεῖν καὶ ὁ μὲν ἀπόστολος συντόμως τὸ τέλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ διαγράφων λέγει· „νυνὶ δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον“ *)· διττὴν δὲ εἰδὼς τὴν ἐλπίδα τὴν μὲν προσδοκωμένην, τὴν δὲ ἀπειλημμένην ἤδη τέλος διδάσκει τὴν τῆς ἐλπίδος ἀποκατάστασιν· „ἡ γὰρ ὑπομονή“, φησί, „δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει, ὅτι ἡ ἀγάπη τοῦ θεοῦ ἐκκέχυται ἐν ταῖς καρδίαις ἡμῶν διὰ πνεύματος ἁγίου τοῦ δοθέντος ἡμῖν“ **). δι' ἣν ἀγάπην καὶ εἰς τὴν ἐλπίδα ἀποκατάστασις ἣν „ἀνάπαυσιν“ ἀλλαχοῦ λέγει ἀποκεῖσθαι ἡμῖν.

P. 501. Pott.

§. 135. Τὰ ὅμοια καὶ παρὰ τῷ Ἰεζεκιὴλ εὕροις ἂν οὕτως ἔχοντα· „ἡ ψυχὴ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται καὶ ἀνὴρ ὃς ἂν γένηται δίκαιος καὶ ποιήσῃ κρῖμα καὶ δικαιοσύνην ἐπὶ τὰ ὄρη οὐκ ἔφαγεν καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ οὐκ ἦρεν ἐπὶ τὰ εἴδωλα οἴκου Ἰσραὴλ καὶ τὴν γυναῖκα τοῦ πλησίον οὐκ ἐμίανεν καὶ πρὸς γυναῖκα ἐν καιρῷ ἀκαθαρσίας αὐτῆς οὐ προσῆλθεν“ — οὐ γὰρ ἐφύβριστον τὴν ἀνθρώπου σποράν εἶναι βούλεται — „καὶ ἄνδρα“ φησὶ „μὴ κακώσῃ, ἐνεχύρασμα ὀφείλοντος ἀποδώσει, ἅρπαγμα οὐ μὴ ἁρπάσῃ τὸν ἄρτον αὐτοῦ πεινῶντι δώσει, καὶ πλεονασμὸν οὐ λήψεται, ἐξ ἀδικίας ἀποστρέψει τὴν χεῖρα αὐτοῦ, κρῖμα ἀληθινὸν ποιήσει ἀνὰ μέσον ἀνδρὸς καὶ τοῦ πλησίον, ἐν τοῖς δικαιώμασί μου πορεύσεται καὶ τὰ δικαιώματά μου ἐφύλαξε τοῦ ποιῆσαι ἀλήθειαν, δίκαιός ἐστι, ζωῇ ζήσεται, λέγει ἀδωναΐ

---

*) Roman. 6, 22. **) Ibid. 5, 4 sq.

κύριος" *). ὅ τε Ἡσαΐας τὸν μὲν πιστεύσαντα εἰς σεμνότητα βίου, τὸν γνωστικὸν δὲ εἰς ἐπίστασιν παρακαλῶν μὴ τὴν αὐτὴν εἶναι ἀρετὴν ἀνθρώπου καὶ θεοῦ παριστὰς ὧδέ φησι· „ζητήσατε τὸν κύριον καὶ εὑρίσκειν αὐτὸν ἐπικαλέσασθε, ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, ἀπολειπέτω ὁ ἀσεβὴς τὰς ὁδοὺς αὐτοῦ καὶ ἀνὴρ ἄνομος τὰς ὁδοὺς αὐτοῦ, καὶ ἐπιστραφήτω πρὸς κύριον καὶ ἐλεηθήσεται" ἕως „καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου" **).

§. 136. Ἡμεῖς τοίνυν κατὰ τὸν γενναῖον ἀπόστολον „ἐκ πίστεως ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα, ἐν γὰρ Χριστῷ οὔτε περιτομή τι ἰσχύει οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀπάγης ἐνεργουμένη" ***). „ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος" ἕως „κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα" †). τὰ ὅμοια τῷ Παύλῳ καὶ ἡ πανάρετος σοφία λέγει· „ὁ δὲ ἐμοῦ ἀκούων κατασκηνώσει ἐπ' ἐλπίδι πεποιθώς" ††) ἡ γὰρ τῆς ἐλπίδος ἀποκατάστασις ὁμωνύμως ἐλπὶς εἴρηται· διὰ τοῦ „κατασκηνώσει" τῇ λέξει παγκάλως προσέθηκε τὸ „πεποιθώς", δεικνὺς τὸν τοιοῦτον ἀναπεπαῦσθαι ἀπολαβόντα ἣν ἤλπιζεν ἐλπίδα, διὸ καὶ ἐπιφέρει „καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ". ἀντικρυς δὲ ὁ ἀπόστολος ἐν τῇ προτέρᾳ τῶν πρὸς Κορινθίους διαρρήδην φησί· „μιμηταί μου γίνεσθε καθὼς κἀγὼ Χριστοῦ" †††), „ἵνα γένηται ἐκεῖνο, εἰ ὑμεῖς ἐμοῦ, ἐγὼ δὲ Χριστοῦ, ὑμεῖς οὖν μιμηταὶ Χριστοῦ γίνεσθε, Χριστὸς δὲ θεοῦ. „τὴν ἐξομοίωσιν" τοίνυν „τῷ θεῷ εἰς ὅσον οἷόν τε ἦν δίκαιον καὶ ὅσιον μετὰ φρονήσεως γενέσθαι", σκοπὸν τῆς πίστεως ὑποτίθεται, τέλος δὲ τὴν ἐπὶ τῇ πίστει τῆς ἐπαγγελίας

*) Ezech. 18, 4 — 9. **) Iesai. 55, 6 sq. 9. ***) Galat. 5, 5 sq. †) Hebr. 6, 11. 20. ††) Proverb. 1, 33. †††) 1 Corinth. 11, 1.

ἀποκατάστασιν. ἐκ τούτων οὖν αἱ πηγαὶ τῶν περὶ τέλους δογματισάντων ἃς προειρήκαμεν βλύζουσιν. ἀλλὰ τούτων μὲν ἄλις.

Cap. XXIII.

§. 137. Ἐπεὶ δὲ ἡδονὴ καὶ ἐπιθυμία ὑποπίπτειν γάμῳ δοκεῖ καὶ περὶ τούτου διαληπτέον. γάμος μὲν οὖν ἐστὶ σύνοδος ἀνδρὸς καὶ γυναικὸς ἡ πρώτη κατὰ νόμον ἐπὶ γνησίων τέκνων σπορᾷ. ὁ γοῦν κωμικὸς Μένανδρος,

παίδων,

φησὶ,

ἐπ' ἀρότῳ γνησίων
δίδωμί σοι ἐγὼ τὴν ἐμαυτοῦ θυγατέρα.

ζητοῦμεν δὲ εἰ γαμητέον, ὅπερ τῶν κατὰ [τί] πρὸς τί πῶς ἔχειν ὠνομασμένων ἐστίν. τίνι γὰρ γαμητέον, ὅπερ καὶ πῶς ἔχοντι καὶ τίνα καὶ πῶς ἔχουσαν· οὔτε γὰρ παντὶ γαμητέον οὔτε πάντοτε, ἀλλὰ καὶ χρόνος ἐστὶν ἐν ᾧ καθήκει, καὶ πρόσωπον ᾧ προσήκει, καὶ ἡλικία μέχρι τίνος. οὔτε οὖν παντὶ γαμητέον πᾶσαν οὔτε πάντοτε, ἀλλ' οὐδὲ παντελῶς καὶ ἀναίδην, ἀλλὰ τὸ πῶς ἔχοντι καὶ ὁπυίαν καὶ ὁπότε δεῖ καὶ χάριν παίδων καὶ τὴν κατὰ πάντα ὁμοίαν καὶ μὴ βίᾳ ἡ ἀκάγκη στέργουσαν τὸν ἀγαπῶντα ἄνδρα.

§. 138. Ὅθεν ὁ Ἀβραάμ φησιν ἐπὶ τῆς γυναικὸς σκηπτόμενος ὡς ἀδελφῆς, „ἀδελφή μού ἐστιν ἐκ πατρὸς, ἀλλ' οὐκ ἐκ μητρὸς, ἐγένετο δέ μοι καὶ εἰς γυναῖκα" *), τὰς ὁμομητρίους μὴ δεῖν ἄγεσθαι πρὸς γάμον διδάσκων. ἐπίωμεν δὲ ἐν βραχεῖ τὴν ἱστορίαν. Πλάτων μὲν οὖν ἐν τοῖς ἐκτὸς ἀγαθοῖς τάττει τὸν γάμον, ἐπισκευάσας τὴν ἀθανασίαν τοῦ γένους ἡμῶν καὶ οἱονεὶ διαμονήν τινα παισὶ παίδων μεταλαμπαδευομένην. Δημόκριτος δὲ γάμον καὶ παιδοποιίαν παραιτεῖται διὰ τὰς πολλὰς ἐξ αὐτῶν ἀηδίας τε καὶ

P. 503. Pott.

*) Genes. 20, 12.

ἀφολκὰς ἀπὸ τῶν ἀναγκαιοτέρων. συγκατατάττεται δὲ αὐτῷ καὶ Ἐπίκουρος καὶ ὅσοι ἐν ἡδονῇ καὶ ἀσχλησίᾳ, ἔτι δὲ καὶ ἀλυπίᾳ τἀγαθὸν τίθενται. ἔτι κατὰ μὲν τοὺς ἀπὸ τῆς στοᾶς ἀδιάφορον ὅ τε γάμος ἥ τε παιδοτροφία, κατὰ δὲ τοὺς ἐκ τοῦ περιπάτου ἀγαθόν. συλλήβδην οὗτοι μέχρι γλώττης ἀγαγόντες τὰ δόγματα ἡδοναῖς ἐδουλώθησαν, οἱ μὲν παλλακίσιν, οἱ δὲ ἑταίραις μειρακίοις τε οἱ πλεῖστοι κεχρημένοι. ἡ σοφὴ δὲ ἐκείνη τετρακτὺς ἐν τῷ κήπῳ μετὰ τῆς ἑταίρας ἔργοις ἐκύδαινον τὴν ἡδονήν.

§. 139. Οὐκ ἂν οὖν ἐκφύγοιεν τὴν βουζύγιον ἀρὰν ὅσοι μὴ δοκιμάζοντες σφίσι συμφέρειν τινὰ ἑτέροις ταῦτα παρακελεύονται ποιεῖν, ἢ αὖ τοὔμπαλιν. τοῦτο βραχέως ἡ γραφὴ δεδήλωκεν εἰρηκυῖα, „ὃ μισεῖς, ἄλλῳ οὐ ποιήσεις“ *). πλὴν οἱ γάμιον δοκιμάζοντες „ἡ φύσις ἡμᾶς ἐποίησεν“ φασὶν „εὐθέτους πρὸς γάμον,“ ὡς δῆλον ἐκ τῆς σωμάτων κατασκευῆς τῶν τε ἀρρένων καὶ τῶν θηλειῶν, καὶ τὸ „αὐξάνεσθε καὶ πληθύνεσθε“ **) συνεχῶς ἐπιβοῶνται. εἰ δὲ καὶ ταῦθ' οὕτως ἔχει, ἀλλ' αἰσχρόν γε αὐτοῖς δοκεῖ τὸ καὶ τῶν ἀλόγων ζώων τὸν ὑπὸ θεοῦ δημιουργηθέντα ἄνθρωπον ἀκρατέστερον εἶναι, ἃ τὴν ἐπιμιξίαν οὐ ποιεῖται πρὸς πολλὰ καὶ ἀναίδην, ἀλλὰ πρὸς ἓν καὶ ὁμύφυλον, οἷαι αἱ πελειάδες καὶ αἱ φάσσαι καὶ τὸ τρυγόνων γένος καὶ ὅσα τούτοις παραπλήσια. ἔτι φασὶν, ὁ ἄτεκνος τῆς κατὰ φύσιν τελειότητος ἀπολείπεται ἅτε μὴ ἀντικαταστήσας τῇ χώρᾳ τὸν οἰκεῖον διάδοχον, τέλειος γὰρ ὁ πεποιηκὼς ἐξ αὐτοῦ τὸν ὅ-P. μοιον, μᾶλλον δὲ ἐπειδὰν κἀκεῖνον τὸ αὐτὸ πεποιη-504. κότα ἐπίδῃ, τουτέστιν ὅταν εἰς τὴν αὐτὴν καταστή-Pos. σῃ φύσιν τὸ τεκνωθὲν τῷ τεκνώσαντι.

§. 140. Γαμητέον οὖν πάντως καὶ τῆς πατρίδος ἕνεκα καὶ τῆς τῶν παίδων διαδοχῆς καὶ τῆς τοῦ

*) Tob. 4, 16. **) Genes. 1, 28.

κόσμου τὸ ὅσον ἐφ' ἡμῖν συντελειώσεως, ἐπεὶ καὶ γάμων τινὰ οἰκτείρουσιν οἱ ποιηταὶ ἡμιτελῆ *) καὶ ἄπαιδα, μακαρίζουσι δὲ τὸν ἀμφιθαλῆ. αἱ δὲ σωματικαὶ νόσοι μάλιστα τὸν γάμον ἀναγκαῖον δεικνύουσαι, ἡ γὰρ τῆς γυναικὸς κηδεμονία καὶ τῆς παραμονῆς ἡ ἐκτένεια τὰς ἐκ τῶν ἄλλων οἰκείων καὶ φίλων ἔοικεν ὑπερτίθεσθαι προσκαρτερήσεις, ὅσῳ τῇ συμπαθείᾳ διαφέρειν καὶ προσεδρεύειν μάλιστα πάντων προαιρεῖται, καὶ τῷ ὄντι κατὰ τὴν γραφὴν ἀναγκαία „βοηθός." **)

§. 141. Ὁ γοῦν κωμικὸς Μένανδρος καταδραμὼν τοῦ γάμου, ἀλλὰ καὶ τὰ χρήσιμα ἀντιτιθεὶς ἀποκρίνεται τῷ εἰπόντι,

α. πρὸς τὸ πρᾶγμ' ἔχω
κακῶς. β. ἐπαριστερῶς γὰρ αὐτὸ λαμβάνεις.
εἶτ' ἐπιφέρει·
τὰ δυσχερῆ τε καὶ τὰ λυπήσαντά σε
ὁρᾷς ἐν αὐτῷ, τὰ δ' ἀγάθ' οὐκ ἐπιβλέπεις.

καὶ τὰ ἑξῆς. βοηθεῖ δὲ ὁ γάμος καὶ ἐπὶ τῶν πρὸ
82. βεβηκότων τῷ χρόνῳ παριστὰς τὴν γαμετὴν ἐπιμε-
ylb. λομένην καὶ τοὺς ἐκ ταύτης παῖδας γηροβοσκοὺς ἐκτρέφων.

παῖδες γὰρ ἀνδρὶ κατθανόντι κληδόνες
γεγάασι. φελλοὶ δ' ὥς ἄγουσι δίκτυον
τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνου

κατὰ τὸν τραγικὸν Σοφοκλέα. οἵ τε νομοθέται οὐκ ἐπιτρέπουσι τὰς μείστας ἀρχὰς τοῖς μὴ γαμήσασι μετεῖναι. αὐτίκα ὁ τῶν Λακώνων νομοθέτης οὐκ P. ἀγαμίου μόνον ἐπιτίμιον ἔστησεν, ἀλλὰ μονογαμίου 505.
καὶ ὀψιγαμίου καὶ μονοδιαιτησίας, ὁ δὲ γενναῖος Πλά- Pott.
των καὶ τροφὴν γυναικὸς ἀποτίνειν εἰς τὸ δημόσιον κελεύει τὸν μὴ γήμαντα καὶ τὰς καθηκούσας δαπάνας ἀποδιδόναι τοῖς ἄρχουσιν, εἰ γὰρ μὴ γήμαντες

*) Cf. Homer. Iliad. β. 700. **) Genes. 2, 18.

οὐ παιδοποιήσονται τὸν ὅσον ἐφ' ἑαυτοῖς, ἀνδρῶν σπάνιν ποιήσουσιν καὶ καταλύσουσι τάς τε πόλεις καὶ τὸν κόσμον τὸν ἐκ τούτων.

§. 141. Τὸ δὲ τοιοῦτον ἀσεβὲς θείαν γένεσιν καταλυόντων. ἤδη δὲ ἄνανδρον καὶ ἀσθενὲς τὴν μετὰ γυναικὸς καὶ τέκνων φεύγειν συμβίωσιν, οὗ γὰρ ἡ ἀποβολὴ κακόν ἐστι, τούτου πάντως ἡ κτῆσις ἀγαθόν· ἔχει δ' οὕτω καὶ ἐπὶ τῶν λοιπῶν. ἀλλὰ μὴν ἡ τῶν τέκνων ἀποβολὴ τῶν ἀνωτάτω κακῶν ἐστί, φασί. ἡ οὖν τῶν τέκνων κτῆσις ἀγαθόν. εἰ δὲ τοῦτο, καὶ ὁ γάμος.

ἄνευ δὲ πατρὸς,
φησὶ,
τέκνον οὐκ εἴη πότ' ἄν,
ἄνευ δὲ μητρὸς οὐδὲ συλλαβὴ τέκνου.
πατέρα δὲ γάμος ποιεῖ ὡς μητέρα ἀνήρ.

§. 142. Εὐχὴν οὖν μεγίστην καὶ Ὅμηρος τίθεται ἄνδρα τε καὶ οἶκον *), ἀλλ' οὐχ ἁπλῶς, μετὰ ὁμοφροσύνης δὲ τῆς ἐσθλῆς. ὁ μὲν γὰρ τῶν ἄλλων γάμος ἐφ' ἡδυπαθείᾳ ὁμονοεῖ, ὁ δὲ τῶν φιλοσοφούντων ἐπὶ τὴν κατὰ λόγον ὁμόνοιαν ἄγει ὃ μὴ τὸ εἶδος **), ἀλλὰ τὸ ἦθος ἐπιτρέπων ταῖς γυναιξὶ κοσμεῖσθαι μηδ' ὡς ἐρωμέναις χρῆσθαι ταῖς γαμεταῖς προστάττων τοῖς ἀνδράσι σκοπὸν πεποιημένους τὴν τῶν σωμάτων ὕβριν, ἀλλ' εἰς βοήθειαν παντὸς τοῦ βίου καὶ τὴν ἀρίστην σωφροσύνην περιποιεῖσθαι τὸν γάμον. πυρῶν γὰρ οἶμαι καὶ κριθῶν τε αὖ κατὰ τοὺς οἰκείους καιροὺς καταβαλλομένων σπερμάτων P. τιμιώτερός ἐστιν ὁ σπειρόμενος ἄνθρωπος, ᾧ πάντα 506. φύεται, κἀκεῖνά γε καὶ νήφοντες καταβάλλουσι τὰ Pos σπέρματα οἱ γεωργοί. πᾶν οὖν εἴ τι ὑπαρὸν καὶ μεμολυσμένον ἐπιτήδευμα ἀφαγνιστέον τοῦ γάμου, ὡς μὴ ὀνειδισθείημεν τὴν τῶν ἀλόγων ζώων σύνοδον

*) Cf. Homer. Odyss. ζ. v. 181. **) Cf. 1 Timoth. 2, 9. 2 Petr. 2, 3.

τῆς ἀνθρωπίνης συζυγίας συνάδουσαν τῇ φύσει μᾶλλον κατὰ τὸν ὁμολογούμενον θορυβορόν.

§. 143. Τὰ γοῦν ἕνια αὐτῶν ᾧ κελεύεται καιρῷ εὐθέως ἀπαλλάττεται καταλιπόντα τὴν δημιουργίαν τῇ διοικήσει, τοῖς τραγῳδοποιοῖς δὲ ἡ Πολυξένη καίτοι ἀποσφαττομένη ἀναγέγραπται, ἀλλὰ καὶ θνήσκουσα ὅμως πολλὴν πρόνοιαν πεποιῆσθαι τοῦ εὐσχημόνως πεσεῖν, κρύπτουσ' ἃ κρύπτειν ὅμμαθ' ἁρρένων ἐχρῆν.

ἦν δὲ κἀκείνη γάμος ἡ συμφορά. τὸ ὑποπεσεῖν οὖν καὶ παραχωρῆσαι τοῖς πάθεσιν ἐσχάτη δουλεία, ὥσπερ ἀμέλει τὸ κρατεῖν τούτων ἐλευθερία μόνη. ἢ γοῦν θεία γραφὴ τοὺς παραβάντας τὰς ἐντολὰς πεπρᾶσθαι λέγει τοῖς ἀλλογενέσι, τουτέστιν ἁμαρτίαις ἀνοικείαις τῇ φύσει, ἄχρις ἂν ἐπιστρέψαντες μετανοήσωσι.

§. 144. Καθαρὸν οὖν τὸν γάμον ὥσπερ τι ἱερὸν ἄγαλμα τῶν μιαινόντων φυλακτέον, ἀνεγειρομένοις μὲν ἐκ τῶν ὕπνων μετὰ κυρίου, ἀπιοῦσι δὲ εἰς ὕπνον μετ' εὐχαριστίας καὶ εὐχομένοις,

ἡμὲν ὅτ' εὐνάζῃ καὶ ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ· *)

μαρτυρομένοις τὸν κύριον παρ' ὅλον ἡμῶν τὸν βίον, τὸ μὲν θεοσεβεῖν τῇ ψυχῇ κεκτημένοις, τὸ σῶφρον δὲ μέχρι καὶ τοῦ σώματος ἄγουσιν. Θεοφιλὲς γὰρ τῷ ὄντι ἀπὸ τῆς γλώττης ἐπὶ τὰ ἔργα τὸ κόσμιον διαχειραγωγεῖν, ὁδὸς δὲ ἐπ' ἀναισχυντίαν ἡ αἰσχρολογία, καὶ τέλος ἀμφοῖν ἡ αἰσχροεργία. ὅτι δὲ γαμεῖν ἡ γραφὴ συμβουλεύει οὐδὲ ἀφίστασθαί ποτε τῆς συζυγίας ἐπιτρέπει ἀντικρυς νομοθετεῖ· „οὐκ ἀπολύσεις γυναῖκα πλὴν εἰ μὴ ἐπὶ λόγῳ πορνείας" **)· μοιχείαν δὲ ἡγεῖται τὸ ἐπιγῆμαι ζῶντος θατέρου τῶν κεχωρισμένων.

§. 145. Ἀνύποπτον δὲ εἰς διαβολὴν δείκνυσι γυναῖκα τὸ μὴ καλλωπίζεσθαι μηδὲ μὴν κοσμεῖσθαι πέρα τοῦ πρέποντος εὐχαῖς καὶ δεήσεσι προσανέχουσαν ἐκτενῶς, τὰς μὲν ἐξόδους τῆς οἰκίας φυλαττο-

*) Homer. Odyss. v. **) Matth. 5, 32. 19, 9. Marc. 10, 11 sq. Luc.

μένην τὰς πολλὰς, ἐποικείσουσαν δ' ὡς εἶόν τε αὐτὴν τῆς πρὸς τοὺς οὐ προσήκοντας προσόψεως, προὐργιαίτερον τιθεμένην τῆς ἀκαίρου φλυαρίας τὴν οἰκουρίαν. ὁ δὲ ἀπολελυμένην λαμβάνων γυναῖκα μοιχᾶται" *) φησίν, „ἐὰν" γάρ „τις ἀπολύσῃ γυναῖκα μοιχᾶται αὐτήν," τουτέστιν ἀναγκάζει μοιχεύθῆναι. οὐ μόνον δὲ ὁ ἀπολύσας αἴτιος γίνεται τούτου, ἀλλὰ καὶ ὁ παραδεξάμενος αὐτὴν, ἀφορμὴν παρέχων τοῦ ἁμαρτῆσαι τῇ γυναικί· εἰ γὰρ μὴ δέοιτο, ἀνακάμψει πρὸς τὸν ἄνδρα.

§. 146. Τί οὖν ὁ νόμος **); πρὸς ἀναστολὴν τῆς εὐεπιφορίας τῶν παθῶν ἀναιρεῖσθαι προστάττει τὴν μοιχευθεῖσαν καὶ ἐπὶ τούτῳ ἐλεγχθεῖσαν· ἐὰν δὲ ἱέρεια ᾖ, πυρὶ παραδίδοσθαι προστάττει ***). λιθοβολεῖται δὲ καὶ ὁ μοιχὸς, ἀλλ' οὐκ ἐν τῷ αὐτῷ τόπῳ, ἵνα μηδὲ ὁ θάνατος αὐτοῖς κοινὸς ᾖ. οὐ θῆ μάχεται τῷ εὐαγγελίῳ ὁ νόμος, συνάδει. δὲ αὐτῷ. πῶς γὰρ οἷόν τε ὄντος ἀμφοῖν χορηγοῦ τοῦ κυρίου; ἡ γάρ τοι πορνεύσασα ζῇ μὲν τῇ ἁμαρτίᾳ, ἀπέθανεν δὲ ταῖς ἐντολαῖς, ἡ δὲ μετανοήσασα οἷον ἀναγεννηθεῖσα κατὰ τὴν ἐπιστροφὴν τοῦ βίου παλιγγενεσίαν ἔχει ζωῆς, τεθνηκυίας μὲν τῆς πόρνης τῆς παλαιᾶς, εἰς βίον δὲ παρελθούσης καινῆς τῆς κατὰ τὴν μετάνοιαν γεννηθείσης. μαρτυρεῖ τοῖς εἰρημένοις διὰ Ἰεζεκιὴλ τὸ πνεῦμα λέγον „οὐ βούλομαι τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι" †). αὐτίκα λιθόλευστοι γίνονται ὡς ἂν διὰ σκληροκαρδίαν ἀποθανόντες τῷ κράτῳ, ᾧ μὴ ἐπείσθησαν, τῇ δὲ ἱερεία ἐπιτείνεται τὸ τῆς κολάσεως „ὅτι ὃ πλεῖον ἐδόθη, ὅστος καὶ ἀπαιτηθήσεται" ††). περιεγγράφθω, καὶ ὁ δεύτερος ἡμῖν ἐνθάδε στρωματεὺς διὰ τὸ μῆκός τε καὶ πλῆθος τῶν περαλαιῶν.

*) Luc. 16, 18. **) Levit. 20, 10. Deuteron. 22, 22.
***) Levit. 29, 9. †) Ezech. 33, 11. ††) Luc. 12, 48.

ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΤΩΝ ΣΤΡΩΜΑΤΕΩΝ ΛΟΓΩΝ Ο ΤΡΙΤΟΣ.

CLEMENTIS ALEXANDRINI STROMATUM LIBER TERTIUS.

Argumentum.

Cap. I. Basilidae sententiam de continentia et nuptiis refutat (§. 1—4.). C. II. item Carpocratis et Epiphanis de feminarum communitate (§. 5—11.). C. III. qua tenus Plato aliique e veteribus praeiuerint Marcionistis aliisque haereticis, qui a nuptiis ideo abstinent quia creaturam malam existiment et nasci homines in poenam opinantur (§. 12—24.). C. IV. quibus praetextibus vtantur haeretici ad omnis generis licentiam et lubidinem exercendam (§. 25—39.). C. V. duo genera haereticorum notat: prius illorum qui omnia omnibus licere pronunciant, quos refutat (§. 40—44.). C. VI. secundum genus aggreditur, illorum scilicet qui ex impia de deo omnium conditore sententia continentiam exercent (§. 45—56.). C. VII. qua in re Christianorum continentia eam quam sibi vindicant philosophi antecellat (§. 57—60.). C. VIII. deinceps locos sacrae scripturae ab haereticis ad vituperandum matrimonium adductos explicat: ac primum quidem verba apostoli ep. ad Roman. 6, 14. ab haereticorum peruersa interpretatione vindicat (§. 61. 62.). C. IX. dictum Christi ad Salomen exponit; quod tanquam in vituperationem nuptiarum prolatum haeretici allegabant (§. 63—67.). C. X. verba Christi Matth. 28, 20. mystice exponit (§. 68—70.). C. XI. legis et Christi man-

datum de non concupiscendo exponit (§. 71 — 78.). C. XII. verba apostoli, 1 ep. ad Corinth. 7, 5. 39 sq. aliosque sacrae scripturae locos eo spectantes explicat (§. 79 — 90.). C. XIII. Iuli Cassiani haeretici verbis respondet: item loco quem ex euangelio apocrypho idem adduxerat (§. 91 — 93.). C. XIV. de 2 ep. ad Corinth. 11, 3. et Ephes. 4, 24. exponit (§. 94. 95.). C. XV. de 1 ep. ad Corinth. 7, 1. Luc. 14, 26. Iesai. 56, 2 sq. explicat (§. 96 — 99.). C. XVI. item Ierem. 20, 14. Iob. 14, 3. Psalm. 50, 5. 1 ep. ad Corinth. 9, 27. (§. 100. 101.). C. XVII. qui nuptias et generationem malas asserunt, ii et dei creationem et ipsam euangeli dispensationem vituperant (§. 102 — 104.). C. XVIII. duas extremas opiniones hac in re esse vitandas: primam illorum qui creatoris odio a nuptiis abstinent; alteram illorum qui hinc occasionem arripiunt nefariis lubidinibus indulgendi (§. 105 — 110.).

Cap. I.

§. 1. Οἱ μὲν οὖν ἀμφὶ τὸν Οὐαλεντῖνον ἄνωθεν ἐκ τῶν θείων προβολῶν τὰς συζυγίας καταγαγόντες εὐαρεστοῦνται γάμῳ, οἱ δὲ ἀπὸ Βασιλείδου ἐπιθομένων φασὶ τῶν ἀποστόλων μή ποτε ἄμεινόν ἐστι τὸ μὴ γαμεῖν ἀποκρίνασθαι λέγουσι τὸν κύριον, οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, εἰσὶ γὰρ εὐνοῦχοι, οἱ μὲν ἐκ γενετῆς, οἱ δὲ ἐξ ἀνάγκης *). ἐξηγοῦνται δὲ τὸ ῥητὸν ὧδέ πως· φυσικήν τινες ἔχουσι πρὸς γυναῖκα ἀποστροφὴν ἐκ γενετῆς, οἵτινες τῇ φυσικῇ ταύτῃ συγκράσει χρώμενοι καλῶς ποιοῦσι μὴ γαμοῦντες. οὗτοι, φασίν, εἰσὶν οἱ ἐκ γενετῆς εὐνοῦχοι, οἱ δὲ ἐξ ἀνάγκης; ἐκεῖνοι οἱ θεατρικοὶ ἀσκηταί, οἵτινες διὰ τὴν ἀνθολκὴν τῆς εὐδοξίας κρατοῦσιν ἑαυτῶν, οἱ δὲ ἐκτετμημένοι κατὰ συμφορὰν εὐνοῦχοι γεγόνασι κατὰ ἀνάγκην. οἱ τοίνυν κατὰ ἀνάγκην, οὐ κατὰ λόγον εὐνοῦχοι γίνονται, οἱ δὲ ἕνεκα τῆς αἰωνίου βασιλείας εὐνουχίσαντες ἑαυτοὺς διὰ τὸ

*) Similia leguntur Matth. 19, 11 sq.

ἐκ τοῦ γάμου φασὶ συμβαίνοντα τὸν ἐπιλογισμὸν τοῦτον λαμβάνουσιν τὴν περὶ τὸν πορισμὸν τῶν ἐπιτηδείων ἀσχολίαν δεδιότες.

§. 2. Καὶ τὸ „ἄμεινον γαμῆσαι ἢ πυροῦσθαι,“ μὴ εἰς πῦρ ἐμβάλῃς τὴν ψυχήν σου λέγειν τὸν ἀπόστολον νυκτὸς καὶ ἡμέρας ἀντέχων καὶ φοβούμενος μὴ τῆς ἐγκρατείας ἀποπέσῃς, πρὸς γὰρ τὸ ἀντέχειν γενομένη ψυχὴ μερίζεται τῆς ἐλπίδος. ἀντέχου τοί- P.
νυν, φησὶ κατὰ λέξιν ὁ Ἰσίδωρος ἐν τοῖς ἠθικοῖς 510.
μαχίμης γυναικὸς, ἵνα μὴ ἀποσπασθῇς τῆς χάριτος Pott.
τοῦ θεοῦ, τό τε πῦρ ἀποσπερματίσας εὐσυνειδήτως προσεύχῃ. ὅταν δὲ ἡ εὐχαριστία σου, φησὶν, εἰς αἴτησιν ὑποπέσῃ καὶ στῇς τὰ λοιπὸν οὐ κατορθῶσαι, ἀλλὰ μὴ σφαλῆναι, γάμησον. ἀλλὰ νέος τίς ἐστιν ἢ τένης ἢ κατωφερὴς καὶ οὐ θέλει γῆμαι κατὰ τὸν λόγον, οὗτος τοῦ ἀδελφοῦ μὴ χωριζέσθω, λεγέτω ὅτι εἰσελήλυθα ἐγὼ εἰς τὰ ἅγια, οὐδὲν δύναμαι παθεῖν· ἐὰν δὲ ὑπόνοιαν ἔχῃ, εἰπάτω, ἀδελφὲ ἐπιθὲς μοι τὴν χεῖρα, ἵνα μὴ ἁμαρτήσω, καὶ λήψεται βοήθειαν καὶ νοητὴν καὶ αἰσθητὴν, θελησάτω μόνον ἀπαρτίσαι τὸ καλὸν καὶ ἐπιτεύξεται.

§. 3. Ἐνίοτε δὲ τῷ μὲν στόματι λέγομεν, οὐ θέλομεν ἁμαρτῆσαι, ἡ δὲ διάνοια ἔγκειται ἐπὶ τὸ ἁμαρτάνειν. ὁ τοιοῦτος διὰ φόβον οὐ ποιεῖ ὃ θέλει ἵνα μὴ ἡ κόλασις αὐτῷ ἐλλογισθῇ, ἡ δὲ ἀνθρωπότης ἔχει τινὰ ἀναγκαῖα καὶ φυσικὰ μόνα, ἔχει τὸ περιβάλλεσθαι ἀναγκαῖον καὶ φυσικὸν, φυσικὸν δὲ τὸ τῶν ἀφροδισίων, οὐκ ἀναγκαῖον δέ. ταύτας παρεκέμην τὰς φωνὰς εἰς ἔλεγχον τῶν μὴ βιούντων ὀρθῶς Βασιλειδιανῶν, ὡς ἤτοι ἐχόντων ἐξουσίαν καὶ οὐ ἁμαρτεῖν διὰ τὴν τελειότητα ἢ πάντως γε σωθησομένων φύσει κἂν νῦν ἁμάρτωσι διὰ τὴν ἔμφυτον κλογὴν, ἐπεὶ μηδὲ ταυτὰ αὐτοῖς πράττειν συγχω-

*) 1 Corinth. 7, 9.

ρυῦσιν οἱ προπάτορες τῶν δογμάτων. μὴ τοίνυν ὑποδυόμενοι τὸ ὄνομα τοῦ Χριστοῦ καὶ τῶν ἐν ἕξει ἀκρατεστάτων ἀκολαστότερον βιοῦντες βλασφημίαν τῷ ὀνόματι προστριβέσθωσαν· „οἱ γὰρ τοιοῦτοι ψευδαπόστολοι, ἐργάται δόλιοι" ἕως „ὧν τὸ τέλος ἔσται κατὰ τὰ ἔργα αὐτῶν" *).

§. 4. Ἐγκράτεια τοίνυν σώματος ὑπεροψία κατὰ τὴν πρὸς Θεὸν ὁμολογίαν. οὐ μόνον γὰρ περὶ τὰ ἀφροδίσια, ἀλλὰ καὶ περὶ τὰ ἄλλα ἃ ἐπιθυμεῖ ἡ ψυχὴ κακῶς οὐκ ἀρκουμένη τοῖς ἀναγκαίοις, ἡ ἐγκράτεια ἀναστρέφεται. ἔστι δὲ καὶ περὶ τὴν γλῶσσαν καὶ περὶ τὴν κτῆσιν καὶ περὶ τὴν χρῆσιν καὶ περὶ τὴν ἐπιθυμίαν ἐγκράτεια. οὐ διδάσκει δ' αὐτὴ σωφρονεῖν μόνον ἥ γε παρέχει σωφροσύνην ἡμῖν δύναμις οὖσα καὶ θεία χάρις. τίνα οὖν τοῖς ἡμετέροις δοκεῖ περὶ τοῦ προκειμένου λεκτέον. ἡμεῖς εὐνουχίαν μὲν καὶ οἷς τοῦτο δεδώρηται ὑπὸ Θεοῦ μακαρίζομεν, μονογαμίαν δὲ καὶ τὴν περὶ τὸν ἕνα γάμον σεμνότητα θαυμάζομεν, συμπάσχειν δὲ δεῖν λέγοντες καὶ „ἀλλήλων τὰ βάρη βαστάζειν" **), μή ποτέ τις δοκῶν καλῶς ἑστάναι καὶ αὐτὸς πέσῃ ***). περὶ δὲ τοῦ δευτέρου γάμου „εἰ πυροῖ" φησὶν ὁ ἀπόστολος, „γάμησον" †).

Cap. II.

§. 5. Οἱ δὲ ἀπὸ Καρποκράτους καὶ Ἐπιφάνους ἀναγόμενοι κοινὰς εἶναι τὰς γυναῖκας ἀξιοῦσιν, ἐξ ὧν ἡ μεγίστη κατὰ τοῦ ὀνόματος ἐρρύη βλασφημία. Ἐπιφάνης οὗτος οὗ καὶ τὰ συγγράμματα κομίζεται υἱὸς ἦν Καρποκράτους καὶ μητρὸς Ἀλεξανδρείας τοὔνομα, τὰ μὲν πρὸς πατρὸς Ἀλεξανδρεὺς ἀπὸ δὲ μητρὸς Κεφαλληνεύς, ἔζησε δὲ τὰ πάντα

*) 2 Corinth. 11, 13. 15. **) Galat. 6, 2. ***) 1 Corinth. 10, 12. †) Ibid. 7, 9.

τη ἑπτακαίδεκα καὶ θεὸς ἐν Σάμῃ τῆς Κεφαλληνίας
τετίμηται, ἔνθα αὐτῷ ἱερὸν ῥυτῶν λίθων, βωμοί,
τεμένη, μουσεῖον ᾠκοδόμηταί τε καὶ καθιέρωται,
καὶ συνιόντες εἰς τὸ ἱερὸν οἱ Κεφαλλῆνες κατὰ νου-
ηνίαν γενέθλιον ἀποθέωσιν θύουσιν Ἐπιφάνει,
πένδουσί τε καὶ εὐωχοῦνται καὶ ὕμνοι λέγονται.
παιδεύθη μὲν οὖν παρὰ τῷ πατρὶ τήν τε ἐγκύκλιον
παιδείαν καὶ τὰ Πλάτωνος, καθηγήσατο δὲ τῆς μο- P.
ναδικῆς γνώσεως, ἀφ' οὗ καὶ ἡ τῶν Καρποκρατια- 512.
νῶν αἵρεσις. Pott.

§. 6. *Λέγει τοίνυν οὗτος ἐν τῷ περὶ δικαιο-*
σύνης τὴν δικαιοσύνην τοῦ θεοῦ κοινωνίαν τινὰ
εἶναι μετ' ἰσότητος. ἴσος γέ τοι πανταχόθεν ἐκτα-
θεὶς οὐρανὸς κύκλῳ τὴν γῆν περιέχει πᾶσαν, καὶ
πάντας ἡ νὺξ ἐπ' ἴσης ἐπιδείκνυται τοὺς ἀστέρας,
τόν τε τῆς ἡμέρας αἴτιον καὶ πατέρα τοῦ φωτὸς
ἥλιον ὁ θεὸς ἐξέχεεν ἄνωθεν ἴσον ἐπὶ γῆς ἅπασι
τοῖς βλέπειν δυναμένοις, οἱ δὲ κοινῇ πάντες βλέπου-
σιν, ἐπεὶ μὴ διακρίνει πλούσιον ἢ πένητα ἢ δήμου
ἄρχοντα, ἄφρονάς τε καὶ τοὺς φρονοῦντας, θηλείας
ἄρσενας, ἐλευθέρους δούλους, ἀλλ' οὐδὲ τῶν ἀλόγων
παρὰ τοῦτο ποιεῖταί τι, πᾶσι δὲ ἐπ' ἴσης τοῖς ζώοις
κοινὸν αὐτὸν ἐκχέας ἄνωθεν ἀγαθοῖς τε καὶ φαύλοις
τὴν δικαιοσύνην ἐμπεδοῖ μηδενὸς δυναμένου πλεῖον
ἔχειν μηδὲ ἀφαιρεῖσθαι τὸν πλησίον, ἵν' αὐτὸς τὸ
κἀκείνου φῶς διπλασιάσας ἔχῃ. ἥλιος κοινὰς τρο-
φὰς ζώοις ἅπασιν ἀνατέλλει δικαιοσύνης τε τῆς
κοινῆς ἅπασιν ἐπ' ἴσης δοθείσης, καὶ εἰς τὰ τοιαῦτα
βοῶν γένος ὁμοίως γίνεται ὡς αἱ βόες, καὶ συῶν ὡς
οἱ σύες, καὶ προβάτων ὡς τὰ πρόβατα καὶ τὰ λοιπὰ
πάντα, δικαιοσύνη γὰρ ἐν αὐτοῖς ἀναφαίνεται ἡ κοι-
νότης, ἔπειτα κατὰ κοινότητα πάντα ὁμοίως κατὰ
γένος σπείρεται, τροφή τε κοινὴ χαμαὶ νεμομένοις
ἀνεῖται πᾶσι τοῖς κτήνεσι καὶ πᾶσιν ἐπ' ἴσης οὐδενὶ
νόμῳ κρατουμένη, τῇ δὲ παρὰ τοῦ διδόντος κελεύ-

σαντος χορηγίᾳ συμφώνως ἅπασι δικαιοσύνη παροῦσα.

§. 7. Ἀλλ' οὐδὲ τὰ τῆς γενέσεως νόμον ἔχει γεγραμμένον — μετεγράφη γὰρ ἂν —, σπείρουσι δὲ καὶ γεννῶσιν ἐπ' ἴσης κοινωνίαν ὑπὸ δικαιοσύνης ἔμφυτον ἔχοντες κοινῇ πᾶσιν ἐπ' ἴσης. ὀφθαλμὸν εἰς τὸ βλέπειν ὁ ποιητής τε καὶ πατὴρ πάντων δικαιοσύνῃ νομοθετήσας τῇ παρ' αὐτοῦ παρέσχεν, οὐ διακρίνας θήλειαν ἄρρενος, οὐ λογικὸν ἀλόγου καὶ καθάπαξ οὐδενὸς οὐδέν, ἰσότητι δὲ καὶ κοινότητι μερίσας τὸ βλέπειν ὁμοίως ἑνὶ κελεύματι πᾶσι κεχάρισται. οἱ νόμοι δέ, φησὶν, ἀνθρώπων ἁμαθίαν κολάζειν μὴ δυνάμενοι παρανομεῖν ἐδίδαξαν, ἡ γὰρ ἰδιότης τῶν νόμων τὴν κοινωνίαν τοῦ Θείου νόμου κατέτεμεν καὶ παρατρώγει, μὴ συνιεὶς τὸ τοῦ ἀποστόλου ῥητὸν, λέγοντος, „διὰ νόμου τὴν ἁμαρτίαν ἔγνων“ *), τό τ' ἐμὸν καὶ τὸ σόν φησι διὰ τῶν νόμων παρεισελθεῖν, μηκέτι εἰς κοινότητα, κοινά τε γὰρ καρπουμένων μήτε γῆν μήτε κτήματα, ἀλλὰ μηδὲ γάμον· κοινῇ γὰρ ἅπασιν ἐποίησε τὰς ἀμπέλους αἱ μὴ στρουθὸν μήτε κλέπτην ἀπαρνοῦνται καὶ τὸν σῖτον οὕτως καὶ τοὺς ἄλλους καρπούς. ἡ δὲ κοινωνία παρανομηθεῖσα καὶ τὰ τῆς ἰσότητος ἐγέννησε θρεμμάτων καὶ καρπῶν κλέπτην.

§. 8. Κοινῇ τοίνυν ὁ θεὸς ἅπαντα ἀνθρώπῳ ποιήσας καὶ τὸ θῆλυ τῷ ἄρρενι κοινῇ συναγαγὼν καὶ πάνθ' ὁμοίως τὰ ζῶα κολλήσας τὴν δικαιοσύνην ἀνέφηνεν κοινωνίαν μετ' ἰσότητος. οἱ δὲ γεγονότες οὕτω τὴν συνάγουσαν κοινωνίαν τὴν γένεσιν αὐτῶν ἀπηρνήθησαν, καί φησιν, ὃ μίαν ἀγόμενος ἐχέτω δυναμένων κοινωνεῖν ἁπάντων ὥσπερ ἀπέφηνε τὰ λοιπὰ τῶν ζώων. ταῦτα εἰπὼν κατὰ λέξιν πάλιν ὁμοίως αὐταῖς ταῖς λέξεσιν ἐπιφέρει· „τὴν γὰρ ἐπιθυμίαν

*) Cf. Roman. 3, 20. 7, 7.

ἔτονον καὶ σφοδροτέραν ἐνεποίησε τοῖς ἄρρεσιν εἰς
τὴν τῶν γενῶν παραμονὴν, ἣν οὔτε νόμος οὔτε ἔθος
οὔτε ἄλλοτι τῶν ὄντων ἀφανίσαι δύναται. Θεοῦ γάρ ἐστι
δόγμα. καὶ πῶς ἔτι οὗτος ἐν τῷ καθ' ἡμᾶς ἐξετα-
σθείη λόγῳ ἄντικρυς καὶ τὸν νόμον καὶ τὸ εὐαγγέ-
λιον διὰ τούτων καθαιρῶν; ὁ μὲν γάρ φησιν, „οὐ
μοιχεύσεις" *), τὸ δὲ „πᾶς ὁ προσβλέπων κατ' ἐπι-
θυμίαν ἤδη ἐμοίχευσεν" **) λέγει. τὸ γὰρ „οὐκ
ἐπιθυμήσεις" ***) πρὸς τοῦ νόμου λεγόμενον τὸν
θεὸν δείκνυσι διὰ νόμου καὶ προφητῶν καὶ εὐαγ-
γελίου κηρυσσόμενον· λέγει γὰρ „οὐκ ἐπιθυμήσεις
τῆς τοῦ πλησίον". ὁ πλησίον δὲ οὐχ ὁ Ἰουδαῖος
τῷ Ἰουδαίῳ, ἀδελφὸς γὰρ καὶ ταυτάτης τοῦ πνεύμα-
τος, λείπεται δὴ πλησίον τὸν ἀλλοεθνῆ λέγειν. πῶς
γὰρ οὐ πλησίον· ὁ οἷός τε κοινωνῆσαι τοῦ πνεύμα-
τος; οὐ γὰρ μόνων Ἑβραίων, ἀλλὰ καὶ ἐθνῶν πα-
τὴρ Ἀβραάμ †).

§. 9. Εἰ δὲ ἡ μοιχευθεῖσα καὶ ὁ εἰς αὐτὴν
πορνεύσας θανάτῳ κολάζεται, δῆλον δήπου τὴν ἐντο-
λὴν τὴν λέγουσαν „οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ
πλησίον" περὶ τῶν ἐθνῶν διαγορεύειν, ἵνα τις κατὰ
νόμον καὶ τῆς τοῦ πλησίον καὶ τῆς ἀδελφῆς ἀπο-
χόμενος ἄντικρυς ἀκούσῃ παρὰ τοῦ κυρίου· „ἐγὼ δὲ
λέγω οὐκ ἐπιθυμήσεις"· ἡ δὲ τοῦ „ἐγὼ" μορίου προσθήκη προσεχεστέραν δείκνυσι τῆς ἐντολῆς τὴν ἐνέργειαν. καὶ ὅτι θεομαχεῖ ὅ τε Καρποκράτης καὶ Ἐπιφάνης ἐν αὐτῷ τῷ πολυθρυλήτῳ βιβλίῳ τῷ περὶ δικαιοσύνης λέγων, ὧδέ πως ἐπιφέρει κατὰ λέξιν· „ἔνθεν ὡς γελοῖον εἰρηκότος τοῦ νομοθέτου ῥῆμα τοῦτο ἀκουστέον, „οὐκ ἐπιθυμήσεις" πρὸς τὸ ἀλλοιότερον εἰπεῖν τῶν τοῦ πλησίον", αὐτὸς γὰρ ὁ τὴν ἐπιθυμίαν δοὺς ὡς συνέχουσαν τὰ τῆς γενέσεως κύτην ἀφαιρεῖσθαι κελεύει μηδενὸς αὐτὴν ἀφελῶν

P. 514. Pott.

*) Exod. 20, 13. **) Matth. 5, 28. ***) Exod. 20, 17. †) Cf. Deuteron. 22, 22.

ζώου; τὸ δὲ τῆς τοῦ πλησίον γυναικὸς ἰδιότητα τὴν κοινωνίαν ἀναγκάζων ἔτι γελοιότερον εἶπεν.

P. §. 10. Καὶ ταῦτα μὲν οἱ γενναῖοι Καρποκρα-
185. τιανοὶ δογματίζουσι. τούτους φασὶ καί τινας ἄλλους
Sylb. ζηλωτὰς τῶν ὁμοίων κακῶν εἰς τὰ δεῖπνα ἀθροιζομένους, οὐ γὰρ ἀγάπην εἴποιμ' ἂν ἔγωγε τὴν συνέλευσιν αὐτῶν, ἄνδρας ὁμοῦ καὶ γυναῖκας, μετὰ δὴ τὸ κορεσθῆναι ἐν πλησμονῇ τῇ καπρίσῃ φασὶ τὸ καταισχῦνον αὐτῶν τὴν πορνικὴν ταύτην δικαιοσύνην ἐκποδὼν ποιησαμένους φῶς τῇ τοῦ λύχνου περιτροπῇ μίγνυσθαι, ὅπως ἐθέλοιεν, αἷς βούλοιντο, μελετήσαντας δὲ ἐν τοιαύτῃ ἀγάπῃ τὴν κοινωνίαν μεθ' ἡμέραν ἤδη παρ' ὧν ἂν ἐθελήσωσι γυναικῶν ἀπαιτεῖν τὴν τοῦ Καρποκρατείου, οὐ γὰρ θέμις εἰπεῖν θείου, νόμου ὑπακοήν. τοιαῦτα δὲ οἶμαι ταῖς κυνῶν καὶ συῶν καὶ τράγων λαγνείαις νομοθετεῖν τὸν Καρποκράτην ἔδει. δοκεῖ δέ μοι καὶ τοῦ Πλάτωνος παρακηκοέναι ἐν τῇ πολιτείᾳ φαμένου κοινὰς εἶναι τὰς γυναῖκας πάντων, κοινὰς μὲν τὰς πρὸ τοῦ γάμου τῶν αἰτεῖσθαι μελλόντων καθάπερ καὶ τὸ θέατρον κοινὸν τῶν θεωμένων φάσκοντος, τοῦ προκαταλαβόντος δὲ ἑκάστην ἑκάστου εἶναι καὶ οὐκ ἔτι κοινὴν τὴν γεγαμημένην.

§. 11. Ξάνθος δὲ ἐν τοῖς ἐπιγραφομένοις μαγικοῖς μίγνυνται δὲ, φησὶν, οἱ μάγοι μητράσι καὶ θυγατράσι, καὶ ἀδελφαῖς μίγνυσθαι θεμιτὸν εἶναι, κοινάς τε εἶναι τὰς γυναῖκας οὐ βίᾳ καὶ λάθρα, ἀλλὰ συναινούντων ἀμφοτέρων, ὅταν θέλῃ γῆμαι ὁ ἕτερος τὴν τοῦ ἑτέρου. ἐπὶ τούτων οἶμαι καὶ τῶν ὁμοίων αἱρέσεων προφητικῶς Ἰούδαν ἐν τῇ ἐπιστολῇ εἰρηκέναι· „ὁμοίως μέντοι καὶ οὗτοι ἐνυπνιαζόμενοι". ὃ γὰρ ὕπαρ τῇ ἀληθείᾳ ἐπιβάλλουσιν, ἕως „καὶ τὸ στόμα αὐτῶν λαλεῖ ὑπέρογκα" *).

*) Iud. 8, 17.

Cap. III.

§. 12. Ἤδη δὲ εἰ αὐτός τε ὁ Πλάτων καὶ οἱ Πυθαγόρειοι καθάπερ οὖν ὕστερον καὶ οἱ ἀπὸ Μαρκίωνος κακὴν τὴν γένεσιν ὑπειλήφεσαν, πολλοῦ γε ἔδει κοινὰς αὐτὰν ὑποτίθεσθαι τὰς γοναῖκας. ἀλλ' οἱ μὲν ἀπὸ Μαρκίωνος φύσιν κακὴν ἐκ τε ὕλης καὶ τῆς καὶ ἐκ δικαίου γεκομένην δημιουργοῦ, ᾧ δὴ λόγῳ μὴ βουλόμενοι τὸν κόσμον τὸν ὑπὸ τοῦ δημιουργοῦ γενόμενον συμπληροῦν ἀπέχεσθαι γάμου βούλονται, ἀντιτασσόμενοι τῷ πνητῇ τῷ σφῶν καὶ σπεύδοντες πρὸς τὸν κεκλημένον ἀγαθὸν, ἀλλ' οὐ τὸν ὃν φασι θεὸν ἐν ἄλλῳ τρόπῳ, ὅθεν οὐδὲν ἴδιον καταλιπεῖν ἐνταῦθα βουλόμενοι οὐ τῇ προαιρέσει γίνονται ἐγκρατεῖς, τῇ δὲ πρὸς τὸν πεποιηκότα ἔχθρᾳ μὴ βουλόμενοι χρῆσθαι τοῖς ὑπ' αὐτοῦ κτισθεῖσιν. ἀλλ' οὗτοί γε ἀσεβεῖ θεομαχίᾳ τῶν κατὰ φύσιν ἐκ- P.
πάντες λογισμῶν τῆς μικροψυχίας καὶ χρηστότη- 516.
τος τοῦ θεοῦ καταφρονοῦντες, εἰ καὶ μὴ γαμεῖν Lott.
θέλουσιν, ἀλλὰ τροφαῖς χρῶνται ταῖς κτισταῖς καὶ τὸν ἀέρα τοῦ δημιουργοῦ ἀναπνέουσιν, αὐτοῦ τε ὄντες ἔργα καὶ ἐν τοῖς αὐτοῦ καταμένοντες, τήν τε ξένην, ὡς φασι, γνῶσιν εὐαγγελίζονται κἂν κατὰ τοῦτο ὦσιν ἐγκαινίαι τῷ κυρίῳ τοῦ κόσμου ὀφείλοντες αὖ ὃ ἐνταῦθα εὐηγγελίσθησαν.

§. 13. Ἀλλὰ πρὸς μὲν τούτους ὁπόταν τὸν περὶ ἀρχῶν, διαλαμβάνωμεν λόγον ἀκριβέστατα διαλεγόμεθα, οἱ φιλόσοφοι δὲ ὧν ἐμνήσθημεν παρ' ὧν ἡν γένεσιν κακὴν εἶναι ἀσεβῶς ἐκμαθόντες οἱ ἀπὸ Ταρκίωνος καθάπερ ἴδιόν δόγματα φρονάτονται οὐ φύσει κακὴν βούλονται ταύτην εἶναι, ἀλλὰ τῇ ψυχῇ ἢ τὸ ἀληθὲς διαδοῦσῃ, κατάγουσι γὰρ ἐντεῦθεν τὴν ψυχὴν θείαν οὖσαν καθάπερ εἰς κολαστήριον τὸν κόσμον, ἀποκαθαιρόμεθα δὲ ταῖς ἐνσωματουμέναις ψυχαῖς προσήκει κατ' αὐτούς. κἄστιν τὸ δόγμα τοῦτο οὐ τοῖς ἀπὸ Μαρκίωνος ἔτι, τοῖς δὲ ἐνσωματοῦσθαι

καὶ μετενδεῖσθαι καὶ μετραγγίζεσθαι τὰς ψυχὰς ἀξιοῦσιν οἰκεῖον, πρὸς οὓς ἄλλος ἂν εἴη καιρὸς λέγειν ὅπηνίκα ἂν περὶ ψυχῆς διαλαμβάνωμεν.

§. 14. Ἡράκλειτος γοῦν κακίζων φαίνεται τὴν ἐγγένεσιν, ἐπειδὰν, φησὶ, γενόμενοι ζιάειν ἐθέλωσι μόρους τ' ἔχειν, μᾶλλον δὲ ἀναπαύεσθαι, καὶ παῖδας καταλείπουσι μόρους γενέσθαι· δῆλος δὲ αὐτῷ συμφερόμενος καὶ Ἐμπεδοκλῆς λέγων·

κλαῦσά τε καὶ κώκυσα ἰδὼν ἀσυνήθεα χῶρον.

καὶ ἔτι·

ἐκ μὲν γὰρ ζωῶν ἐτίθει νεκρὰ εἶδε᾽ ἀμείβων.

καὶ πάλιν·

ὦ πόποι, ἦ δειλὸν θνητῶν γένος, ὦ δυσάνολβον·
οἷων ἐξ ἐρίδων ἔκ τε στοναχῶν ἐγένεσθε.

λέγει δὲ καὶ ἡ Σίβυλλα·

ἄνθρωποι θνητοὶ καὶ σάρκινοι, οὐδὲν ἐόντες·
ὁμοίως τῷ χρήφοντι ποιητῇ,

οὐδὲν ἀκιδνότερον γαῖα τρέφει ἀνθρώπιον *),

§. 15. Ναὶ μὴν καὶ Θέογνις τὴν γένεσιν δύσκριτον κακὴν οὖσαν πως λέγων·

πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
μηδ᾽ ἐσορᾶν αὐγὰς ὀξέος ἠελίου·
φύντα δ᾽ ὅπως ὠκιστα πύλας Ἀίδαο περῆσαι,
ἀκάλουθά δ᾽ αὐτοῖς καὶ ὁ τῆς τραγῳδίας ποιητὴς Εὐριπίδης γράφει·

ἔδει γὰρ ἡμᾶς σύλλογον ποιουμένους
τὸν φύντα θρηνεῖν εἰς ὃν ἕρχεται κακά,
τὸν δ᾽ αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων.

καὶ ἀφρὶς τὰ ὅμοια οὕτως ἐρεῖ·

τίς δ᾽ οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
τὸ κατθανεῖν δὲ ζῆν;

§. 16. Ταὐτὸν δὴ τοῦτοις φαίνεται καὶ Ἡρόδοτος ποιῶν λέγοντα τὸν Σόλωνα· ὦ Κροῖσε, πά-

*) Homer. Odyss. σ. v. 130.

ἄνθρωπός ἐστι συμφορή· καὶ ὁ μῦθος δὲ αὐτῷ σαφῶς ὁ περὶ τοῦ Κλεόβιδος καὶ Βίτωνος οὐκ ἄλλο τι βούλεται, ἀλλ' ἢ ψέγειν μὲν τὴν γένεσιν, τὸν θάνατον δὲ ἐπαινεῖν.

οἵη περ φύλλων γενεὴ, τοίη δὲ καὶ ἀνδρῶν *) P.
ὁ Ὅμηρος λέγει. Πλάτων δὲ ἐν Κρατύλῳ Ὀρφεῖ τὸν 518.
b. λόγον ἀνατίθησι τὸν περὶ τοῦ κολάζεσθαι τὴν ψυχὴν Pott.
ἐν τῷ σώματι, λέγει δὲ ὧδε· ‚καὶ γὰρ σῆμά τινές φασιν αὐτὸ εἶναι τῆς ψυχῆς, ὡς τεθαμμένης ἐν τῷ νῦν παρόντι· καὶ διότι τοῦτο σημαίνει ἃ ἂν σημαίνῃ ἡ ψυχὴ, καὶ ταύτῃ σῆμα ὀρθῶς καλεῖσθαι. δοκοῦσι μέντοι μάλιστα θέσθαι οἱ ἀμφὶ Ὀρφέα τοῦτο τὸ ὄνομα ὡς δίκην διδούσης ὧν δὴ ἕνεκα δίδωσιν'.

§. 17. Ἄξιον δὲ καὶ τῆς Φιλολάου λέξεως μνημονεῦσαι, λέγει γὰρ ὁ Πυθαγόρειος ὧδε· ‚μαρτυρέονται δὲ καὶ οἱ παλαιοὶ θεολόγοι τε καὶ μάντεις ὡς διά τινας τιμωρίας ἃ ψυχὰ τῷ σώματι συνέζευκται καὶ καθάπερ ἐν σάματι τούτῳ τέθαπται'. ἀλλὰ καὶ Πίνδαρος περὶ τῶν ἐν Ἐλευσῖνι μυστηρίων λέγων πιφέρει·

ὄλβιος ὅστις ἰδὼν ἐκεῖνα κοίλαν
εἶσιν ὑποχθόνα· οἶδεν μὲν βίου ** τελευτὰν,
οἶδεν δὲ διόσδοτον ἀρχάν.

Πλάτων τε ἀκολούθως ἐν Φαίδωνι οὐκ ὀκνεῖ γράφειν ὧδέ πως· ‚καὶ οἱ τὰς τελετὰς δὲ ἡμῖν οὗτοι καταστήσαντες οὐκ ἄλλο τι' ἕως ‚μετὰ θεῶν τε οἰκήσει.' τί δὲ ὅταν λέγῃ, ‚ἕως ἂν τὸ σῶμα ἔχωμεν καὶ συμπεφυρμένη ἡμῶν ἡ ψυχὴ ᾖ μετὰ τοιούτου κακοῦ, οὐ μήποτε κτησώμεθα ἐκεῖνο ἱκανῶς οὗ ἐπιθυμοῦμεν'; οὐχὶ αἰτίαν τῶν μεγίστων κακῶν τὴν γένεσιν αἰνίσσεται; κἂν τῷ Φαίδωνι ἐπιμαρτυρεῖ· ‚κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας λεληθέναι τοὺς ἄλλους, ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι.'

*) Homer. Iliad. ζ. v. 146.

§. 18. Καὶ πάλιν· ‚οὐκοῦν καὶ ἐνταῦθα ἡ τοῦ φιλοσόφου ψυχὴ μάλιστα ἀτιμάζει τὸ σῶμα καὶ φεύγει ἀπ' αὐτοῦ, ζητεῖ δὲ αὐτὴ καθ' αὑτὴν γίνεσθαι.' καὶ μή τι συνάδει τῷ θείῳ ἀποστόλῳ λέγοντι· ‚ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου'' *); εἰ μὴ τὴν ὁμοφροσύνην τῶν εἰς κακίαν ὑποσεσυρμένων σῶμα θανάτου τροπικῶς λέγει. τήν τε συνουσίαν γενέσεως οὖσαν ἀρχὴν καὶ πρὸ τοῦ Μαρκίωνος ἀποστρεφόμενος φαίνεται ἐν τῷ πρώτῳ τῆς πολιτείας ὁ Πλάτων, ἐπαινῶν γὰρ τὸ γῆρας ἐπιφέρει ὅτι ‚εὖ ἴσθι ὅτι ἔμοιγε ὅσον αἱ ἄλλαι αἱ κατὰ τὸ σῶμα ἡδοναὶ ἀπομαραίνονται, τοσοῦτον αὔξονται αἱ περὶ τοὺς λόγους ἐπιθυμίαι τε καὶ ἡδοναί.' τῆς τε τῶν ἀφροδισίων χρήσεως ἐπιμνησθεὶς ‚εὐφήμει ἄνθρωπε, ἀσμενέστατα μέντοι αὐτὸ ἀπέφυγον ὥσπερ λυττῶντά τινα καὶ ἄγριον δεσπότην ἀποφυγών.'

P. 519. Pet.

§. 19. Πάλιν δ' ἐν τῷ Φαίδωνι τὴν γένεσιν κακίζων γράφει· ‚ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος περὶ αὐτῶν λόγος ὡς ἔν τινι φρουρᾷ ἐσμὲν οἱ ἄνθρωποι.' καὶ αὖθις· ‚οἱ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τὸ ὁσίως βιῶναι, οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν τόπων ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς τὴν καθαρὰν οἴκησιν ἀφικνούμενοι.' ἀλλ' ὅμως οὕτως ἔχων αἴσθεται τῆς διοικήσεως καλῶς ἐχούσης καί φησιν, ‚οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδὲ ἀποδιδράσκειν' καὶ συνελόντι εἰπεῖν κακὴν λογίζεσθαι τὴν ὕλην, ἀφορμὴν οὐ παρέσχεν τῷ Μαρκίωνι εὐσεβῶς αὐτὸς εἰπὼν περὶ τοῦ κόσμου τάδε· ‚παρὰ μὲν γὰρ τοῦ συνθέντος πάντα τὰ καλὰ κέκτηται, παρὰ δὲ τῆς ἔμπροσθεν ἕξεως ὅσα χαλεπὰ καὶ ἄδικα ἐν οὐρανῷ γίνεται, ταῦτα ἐξ ἐκείνης αὐτός τε ἔχει καὶ τοῖς ζώοις ἐναπεργάζεται.'

*) Roman. 7, 24.

§. 20. Ἔτι δὲ σαφέστερον ἐπιφέρει, τούτων δὲ αὐτῷ τὸ σωματοειδὲς τῆς συγκράσεως αἴτιον τὸ τῆς πάλαι ποτὲ φύσεως σύντροφον, ὅτι πολλῆς ἦν μετέχον ἀταξίας πρὶν εἰς τὸν νῦν κόσμον ἀφικέσθαι. οὐδὲν δὲ ἧττον κἀν τοῖς νόμοις ὀδύρεται τὸ τῶν ἀνθρώπων γένος λέγων ὧδε· θεοὶ δὲ οἰκτείραντες τὸ τῶν ἀνθρώπων ἐπίπονον πεφυκὸς γένος ἀναπαύλας τε αὐτοῖς τῶν πόνων ἐτάξαντο τὰς τῶν ἑορτῶν ἀμοιβάς. ἔν τε τῇ Ἐπινομίδι καὶ τὰς αἰτίας τοῦ οἴκτου δίεισι καὶ τάδε λέγει· ὡς ἐξ ἀρχῆς τὸ γενέσθαι χαλεπὸν ἅπαντι ζώῳ πρῶτον μὲν τὸ μετασχεῖν τῆς τῶν κυουμένων ἕξεως, ἔπειτ' αὖ τὸ γίνεσθαι καὶ ἔτι τρέφεσθαι καὶ παιδεύεσθαι διὰ πόνων μυρίων γίγνεται ξύμπαντα, ὥς φαμεν ἅπαντες. P. 520. Pon.

§. 21. Τί δέ; οὐχὶ καὶ Ἡράκλειτος θάνατον τὴν γένεσιν καλεῖ; Πυθαγόρας δὲ καὶ τῷ ἐν Γοργίᾳ Σωκράτει ἐμφερῶς ἐν οἷς φησι, θάνατός ἐστιν ὁκόταν ἐγερθέντες ὀρέομεν, ὁκόσα δὲ εὕδοντες ὕπνος. ἀλλὰ τούτων μὲν ἄλις, ἐπειδὰν δὲ περὶ τῶν ἀρχῶν διαλαμβάνωμεν, τότε καὶ τὰς ἐναντιότητας ταύτας εἰς οἵ τε φιλόσοφοι αἰνίσσονται οἵ τε περὶ Μαρκίωνα λογματίζουσιν ἐπισκεψώμεθα· πλὴν οὐκ ἀσαφῶς δεδεῖχθαι ἡμῖν νομίζω τὰς ἀφορμὰς τῶν ξένων δογμάτων τὸν Μαρκίωνα παρὰ Πλάτωνος ἀχαρίστως τε καὶ ἀμαθῶς εἰληφέναι.

§. 22. Ὁ δὲ περὶ ἐγκρατείας ἡμῖν προβαινέτω λόγος. ἐφόσκομεν δὲ τὴν δυσχρηστίαν ὑφορωμένους Ἕλληνας πολλὰ εἰς τὴν γένεσιν τῶν παίδων ἀποφθέγξασθαι, ἀθέως δὲ ἐκδεξαμένους ταῦτα τοὺς περὶ Μαρκίωνα ἀχαριστεῖν τῷ δημιουργῷ. λέγει γὰρ ἡ παγῳδία·

τὸ μὴ γενέσθαι κρεῖττον ἢ φῦναι βροτούς.
ἔπειτα παῖδας σὺν πικραῖς ἀλγηδόσι
τίκτω· τεκοῦσα δ' ἣν μὲν ἄφρονας τέκω,
στένω ματαίως εἰσορῶσα μὲν κακούς,

χρήστους δ' ἀπολέσας· ἦν δὲ καὶ σεσωσμένους
τήκω τάλαιναν καρδίαν ὀρωρδία.
τί τοῦτο δὴ τὸ χρηστόν; οὐκ ἀρκεῖ μίαν
ψυχὴν ἀπολύειν κἀπὶ τοῦδ' ἔχειν πόνους;

P. καὶ ἐθ' ὁμοίως·

187 ἔμοιγε νῦν τε καὶ πάλαι δοκεῖ
Sylb. παῖδας φυτεύειν οὔποτ' ἀνθρώπους ἐχρῆν
πόνους ὁρῶντας εἰς ὅσους φυτεύομεν.

ἓν δὲ τοῖς αὖθις λεγομένοις καὶ τὴν αἰτίαν τῶν κα- P.
10κῶν ἐναργῶς ἐπὶ τὰς ἀρχὰς ἐπανάγει λέγων ὧδε· 521
ὦ δυστυχεῖν φὺς καὶ κακῶς πεπραγέναι Pott.
ἄνθρωπος ἐγένου καὶ τὸ δυστυχὲς βίου
ἐκεῖθεν ἔλαβες, ὅθεν ἅπασιν ἤρξατο
τρέφειν ὅδ' αἰθὴρ ἐνδιδοὺς θνητοῖς πνοάς.
15 μή νυν τὰ θνητὰ θνητὸς ὢν ἀγνωμόνει.
πάλιν δ' αὖ τὰ ὅμοια τούτοις ὧδε ἀποδίδωσι·
θρητῶν δ' ὕλβιος ** οὐδεὶς
οὐδ' εὐδαίμων·
οὔπω γὰρ ἔφυ τις ἄλυπος.
20καὶ εἶτ' αὖθις·
φεῦ φεῦ βροτείων πημάτων ὅσαι τύχαι,
ὅσαι δὲ μορφαί, τέρμὰ δ' οὐκ εἴποι τις ἄν.
καὶ ἔθ' ὁμοίως

τῶν γὰρ ἐν βροτοῖς
25 οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐθυμιονοῦν.

§. 24. *Ταύτῃ οὖν φασὶ καὶ τοὺς Πυθαγορείους ἀπέχεσθαι ἀφροδισίων. ἐμοὶ δὲ ἔμπαλιν δοκοῦσι γαμεῖν μὲν παιδοποιίας ἕνεκα, τῆς δὲ ἐξ ἀφροδισίων ἡδονῆς ἐθέλειν κρατεῖν μετὰ τὴν παιδοποιίαν. καὶ τῇ*
30*μωσταικῶς ἀπαγορεύουσι κυάμοις χρῆσθαι, οὐχ ὅτι πνευματοποιὸν καὶ δύσπεπτον καὶ τοὺς ὀνείρους ταραγμένους ποιεῖ τὸ ὄσπριον, οὐδὲ μὴν ὅτι ἀνθρώπου κεφαλῇ ἀπείκασται κύαμος κατὰ τὸ ἐπύλλιον ἐκεῖνο,*
35 ἴσόν τοι κυάμους τρώγειν κεφαλάς τε τοκήων·

μᾶλλον δὲ ἅτε κύμασι ἐνθυμούμενοι ἀτόπους ἐργάζονται
τὰς γυναῖκας. Θεόφραστος γοῦν ἐν τῷ πέμπτῳ τῶν
φυσικῶν αἰτίων τὸ κελύφη τῶν κυάμων περὶ τὰς P.
ῥίζας τῶν νεοφύτων δένδρων περιτιθέμενα ξηραίνειν 522.
τὰ φυόμενα ἱστορεῖ, καὶ αἱ κατωκίδιαι δὲ ὄρνιθες Pott.
συνεχῶς ταῦτα σιτούμεναι ἄτοκοι γίνονται.

Cap. IV.

§. 25. *Τῶν δὲ ἀφ' αἱρέσεως ἀγομένων Μαρ-*
κίωνος μὲν τοῦ Ποντικοῦ ἐπεμνήσθημεν διὰ ἀντίτα-
ξιν τὴν πρὸς τὸν δημιουργὸν τὴν χρῆσιν τῶν κοσμι-
κῶν παραιτουμένου. γίνεται δὲ αὐτῷ τῆς ἐγκρατείας
αἴτιος, εἰ γε τοῦτο ἐγκράτειαν ῥητέον, αὐτὸς ὁ δη-
μιουργὸς, πρὸς ὃν ὁ θεομάχος οὗτος γίγας ἀνθεστά-
ναι οἰόμενος ἄκων ἐστὶν ἐγκρατὴς κατατρέχων καὶ
τῆς κτίσεως καὶ τοῦ πλάσματος, κἂν συγχρήσωνται
τῇ τοῦ κυρίου φωνῇ λέγοντος τῷ Φιλίππῳ, „ἄφες
τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκροὺς, σὺ δὲ
*ἀκολούθει μοι" *). ἀλλ' ἐκεῖνο σκοπείτωσαν ὡς τὴν*
ὁμοίαν τῆς σαρκὸς πλάσιν καὶ Φίλιππος φέρει νε-
κρὸν οὐκ ἔχων μεμιαμμένον. πῶς οὖν σαρκίον ἔχων
νεκρὸν οὐκ εἶχεν; ὅτι ἐξανέστη τοῦ μνήματος τοῦ
κυρίου τὰ πάθη νεκρώσαντος, ζήσαντος δὲ Χριστῷ.
ἐπεμνήσθημεν δὲ καὶ τῆς κατὰ Καρποκράτην ἀθέσμου
γυναικῶν κοινωνίας, περὶ τε τῆς Νικολάου ῥήσεως
διαλεχθέντες ἐκεῖνο προελείπομεν. ὡραίαν, φησὶ,
γυναῖκα ἔχων οὗτος μετὰ τὴν ἀνάληψιν τὴν τοῦ σω-
τῆρος πρὸς τῶν ἀποστόλων ὀνειδισθεὶς ζηλοτυπίαν
εἰς μέσον ἀγαγὼν τὴν γυναῖκα γῆμαι τῷ βουλομένῳ
ἐπέτρεψεν· ἀκόλουθον γὰρ εἶναί φασι τὴν πρᾶξιν
αὐτὴν ἐκείνῃ τῇ φωνῇ τῇ ὅτι παραχρήσασθαι τῇ P.
καιρὸν δεῖ. καὶ δὴ κατακολουθήσαντες τῷ γενομένῳ 523.
ὧν τε εἰρημένων ἁπλῶς καὶ ἀβασανίστως ἐκπορνεύου- Pott.
σιν ἀναίδην οἱ τὴν αἵρεσιν αὐτοῦ μετιόντες.

*) Matth. 8, 22. Luc. 9, 60.

§. 26. Πονθάνομαι δ' ἔγωγε τὸν Νικόλαον μηδεμιᾷ ἑτέρᾳ παρ' ἣν ἔγημεν κεχρῆσθαι γυναικί, τῶν τ' ἐκείνου τέκνων θηλείας μὲν καταγηράσαι παρθένους, ἄφθορον δὲ διαμεῖναι τὸν υἱόν. ὧν οὕτως ἐχόντων ἀποβολὴ πάθους ἦν εἰς μέσον τῶν ἀποστόλων ἢ τῆς ζηλοτυπουμένης ἐπικλησις γυναικὸς, καὶ ἡ ἐγκράτεια τῶν περισπουδάστων ἡδονῶν τὸ „παραχρῆσθαι τῇ σαρκὶ" ἐδίδασκεν. οὐ γὰρ οἷμαι ἐβούλοντο κατὰ τὴν τοῦ σωτῆρος ἐντολὴν „δυσὶ κυρίοις δουλεύειν" *), ἡδονῇ καὶ θεῷ. λέγουσι γοῦν καὶ τὸν Ματθίαν οὕτως διδάξαι· σαρκὶ μὲν μάχεσθαι καὶ παραχρῆσθαι μηθὲν αὐτῇ πρὸς ἡδονὴν ἀπόλαστον ἐνδιδόντα, ψυχὴν δὲ αὔξειν διὰ πίστεως καὶ γνώσεως.

§. 27. Εἰσὶν δ' οἳ τὴν πάνδημον Ἀφροδίτην κοινωνίαν μυστικὴν ἀναγορεύουσιν ἐνυβρίζοντες καὶ τῷ ὀνόματι· λέγεται γὰρ καὶ τὸ ποιεῖν τι κακὸν ἐργάζεσθαι, ὥσπερ ἂν καὶ τὸ ἀγαθόν τι ποιεῖν ὁμωνύμως ἐργάζεσθαι, ὁμοίως δὲ καὶ ἡ κοινωνία, ἀγαθὸν δὲ καὶ ἐν μεταδόσει ἀργυρίου καὶ τροφῆς καὶ στολῆς, οἱ δὲ καὶ τὴν ὁπωσοῦν δήποτ' οὖν ἀφροδισίων συμπλοκὴν κοινωνίαν ἀσεβῶς κεκλήκασιν. φασί γοῦν τινὰ αὐτῶν ἡμετέρᾳ παρθένῳ ὡραίᾳ τὴν ὄψιν προσελθόντα φάναι· γέγραπται „παντὶ τῷ αἰτοῦντί σε δίδου" **), τὴν δὲ σεμνῶς πάνυ ἀποκρίνασθαι μὴ συνιέσαν τὴν τἀνθρώπου ἀσέλγειαν. ἀλλὰ περὶ γάμου τῇ μητρὶ διαλέγου. ὦ τῆς ἀθεότητος, καὶ τῶν τοῦ κυρίου φωνῶν διαψεύδονται οἱ τῆς ἀσελγείας κωμῳδοὶ οἱ τῆς λαγνείας ἀδελφοὶ ὄνειδος οὐ φιλοσοφίας μόνον, ἀλλὰ καὶ παντὸς τοῦ βίου οἱ παραχαράσσοντες τὴν ἀλήθειαν, μᾶλλον δὲ κατασκάπτοντες ὡς οἷόν τε αὐτοῖς, οἳ γε τρισάθλιοι τήν τε σαρκίνην κατὰ τὴν συνουσιαστικὴν κοινωνίαν ἱεροφαντοῦσι καὶ ταύτην οἴονται εἰς τὴν βασιλείαν αὐτοὺς ἀνάγειν τοῦ θεοῦ.

*) Matth. 6, 24. Luc. 16, 3. **) Matth. 5, 42. Luc. 6, 30.

§. 28. Εἰς τὰ χαμαιτυπεῖα μὲν οὖν ἡ τριάδε εἰσάγει κοινωνία, καὶ δὴ συμμέτοχοι εἶεν αὐτοῖς οἱ σύες καὶ οἱ τράγοι, εἶεν δ' ἂν ἐν ταῖς μείζοσι παρ' αὐτοῖς ἐλπίσιν αἱ προεστῶσαι τοῦ τέγους πόρναι ἀναίδην εἰσδεχόμεναι τοὺς βουλομένους ἅπαντας. „ὑμεῖς δὲ οὐχ οὕτως ἐμάθετε τὸν Χριστὸν, εἴ γε αὐτὸν ἠκούσατε καὶ ἐν αὐτῷ ἐδιδάχθητε, καθώς ἐστιν ἀλήθεια ἐν Χριστῷ Ἰησοῦ, ἀποθέσθαι ὑμᾶς τὰ κατὰ τὴν προτέραν ἀναστροφὴν τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτισθέντα ἐν δικαιοσύνῃ καὶ ὁσιότητι τῆς ἀληθείας" *), κατὰ τὴν ἐξομοίωσιν τοῦ θείου. „γίνεσθε οὖν μιμηταὶ τοῦ θεοῦ ὡς τέκνα ἀγαπητὰ, καὶ περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν ὑμᾶς καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν προσφορὰν καὶ θυσίαν τῷ θεῷ εἰς ὀσμὴν εὐωδίας. πορνεία δὲ καὶ πᾶσα ἀκαθαρσία ἢ πλεονεξία μηδὲ ὀνομαζέσθω ἐν ὑμῖν, καθὼς πρέπει ἁγίοις, καὶ αἰσχρότης καὶ μωρολογία" **) καὶ γὰρ ἀπὸ τῆς φωνῆς ἁγνεύειν μελετᾶν διδάσκων ὁ ἀπόστολος γράφει· „τοῦτο γὰρ ἴστε γινώσκοντες ὅτι πᾶς πόρνος" καὶ τὰ ἑξῆς ἕως „μᾶλλον δὲ καὶ ἐλέγχετε" ***).

§. 29. Ἐρρύη δὲ αὐτοῖς τὸ δόγμα ἔκ τινος ἀποκρύφου, καὶ δὴ παραθήσομαι τὴν λέξιν τὴν τῆς τούτων ἀσελγείας μητέρα, καὶ εἴτε αὐτοὶ τῆς βίβλου συγγραφεῖς, ὅρα τὴν ἀπόνοιαν, εἰ καὶ θεοῦ διαψεύδονται δι' ἀκρασίαν, εἴτε ἄλλοις περιτυχόντες τὸ καλὸν τοῦτο ἐνόσησαν δόγμα διεστραμμένως ἀκηκοότες, ἔχει δὲ οὕτως τὰ τῆς λέξεως· „ἓν ἦν τὰ πάντα, ἐπεὶ δὲ ἔδοξεν αὐτοῦ τῇ ἑνότητι μὴ εἶναι μόνῃ, ἐξῆλθεν ἀπ' αὐτοῦ ἐπίπνοια καὶ ἐκοινώνησεν αὐτῇ καὶ

*) Ephes. 4, 20—24. **) Ibid. 5, 1—4. ***) Ibid. 5—11.

ἐποίησεν τὸν ἀγαπητὸν, ἐκ δὲ τούτου ἐξῆλθεν ἀπ' αὐτοῦ ἐπίπνοια, ἣ κοινωνήσας ἐποίησεν δυνάμεις μήτε ὁραθῆναι μήτε ἀκουσθῆναι δυναμένας, ἕως ἐπ' ὀνόματος ἰδίου ἑκάστην. εἰ γὰρ καὶ οὗτοι καθάπερ οἱ ἀπὸ Οὐαλεντίνου πνευματικὰς ἐτίθεντο κοινωνίας, ἵνα τις αὐτῶν τὴν ὑπόληψιν ἐπεδέξατο, σαρκικῆς δὲ ὕβρεως κοινωνίαν εἰς προφητείαν ἁγίαν ἀνάγειν ἀπεκρύπτοντο, ἐστὶ τὴν σωτηρίαν.

§. 30. Τοιαῦτα καὶ οἱ ἀπὸ Προδίκου ψευδωνύμως γνωστικοὺς σφᾶς αὐτοὺς ἀναγορεύοντες δογματίζουσιν υἱοὺς μὲν φύσει τοῦ πρώτου θεοῦ λέγοντες αὐτοὺς, καταχρώμενοι δὲ τῇ εὐγενείᾳ καὶ τῇ ἐλευθερίᾳ ζῶσιν ὡς βούλονται, βούλονται δὲ φιληδόνως, κρατηθῆναι ὑπ' οὐδενὸς νενομικότες ὡς ἂν κύριοι τοῦ σαββάτου καὶ ὑπεράνω παντὸς γένους πεφυκότες βασίλειοι παῖδες, βασιλεῖ δέ φασι νόμος ἄγραφος. πρῶτον μὲν ὅτι οὐ ποιοῦσιν ἃ βούλονται πάντα, πολλὰ γὰρ αὐτοὺς κωλύσει καὶ ἐπιθυμοῦντας καὶ πειρωμένους, καὶ ἃ ποιοῦσι δὲ οὐχ ὡς βασιλεῖς, ἀλλ' ὡς μαστιγίαι ποιοῦσι, λάθρα γὰρ μοιχεύουσιν τὸ ἀλῶναι φεδόμενοι καὶ τὸ καταγνωσθῆναι βουλόμενοι καὶ φαβούμενοι κολασθῆναι. πῶς δὲ ἐλεύθερον ἡ ἀπραξία, καὶ ἡ μίσχρολογία; πῶς γὰρ, φησὶν, „ὁ ἁμαρτάνων δοῦλος ἐστὶν" *), ὁ ἀπόστολος λέγει.

§. 31. Ἀλλὰ πῶς κατὰ θεὸν πολιτεύεται ὁ πάσῃ ἐπιθυμίᾳ ἑκάστου ἑαυτὸν παρασχὼν τοῦ κυρίου φήσαντος, „ἐγὼ δὲ λέγω, μὴ ἐπιθυμήσῃς" **); εἰκὸς δέ τις ἁμαρτάνειν βούλεται, καὶ δόγμα τίθησι τὸ μοιχεύειν καὶ καθηδυπαθεῖν καὶ λυμαίνεσθαι τοὺς ἄλλων γάμους, ὅπου γε καὶ τοὺς ἄλλους ἔχοντας ἁμαρτάνοντας ἐλεοῦμεν; κἂν εἰς ξένον τὸν κόσμον ἀφιγμένοι ὦσι, πιστοὶ ἐν τῷ ἀλλοτρίῳ μὴ γενόμενοι, τὸ ἀληθὲς οὐχ ἕξουσιν. ὑβρίζει δέ τις ξένος πολίτας καὶ τούτους ἀδικεῖ, οὐχὶ δὲ ὡς παρεπίδημος τοῖς ἀναγκαίοις

*) Roman. 6, 16. **) Matth. 5, 28.

ώμενος ἀπρόσκοπος τοῖς πολίταις διαβιοῖ; πῶς δὲ
ὶ τοῖς ὑπὸ τῶν ἐθνῶν μεμισημένοις διὰ τὸ μὴ
ιάσσειν τὰ ὑπὸ τῶν νόμων διηγορευμένα, τουτέστι
ῖς ἀδίκοις καὶ ἀκρατέσι καὶ πλεονέκταις καὶ μοι-
ῖς τὰς αὐτὰ πράσσοντες θεὸν ἐγνωκέναι μόνοι λέ-
υσιν; ἐχρῆν γὰρ αὐτοὺς καὶ ἐν τοῖς ἀλλοτρίοις
ιρόντας καλῶς βιοῦν, ἵνα δὴ τῷ ὄντι τὸ βασιλικὸν
δείξωνται.

§. 32. Ἤδη δὲ καὶ τοῖς ἀνθρωπίνοις νομοθέ-
ιις καὶ τῷ θείῳ νόμῳ ἀπεχθάνονται παρανόμως
οῦν ἐπαινῃρημένοι. ὁ γοῦν ἐκκεντήσας τὸν πόρνον *).
λαβούμενος πρὸς τοῦ θεοῦ δείκνυται ἐν τοῖς ἀρι-
μοῖς. „καὶ ἐὰν εἴπωμεν", φησὶν ὁ Ἰωάννης ἐν τῇ
ιστολῇ, „ὅτι κοινωνίαν ἔχομεν μετ' αὐτοῦ", του-
ίστι μετὰ τοῦ θεοῦ, „καὶ ἐν τῷ σκότει περιπατῶ- B.
εν, ψευδόμεθα καὶ οὐ ποιοῦμεν τὴν ἀλήθειαν, ἐὰν 526.
ἐν τῷ φωτὶ περιπατῶμεν ὡς αὐτὸς ἐν τῷ φωτὶ, Pott.
ινωνίαν ἔχομεν μετ' αὐτοῦ καὶ τὸ αἷμα Ἰησοῦ τοῦ
οῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ τῆς ἁμαρτίας" **).

§. 33. Πόθεν οὖν κρείττους εἰσὶ τῶν κοσμικῶν
τοιαῦτα πράσσοντες καὶ τοῖς χειρίστοις τῶν κοσμικῶν
μοιοι; ὅμοιοι γὰρ οἶμαι τὰς φύσεις οἱ καὶ τὰς πράξεις
μοιοι, ὧν δὲ ὑπερφέρειν κατὰ τὴν εὐγένειαν ἀξιοῦσι,
ούτων καὶ τοῖς ἤθεσιν ὑπερέχειν ὀφείλουσιν, ὅπως
ὸν εἰς τὴν φυλακὴν συγκλεισμὸν διαφύγωσιν. ὄντως
ὰρ ὡς ὁ κύριος ἔφη, „ἐὰν μὴ περισσεύσῃ ἡ δικαιο-
ύνη ὑμῶν πλείω τῶν γραμματέων καὶ φαρισαίων,
ὐκ εἰσελεύσεσθε εἰς τὴν βασιλείαν τοῦ θεοῦ" ***).
ερὶ δὲ τῆς τῶν βρωμάτων ἐγκρατείας δείκνυται ἐν
ῷ Δανιὴλ †), συνελόντι δ' εἰπεῖν, περὶ ὑπακοῆς ὁ
Μαβὶδ ψάλλων λέγει, „ἐν τίνι κατορθώσει νεώτερος
ὴν ὁδὸν αὐτοῦ"; καὶ παραχρῆμα ἀκούει, „ἐν τῷ
υλάσσεσθαι τὸν λόγον σοὺ ἐν ὅλῃ καρδίᾳ" ††).

*) Cf. Numer. 25, 8. **) Ioann. 1, 6 sq. ***) Matth.
, 20. †) Dan. c. 1. ††) Psalm. 119, 9.

ὅ τε Ἱερεμίας φησὶ, „τάδε λέγει κύριος· κατὰ τὰς ὁδοὺς τῶν ἐθνῶν μὴ πορεύσησθε" *).

§. 34. Ἐντεῦθεν ἄλλοι τινὲς κινηθέντες μικροὶ καὶ οὐτιδανοὶ τὸν ἄνθρωπον ὑπὸ διαφόρων δυνάμεων πλασθῆναι λέγουσι, καὶ τὰ μὲν μέχρις ὀμφαλοῦ θεοειδεστέρας τέχνης εἶναι, τὰ ἔνερθε δὲ τῆς ἥττονος, οὗ δὴ χάριν ὀρέγεσθαι συνουσίας. λέληθε δὲ αὐτοὺς ὅτι καὶ τὰ ἀνωτέρω μέρη τῆς τροφῆς ὀρέγναται καὶ λαγνεύει τισὶν, ἐναντιοῦνται δὲ καὶ τῷ Χριστῷ πρὸς τοὺς φαρισαίους εἰρηκότι τὸν αὐτὸν θεὸν καὶ P. τὸν „ἐκτὸς" ἡμῶν καὶ τὸν „ἔσω" **) ἄνθρωπον πε-
189 ποιηκέναι. ἀλλὰ καὶ ἡ ὄρεξις οὐ τοῦ σώματός ἐστι,
Sylb. κἂν διὰ τὸ σῶμα γίνηται. ἄλλοι τινὲς οὓς καὶ ἀντιτάκτας καλοῦμεν λέγουσιν, ὅτι ὁ μὲν θεὸς ὁ τῶν ὅλων πατὴρ ἡμῶν ἐστὶ φύσει, καὶ πάνθ' ὅσα πεποίηκεν ἀγαθά ἐστιν· εἷς δέ τις τῶν ὑπ' αὐτοῦ γεγονότων ἐπέσπειρειν τὰ ζιζάνια τὴν τῶν κακῶν φύσιν γεννήσας, οἷς καὶ δὴ πάντας ἡμᾶς περιέβαλεν ἀντιτάξας ἡμᾶς τῷ πατρί. διὸ δὴ καὶ αὐτοὶ ἀντιτασσόμεθα τούτῳ εἰς ἐκδικίαν τοῦ πατρὸς ἀντιπράσσοντες τῷ βουλήματι τοῦ δευτέρου. ἐπεὶ οὖν οὗτος „οὐ μοιχεύσεις" εἴρηκεν, ἡμεῖς, φασὶ, μοιχεύομεν ἐπὶ κατα- P.
λύσει τῆς ἐντολῆς αὐτοῦ. 527.

§. 35. Φαίημεν δ' ἂν καὶ πρὸς τούτους, ὅτι τοὺς Poll.
ψευδοπροφήτας καὶ τοὺς ὅσοι τὴν ἀλήθειαν ὑποκρίνονται ἐξ ἔργων γινώσκεσθαι παρειλήφαμεν. διαβάλλεται δὲ ὑμῶν τὰ ἔργα· πῶς ἔτι τῆς ἀληθείας ἀντέχεσθαι ὑμᾶς ἐρεῖτε; ἢ γὰρ οὐδέν ἐστι κακόν καὶ οὐκ ἔτι μέμψεως ἄξιος ὃν αἰτιᾶσθε ὡς ἀντιτεταγμένον τῷ θεῷ, οὐδὲ κακοῦ τινὸς γέγονε ποιητικός — συναναιρεῖται γὰρ τῷ κακῷ καὶ τὸ δένδρον —, ἢ εἰ ἔστι τὸ πονηρὸν ἐνυπάρξει εἰπάτωσαν ἡμῖν τί λέγουσιν εἶναι τὰς δοθείσας ἐντολὰς περὶ δικαιοσύνης, περὶ ἐγκρατείας, περὶ ὑπομονῆς, περὶ ἀνεξικακίας καὶ τῶν

*) Ierem. 10, 2. **) Luc. 11, 40.

ύτοις ὁμοίων; φαύλας ἢ ἀστείας; καὶ εἰ μὲν φαύλη
η τὰ πλεῖστα ἀπαγορεύουσα ποιεῖν τῶν αἰσχρῶν ἡ
τολὴ, καθ' ἑαυτῆς νομοθετήσει ἡ κακία ἐπὶ κατα-
ύσει τῇ ἰδίᾳ, ὅπερ ἀδύνατον· εἰ δὲ ἀγαθὴ, ἀντιτασ-
όμενοι ταῖς ἀγαθαῖς ἐντολαῖς ἀγαθῷ ἀντιτάσσεσθαι
αὶ τὰ κακὰ πράσσειν ὁμολογοῦσιν.

§. 36. Ἤδη δὲ καὶ ὁ σωτὴρ αὐτὸς ᾧ πείθεσθαι
ξιοῦσιν μόνῳ τὸ μισεῖν καὶ τὸ λοιδορεῖν κεκώλυκεν
αὶ „μετὰ τοῦ ἀντιδίκου βαδίζων φίλος αὐτοῦ πει-
άθητι ἀπαλλαγῆναι" *) φησίν. ἢ τοίνυν καὶ τὴν
Χριστοῦ παραίνεσιν ἀρνήσονται ἀντιτασσόμενοι τῷ
ἀντιτεταγμένῳ, ἢ φίλοι γινόμενοι τούτῳ οὐκ ἀν-
ιδικήσουσιν. τί δαί; οὐκ ἴστε ὦ γεννάδαι — ὡς
πρὸς παρόντας γὰρ εἴποιμ' ἄν — ὅτι ταῖς καλῶς
ἐχούσαις ἐντολαῖς μαχόμενοι τῇ ἰδίᾳ ἀνθίστασθε
σωτηρίᾳ; οὐ γὰρ τὰ διαγορευθέντα χρησίμως, ἀλλ'
ἑαυτοὺς καταστρέφετε. καὶ ὁ μὲν κύριος „τὰ
ἀγαθὰ ὑμῶν ἔργα λαμψάτω" **) ἔφη, ὑμεῖς δὲ τὰς
ἀσελγείας ὑμῶν ἐκφανεῖς ποιεῖτε. ἄλλως τε εἰ τὰς
ἐντολὰς καταλύειν τοῦ νομοθέτου θέλετε, τί δήποτε
τὸ μὲν „οὐ μοιχεύσεις" καὶ „οὐ παιδοφθορήσεις"
καὶ ὅσα εἰς ἐγκράτειαν συμβάλλεται καταλύειν ἐπι-
χειρεῖτε δι' ἀκρασίαν τὴν σφῶν, οὐ καταλύετε δὲ χει-
μῶνα τὸν ὑπ' αὐτοῦ γενόμενον, ἵνα θέρος ποιήσητε
μεσοῦντος ἔτι τοῦ χειμῶνος, οὐδὲ γῆν πλωτὴν, βατὴν
δὲ θάλασσαν ἐργάζεσθε; καθάπερ οἱ τὰς ἱστορίας
συνταξάμενοι τὸν βάρβαρον ἐθελῆσαι Ξέρξην.

§. 37. Τί δ' οὐχὶ πάσαις ταῖς ἐντολαῖς ἀντι-
τάσσεσθε; εἰπόντος γὰρ „αὐξάνεσθε καὶ πληθύνε-
σθε" ***) ὑμᾶς τοὺς ἀντιτεταγμένους ἐχρῆν μηδ' P.
ὅλως συνουσίᾳ χρῆσθαι, καὶ εἰπόντος „ἔδωκα ὑμῖν 528.
πάντα εἰς τροφὰς καὶ ἀπολαύσεις" †) ὑμᾶς ἐχρῆν Pott.
μηδενὸς ἀπολαύειν. ἀλλὰ καὶ „ὀφθαλμὸν ἀντὶ ὀφθαλ-

*) Matth. 5, 25. Luc. 12, 58. **) Matth. 5, 16.
***) Gen. 1, 28. 9, 1. †) Ibid. 1, 29. 9, 2 sq.

μοῦ", *) λέγοντος ὑμῖν ἐχρῆν με ἀποδιδόναι ἀντίτοιχα ἀντιτίθεσι, καὶ τὸν κλέπτην κελεύσαντος τετραπλοῦν ἀποδιδόναι **) ὑμᾶς ἐχρῆν καὶ προσδοῦναι τῷ κλέπτῃ· ὁμοίως τε οὐ καὶ τῇ „ἀγαπήσεις τὸν κύριον" ***) ἐναλλὴ ἀντιτασσομένους ἔδει οὐδὲ τὸν τῶν ὅλων θεὸν ἀγαπῆσαι, καὶ πάλιν εἰπόντος „οὐ ποιήσεις γλυπτὸν, οὐδὲ χωνευτὸν" †) ὑμᾶς ἀκόλουθον ἦν καὶ τὰ γλυπτὰ προσκυνεῖν. πῶς οὖν οὐκ ἀσεβεῖτε ἀντιτασσόμενοι μὲν ὡς φατε τῷ δημιουργῷ, τοῖς δὲ ὁμοίοις ταῖς κόρναις καὶ τοῖς μοιχοῖς ἐξηλακότες, πῶς δὲ οὐκ αἰσθάνεσθε μείζονα ποιοῦντες ὄν, ὡς ἀσθενῆ νομίζετε; εἴπερ ὃ βούλεται τοῦτο γίνεται, ἀλλ' οὐχὶ ἐκεῖνο ὅπερ ἠθέλησεν ὁ ἀγαθός. ἔμπαλιν γὰρ ἀσθενὴς δείκνυται πως ὑμῶν αὐτῶν ὁ ὑμέτερος ὡς φατε πατήρ.

§. 38. Ἀναλέγονται δὲ καὶ οὗτοι ἐκ τινῶν προφητικῶν περικοπῶν λέξεις ἀπανθισάμενοι καὶ συγκατύσαντες κακῶς κατ' ἀλληγορίαν εἰρημένας ἐξ εὐθείας λαβόντες. γεγράφθαι γάρ φησιν· „ἀντέστησαν θεῷ καὶ ἐφώλησαν" ††). οἱ δὲ καὶ τῷ ἀναιδεῖ θεῷ προστιθέασι, δέχονται δὲ ὡς βουλὴν παρηγγελμένην τὸ λόγιον τοῦτο καὶ σωτηρίαν σφίσι λογίζονται τὸ ἀνθίστασθαι τῷ δημιουργῷ. τῷ μὲν οὖν ἀναιδεῖ θεῷ οὐ γέγραπται· εἰ δὲ καὶ οὕτως ἔχοι, τὸν κεκλημένον διάβολον, ὦ ἀνόητοι, ἐξακούσατε ἀναιδῆ ἢ ὡς διαβάλλοντα τὸν ἄνθρωπον ἢ ὡς κατήγορον τῶν ἁμαρτανόντων ἢ ὡς ἀποστάτην. ὁ γοῦν λαὸς ἐφ' οἷς εἴρηται ἢ περικοπὴ παιδευόμενοι ἐφ' οἷς ἥμαρτον βαρέως φέροντες καὶ στένοντες διεγόγγυζον τὴν εἰρημένην λέξιν, ὅτι τὰ μὲν ἄλλα ἔθνη παρανομοῦντα οὐ κολάζεται, αὐτοὶ δὲ μόνοι παρ' ἕκαστα κολούονται· ὡς καὶ Ἱερεμίαν εἰρηκέναι, διὰ τί ὁδὸς ἀσεβῶν εὐο-

*) Exod. 21, 24. **) Cf. Ibid. 22, 1. ***) Deuteron. 6, 5. †) Ibid. 27, 15. ††) Malach. 3, 15.

ται" *), ὅμοιον τούτῳ τὸ παρὰ τῷ Μαλαχίᾳ τὸ εἰρημένον, „ἀντέστησαν θεῷ καὶ ἐσώθησαν". χρη-ιζόμενοι γὰρ οἱ προφῆται οὐ μόνον τινὰ ἀκούειν ουσι παρὰ τοῦ θεοῦ, ἀλλὰ καὶ αὐτοὶ διαγγέλλον-δείκνυνται κατὰ ἀνθυποφορὰν τὰ πρὸς τοῦ λαοῦ λούμενα, ὡς ἐπιζητήματά τινα ὑπὸ τῶν ἀνθρώ-ν ἀναφέροντες, ἐξ ὧν καὶ τὸ προκείμενον τυγχάνει όν.

§. 39. Καὶ μή τι πρὸς τούτους ὁ ἀπόστολος τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ ἀποκεκινόμενος γράφει, αἱ μὴ καθὼς βλασφημούμεθα καὶ καθώς φασί ες ἡμᾶς λέγειν, ὅτι ποιήσωμεν τὰ κακά, ἵνα ἔλθῃ P. ἀγαθά, ὧν τὸ κρῖμα ἔνδικόν ἐστιν" **). οὗτοι 529. ιν οἱ κατὰ τὴν ἀναγνωσιν φωνῆς τόνῳ διαστρέ-Rom. ντες τὰς γραφὰς πρὸς τὰς ἰδίας ἡδονάς, καὶ τε-ν ὧν προσῳδιῶν καὶ στιγμῶν μεταθέσει τὰ παραγ-γελθέντα σωφρόνως τε καὶ συμφερόντως βιαζόμενοι. ρὸς ἡδυπαθείας τὰς ἑαυτῶν: „οἱ παροξύνοντες τὸν ἐν τοῖς λόγοις ὑμῶν", ὁ Μαλαχίας φησί, „καὶ εἴ-ατε, ἐν τίνι παρωξύναμεν αὐτόν; ἐν τῷ λέγειν ὑμᾶς, ᾶς ὁ ποιῶν πονηρὸν ἀγαθὸς ἐνώπιον κυρίου καὶ ἐν ὐτοῖς αὐτὸς ηὐδόκησεν· καὶ ποῦ ἐστὶν ὁ θεὸς τῆς ικαιοσύνης" ***).

Cap. V.

§. 40. Ἵν' οὖν μὴ ἐπὶ πλεῖον ὀνυχίζοντες τὸν τόπον πλειόνων ἀτόπων αἱρέσεων ἐπιμεμνήμεθα μηδ' αὖ καθ' ἑκάστην αὐτῶν λέγειν πρὸς ἑκάστην ἀναγκιζόμενοι αἰ-σχυνώμεθά τε ἐπ' αὐτοῖς καὶ ἐπὶ μήκιστον τὸ ὑπο-μνήματα προάγωμεν· φέρε εἰς δύο διελόντες πράγματα ἁπάσας τὰς αἱρέσεις ἀποκρινώμεθα αὐτοῖς. ἢ γάρ τοι ἀδιαφόρως ζῆν διδάσκουσιν, ἢ τὸ ὑπέρτονον ἀγον-σωμε ἐγκράτειαν διὰ δυσσεβείας καὶ φιλαπεχθημοσύνης.

*) Isaiae. 12, 1. **) Romans. 3, 8. ***) Malach. 2, 17.

καταγγέλλουσι. πρότερον δὲ περὶ τοῦ προτέρου διαληπτέον τιμήματος. εἰ πάντα ἔξεστιν ἐλέσθαι βίον δῆλον ὅτι καὶ τὸν μετ' ἐγκρατείας, καὶ εἰ πᾶς βίος ἀκίνδυνος ἐκλεκτῷ δῆλον ὅτι μετὰ ἀρετῆς καὶ σωφροσύνης πολὺ μᾶλλον ἀκίνδυνος· δοθείσης γὰρ ἐξουσίας τῷ κυρίῳ τοῦ σαββάτου εἴπερ ἀκολάστως βιῶσαι ἀνεύθυνον εἶναι, πολλῷ μᾶλλον ὁ κοσμίως πολιτευσάμενος οὐχ ὑπεύθυνος ἔσται· „πάντα μὲν γὰρ ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει" *), φησὶν ὁ ἀπόστολος. εἰ δὲ καὶ πάντα ἔξεστι, δῆλον ὅτι καὶ τὸ σωφρονεῖν.

§. 41. Ὥσπερ οὖν ὁ τῇ ἐξουσίᾳ εἰς τὸ κατ' ἀρετὴν βιῶσαι συγχρησάμενος ἐπαινετὸς, οὕτω πολὺ μᾶλλον ὁ τὴν ἐξουσίαν ἡμῖν δεδωκὼς ἐλευθέραν καὶ κυρίαν καὶ συγχωρήσας ἡμῖν βιοῦν ὡς βουλόμεθα σεμνὸς καὶ προσκυνητὸς, μὴ ἐάσας δουλεύειν ἡμῶν κατὰ ἀνάγκην τὰς αἱρέσεις καὶ τὰς φυγάς. εἰ δὲ τὸ ἀδεὲς ἑκάτερος ἔχει ὅ τε ἀκρασίαν ὅ τε ἐγκράτειαν ἑλόμενος, ἀλλὰ τὸ σεμνὸν οὐχ ὁμοίων. ὁ μὲν γὰρ εἰς ἡδονὰς ἐξοκείλας σώματι χαρίζεται, ὁ δὲ σώφρων τὴν κυρίαν τοῦ σώματος ψυχὴν ἐλευθεροῖ τῶν παθῶν. κἂν ἐπ' ἐλευθερίᾳ κεκλῆσθαι λέγωσιν ἡμᾶς, μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκὶ παρέχωμεν **) κατὰ τὸν ἀπόστολον· εἰ δὲ ἐπιθυμίᾳ χαριστέον, καὶ τὸν ἐπονείδιστον βίον ἀδιάφορον ἡγητέον ὡς αὐτοὶ λέγουσιν ἤτοι πάντα ταῖς ἐπιθυμίαις πιστέον· καὶ εἰ τοῦτο, τὰ ἀσελγέστατα καὶ ἀνοσιώτατα πρακτέον ἅπαντα ἑπομένους τοῖς ἀναπείθουσιν ἡμᾶς· ἢ τῶν ἐπιθυμιῶν τινὰς ἐκκλινοῦμεν καὶ οὐκέτι ἀδιαφόρως βιωτέον οὐδὲ ἀναίδην δουλευτέον τοῖς ἀτιμοτάτοις μέρεσιν ἡμῶν, γαστρὶ καὶ αἰδοίοις, δι' ἐπιθυμίαν κολακευόντων τὸν ἡμέτερον νεκρόν. τρέφεται γὰρ καὶ ζωοποιεῖται διακονουμένη εἰς ἀπόλαυσιν ἐπιθυμία, καθάπερ ἔμπαλιν κολουομένη μαραίνεται.

*) 1 Corinth. 6, 12. 10, 23. **) Cf. Galat. 5, 13.

§. 42. Πῶς δέ ἐστι δυνατὸν ἡττηθέντα τῶν τοῦ σώματος ἡδονῶν ἐξομοιοῦσθαι τῷ κυρίῳ ἢ γνῶσιν ἔχειν θεοῦ; πάσης γὰρ ἡδονῆς ἐπιθυμία κατάρχει, ἐπιθυμία δὲ λύπη τις καὶ φροντὶς δι' ἔνδειαν ὀρεγομένη τινός. ὥστ' οὐκ ἄλλο τί μοι δοκοῦσιν οἱ τοῦτον ἐπανῃρημένοι τὸν τρόπον, ἀλλ' ἢ τὸ λεγόμενον δὴ τοῦτο,

πρός τ' αἴσχεσιν ἄλγεα πάσχειν,

ἐπίσπαστον ἑαυτοῖς αἱρούμενοι κακὸν νῦν *) καὶ ἐς ὕστερον. εἰ μὲν οὖν πάντα ἐξῆν καὶ μηδὲν ἦν δέος ἀποτυχεῖν τῆς ἐλπίδος διὰ πράξεις πονηρὰς, ἴσως ἦν ἄν τις αὐτοῖς πρόφασις τοῦ βιοῦν κακῶς τε καὶ ἐλεεινῶς· ἐπεὶ δὲ βίος τις ἡμῖν μακάριος δι' ἐντολῶν ἐπιδέδεικται, ᾧ χρὴ πάντας ἑπομένους μὴ παρακούοντας τῶν εἰρημένων τινὸς μηδὲ ὀλιγωροῦντας τῶν προσηκόντων κἂν ἐλάχιστον ᾖ ἕπεσθαι ᾗ ἂν ὁ λόγος ἡγῆται, εἰ σφαλείημεν αὐτοῦ, ἀθανάτῳ κακῷ περιπεσεῖν ἀνάγκη, κατακολουθήσασι δὲ τῇ θείᾳ γραφῇ δι' ἧς ὁδεύουσιν οἱ πεπιστευκότες ἐξομοιοῦσθαι κατὰ δύναμιν τῷ κυρίῳ οὐκ ἀδιαφόρως βιωτέον, ἀλλὰ καθαρευτέον εἰς δύναμιν τῶν ἡδονῶν καὶ τῶν ἐπιθυμιῶν ἐπιμελητέον τε τῆς ψυχῆς, ᾗ πρὸς μόνῳ τῷ θείῳ διατελεστέον. καθαρὸς γὰρ ὢν καὶ πάσης κακίας ἀπηλλαγμένος ὁ νοῦς δεκτικός πως ὑπάρχει τῆς τοῦ θεοῦ δυνάμεως ἀνισταμένης ἐν αὐτῷ τῆς θείας εἰκόνος· καὶ „πᾶς ὁ ἔχων ἐλπίδα ταύτην ἐπὶ τῷ κυρίῳ ἁγνίζει, φησὶν, ἑαυτὸν, καθὼς ἐκεῖνος ἁγνός ἐστιν" **).

§. 43. Θεοῦ δὲ γνῶσιν λαβεῖν τοῖς ἔτι ὑπὸ τῶν παθῶν ἀγομένοις ἀδύνατον· οὔκουν οὐδὲ τῆς ἐλπίδος τυχεῖν μηδὲ μίαν τοῦ θεοῦ γνῶσιν πεποιημένοις, καὶ τοῦ μὲν ἀποτυγχάνοντος τοῦδε τοῦ τέλους ἡ τοῦ θεοῦ ἄγνοια κατηγορεῖν ἔοικε, τὸ δὲ ἀγνοεῖν τὸν θεὸν ἡ τοῦ βίου πολιτεία παρίστησιν. παντάπασι γὰρ ἀδύνατον ἅμα τε καὶ ἐπιστήμονα εἶναι P. 531. Pott.

*) Cf. Homer. Odyss. σ. v. 72. **) 1 Ioann. 3, 3.

καὶ τὴν τοῦ σώματος πολυκέλαν ἐπαισχύνεσθαι· οὐδὲ γὰρ συνάδειν ποτὲ δύναται τὸ ἀγαθὸν τῇ ἡδονῇ ἢ μόνον εἶναι τὸ καλὸν ἀγαθῷ ἢ καὶ μόνῳ καλὸν τὸν πόρνον καὶ μόνον ἀγαθὸν τὸν θεὸν καὶ μόνον ἐραστόν. „ἐν Χριστῷ δὲ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῆς σαρκὸς, ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ“ *). „εἰ οὖν συνηγέρθητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, τὰ ἄνω φρονεῖτε, μὴ τὰ ἐπὶ τῆς γῆς· ἀπεθάνετε γὰρ καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ“ **). οὐχὶ δὲ πορνία ἡν ἀσκοῦσιν. „νεκρώσατε οὖν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορνείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν, δι' ἃ ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ. ἀποθέσθωσαν οὖν καὶ αὐτοὶ ὀργὴν, θυμὸν, κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόματος αὐτῶν ἀπεκδυσάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς ἐπιθυμίαις καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν“ ***).

P. 191 Sylb.

§. 44. Τὰ γὰρ τῆς πολιτείας ἐλέγχει σαφῶς τοὺς ἐγνωκότας τὰς ἐντολὰς, ἐπεὶ οὗς ὁ λόγος τοῦτος ὁ βίος· ἀπὸ δὲ τῶν καρπῶν τὸ δένδρον, οὐκ ἀπὸ τῶν ἀνθῶν καὶ πετάλων γνωρίζεται. ἡ γνῶσις οὖν ἐκ τοῦ πυρποῦ καὶ τῆς πολιτείας, οὐκ ἐκ τοῦ λόγου καὶ τοῦ ἄνθους· οὐ γὰρ λόγον μιλὸν εἶναι τὴν γνῶσιν φαμεν, ἀλλά τινα ἐπιστήμην θείαν· καὶ φῶς ἐκεῖνο τὸ ἐν τῇ ψυχῇ ἐγγενόμενον ἐκ τῆς κατὰ τὰς ἐντολὰς ὑπακοῆς τὸ πάντα κατάδηλα ποιοῦν τά τε ἐν γενέσει αὐτόν τε τὸν ἄνθρωπον ἑαυτόν τε γιγνώσκειν παρασκευάζον καὶ τοῦ θεοῦ ἐπίβολον καθίστασθαι διδάσκον. ὡς γὰρ ὀφθαλμὸς ἐν σώματι, τοῦτο ἐν τῷ νῷ ἡ γνῶσις. μηδὲ λεγάντων ἐλευθερίαν τὴν ὑπὸ ἡδονῆς δουλείαν, καθάπερ οἱ τὴν χολὴν γλυκεῖαν· ἡμεῖς γὰρ ἐλευθερίαν μεμαθήκαμεν ἣν ὁ κύριος ἡμᾶς ἐλευθεροῖ μόνος ἀπολύων τῶν

*) Colosa. 2, 11. **) Ibid. 3, 1 — 10.

ἡδονῶν τε καὶ τῶν ἐπιθυμιῶν καὶ τῶν ἄλλων παθῶν „ὃ λέγων· ἔγνωκα τὸν κύριον καὶ τὰς ἐντολὰς αὐτοῦ, μὴ τηρῶν ψεύστης ἐστὶν καὶ ἐν τούτῳ ἡ ἀλήθεια οὐκ ἔστιν“ *). Ἰωάννης λέγει.

Cap. VI.

§. 45. Τοῖς δὲ εὐφήμως δι' ἐγκρατείας ἀσκοῦσιν εἰς τε τὴν κτίσιν καὶ τὸν ἅγιον δημιουργὸν τὸν παντοκράτορα μόνον θεὸν καὶ διδάσκουσι μὴ δεῖν παραδέχεσθαι γάμον καὶ παιδοποιίαν μηδὲ ἀντεισάγειν τῷ κόσμῳ συστυχήσοντας ἑτέρους μηδὲ ἐπιχορηγεῖν τῷ θανάτῳ τροφὴν ἐκεῖνα λεκτέον· πρῶτον μὲν τὸ τοῦ ἀποστόλου Ἰωάννου „καὶ νῦν ἀντίχριστοι πολλοὶ γεγόνασιν, ὅθεν ἐγνώκαμεν ὅτι ἐσχάτη ὥρα ἐστίν· ἐξ ἡμῶν ἐξῆλθον, ἀλλ' οὐκ ἦσαν ἐξ ἡμῶν· εἰ γὰρ ἦσαν ἐξ ἡμῶν μεμενήκεισαν ἂν μεθ' ἡμῶν“ **). ἔπειτα καὶ διαστρεπτέον αὐτοὺς τὰ ὑπ' αὐτῶν φερόμενα διαλύοντας ὧδέ πως· τῇ Σαλώμῃ ὁ κύριος πυνθανομένῃ, μέχρι πότε θάνατος ἰσχύσει; οὐχ ὡς κακοῦ τοῦ βίου ὄντος καὶ τῆς κτίσεως πονηρᾶς, μέχρις ἂν, εἶπεν, ὑμεῖς αἱ γυναῖκες τίκτετε, ἀλλ' ὡς τὴν ἀκολουθίαν τὴν φυσικὴν διδάσκων· γενέσει γὰρ πάντως ἕπεται καὶ φθορά.

§. 46. Τρυφῆς μὲν οὖν καὶ πάσης ἀκοσμίας ἡμᾶς ὁ νόμος ἐξάγειν προῄρηται, καὶ τοῦτό ἐστιν αὐτοῦ τέλος, ἐκ τῆς ἀδικίας ἡμᾶς εἰς δικαιοσύνην ὑπάγειν, γαμους τε αἱρουμένους σώφρονας καὶ παιδοποιίας καὶ πολιτείας. ὁ δὲ κύριος „οὐ καταλύειν τὸν νόμον ἀφικνεῖται, ἀλλὰ πληρῶσαι“ ***)· πληρῶσαι δὲ οὐχ ὡς ἐνδεεῖ, ἀλλὰ τῷ τὰς κατὰ νόμον προφητείας ἐπιτελεῖς γενέσθαι κατὰ τὴν αὐτοῦ παρουσίαν, ἐπεὶ τὰ τῆς ὀρθῆς πολιτείας καὶ τοῖς δικαίως βεβιωκόσι πρὸ τοῦ νόμου διὰ τοῦ λόγου ἐκηρύσσετο.

*) 1 Ioann. 2, 4. **) Ibid. v. 18 sq. ***) Matth. 5, 17.

εἰ τοίνυν πολλοὶ τὴν ἐγκράτειαν οὐκ εἰδότες σώματα κολετεύονται, ἀλλ' οὐ πνεύματι· γῆ δὲ καὶ σποδὸς τὸ σῶμα ἄνευ πνεύματος· ἀσύτικα μοιχείαν ἐξ ἐνθυμήσεως κρίνει ὁ κύριος· τί γάρ; οὐκ ἔστι καὶ γάμῳ ἐγκρατῶς χρῆσθαι καὶ μὴ πειρᾶσθαι διαλύειν ὃ συνέζευξεν ὁ θεός *); τοιαῦτα γὰρ διδάσκουσιν οἱ τῆς συζυγίας μερισταί, δι' οὓς καὶ τὸ ὄνομα βλασφημεῖται. μικρὸν δὲ εἶναι τὴν συνουσίαν λέγοντες οὗτοι οὐ τὴν σύστασιν καὶ αὐτοὶ ἐκ συνουσίας εἰληφότες πῶς οὐκ ἂν εἶεν μιαροί; ὧν δὲ ἡγιασθέντων ἄγιον οἶμαι καὶ τὸ σπέρμα.

§. 47. Ἡγιάσθαι μὲν οὖν ἡμῖν ὀφείλει οὐ μόνον τὸ πνεῦμα, ἀλλὰ καὶ ὁ τρόπος καὶ ὁ βίος καὶ τὸ σῶμα· ἐπεὶ τίνι λόγῳ ὁ ἀπόστολος Παῦλος ἡγιάσθαι λέγει τὴν γυναῖκα ὑπὸ τοῦ ἀνδρὸς, ἢ τὸν ἄνδρα ὑπὸ τῆς γυναικός **); τί δέ ἐστιν ὅπερ ὁ κύριος εἶπεν πρὸς τοὺς περὶ τοῦ ἀποστασίου πυνθανομένους, εἰ ἔξεστιν ἀπολῦσαι γυναῖκα Μωϋσέως ἐπιτρέψαντος; πρὸς τὴν σκληροκαρδίαν ὑμῶν, φησὶν, ὁ Μωϋσῆς τοῦτο ἔγραψεν, ὑμεῖς δὲ οὐκ ἀνέγνωτε ὅτι τῷ πρωτοπλάστῳ ὁ θεὸς εἶπεν, ἔσεσθε οἱ δύο εἰς σάρκα μίαν; ὥστε οὐκέτι ἀπολύων τὴν γυναῖκα χωρὶς λόγου πορνείας ποιεῖ αὐτὴν μοιχευθῆναι ***). ἀλλὰ μετὰ τὴν ἀνάστασιν, φησὶν, οὔτε γαμοῦσιν οὔτε γαμίζονται †)· καὶ λέγων περὶ τῆς κοιλίας καὶ τῶν βρωμάτων εἴρηται· τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν. ὁ δὲ θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει ††)· τοὺτους ἐπιφαπίζων τοὺς ὅλην κάπρων καὶ τράγων ζῆν οἰομένους, ἵνα μὴ ἀθεῶς ἐσθίωσιν καὶ ὀχεύωσιν.

§. 48. Εἰ γοῦν τὴν ἀνάστασιν ἀπειλήφασιν, ὡς αὐτοὶ λέγουσι, καὶ διὰ τοῦτο ἀθετοῦσι τὸν γάμον,

*) Cf. Matth. 19, 6. Marc. 10, 9. **) Cf. 1 Corinth. 7, 14. ***) Cf. Matth. 19, 3 sqq. Marc. 10, 2 sqq. †) Cf. Matth. 22, 30. Marc. 12, 23. Luc. 20, 35. ††) 1 Corinth. 6, 13.

μηδὲ ἐσθίεσθαι μηδὲ πίνεσθαι· καταργεῖσθαι γὰρ ἄφη τὴν κοιλίαν καὶ τὰ βρώματα ὁ ἀπόστολος ἐν τῇ ἀναστάσει. πῶς οὖν καὶ πεινῶσι καὶ διψῶσι καὶ τὴν σάρκα πάσχουσι καὶ τὰ ἄλλα ὅσα ὁ διὰ Χριστοῦ τελείων τὴν προσδοκωμένην ἀνάστασιν λαβὼν οὐ πείσεται; ἀλλ' οἱ καὶ τὰ εἰδωλα σεβόμενοι βρωμάτων τε ὧμα καὶ ἀφροδισίων ἀπέχονται· οὐκ ἔστι δὲ ἡ βασιλεία θεοῦ βρῶσις καὶ πόσις"*) φησὶν. ἀμέλει διὰ φροντίδος ἐστὶ καὶ τοῖς μάγοις οἴνου τε ὁμοῦ καὶ ἐμψύχων καὶ ἀφροδισίων ἀπέχεσθαι λατρεύουσιν ἀγγέλοις καὶ δαίμοσιν. ὡς δὲ ἡ ταπεινοφροσύνη προφήτης ἐστὶν, οὐχὶ δὲ κακουχία σώματος, οὕτω καὶ ἡ ἐγκράτεια ψυχῆς ἀρετὴ ἡ οὐκ ἐν φανερῷ, ἀλλ' ἐν ἀποκρύφῳ.

§. 49. Εἰσὶν δ' οἳ πορνείαν ἄντικρυς τὸν γάμον λέγουσι καὶ ὑπὸ τοῦ διαβόλου ταύτην παραδίδοσθαι δογματίζουσι, μιμεῖσθαι δ' αὐτοὺς οἱ μεγαλαυχοὶ φασι τὸν κύριον μήτε γήμαντα μήτε τι ἐν τῷ κόσμῳ κτησάμενον· μᾶλλον παρὰ τοὺς ἄλλους ἀνενοχλεῖναι τὸ εὐαγγέλιον καυχώμενοι. λέγει δὲ αὐτοῖς ἡ γραφή· „ὑπερηφάνοις ὁ θεὸς ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν" **). εἶτ' οὐκ ἴσασι τὴν αἰτίαν τοῦ μὴ γῆμαι τὸν κύριον· πρῶτον μὲν γὰρ τὴν ἰδίαν νύμφην εἶχεν τὴν ἐκκλησίαν· ἔπειτα δὲ οὐδὲ ἄνθρωπος ἦν κοινὸς, ἵνα καὶ βοηθοῦ τινὸς κατὰ σάρκα δεηθῇ· οὐδὲ τεκνοποιήσασθαι ἦν αὐτῷ ἀναγκαῖον ἀϊδίως μένοντι καὶ μόνῳ υἱῷ θεοῦ γεγονότι· αὐτὸς δὲ οὗτος ὁ κύριος λέγει, ὃ ὁ θεὸς συνέζευξεν ἄνθρωπος μὴ χωριζέτω" ***). καὶ πάλιν· ὥσπερ δὲ ἦν ἐν ταῖς ἡμέραις Νῶε, ἦσαν γαμοῦντες γαμίζοντες, οἰκοδομοῦντες φυτεύοντες, καὶ ὡς ἦν ἐν ταῖς ἡμέραις Λὼτ, οὕτως ἔσται ἡ παρουσία τοῦ υἱοῦ τοῦ

*) Roman. 14, 17. **) Iacob. 4, 6. 1 Petr. 5, 5. ***) Matth. 19, 6. Marc. 10, 9.

ἀνθρώπου *). καὶ ὅτι οὐ πρὸς τὰ ἔθνη λέγει, ἐπιφέρει· „ἆρα ἐλθὼν ὁ υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς“ **); καὶ πάλιν· „οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις“ ***). καίτοι καὶ ταῦτα ἀλληγορεῖται. διὰ τοῦτο οὐδὲ τοῖς καιροῖς ὥρισεν οὓς ὁ πατὴρ ἔθετο ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ †), „ἵνα διαμένῃ κατὰ τὰς γενεὰς ὁ κόσμος.

§. 50. Τὸ δὲ „οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, εἰσὶ γὰρ εὐνοῦχοι οἵτινες ἐγεννήθησαν οὕτως, καὶ εἰσὶν εὐνοῦχοι, οἵτινες εὐνουχίσθησαν ὑπὸ τῶν ἀνθρώπων, καὶ εἰσὶν εὐνοῦχοι οἵτινες εὐνούχισαν ἑαυτοὺς διὰ τὴν βασιλείαν τῶν οὐρανῶν· ὁ δυνάμενος χωρεῖν, χωρείτω“ ††)· οὐκ ἴσασιν ὅτι μετὰ τὴν τοῦ ἀποστασίου ῥῆσιν πυθομένων τινῶν, ὅτι „ἐὰν οὕτως ᾖ ἡ αἰτία τῆς γυναικὸς οὐ συμφέρει τῷ ἀνθρώπῳ γαμῆσαι“, τότε ὁ κύριος ἔφη, „οὐ πάντες χωροῦσι τὸν λόγον τοῦτον, ἀλλ' οἷς δέδοται“ †††)· τοῦτο γὰρ οἱ πυνθανόμενοι μαθεῖν ἠβουλήθησαν, εἰ συγχωρεῖ καταγνωσθείσης ἐπὶ πορνείᾳ γυναικὸς καὶ ἐκβληθείσης ἑτέραν γῆμαι. φασὶ δὲ καὶ ἀθλητὰς οὐκ ὀλίγους ἀφροδισίων ἀπέχεσθαι διὰ ἄσκησιν σωματικὴν ἐγκρατευομένους, καθάπερ τὸν Κροτωνιάτην Ἀστύλον καὶ Κρίσωνα τὸν Ἱμεραῖον. καὶ Ἀμοιβεὺς δὲ ὁ κιθαρῳδὸς νεόγαμος ὢν ἀπέσχετο τῆς νύμφης ὅ τε Κυρηναῖος Ἀριστοτέλης Λαΐδα ἐρῶσαν ὑπερώρα μόνος.

§. 51. Ὁμωμόκως οὖν τῇ ἑταίρᾳ ἢ μὴν ἀπάξειν αὐτὴν εἰς τὴν πατρίδα, εἰ συμπράξειεν αὐτῷ τινὰ πρὸς τοὺς ἀνταγωνιστάς, ἐπειδὴ διεπράξατο, χαριέντως ἐκτελῶν τὸν ὅρκον, γραψάμενος αὐτῆς ὡς

*) Cf. Matth. 24, 27. Luc. 17, 28. **) Ibid. 18, 8. ***) Matth. 24, 19. Marc. 13, 17. Luc. 21, 23. †) Act. 1, 7. ††) Matth. 19, 11 sq. †††) Ibid. v. 10.

ὅτι μάλιστα ὁμοιοτάτην εἰκόνα, ἀνέστησεν ὡς Κυρήνην, ὡς ἱστορεῖ Ἴστρος ἐν τῷ περὶ ἰδιότητος ἄθλων. ὥστ᾽ οὐδ᾽ ἡ εὐνουχία ἐνάρετον, εἰ μὴ δι᾽ ἀγάπην γίνοιτο τὴν πρὸς τὸν θεόν. αὐτίκα περὶ τῶν βδελυσσομένων τὸν γάμον Παῦλος ὁμακάριος λέγει· „ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως προσέχοντες πνεύμασι πλάνης καὶ διδασκαλίαις δαιμονίων, κωλυόντων γαμεῖν, ἀπέχεσθαι βρωμάτων" *). καὶ πάλιν λέγει· „μηδεὶς ὑμᾶς καταβραβευέτω ἐν ἐθελοθρησκείᾳ καὶ ταπεινοφροσύνῃ καὶ ἀφειδίᾳ σώματος" **). ὁ δὲ αὐτὸς κἀκεῖνα γράφει· „δέδεσαι γυναικί; μὴ ζήτει λύσιν· λέλυσαι ἀπὸ γυναικός; μὴ ζήτει γυναῖκα" ***). καὶ πάλιν· „ἕκαστος δὲ τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω, ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς" †).

§. 52. *Τί δέ; οὐχὶ καὶ οἱ παλαιοὶ δίκαιοι ὦ-* P. *χαρίστως τῆς κτίσεως μετελάμβανον; οἱ δὲ καὶ ἐπαι-* 535. *δοποιήσαντο γήμαντες ἐγκρατῶς. καὶ τῷ μὲν Ἠλίᾳ* Rott. *οἱ κόρακες ἔφερον τροφὴν ἄρτους καὶ κρέα· καὶ Σαμουὴλ δὲ ὁ προφήτης ὃν καταλελοίπει κοιλὸν ἐξ ὧν ἤσθιε φέρων ἔδωκε τῷ Σαοὺλ φαγεῖν. οἱ δὲ καὶ τούτους ὑφορφέρειν λέγοντες πολιτείᾳ καὶ βίῳ, οὐδὲ συγκριθῆναι ταῖς ἐκείνων πράξεσι δυνήσονται. „ὁ μὴ ἐσθίων" τοίνυν „τὸν ἐσθίοντα μὴ ἐξουθενείτω, ὁ δὲ ἐσθίων τὸν μὴ ἐσθίοντα μὴ κρινέτω· ὁ θεὸς γὰρ αὐτὸν προσελάβετο" ††). ἀλλὰ καὶ ὁ κύριος περὶ ἑαυτοῦ λέγων· „ἦλθεν", φησὶν, „Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καὶ λέγουσι δαιμόνιον ἔχει. ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· ἰδοὺ ἄνθρωπος φαγὸς καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλός" †††). ἢ καὶ τοὺς ἀποστόλους ἀποδοκιμάζουσι; Πέτρος μὲν γὰρ καὶ Φίλιππος ἐπαιδο-

*) 1 Timoth. 4, 1. 3. **) Coloss. 2, 18. 23. ***) 1 Cor. 7, 27. †) Ibid. 2, 5. ††) Rom. 14, 3. †††) Matth. 11, 18 sq.

ποιήσαντο, Φίλιππος δὲ καὶ τὰς θυγατέρας ἀνδράσιν ἐξέδωκεν.

§. 53. Καὶ ὅ γε Παῦλος οὐκ ὀκνεῖ ἔν τινι ἐπιστολῇ τὴν αὐτοῦ προσαγορεύειν σύζυγον ἣν οὐ περιεκόμιζεν διὰ τὸ τῆς ὑπηρεσίας εὐσταλές. λέγει οὖν ἔν τινι ἐπιστολῇ· „οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν, ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι" *); ἀλλὰ οὗτοι μὲν οἰκείως τῇ διακονίᾳ ἀπερισπάστῳ P. τῷ κηρύγματι προσανέχοντες οὐχ ὡς γαμετὰς, ἀλλ' 436 ὡς ἀδελφὰς περιῆγον τὰς γυναῖκας συνδιακόνους Pos. ἑσομένας πρὸς τὰς οἰκουροὺς γυναῖκας, δι' ὧν καὶ εἰς τὴν γυναικωνῖτιν ἀδιαβλήτως παρεισεδύετο ἡ τοῦ κυρίου διδασκαλία. ἴσμεν γὰρ καὶ ὅσα περὶ διακόνων γυναικῶν ἐν τῇ ἑτέρᾳ πρὸς Τιμόθεον ἐπιστολῇ ὁ γενναῖος διατάσσεται Παῦλος. ἀλλὰ μὴν ὁ αὐτὸς οὗτος κέκραγεν, ὡς „οὐκ ἔστιν ἡ βασιλεία τοῦ θεοῦ βρῶσις καὶ πόσις", οὐδὲ μὴν ἀποχὴ οἴνου καὶ κρεῶν, „ἀλλὰ δικαιοσύνη καὶ εἰρήνη καὶ χαρὰ ἐν πνεύματι ἁγίῳ" **). τίς αὐτῶν μηλωτὴν καὶ ζώνην δερματίνην ἔχων περιέρχεται ὡς Ἠλίας; τίς δὲ σάκκον περιβέβληται γυμνὸς τὰ ἄλλα καὶ ἀνυπόδετος ὡς Ἡσαΐας; ἢ περίζωμα μόνον λινοῦν, ὡς Ἱερεμίας; Ἰωάννου δὲ τὴν ἔνστασιν τὴν γνωστικὴν τοῦ βίου τίς μιμήσεται; ἀλλὰ καὶ οὕτω βιοῦντες ηὐχαρίστουν τῷ κτίσαντι οἱ μακάριοι προφῆται.

§. 54. Ἡ δὲ Καρποκράτους δικαιοσύνη καὶ τῶν ἐπ' ἴσης αὐτῷ τὴν ἀκόλαστον μετιόντων κοινωνίαν ὧδέ πως καταλύεται. ἅμα γὰρ τῷ φάναι „τῷ αἰτοῦντί σε δὸς" ἐπιφέρει „καὶ τὸν θέλοντα δανείσασθαι μὴ ἀποστραφῇς" ***)· ταύτην διδάσκων τὴν κοινωνίαν, οὐχὶ δὲ τὴν λάγνον. πῶς δὲ ὁ αἰτῶν καὶ λαμβάνων καὶ δανειζόμενος ἀπὸ μηδενὸς ὑπάρχοντος P. τοῦ ἔχοντος καὶ διδόντος καὶ δανείζοντος; τί δ' ὅταν 192 ὁ κύριος φῇ· „ἐπείνασα καὶ ἐχορτάσατέ με· ἐδίψησα Sylb.

*) 1 Corinth. 9, 5. **) Roman. 14, 17. ***) Matth. 5, 42.

καὶ ἐποτίσατέ με, ξένος ἤμην καὶ συνηγάγετέ με, γυμνὸς καὶ περιεβάλετέ με" *). εἶτα ἐπιφέρει· "ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε" **). οὐχὶ δὲ τὰ αὐτὰ καὶ ἐν τῇ παλαιᾷ διαθήκῃ νομοθετεῖ; "ὁ διδοὺς πτωχῷ δανείζει θεῷ" ***). καὶ "μὴ ἀπόσχῃ εὖ ποιεῖν ἐνδεεῖ" ****), φησίν.

§. 55. Καὶ πάλιν, "ἐλεημοσύναι καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε" *****) εἶπεν. "πενία" δὲ "ἄνδρα ταπεινοῖ, χεῖρες δὲ ἀνδρῶν πλουτίζουσιν" *****). ἐπιφέρει δὲ, "ἴδου ἀνὴρ, ὃς οὐκ ἔδωκεν ἐπὶ τόκῳ τὸ ἀργύριον αὐτοῦ, ἀποδεκτὸς γίνεται" · καὶ "λύτρον ψυχῆς ἀνδρὸς ὁ ἴδιος πλοῦτος κρίνεται" †). οὐχὶ διασαφεῖ P. 587. ἀντικρυς; ὡς οὖν ἐξ ἐναντίων ὁ κόσμος σύγκειται Pol. ὥσπερ ἐκ θερμοῦ καὶ ψυχροῦ ††), ξηροῦ τε καὶ ὑγροῦ, οὕτω κἀκ τῶν διδόντων κἀκ τῶν λαμβανόντων. πάλιν τε αὖ ὅταν εἴπῃ· "εἰ θέλεις τέλειος γενέσθαι, πωλήσας τὰ ὑπάρχοντα δὸς πτωχοῖς" †††), ἐλέγχει τὸν καυχώμενον ἐπὶ τῷ "πάσας τὰς ἐντολὰς ἐκ νεότητος τετηρηκέναι" · οὐ γὰρ πεπλήρωκε τὸ "ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν". τότε δὲ ὑπὸ τοῦ κυρίου συντελειούμενος ἐδιδάσκετο δι' ἀγάπην μεταδιδόναι.

§. 56. Καλῶς οὖν πλουτεῖν οὐ κεκώλυκεν, ἀλλὰ γὰρ τὸ ἀδίκως καὶ ἁπλήστως πλουτεῖν· "κτῆσις" γὰρ "ἐπισπευδομένη μετὰ ἀνομίας ἐλάττων γίνεται" ††††)· "εἰσὶ" γὰρ "οἱ σπείροντες πλείονα ποιοῦσι, καὶ οἱ συνάγοντες ἐλαττοῦνται" †††††)· περὶ ὧν γέγραπται, "ἐσκόρπισεν, ἔδωκεν τοῖς πένησιν, ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα" ††††††)· ὁ μὲν γὰρ "σπείρων καὶ πλείονα συνάγων" οὗτός ἐστιν ὁ διὰ

*) Matth. 25, 35 sq. **) Ibid. v. 40. ***) Proverb. 19, 17. ****) Ibid. 3, 27. *****) Ibid. v. 3. †) Ibid. 10, 4. ††) Ibid. 13, 8. †††) Matth. 19, 16. Marc. 10, 17. Luc. 18, 18. ††††) Proverb. 13, 11. †††††) Ibid. 11, 24. ††††††) Psalm. 112, 9.

τῆς ἐπιγείου καὶ προσκαίρου μεταδόσεως τὰ οὐράνια κτώμενος καὶ τὰ αἰώνια, ἕτερος δὲ ὁ μηδενὶ μεταδιδοὺς κενῶς καὶ θησαυρίζων ἐπὶ τῆς γῆς ὅπου σὴς καὶ βρῶσις ἀφανίζει" *). περὶ οὗ γέγραπται, „συνδάγων τοὺς μισθοὺς συνήγαγεν εἰς δεσμὸν τετρυπημένον" **). τούτου „τὴν χώραν εὐφορῆσαι" λέγει ἐν τῷ εὐαγγελίῳ ὁ κύριος, ἔπειτα τοὺς καρποὺς ἀποθέσθαι βουληθέντα „οἰκοδομησόμενον ἀποθήκας μείζονας" κατὰ τὴν προσωποποιίαν εἰπεῖν πρὸς ἑαυτὸν, „ἔχεις ἀγαθὰ πολλὰ ἀποκείμενά σοι εἰς ἔτη πολλὰ, φάγε, πίε, εὐφραίνου· ἄφρον οὖν, ἔφη, ταύτῃ γὰρ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ. ἃ οὖν ἡτοίμασας, τίνι γένηται" ***);

Cap. VII.

§. 57. Ἡ μὲν οὖν ἀνθρωπίνη ἐγκράτεια ἡ κατὰ τοὺς φιλοσόφους λέγω τοὺς Ἑλλήνων τὸ διαμάχεσθαι τῇ ἐπιθυμίᾳ καὶ μὴ ἐξυπηρετεῖν αὐτῇ εἰς τὰ ἔργα ἐπαγγέλλεται, ἡ καθ' ἡμᾶς δὲ τὸ μὴ ἐπιθυμεῖν, οὐχ ἵνα τις ἐπιθυμῶν καρτερῇ, ἀλλ' ὅπως καὶ τοῦ ἐπιθυμεῖν ἐγκρατεύηται. λαβεῖν δὲ ἄλλως οὐκ ἔστι τὴν ἐγκράτειαν ταύτην ἢ χάριτι τοῦ θεοῦ. διὰ τοῦτο εἶπεν· „αἰτεῖτε καὶ δοθήσεται ὑμῖν" †), ταύτην ἔλαβεν τὴν χάριν καὶ ὁ Μωϋσῆς τὸ ἐνδεὲς σῶμα περικείμενος, ἵνα τεσσαράκοντα ἡμέρας μήτε πεινάσῃ μήτε διψήσῃ. ὡς δὲ ὑγιαίνειν ἄμεινον τοῦ νοσοῦντα περὶ ὑγιείας διαλέγεσθαι, οὕτω τὸ εἶναι φῶς τοῦ περὶ φωτὸς λαλεῖν καὶ ἡ κατὰ ἀλήθειαν ἐγκράτεια τῆς ὑπὸ τῶν φιλοσόφων διδασκομένης. οὐ γὰρ ὅπου φῶς, ἐκεῖ σκότος, ἔνθα δέ ἐστιν ἐπιθυμία ἐγκαθεζομένη μόνη τυγχάνουσα κἂν τῇ ἐνεργείᾳ ἡσυχάζῃ τῇ διὰ τοῦ σώματος τῇ μνήμῃ συνουσιάζει πρὸς τὸ μὴ παρόν.

*) Matth. 6, 19. **) Aggae. 1, 6. ***) Luc. 12, 16—20. †) Matth. 7, 7.

§. 58. Καθόλου δὲ ἡμῖν προείτω ὁ λόγος περὶ τε γάμου περί τε τροφῆς καὶ τῶν ἄλλων μηδὲν κατ' ἐπιθυμίαν ποιεῖν, θέλειν δὲ μόνα ἐκεῖνα τὰ ἀναγκαῖα. οὐ γάρ ἐσμεν ἐπιθυμίας τέκνα, ἀλλὰ θελήματος. καὶ τὸν ἐπὶ παιδοποιίᾳ γήμαντα ἐγκράτειαν ἀσκεῖν χρὴ, ὡς μηδὲ ἐπιθυμεῖν τῆς γυναικὸς τῆς ἑαυτοῦ, ἣν ἀγαπᾶν ὀφείλει, σεμνῷ καὶ σώφρονι παιδοποιούμενος θελήματι. οὐ γὰρ „τῆς σαρκὸς πρόνοιαν ποιεῖσθαι εἰς ἐπιθυμίας" ἐμάθομεν, „εὐσχημόνως δὲ ὡς ἐν ἡμέρᾳ" τῷ Χριστῷ καὶ τῇ κυριακῇ τῇ φατεινῇ ἀγωγῇ „περιπατοῦντες, μὴ κώμοις καὶ μέθαις, μὴ κοίταις καὶ ἀσελγείαις, μὴ ἔρισι καὶ ζήλοις" *).

P. 538. Pott.

§. 59. Ἀλλὰ γὰρ οὐ μόνον περί τι ἓν εἶδος τὴν ἐγκράτειαν συνορᾶν προσήκει, τουτέστι τὰ ἀφροδίσια, ἀλλὰ γὰρ καὶ περὶ τὰ ἄλλα ὅσα σπαταλῶσα ἐπιθυμεῖ ἡ ψυχὴ ἡμῶν, οὐκ ἀρκουμένη τοῖς ἀναγκαίοις, περιεργαζομένη δὲ τὴν χλιδήν. ἐγκράτειά ἐστιν ἀργυρίου καταφρονεῖν, τρυφῆς, κτήσεως, θέας καταμεγαλοφρονεῖν, στόματος κρατεῖν, κυριεύειν λογισμῷ τῶν πονηρῶν. ἤδη δὲ καὶ ἄγγελοί τινες ἀκρατεῖς γενόμενοι ἐπιθυμίᾳ ἁλόντες οὐρανόθεν δεῦρο κατεπεπτώκασιν. Οὐαλεντῖνος δὲ ἐν τῇ πρὸς Ἀγαθόποδα ἐπιστολῇ „πάντα", φησὶν „ὑπομείνας ἐγκρατὴς ἦν, θεότητα Ἰησοῦς εἰργάζετο, ἤσθιεν καὶ ἔπινεν ἰδίως οὐκ ἀποδιδοὺς τὰ βρώματα. τοσαύτη ἦν αὐτῷ ἐγκρατείας δύναμις, ὥστε καὶ μὴ φθαρῆναι τὴν τροφὴν ἐν αὐτῷ, ἐπεὶ τὸ φθείρεσθαι αὐτὸς οὐκ εἶχεν". ἡμεῖς μὲν οὖν δι' ἀγάπην τὴν πρὸς τὸν κύριον καὶ δι' αὐτὸ τὸ καλὸν ἐγκράτειαν ἀσπαζόμεθα τὸν νεὸν τοῦ πνεύματος ἁγιάζοντες, καλὸν γὰρ „διὰ τὴν βασιλείαν τῶν οὐρανῶν εὐνουχίζειν ἑαυτὸν" „**) πάσης ἐπιθυμίας καὶ „καθαρίζειν τὴν συνείδησιν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν θεῷ ζῶντι" ***).

*) Roman. 13, 12—14. **) Matth. 19, 12. ***) Hebr. 9, 14.

§. 60. Οἱ δὲ διὰ τὸ μῖσος τὸ πρὸς τὴν σάρκα τῆς κατὰ γάμων συναλλαγῆς καὶ τῆς τῶν καθηκόντων βρωμάτων μεταλήψεως ἀχαρίστως ἀπαλλάττεσθαι ποθοῦντες ἁμαθεῖς τε καὶ ἄθεοι, ἀλόγως ἐγκρατευόμενοι, καθάπερ τὰ πλεῖστα τῶν ἄλλων ἐθνῶν. Βραχμᾶναι γοῦν οὔτε ἔμψυχον ἐσθίουσιν οὔτε οἶνον πίνουσιν, ἀλλ᾽ οἱ μὲν αὐτῶν καθ᾽ ἑκάστην ἡμέραν ὡς ἡμεῖς τὴν τροφὴν προσίενται· ἔνιοι δ᾽ αὐτῶν διὰ τριῶν ἡμερῶν ὡς φησιν Ἀλέξανδρος ὁ πολυΐστωρ ἐν τοῖς Ἰνδικοῖς καταφρονοῦσι δὲ θανάτου καὶ παρ᾽ οὐδὲν ἡγοῦνται τὸ ζῆν, πείθονται γὰρ εἶναι παλιγγενεσίαν, ἃ δὲ σέβουσιν Ἡρακλέα καὶ Πᾶνα. οἱ καλούμενοι δὲ σεμνοὶ τῶν Ἰνδῶν γυμνοὶ διαιτῶνται τὸν πάντα βίον, οὗτοι τὴν ἀλήθειαν ἀσκοῦσι καὶ περὶ τῶν μελλόντων προμηνύουσι καὶ σέβουσί τινα πυραμίδα, ὑφ᾽ ἣν ὀστέα τινὸς θεοῦ νομίζουσιν ἀποκεῖσθαι. οὔτε δὲ οἱ γυμνοσοφισταὶ οὗτοι οἱ λεγόμενοι σεμνοὶ γνναιξὶ χρῶνται, παρὰ φύσιν γὰρ τοῦτο καὶ παράνομον δοκοῦσι, δι᾽ ἣν αἰτίαν σφᾶς αὐτοὺς ἁγνοὺς τηροῦσι, παρθενεύουσι δὲ καὶ αἱ σεμναί. δοκοῦσι δὲ παρατηρεῖν τὰ οὐράνια καὶ διὰ τῆς τούτων σημειώσεως τῶν μελλόντων προμαντεύεσθαί τινα.

P. 194. P. Syth. 539. Pott.

Cap. VIII.

§. 61. Ἐπεὶ δὲ οἱ τὴν ἀδιαφορίαν εἰσάγοντες, βιαζόμενοί τινας ὀλίγας γραφὰς συνηγορεῖν αὐτῶν τῇ ἡδυπαθείᾳ οἴονται, ἁτὰρ δὴ κἀκείνην· „ἁμαρτία γὰρ ὑμῶν οὐ κυριεύσει, οὐ γάρ ἐστε ὑπὸ νόμον, ἀλλ᾽ ὑπὸ χάριν“ *)· καί τινας ἄλλας τοιαύτας ὧν ἐπὶ τοιούτοις μεμνῆσθαι οὐκ εὔλογον, οὐ γὰρ ἐπισκευάζων ναῦν πειρατικὴν, φέρε δὴ διὰ βραχέων διακόψωμεν αὐτῶν τὴν ἐγχείρησιν. αὐτὸς γὰρ ὁ γενναῖος ἀπόστολος τῇ προειρημένῃ λέξει ἐπιφέρων ἀπολύσεται

*) Roman. 6, 14.

τὸ ἔγκλημα· „τί οὖν; ἁμαρτήσωμεν, ὅτι οὐκ ἐσμὲν ὑπὸ νόμον, ἀλλ' ὑπὸ χάριν; μὴ γένοιτο" *). οὕτως ἐνθέως καὶ προφητικῶς καταλύει παραχρῆμα τὴν σοφιστικὴν τῆς ἡδονῆς τέχνην.

§. 62. Οὐ συνιεῖσιν οὖν ὡς ἔοικεν ὅτι „τοὺς πάντας ἡμᾶς φανερωθῆναι δεῖ ἔμπροσθεν τοῦ βήματος τοῦ Χριστοῦ ἵνα κομίσηται ἕκαστος διὰ τοῦ σώματος πρὸς ἃ ἔπραξεν εἴτε ἀγαθὸν εἴτε κακόν" **). ἵνα ἃ διὰ τοῦ σώματος ἔπραξέν τις ἀπολάβῃ. „ὥστε εἴ τις ἐν Χριστῷ καινὴ κτίσις", οὐκ ἔτι ἁμαρτητική, „τὰ ἀρχαῖα παρῆλθεν"· ἀπελουσάμεθα τὸν βίον τὸν παλαιόν. „ἰδοὺ γὰρ γέγονε καινὰ" ***), ἁγνεία ἐκ πορνείας καὶ ἐγκράτεια ἐξ ἀκρασίας, δικαιοσύνη ἐξ ἀδικίας. „τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; ἢ τίς κοινωνία φωτὶ πρὸς σκότος; τίς δὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαρ; τίς μερὶς πιστῷ μετὰ ἀπίστου; τίς δὲ συγκατάθεσις ναῷ θεοῦ μετὰ εἰδώλων" †); „ταύτας οὖν ἔχοντες τὰς ἐπαγγελίας καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ" ††).

Cap. IX.

§. 63. Οἱ δὲ ἀντιτασσόμενοι τῇ κτίσει τοῦ θεοῦ διὰ τῆς εὐφήμου ἐγκρατείας κἀκεῖνα λέγουσι τὰ πρὸς Σαλώμην εἰρημένα, ὧν πρότερον ἐμνήσθημεν· φέρεται δὲ οἶμαι ἐν τῷ κατ' Αἰγυπτίους εὐαγγελίῳ. φασὶ γὰρ, ὅτι αὐτὸς εἶπεν ὁ σωτὴρ, ἦλθον καταλῦσαι τὰ ἔργα τῆς θηλείας· θηλείας μὲν τῆς ἐπιθυμίας, ἔργα δὲ γένεσιν καὶ φθοράν. τί οὖν ἂν εἴποιεν; κατελύθη ἡ διοίκησις αὕτη; οὐκ ἂν φήσαιεν, μένει γὰρ ἐπὶ τῆς αὐτῆς οἰκονομίας ὁ κόσμος. ἀλλ' οὐκ ἐψεύσατο ὁ

P. 540. Rom.

*) Romans. 6, 15. **) 2 Corinth. 5, 10. ***) Ibid. v. 18 sqq. †) Ibid. 6, 14—16. ††) Ibid. 7. 1.

κύριος, τῷ ὄντι γὰρ τὰ τῆς ἐπιθυμίας κατέλυσεν ἔργα, φιλαργυρίαν, φιλονεικίαν, φιλοδοξίαν, γυναικομανίαν, παιδεραστίαν, ὀψοφαγίαν, ἀσωτίαν καὶ τὰ τούτοις ὅμοια, τούτων δὲ ἡ γένεσις φθορὰ τῆς ψυχῆς εἴ γε „νεκροὶ τοῖς παραπτώμασι" *) γινόμεθα· καὶ αὕτη ἡ θήλεια ἀκρασία ἦν γένεσιν δὲ καὶ φθορὰν τὴν ἐν κτίσει προηγουμένως γίνεσθαι ἀνάγκη μέχρι παντελοῦς διακρίσεως καὶ ἀποκαταστάσεως ἐκλογῆς, δι' ἣν καὶ αἱ τῷ κόσμῳ συμπεφυρμέναι οὐσίαι τῇ οἰκειότητι προσκέμονται.

§. 64. Ὅθεν εἰκότως περὶ συντελείας μηνύσαντος τοῦ λόγου ἡ Σαλώμη φησί, „μέχρι τίνος οἱ ἄνθρωποι ἀποθανοῦνται;" ἄνθρωπον δὲ καλεῖ ἡ γραφὴ διχῶς, τόν τε φαινόμενον καὶ τὴν ψυχὴν, πάλιν τε καὶ τὸν σωζόμενον καὶ τὸν μή. καὶ θανάτος ψυχῆς ἡ ἁμαρτία λέγεται. διὸ καὶ παρατετηρημένως ἀποκρίνεται ὁ κύριος, „μέχρις ἂν τίκτωσιν αἱ γυναῖκες", τουτέστι μέχρις ἂν αἱ ἐπιθυμίαι ἐνεργῶσι. „διὰ τοῦτο ὥσπερ δι' ἑνὸς ἀνθρώπου ἡ ἁμαρτία εἰς τὸν κόσμον εἰσῆλθεν καὶ διὰ τῆς ἁμαρτίας ὁ θάνατος εἰς πάντας ἀνθρώπους διῆλθεν ἐφ' ᾧ πάντες ἥμαρτον, καὶ ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωϋσέως" **), φησὶν ὁ ἀπόστολος· φυσικῇ δὲ ἀνάγκῃ θείας οἰκονομίας γενέσει θάνατος ἕπεται, καὶ συνόδῳ ψυχῆς καὶ σώματος ἡ τούτων διάλυσις ἀκολουθεῖ. εἰ δὲ ἕνεκεν μαθήσεως καὶ ἐπιγνώσεως ἡ γένεσις, ἀποκαταστάσεως δὲ ἡ διάλυσις· ὡς δὲ αἰτία θανάτου διὰ τὸ τίκτειν ἡ γυνὴ νομίζεται, οὕτω καὶ ζωῆς διὰ τὴν αὐτὴν αἰτίαν λεχθήσεται ἡγεμών.

§. 65. Αὐτίκα ἡ προκατάρξασα τῆς παρεμβάσεως „ζωὴ" ***) προσηγορεύθη διὰ τὴν τῆς διαδοχῆς αἰτίαν τῶν τε γεννωμένων τῶν τε ἁμαρτανόντων γίνεται, ὁμοίως δικαίων ὡς καὶ ἀδίκων μήτηρ, ἑκάστου ἡμῶν ἑαυτὸν δικαιοῦντος ἢ ἔμπαλιν ἀπειθῆ

*) Ephes. 2, 5. **) Romans. 5, 12. 14. ***) Genes. 3, 20.

καταςκευάζοντος. ὅθεν οὐχ ἡγοῦμαι ἔγωγε μυσάττεσθαι τὴν ἐν σαρκὶ ζωὴν τὸν ἀπόστολον, ὅπηνίκα ἂν φῇ· „ἀλλ' ἐν πάσῃ παρρησίᾳ ὡς πάντοτε καὶ νῦν μεγαλυνθήσεται Χριστὸς ἐν τῷ σώματί μου εἴτε διὰ ζωῆς εἴτε διὰ θανάτου, ἐμοὶ γὰρ τὸ ζῆν Χριστὸς, καὶ τὸ ἀποθανεῖν κέρδος. εἰ δὲ τὸ ζῆν ἐν σαρκὶ καὶ τοῦτό μοι καρπὸς ἔργου, τί αἱρήσομαι, οὐ γνωρίζω, συνέχομαί τε ἐκ τῶν δύο τὴν ἐπιθυμίαν ἔχων εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι· πολλῷ γὰρ κρεῖττον, τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς" *)· ἐνεδείξατο γὰρ οἶμαι διὰ τούτων σαφῶς τῆς μὲν ἐξόδου τοῦ σώματος τὴν πρὸς θεὸν ἀγάπην τελείωσιν εἶναι, τῆς δὲ ἐν σαρκὶ παρουσίας τὴν εὐχάριστον διὰ τοὺς σωθῆναι δεομένους ὑπομονήν. P. 195. Sylb.

§. 66. *Τί δέ; οὐχὶ καὶ τὰ ἐξῆς τῶν πρὸς Σαλώμην εἰρημένων ἐπιφέρουσιν οἱ πάντα μᾶλλον ἢ τῷ κατὰ τὴν ἀλήθειαν εὐαγγελικῷ στοιχήσαντες κανόνι; φαμένης γὰρ αὐτῆς, „καλῶς οὖν ἐποίησα μὴ τεκοῦσα, ὡς οὐ δεόντως τῆς γενέσεως παραλαμβανομένης, ἀμείβεται λέγων ὁ κύριος, „πᾶσαν φάγε βοτάνην, τὴν δὲ πικρίαν ἔχουσαν μὴ φάγῃς". σημαίνει γὰρ καὶ διὰ τούτων ἐφ' ἡμῖν εἶναι καὶ οὐκ ἐξ ἀνάγκης κατὰ κώλυσιν ἐντολῆς ἤτοι τὴν ἐγκράτειαν ἢ καὶ τὸν γάμον, καὶ ὅτι ὁ γάμος συνεργάζεταί τι τῇ κτίσει προσδιασαφῶν.

§. 67. *Μή ποτ' οὖν ἁμάρτημά τις ἡγείσθω τὸν γάμον τὸν κατὰ λόγον, εἰ μὴ πικρὰν ὑπολαμβάνει παιδοτροφίαν — πολλοῖς γὰρ ἔμπαλιν ἀτεκνία λυπηρότατον — μήτ' ἂν πικρὰ ἡ παιδοποιία φαίνηταί τινι μεταπεριςπῶσα τῶν θείων διὰ τὰς χρειώδεις ἀσχολίας. μὴ φέρων δ' οὕτος εὐκόλως τὸν μονήρη βίον ἐπιθυμεῖ τοῦ γάμου, ἐπεὶ τὸ εὐάρεστον μετὰ σωφροσύνης ἀβλαβὲς καὶ κύριος ἕκαστος ἡμῶν τυγχάνει τῆς περὶ τέκνων γονῆς αἱρέσεως. συνορῶ δ'

*) Philipp. 1, 20—24.

ὅπως τῇ προφάσει τοῦ γάμου οἱ μὲν ἀπισχνημένοι τούτου μὴ κατὰ τὴν ἁγίαν γνῶσιν εἰς μισανθρωπίαν ὑπερρύησαν καὶ τὸ τῆς ἀγάπης οὐχεται παρ' αὐτοῖς, οἱ δὲ ἐνσχεθέντες καὶ ἡδυπαθήσαντες τῇ τοῦ νόμου συμπεριφορᾷ ὡς φησιν ὁ προφήτης „παρωμοιώθησαν τοῖς κτήνεσιν" *).

Cap. X.

§. 68. *Τίνες δὲ οἱ δύο καὶ τρεῖς ὑπάρχουσιν ἐν ὀνόματι Χριστοῦ συναγόμενοι παρ' οἷς μέσος* P. 10 *ἐστὶν ὁ κύριος* **); *ἢ οὐχὶ ἄνδρα καὶ γυναῖκα καὶ* 542. *τέκνον τοὺς τρεῖς λέγει; ὅτι ἀνδρὶ γυνὴ διὰ θεοῦ* Pott. *ἁρμόζεται. ἀλλὰ κἂν εὔζωνός τις εἶναι θέλῃ, οὐχ αἱρούμενος τὴν παιδοποιίαν διὰ τὴν ἐν παιδοποιίᾳ ἀσχολίαν, „μενέτω", φησὶν ὁ ἀπόστολος, „ἄγαμος ὡς* 15 *κἀγώ"* ***). *βούλεσθαι γὰρ λέγειν τὸν κύριον ἐξηγοῦνται, μετὰ μὲν τῶν πλειόνων τὸν δημιουργὸν εἶναι τὸν γενεσιουργὸν θεὸν, μετὰ δὲ τοῦ ἑνὸς τοῦ ἐκλεκτοῦ τὸν σωτῆρα, ἄλλου δηλονότι θεοῦ τοῦ ἀγαθοῦ υἱὸν πεφυκότα. τὸ δ' οὐχ οὕτως ἔχει, ἀλλ'* 20 *ἔστι μὲν καὶ μετὰ τῶν σωφρόνως γημάντων καὶ τεκνοποιησάντων ὁ θεὸς δι' υἱοῦ, ἔστι δὲ καὶ μετὰ τοῦ ἐγκρατευσαμένου λογικῶς ὁ αὐτὸς ὡσαύτως θεός. εἶεν δ' ἂν καὶ ἄλλως οἱ μὲν τρεῖς θυμός τε καὶ ἐπιθυμία καὶ λογισμὸς, σὰρξ δὲ καὶ ψυχὴ καὶ πνεῦ-* 25 *μα κατ' ἄλλον λόγον.*

§. 69. *Τάχα δὲ καὶ τὴν κλῆσιν τήν τε ἐκλογὴν δευτέραν καὶ τρίτον τὸ εἰς τὴν πρώτην τιμὴν κατατασσόμενον γένος αἰνίσσεται ἡ προειρημένη τριάς. μεθ' ὧν ἡ πανεπίσκοπος τοῦ θεοῦ δύναμις ἀμερῶς* 30 *μεριστή. ὁ τοίνυν ταῖς κατὰ φύσιν ἐνεργείαις τῆς ψυχῆς ἐν δέοντι χρώμενος ἐπιθυμεῖ μὲν τῶν καταλ-*

*) Psalm. 49, 12. 20. **) Cf. Matth. 18, 20.
***) 1 Corinth. 7, 8.

λήλων, μισεῖ δὲ τὰ βλάπτοντα, καθὼς αἱ ἐντολαὶ προστάττουσιν· ‹ἐνευλογήσεις γὰρ›, φησί, ‹τὸν εὐλογοῦντα καὶ κατεύξῃ τὸν καταρώμενον›. ὅταν δὲ καὶ τούτων ὑπεραναβὰς τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας ἔργῳ ἀγαπήσῃ τὴν κτίσιν διὰ τὸν πάντων θεόν τε καὶ ποιητὴν γνωστικῶς βιώσεται ἕξιν ἐγκρατείας ἄπονον περιπεποιημένος κατὰ τὴν πρὸς τὸν σωτῆρα ἐξομοίωσιν, ἑνώσας τὴν γνῶσιν, πίστιν, ἀγάπην, εἰς ὧν ἐνθένδε τὴν κρίσιν καὶ πνευματικὸς ὄντως; ἀπαραίδεκτος τῶν κατὰ τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν διαλογισμῶν πάντῃ πάντως, ὁ κατ' εἰκόνα ἐκτελούμενος τοῦ κυρίου πρὸς αὐτοῦ τοῦ τεχνίτου ἄνθρωπος τέλειος, ἄξιος ἤδη τοῦ ἀδελφὸς πρὸς τοῦ κυρίου ὀνομάζεσθαι, φίλος ἅμα οὗτος καὶ υἱός ἐστιν. οὕτως οἱ δύο καὶ οἱ τρεῖς ἐπὶ τὸ αὐτὸ συνάγονται τὸν γνωστικὸν ἄνθρωπον.

§. 70. *Εἴη δ' ἂν* καὶ ἡ ὁμόγνια τῶν πολλῶν ἀπὸ τῶν τριῶν ἀριθμουμένη μεθ' ὧν ὁ κύριος, ἡ μία ἐκκλησία, ὃ εἷς ἄνθρωπος, τὸ γένος τὸ ἕν. ἢ μή τι μετὰ μὲν τοῦ ἑνὸς τοῦ Ἰουδαίου ὁ κύριος νομοθετῶν ἦν, προφητεύων δὲ ἤδη καὶ τὸν Ἱερεμίαν ἀποστέλλων εἰς Βαβυλῶνα, ἀλλὰ καὶ τοὺς ἐξ ἐθνῶν διὰ τῆς προφητείας καλῶν, συνῆγε λαοὺς τοὺς δύο, τρίτος δὲ ἦν ἐκ τῶν δυεῖν κτιζόμενος εἰς καινὸν ἄνθρωπον, ᾧ δὴ ἐμπεριπατεῖ τε καὶ κατοικεῖ *) ἐν αὐτῇ τῇ ἐκκλησίᾳ. νόμος τε ὁμοῦ καὶ προφῆται σὺν καὶ τῷ εὐαγγελίῳ ἐν ὀνόματι Χριστοῦ εἰς μίαν συνάγονται γνῶσιν. οὐκοῦν οἱ διὰ μῖσος μὴ γαμοῦντες ἢ δι' ἐπιθυμίαν ἀδιαφόρως τῇ σαρκὶ κατακρώμενοι οὐκ ἐν ἀριθμῷ τῶν σωζομένων ἐκείνων ἐστὶν ὧν ὁ κύριος.

P. 643. Rott.

*) Cf. Ephes. 2, 10. 2 Corinth. 6, 16.

Cap. XI.

§. 71. *Τούτων ὧδε ἐπιδεδειγμένων φέρε ὁπόσαι τούτοις τοῖς κατὰ τὰς αἱρέσεις σοφισταῖς ἐναντιοῦνται γραφαὶ ἤδη παραθώμεθα, τὸν κανόνα τῆς κατὰ λόγον τηρουμένης ἐγκρατείας μηνύοντες. ἑκάστῃ δὲ τῶν αἱρέσεων τὴν οἰκείως ἐνισταμένην γραφὴν ὁ συνιὼν ἐπιλεγόμενος κατὰ καιρὸν χρήσεται πρὸς κατάλυσιν τῶν παρὰ τὰς ἐντολὰς δογματιζόντων. ἄνωθεν μὲν οὖν ὁ νόμος ὥσπερ προειρήκαμεν τὸ „οὐκ ἐπιθυμήσεις τῆς τοῦ πλησίον“ *), τῆς τοῦ κυρίου προσεχοῦς κατὰ τὴν νέαν διαθήκην φωνῆς προσαναπεφώνηκεν τῆς αὐτῆς αὐτοπροσώπως λεγούσης· „ἠκούσατε τοῦ νόμου παραγγέλλοντος· οὐ μοιχεύσεις, ἐγὼ δὲ λέγω· οὐκ ἐπιθυμήσεις“ **). ὅτι γὰρ σωφρόνως ἐβούλετο ταῖς γαμεταῖς χρῆσθαι τοὺς ἄνδρας ὁ νόμος καὶ ἐπὶ μόνῃ παιδοποιΐᾳ δῆλον ἐκ τοῦ κωλύειν μὲν „τῇ ἀλλοτρίᾳ“ ***) παραχρῆμα ἐπιμίγνυσθαι τὸν ἄγαμον, ἐπιθυμήσαντος δὲ ἅπαξ τριάκοντα πενθεῖν ἐπιτρέπειν ἡμέρας κειραμένῃ καὶ τὰς τρίχας, εἰ δὲ μηδ' οὕτως μαραίνοιτο ἡ ἐπιθυμία, τότε παιδοποιεῖσθαι δεδοκιμασμένης τῆς ὁρμῆς τῆς κυριευούσης κατὰ τὴν προθεσμίαν τοῦ χρόνου εἰς ὄρεξιν εὔλογον.*

§. 72. *Ὅθεν οὐ δείξεως ἐγκύμονι πλησιάσαντα τῶν πρησβυτέρων τινὰ κατὰ τὴν γραφὴν, ἀλλ' ὕστερον μετά τε τὴν κυοφορίαν μετά τε τὴν τοῦ τεχθέντος γαλακτουχίαν εὔφορα ἂν πάλιν πρὸς τῶν ἀνδρῶν γινωσκομένας τὰς γυναῖκας. αὐτίκα τοῦτον εὑρήσεις τὸν σκοπὸν καὶ τὸν τοῦ Μωϋσέως παῖδα φυλάσσοντα τριετίαν διαλιπόντα μετὰ τὴν τοῦ Ἀαρὼν ἀποκύησιν γεννήσαντα τὸν Μωϋσέα. ἥ τε αὖ Λευιτικὴ φυλὴ τοῦτον φυλάσσουσα τὸν τῆς φύσεως*

P. 196 Sylb. 8

*) Exod. 20, 17. **) Matth. 5, 27. ***) Deuteron. 21, 11—13.

νόμον ἐκ θεοῦ ἐλάττων τὸν ἀριθμὸν παρὰ τὰς ἄλλας εἰς τὴν προκατηγγελμένην εἰσῆλθε γῆν, οὐ γὰρ ῥᾳδίως αὐξάνει γένος εἰς πολυπληθίαν σπειράντων μὲν τῶν ἀνδρῶν τῶν τὸν κατὰ τοὺς νόμους γάμον ἀναδεδεγμένων, ἀναμενόντων δὲ οὐ τὴν κυοφορίαν μόνον, ἀλλὰ καὶ τὴν γαλακτουχίαν.

§. 73. Ὅθεν εἰκότως καὶ ὁ Μωϋσῆς κατ' ὀλίγον εἰς ἐγκράτειαν προβιβάζων τοὺς Ἰουδαίους „τριῶν ἡμερῶν" *) κατὰ τὸ ἑξῆς ἀπεσχημένους ἀφροδισίου ἥδονῆς προσέταξεν ἐπακούειν τῶν θείων λόγων. „ἡμεῖς οὖν ναοὶ τοῦ θεοῦ ἐσμέν, καθὼς εἶπεν ὁ προφήτης, ὅτι ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω καὶ ἔσομαι αὐτῶν θεὸς καὶ αὐτοὶ ἔσονταί μου λαός" **), ἐὰν κατὰ τὰς ἐντολὰς πολιτευώμεθα εἴτε ὁ καθ' ἕκαστον ἡμῶν εἴτε καὶ ἀθρόα ἡ ἐκκλησία. „διὸ ἐξέλθετε ἐκ μέσου αὐτῶν καὶ ἀφορίσθητε, λέγει κύριος, καὶ ἀκαθάρτου μὴ ἅπτεσθε, κἀγὼ εἰσδέξομαι ὑμᾶς καὶ ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς υἱοὺς καὶ θυγατέρας, λέγει κύριος παντοκράτωρ". οὐ τῶν γεγαμηκότων ὥς φασιν, ἀλλὰ τῶν ἐθνῶν τῶν ἐν πορνείᾳ βιούντων ἔτι, πρὸς δὲ καὶ τῶν προειρημένων αἱρέσεων ἀφορισθῆναι ὡς ἀκαθάρτων καὶ ἀθέων κελεύει προφητικῶς ἡμᾶς.

§. 74. Ὅθεν καὶ ὁ Παῦλος πρὸς τοὺς ὁμοίους ἀποτεινόμενος τοῖς εἰρημένοις· „ταύτας οὖν ἔχετε τὰς ἐπαγγελίας", φησίν, „ἀγαπητοί, καθαρίσωμεν ἑαυτῶν τὰς καρδίας ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος, ἐπιτελοῦντες ἁγιωσύνην ἐν φόβῳ θεοῦ" ***)· „ζηλῶ γὰρ ὑμᾶς θεοῦ ζήλῳ, ἡρμοσάμην γὰρ ὑμᾶς ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ" †). ἐκκλησία δὲ ἄλλον οὐ γαμεῖ τὸν νυμφίον κεκτημένη, ἀλλ' ὁ καθ' ἕκαστον ἡμῶν ἣν ἂν βούληται κατὰ τὸν νόμον γαμεῖν τὸν πρῶτον λέγω γάμον ἔχει τὴν ἑξου-

*) Exod. 19, 20. **) 2 Corinth. 6, 16—18. ***) Ibid. 7, 1. †) Ibid. 11, 2 sq.

σίαν. „φοβοῦμαι δὲ μή πως ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστὸν", σφόδρα εὐλαβῶς καὶ διδασκαλικῶς εἴρηκεν ὁ ἀπόστολος.

§. 75. Διὸ καὶ ὁ θωμάσιος Πέτρος φησὶν, „ἀγαπητοὶ, παρακαλῶ ὡς παροίκους καὶ παρεπιδήμους ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς, τὴν ἀναστροφὴν ὑμῶν καλὴν ἔχοντες ἐν τοῖς ἔθνεσιν, ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ θεοῦ ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀνθρώπων ἀγνωσίαν, ὡς ἐλεύθεροι καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ' ὡς δοῦλοι θεοῦ" *). ὁμοίως δὲ καὶ ὁ Παῦλος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ γράφει· „οἵτινες ἀπεθάνομεν τῇ ἁμαρτίᾳ πῶς ἔτι ζήσομεν ἐν αὐτῇ; ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας" **) ἕως „μηδὲ παριστάνετε τὰ μέλη ὑμῶν ὅπλα ἀδικίας τῇ ἁμαρτίᾳ" ***).

§. 76. Καὶ δὴ ἐνταῦθα γενόμενος δεκτῶ μοὶ μὴ παραλείψειν ἀνεπισημείωτον ὅτι τὸν αὐτὸν θεὸν διὰ νόμου καὶ προφητῶν καὶ εὐαγγελίου ὁ ἀπόστολος κηρύσσει, τὸ γὰρ „οὐκ ἐπιθυμήσεις" ἐν τῷ εὐαγγελίῳ γεγραμμένον τῷ νόμῳ περιτίθησιν ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ, ἵνα εἰδῶς τὸν διὰ νόμου καὶ προφητῶν κηρύξαντα καὶ τὸν δι' αὐτοῦ εὐαγγελισθέντα πατέρα. φησὶ γὰρ „τί ἐροῦμεν; ὁ νόμος ἁ-P. μαρτία; μὴ γένοιτο, ἀλλὰ τὴν ἁμαρτίαν οὐκ ἔγνων545. εἰ μὴ διὰ νόμου, τήν τε γὰρ ἐπιθυμίαν οὐκ ἤδειν, Rom. εἰ μὴ ὁ νόμος ἔλεγεν· οὐκ ἐπιθυμήσεις" †). κἂν οἱ ἀντιτασσόμενοι τῶν ἑτεροδόξων προσαποτεινόμενον τὸν Παῦλον τῷ κτίστῃ εἰρηκέναι ὑπολάβωσι τὰ ἑξῆς· „οἶδα γὰρ ὅτι οὐκ οἰκεῖ ἐν ἐμοὶ, τουτέστιν ἐν τῇ

*) 1 Petr. 2, 11 sq. 15 sq. **) Roman. 6, 2. 6.
***) Ibid. v. 13. †) Ibid. 7, 7.

σαρκί μου ἀγαθὸν" *), ἀλλ' ἀναγινωσκόντων τὰ προειρημένα καὶ τὰ ἐπιφερόμενα, προεῖπε γὰρ, „ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία" **), δι' ἣν ἀκόλουθον ἦν εἰπεῖν ὅτι „οὐκ οἰκεῖ ἐν τῇ σαρκί μου ἀγαθόν".

§. 77. Ἑπομένως ἐπήγαγεν· „εἰ δὲ ὃ οὐ θέλω, τοῦτο ἐγὼ ποιῶ, οὐκ ἔτι ἐγὼ κατεργάζομαι αὐτό, ἀλλ' ἡ οἰκοῦσα ἐν ἐμοὶ ἁμαρτία", ἤτις „ἀντιστρατευομένη τῷ νόμῳ" τοῦ θεοῦ „καὶ τοῦ νοός μου", φησίν, „αἰχμαλωτίζει με ἐν τῷ νόμῳ τῆς ἁμαρτίας τῷ ὄντι ἐν τοῖς μέλεσί μου. ταλαίπωρος ἐγὼ ἄνθρωπος, τίς με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου" ***); πάλιν τε αὖ — κάμνει γὰρ οὐδ' ὅπως τις οὖν ὠφελῶν — οὐκ ὀκνεῖ ἐπιλέγειν· „ὁ γὰρ νόμος τοῦ πνεύματος ἠλευθέρωσέν με ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου, ἐπεὶ διὰ τοῦ υἱοῦ ὁ θεὸς κατέκρινεν τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα" †). πρὸς τούτοις ἔτι ἐπισαφηνίζων τὰ προειρημένα ἐπιβοᾷ· „τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν" ††) δηλῶν ὡς ὅτι μὴ νεὼς, τάφος δ' ἐστὶν ἔτι τῆς ψυχῆς· ὑπηνίκα γὰρ ἁγιασθῇ τῷ θεῷ, „τὸ πνεῦμα" ἐποίσει „τοῦ ἐγείραντος ἐκ νεκρῶν Ἰησοῦν οἰκεῖ ἐν ὑμῖν, ὃς ζωοποιήσει καὶ τὰ θνητὰ σώματα ὑμῶν διὰ τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν".

§. 78. Αὖθις οὖν τοῖς φιληδόνοις ἐπιπλήττων κεῖνα προστίθησι· „τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, ὅτι οἱ κατὰ σάρκα ζῶντες τὰ τῆς σαρκὸς φρονοῦσιν, καὶ τὸ φρόνημα τῆς σαρκὸς ἔχθρα εἰς θεόν, τῷ γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται. οἱ δὲ ἐν σαρκὶ ὄντες" οὐχ ὡς τινες δογματίζουσι „θεῷ ἀρέσαι οὐ δύνανται", ἀλλ' ὡς προειρήκαμεν. εἶτα

*) Roman. v. 18. **) Ibid. v. 17. ***) Ibid. v. 20, 23 sq. †) Ibid. 8, 2—4. ††) Ibid. v. 10 sq.

P. πρὸς ἀντιδιαστολὴν τούτων τῇ ἐκκλησίᾳ φησίν· „ὑμεῖς
197 δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι, εἴπερ πνεῦ-
Sylb. μα θεοῦ οἰκεῖ ἐν ὑμῖν. εἰ δέ τις πνεῦμα Χριστοῦ
οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ. εἰ δὲ Χριστὸς ἐν
ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν διὰ ἁμαρτίαν, τὸ δὲ πνεῦμα
ζωὴ διὰ δικαιοσύνην. ἄρα οὖν ἀδελφοὶ ὀφειλέται
ἐσμὲν οὐ τῇ σαρκὶ τοῦ κατὰ σάρκα ζῆν· εἰ γὰρ κατὰ
σάρκα ζῆτε, μέλλετε ἀποθνήσκειν, εἰ δὲ πνεύματι τὰς
πράξεις τοῦ σώματος θανατοῦτε, ζήσεσθε. ὅσοι γὰρ
πνεύματι θεοῦ ἄγονται οὗτοί εἰσιν υἱοὶ θεοῦ" *). P.
καὶ πρὸς τὴν εὐγένειαν καὶ πρὸς τὴν ἐλευθερίαν
τὴν καταπτύστως ὑπὸ τῶν ἑτεροδόξων εἰσαγομένην Pos
ἐπ' ἀσελγείᾳ καυχωμένων ἐπιφέρει λέγων· „οὐ γὰρ
ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλὰ ἐλά-
βετε πνεῦμα υἱοθεσίας ἐν ᾧ κράζομεν ἀββᾶ ὁ πα-
τήρ" **), τουτέστιν εἰς τοῦτο ἐλάβομεν, ἵνα γινώσκω-
μεν τοῦτον ᾧ προσευχόμεθα τὸν τῷ ὄντι πατέρα, τὸν
τῶν ὄντων μόνον πατέρα, τὸν εἰς σωτηρίαν παι-
δεύοντα ὡς πατέρα καὶ τὸν φόβον ἀπειλεῖ.

Cap. XII.

§. 79. Ἡ δὲ „ἐκ συμφώνου πρὸς καιρὸν σχολά-
ζουσα τῇ προσευχῇ" ***) συζυγία ἐγκρατείας ἐστὶ διδα-
σκαλία, προσέθηκε γὰρ τὸ μὲν „ἐκ συμφώνου", ἵνα
μή τις διαλύσῃ τὸν γάμον, „πρὸς καιρὸν" δὲ ὡς μὴ
κατὰ ἀνάγκην ἐπιτηδεύων τὴν ἐγκράτειαν ὁ γήμας
ὀλισθήσῃ ποτὲ εἰς ἁμαρτίαν, φειδοῖ μὲν τῆς ἑαυτοῦ
συζυγίας, ἐπιθυμίᾳ δὲ ἀλλοτρίᾳ περιπεσών. ᾧ λό-
γῳ καὶ τὸν ἀσχημονεῖν ἑαυτὸν ἐπὶ τῇ παρθενοτροφίᾳ
ὑπολαμβάνοντα καλῶς εἰς γάμον ἐκδώσειν τὴν θυ-
γατέρα ἔλεγεν. ἡ πρόθεσίς τε ἑκάστου τοῦ τε ἑαυ-
τὸν εὐνουχίσαντος τοῦ τε αὖ γάμῳ διὰ παιδόποιαν

*) Roman. 8, 5—10. 13—15. **) 1 Corinth. 7, 5.
***) Roman. 7, 2.

συζεύξαντος ἀνένδοτος πρὸς τὸ ἧττον διαμένειν δοκεῖ. εἰ μὲν γὰρ ἐπιτεῖναι οἷός τε ἔσται τὸν βίον μείζονα ἀξίαν ἐν θεῷ αὐτὸς ἑαυτῷ περιποιήσεται καθαρῶς ἅμα καὶ λελογισμένως ἐγκρατευσάμενος, εἰ δὲ ὑπερβὰς ὧν εἵλετο κανόνα εἰς μείζονα δόξαν, ἔπειτα ἀποπέσῃ πρὸς τὴν ἐλπίδα, ἔχει γὰρ ὥσπερ ἡ σύνοχα οὕτω καὶ ὁ γάμος ἰδίας λειτουργείας καὶ διακονίας τῷ κυρίῳ διαφερούσας, τέκνων λέγω κήδεσθαι καὶ γυναικὸς· πρόφασις γὰρ ὡς ἔοικεν τῷ κατὰ γάμον τελείῳ ἡ τῆς συζυγίας οἰκειότης γίνεται τὴν πρόνοιαν πάντων ἀναδεδειγμένῳ κατὰ τὸν οἶκον τὸν κυριακόν, αὐτίκα φησὶν „ἐπισκόπους" δεῖ καθίστασθαι τοὺς ἐκ τοῦ ἰδίου οἴκου καὶ τῆς ἐκκλησίας ἅπάσης προΐστασθαι μελετήσαντας. „ἕκαστος οὖν ἐν ᾧ ἐκλήθη" ἔργῳ τὴν διακονίαν ἐκτελείτω, ἵνα ἐλεύθερος ἐν Χριστῷ γένηται τὸν οἰκεῖον τῆς διακονίας ἀπολαμβάνων μισθόν.

§. 80. *Πάλιν τε αὖ περὶ τοῦ νόμου διαλεγόμενος ἀλληγορίᾳ χρώμενος·* „ἡ γὰρ ὕπανδρος γυνή", φησὶ, „τῷ ζῶντι ἀνδρὶ δέδεται νόμῳ" καὶ τὰ ἑξῆς. εὐθὺς τε „ἡ γυνὴ δέδεται ἐφ' ὅσον ζῇ χρόνον ὁ νὴρ αὐτῆς, ἐὰν δὲ ἀποθάνῃ, ἐλευθέρα ἐστὶν γαθῇ καὶ μόνον ἐν κυρίῳ, μακαρία δέ ἐστιν, ἐὰν οὕ ως μείνῃ κατὰ τὴν ἐμὴν γνώμην" *). ἀλλ' ἐπὶ μὲν ῆς προτέρας περικοπῆς, „ἐθανατώθητε", φησὶ, „τῷ ὁμῳ", οὐ τῷ γάμῳ, „εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ ῷ ἐκ νεκρῶν ἐγερθέντι" **), νύμφην καὶ ἐκκλησίαν, ν ἁγνὴν εἶναι δεῖ τῶν τε ἔνδον ἐννοιῶν τῶν ἐναντίων τῇ ἀληθείᾳ τῶν τε ἔξωθεν πειραζόντων, τουτέστι τῶν τὰς αἱρέσεις μετιόντων καὶ πορνεύειν ἀπὸ οῦ ἑνὸς ἀνδρὸς ἀναπειθόντων τοῦ παντοκράτορος εοῦ, ἵνα μὴ ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν" τὴν λεμένην „ζωήν" ***), καὶ ἡμεῖς ὑπὸ τῆς κατὰ τὰς

*) 1 Corinth. 7, 39 sq. **) Roman. 7, 4. ***) 2 rinth. 11, 3.

αἱρέσεως λίχνου πανουργίας παραβῶμεν τὰς ἐντολάς. ἡ δευτέρα δὲ περικοπὴ μονογαμίαν ἔπαινεῖ. οὐ γὰρ ὡς τινες ἐξηγήσαντο δέσιν γυναικὸς πρὸς ἄνδρα τὴν σαρκὸς πρὸς τὴν φθορὰν ἐπιπλοκὴν μηνύεσθαι ὑποπτεύον, τῶν γὰρ ἄντικρυς διαβόλῳ προσαπτόντων τὴν τοῦ γάμου εὕρεσιν ἀθέων ἀνθρώπων ἐπίνοιαν κατηγορεῖ καὶ κινδυνεύει βλασφημεῖσθαι ὁ νομοθέτης.

§. 81. Τατιανὸν οἶμαι τὸν Σύρον τὰ τοιαῦτα τολμᾶν δογματίζειν. γράφει γοῦν κατὰ λέξιν ἐν τῷ περὶ τοῦ κατὰ τὸν σωτῆρα καταρτισμοῦ· συμφωνίαν μὲν οὖν ἁρμόζει προσευχῇ, κοινωνία δὲ φθορᾶς λύει τὴν ἔντευξιν. πάνυ γοῦν δυσωπητικῶς διὰ τῆς συγχωρήσεως εἴρηκε, πάλιν γὰρ „ἐπὶ ταυτὸ" συγχωρήσας „γενέσθαι διὰ τὸν σατανᾶν καὶ τὴν ἀκρασίαν" *), τὸν πειθησόμενον „δυσὶ κυρίοις μέλλειν δουλεύειν" **) ἀπεφήνατο, διὰ μὲν συμφωνίας θεῷ, διὰ δὲ τῆς ἀσυμφωνίας ἀκρασίᾳ καὶ πορνείᾳ καὶ διαβόλῳ. ταῦτα δέ φησι τὸν ἀπόστολον ἐξηγούμενος, σοφίζεται δὲ τὴν ἀλήθειαν δι' ἀληθοῦς ψεῦδος κατασκευάζων. ἀκρασίαν μὲν γὰρ καὶ πορνείαν διαβολικὰ εἶναι πάθη καὶ ἡμεῖς ὁμολογοῦμεν, γάμου δὲ τοῦ σώφρονος μεσιτεύσει συμφωνίαν ἐπί τε τὴν εὐχὴν ἐγκρατῶς ἄγουσα ἐπί τε τὴν παιδοποιίαν μετὰ σεμνότητος συμφεύουσα. γνῶσις γοῦν καὶ ὁ τῆς παιδοποιίας καιρὸς πρὸς τῆς γραφῆς εἴρηται, ἐπειδὰν φῇ· „ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασεν τὸ ὄνομα αὐτοῦ Σήθ, ἐξαπέστησεν γάρ μοι ὁ θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ" ***). ὁρᾷς εἰς τίνα βλασφημοῦσιν οἱ μυσαττόμενοι τὴν σώφρονα σποράν καὶ τῷ διαβόλῳ προσάπτεσθαι γένεσιν, οὐ γὰρ θεὸν ἁπλῶς προσεῖπεν ὁ τῇ τοῦ ὄρθρου προτάξει τὸν παντοκράτορα δηλώσας.

*) Corinth. 7, 5. **) Matth. 6, 24. ***) Genes. 4, 25.

§. 82. Ἡ δὲ ἐπιφορὰ τοῦ ἀποστόλου „καὶ πάλιν ἐπὶ τὸ αὐτὸ γίνεσθαι διὰ τὸν σατανᾶν“ *) ἐκεῖνο προανακόπτει μὴ εἰς ἐπιθυμίας ἑτέρας ἐκπραπῆναί ποτε, οὐ γὰρ ἀποκρούεται τέλεον τὰς τῆς φύσεως ὀρέξεις ὑσωποῦσα ἡ πρόσκαιρος συμφωνία, δὶ ἣν εἰσάγει πάλιν τὴν συζυγίαν τοῦ γάμου οὐκ εἰς ἀκρασίαν καὶ πορνείαν καὶ τὸ τοῦ διαβόλου ἔργον, ἀλλ' ὅπως μὴ ὑποπέσῃ ἀκρασίᾳ καὶ πορνείᾳ καὶ διαβόλῳ. χωρίζει δὲ καὶ τὸν παλαιὸν ἄνδρα καὶ τὸν καινὸν ὁ Τατιανὸς, ἀλλ' οὐχ ὡς ἡμεῖς φαμὲν, παλαιὸν μὲν ἄνδρα τὸν νόμον, καινὸν δὲ τὸ εὐαγγέλιον. συμφωνοῦμεν αὐτῷ καὶ αὐτοὶ λέγοντες πλὴν οὐχ ἣ βούλεται ἐκεῖνος καταλύων τὸν νόμον ὡς ἄλλου θεοῦ, ἀλλ' ὁ αὐτὸς ἀνὴρ καὶ κύριος παλαιὰ καινίζων οὐ πολυγαμίαν ἔτι συγχωρεῖ· τότε γὰρ ἀπήτει ὁ θεὸς, ὅτε αὐξάνεσθαι καὶ πληθύνειν ἐχρῆν, μονογαμίαν δὲ εἰσάγει διὰ παιδοποιίαν καὶ τὴν τοῦ οἴκου ἐνδεμονίαν εἰς ἣν βοηθὸς ἐδόθη ἡ γυνὴ, καὶ εἴ τινι ὁ ἀπόστολος δὶ' ἀκρασίαν καὶ πύρωσιν κατὰ συγγνώμην δευτέρου μεταδίδωσι γάμου, ἐπεὶ καὶ οὗτος οὐχ ἁμαρτάνει μὲν κατὰ διαθήκην, οὐ γὰρ κεκώλυται ὑπὸ τοῦ νόμου, οὐ πληροῖ δὲ τῆς κατὰ τὸ εὐαγγέλιον πολιτείας τὴν κατ' ἐπίτασιν τελειότητα, δόξαν δὲ αὐτῷ οὐράνιον περιποιεῖ μείνας ἐφ' ἑαυτοῦ καὶ τὴν διαλυθεῖσαν θανάτῳ συζυγίαν ἄχραντον φυλάσσων καὶ τῇ οἰκονομίᾳ πειθόμενος εὐαρέστως καὶ ἀνεπίσπαστος τῆς τοῦ κυρίου γέγονε λειτουργείας. οὐδὲ μὴν τὸν ἀπὸ τῆς κατὰ συζυγίαν κοίτης ὁμοίως τοὺς πάλαι βαπτίζεσθαι καὶ νῦν προστάσσει ἡ θεία διὰ κυρίου πρόνοια. οὐ γὰρ ἐπάναγκες παιδοποιίας χρίστησι τοὺς πιστεύοντας δι' ἑνὸς βαπτίσματος εἰς ὁ παντελὲς τῆς ὁμιλίας ἀπολούσας ὁ κύριος, εἰ καὶ τὰ πολλὰ Μωϋσέως δι' ἑνὸς περιλαβὼν βα- P. τίσματος. 549. Pott.

*) 1 Corinth. 7, 5.

§. 83. Ἄνωθεν οὖν ὁ νόμος τὴν ἀναγέννησιν ἡμῶν προφητεύων διὰ σαρκικῆς γενέσεως ἐπὶ τῇ γεννητικῇ τοῦ σπέρματος προσέφερε τὸ βάπτισμα, οὐ βδελυσσόμενος ἀνθρώπου γένεσιν, ᾗ γὰρ φαίνεται γεννηθεὶς ἄνθρωπος, τοῦτο δύναται ἡ τοῦ σπέρματος καταβολή. οὔκουν αἱ πολλαὶ συνουσίαι γόνιμοι, ἀλλ' ἡ τῆς μήτρας παραδοχὴ τὴν γένεσιν ὁμολογεῖ ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ διαπλαττομένου τοῦ σπέρματος εἰς ἔμβρυον. πῶς δὲ ὁ μὲν γάμος παλαιὸς μόνον καὶ νόμου εὕρημα, ἀλλοῖος δὲ ὁ κατὰ τὸν κύριον γάμος τοῦ αὐτοῦ θεοῦ πρὸς ἡμῶν τηρουμένου; „οὐ" γὰρ „ἂν ὃ συνέζευξεν ὁ θεὸς διαλύσειέν ποτε ἄνθρωπος" *) εὐλόγως, πολὺ δὲ πλέον ἅπερ ὁ πατὴρ προσέταξεν τηρήσῃ ταῦτα καὶ ὁ υἱός. εἰ δὲ ὁ αὐτὸς νομοθέτης ἅμα καὶ εὐαγγελιστής, οὐ μάχεταί ποτε ἑαυτῷ. ζῇ γὰρ ὁ νόμος πνευματικὸς ὢν καὶ γνωστικῶς νοούμενος. ἡμεῖς δ' „ἐθανατώθημεν τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ εἰς τὸ γενέσθαι ἡμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι" τῷ ὑπὸ τοῦ νόμου προφητευθέντι, „ἵνα καρποφορήσωμεν τῷ θεῷ" **).

§. 84. Διὸ „ὁ μὲν νόμος ἅγιος καὶ ἡ ἐντολὴ ἁγία καὶ δικαία καὶ ἀγαθή" ***). ἐθανατώθημεν οὖν τῷ νόμῳ, τουτέστι τῇ ὑπὸ τοῦ νόμου δηλουμένῃ ἁμαρτίᾳ, ἣν δείκνυσιν οὐ γεννᾷ ὁ νόμος διὰ τῆς προστάξεως τῶν ποιητέων καὶ ἀπαγορεύσεως τῶν οὐ ποιητέων ἐλέγχων τὴν ὑποκειμένην ἁμαρτίαν, „ἵνα φανῇ ἁμαρτία". εἰ δὲ ἁμαρτία ὁ γάμος ὁ κατὰ νόμον, οὐκ οἶδα πῶς τις ἐρεῖ θεὸν ἐγνωκέναι λέγων τὸ πρόσταγμα τοῦ θεοῦ ἁμαρτίαν εἶναι, „ἁγίου" δὲ ὄντος „τοῦ νόμου" ἅγιος ὁ γάμος. τὸ μυστήριον τοίνυν τοῦτο εἰς τὸν Χριστὸν καὶ τὴν ἐκκλησίαν ἄγει ὁ ἀπόστολος. καθάπερ „τὸ γεννώμενον ἐκ τῆς σαρ-

*) Matth. 19, 6. **) Romans. 7, 4. ***) Ibid. v. 12.

κὸς σάρξ ἐστιν, οὕτω τὸ ἐκ πνεύματος πνεῦμα" *) οὐ μόνον κατὰ τὴν ἀποκύησιν, ἀλλὰ καὶ κατὰ τὴν μάθησιν. αὐτίκα „ἅγια τὰ τέκνα" **), αἳ εὐαρεστήσεις τῷ θεῷ τῶν κυριακῶν λόγων νυμφευσάντων τὴν ψυχήν. πορνεία γοῦν καὶ γάμος κεχώρισται, ἐπεὶ μακρὰν ἀφέστηκε τοῦ θεοῦ ὁ διάβολος. „καὶ ὑμεῖς οὖν ἐθανατώθητε τῷ νόμῳ διὰ τοῦ σώματος τοῦ Χριστοῦ εἰς τὸ γενέσθαι ὑμᾶς ἑτέρῳ τῷ ἐκ νεκρῶν ἐγερθέντι" ***). συνεξακούεται γὰρ προσεχεῖς ὑπηκόους γενομένους; ἐπεὶ καὶ κατὰ τὴν ἀλήθειαν τοῦ νόμου τῷ αὐτῷ κυρίῳ ὑπακούσμεν πόρρωθεν P. παρακελευομένῳ. 550.

§. 85. Καὶ μή τι ἐπὶ τῶν τοιούτων εἰκότως Pott. „τὸ πνεῦμα" ἀντικρυς „λέγει, ὅτι ἐν ὑστέροις καιροῖς ἀποστήσονταί τινες τῆς πίστεως προσέχοντες πνεύμασι πλάνοις καὶ διδασκαλίαις δαιμονίων ἐν ὑποκρίσει ψευδολόγων κεκαυτηριασμένων τὴν συνείδησιν καὶ κωλυόντων γαμεῖν ἀπέχεσθαι βρωμάτων, ἃ ὁ θεὸς ἔκτισεν εἰς μετάληψιν μετ' εὐχαριστίας τοῖς πιστοῖς καὶ ἐπεγνωκόσι τὴν ἀλήθειαν ὅτι πᾶν κτίσμα θεοῦ καλὸν καὶ οὐδὲν ἀπόβλητον μετ' εὐχαριστίας λαμβανόμενον. ἁγιάζεται γὰρ διὰ λόγου θεοῦ καὶ ἐντεύξεως" ****). ἐπάναγκες μὲν οὖν οὐ κωλυτέον γαμεῖν οὐδὲ μὴν κρεωφαγεῖν ἢ οἰνοποτεῖν, γέγραπται γάρ· „καλὸν τὸ μὴ φαγεῖν κρέα μηδὲ πίνειν οἶνον, ἐὰν διὰ προσκόμματος ἐσθίῃ" †)· καὶ „καλὸν μένειν ὡς κἀγώ ††), ἀλλ' ὅ τε χρώμενος „μετ' εὐχαριστίας" †††) ᾧ τε αὖ μὴ χρώμενος καὶ αὐτὸς „μετ' εὐχαριστίας" μετά τε ἐγκρατοῦς ἀπολαύσεως βιούτω κατὰ λόγον.

§. 86. Καὶ καθόλου πᾶσαι αἱ ἐπιστολαὶ τοῦ ἀποστόλου σωφροσύνην καὶ ἐγκράτειαν διδάσκουσαι

---

*) Ioann. 3, 6. **) 1 Corinth. 7, 14. ***) Roman. 7, 4. ****) 1 Timoth. 4, 1—4. †) Roman. 14, 21. ††) 1 Corinth. 7, 8. †††) Roman. 14, 19.

περί τε γάμων περί τε παιδοποιίας περί τε οἴκου διοικήσεως μυρίας ὅσας ἐντολὰς περιέχουσαι οὐδαμοῦ γάμον ἠθέτησαν τὸν σώφρονα, ἀλλὰ τὴν ἀκολουθίαν σώζουσαι τοῦ νόμου πρὸς τὸ εὐαγγέλιον ἀποδέχονται ἑκάτερον τόν τε εὐχαρίστως τῷ θεῷ γάμῳ κεχρημένον σωφρόνως τόν τε εὐνουχίᾳ ὡς ὁ κύριος βούλεται συμβιοῦντα, καθὼς „ἐκλήθη ἕκαστος" ἑλόμενος ἀπταίστως καὶ τελείως. καὶ „ἦν ἡ γῆ τοῦ Ἰακὼβ ἐπαινουμένη παρὰ πᾶσαν τὴν γῆν" *), φησὶν ὁ προφήτης τὸ σκεῦος τοῦ πνεύματος αὐτὸς δοξάζων. κατατρέχει δὲ τις γενέσεως φθαρτὴν καὶ ἀπολλυμένην λέγων, καὶ βιάζεταί τις ἐπὶ τεκνοποιίας λέγων εἰρηκέναι τὸν σωτῆρα, ἐπὶ γῆς μὴ θησαυρίζειν ὅπου σὴς καὶ βρῶσις ἀφανίζει" **)· καὶ τὰ τοῦ προφήτου προσπαρατιθέναι τούτοις οὐκ αἰσχύνεται· „πάντες ὑμεῖς ὡς ἱμάτιον παλαιωθήσεσθε καὶ σὴς βρώσεται ὑμᾶς" ***)· ἀλλ' οὐδὲ ἡμεῖς ἀντιλέγομεν τῇ γραφῇ ὅτι φθαρτὰ ἡμῶν τὰ σώματα καὶ φύσει ῥευστά. τάχα δ' ἂν καὶ οἷς διελέγετο ὡς ἁμαρτωλοῖς προφητεύει φθοράν, ὁ σωτὴρ δὲ οὐ περὶ τεκνοποιίας εἴρηκεν, ἀλλ' εἰς μετάδοσιν κοινωνίας προτρέπων τοὺς πᾶσθαι μόνον τὴν τοῦ πλούτου περιουσίαν, ἐπισοφεῖν δὲ τοῖς δεομένοις μὴ βουλομένους.

§. 87. Διό φησιν, „ἐργάζεσθε μὴ τὴν ἀπολλυμένην βρῶσιν, ἀλλὰ τὴν μένουσαν εἰς ζωὴν αἰώνιον" †). ὁμοίως δὲ κἀκεῖνο νομίζουσι τὸ ῥητόν· „οἱ υἱοὶ τοῦ αἰῶνος ἐκείνου" τὸ περὶ νεκρῶν ἀναστάσεως „οὔτε γαμοῦσιν οὔτε γαμίζονται" ††). ἀλλὰ τὸ ἐρώτημα τοῦτο καὶ τοὺς πυνθανομένους αὐτοὺς ἐὰν ἀναπεμπάσηταί τις, οὐκ ἀποδοκιμάζοντα τὸν γάμον εὑρήσει τὸν κύριον, θεραπεύοντα δὲ τὴν κατὰ τὴν ἀνάστασιν τῆς σαρκικῆς ἐπιθυμίας προσδοκίαν· τὸ δὲ „οἱ υἱοὶ τοῦ αἰῶνος τούτου" †††), οὐ πρὸς ἀν-

*) Sophon. 3, 19. **) Matth. 6, 19. ***) Iesai. 50, 9
†) Ioann. 6, 27. ††) Luc. 20, 25. †††) Ibid. v. 34.

τιδιαστολὴν τῶν ἄλλου τινὸς αἰῶνος υἱῶν εἴρηκεν, ἀλλ' ἐπ' ἴσης τῷ· οἱ ἐν τούτῳ γενόμενοι τῷ αἰῶνι, διὰ τὴν γένεσιν υἱοὶ ὄντες γεννῶσι καὶ γεννῶνται, ἐπεὶ μὴ ἄνευ γενέσεώς τις τόνδε τὸν βίον παρελεύσεται, ἀλλ' ἤδε ἡ γένεσις τὴν ὁμοίαν ἐπιδεχομένη φθορὰν οὐκ ἔτι ἀναμένει τὸν ἅπαξ τοῦ βίου κεχωρισμένον. „εἷς μὲν οὖν ὁ πατὴρ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς" *), ἀλλὰ καὶ ἁπάντων πατὴρ κατὰ τὴν δημιουργίαν αὐτός. „μὴ καλέσητε σὸν ὑμῖν ἐπὶ τῆς γῆς πατέρα" **) φησίν, „ἵνα μὴ αἴτιον ἡγήσησθε τὸν σπείραντα ὑμᾶς τὴν κατὰ σάρκα σποράν τῆς οὐσίας ὑμῶν, ἀλλὰ συναίτιον γενέσεως, μᾶλλον δὲ διάκονον γενέσεως.

§. 88. Οὗτος οὖν ἐπιστραφέντας ἡμᾶς αὖθις ὡς τὰ παιδία γενέσθαι βούλεται, τὸν ὄντως πατέρα ἐπιγνόντας, δι' ὕδατος ἀναγεννηθέντας, ἄλλης ταύτης οὔσης ἐν τῇ κτίσει σποράς. καὶ φησιν, „ὁ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ὁ δὲ γαμήσας πῶς ἀρέσει τῇ γυναικί" ***)· τί δέ; οὐκ ἔξεστι καὶ τῇ γυναικὶ κατὰ θεὸν ἀρέσκοντας εὐχαριστεῖν τῷ θεῷ; οὐχὶ δὲ ἐφεῖται καὶ τῷ γεγαμηκότι σὺν καὶ τῇ συζυγίᾳ μεριμνᾶν τὰ τοῦ κυρίου; ἀλλὰ καθάπερ „ἡ ἄγαμος μεριμνᾷ τὰ τοῦ κυρίου, ἵνα ᾖ ἁγία καὶ τῷ σώματι καὶ τῷ πνεύματι", οὕτω καὶ ἡ γεγαμημένη τὰ τοῦ ἀνδρὸς καὶ τὰ κυρίου μεριμνᾷ ἐν κυρίῳ, ἵνα ᾖ ἁγία καὶ τῷ σώματι καὶ τῷ πνεύματι· ἄμφω γὰρ ἅγιαι ἐν κυρίῳ, ἡ μὲν ὡς γυνή, ἡ δὲ ὡς παρθένος. πρὸς ἐντροπὴν δὲ καὶ ἀνακοπὴν τῶν εὐεπιφόρων εἰς τὸν δεύτερον γάμον ἁρμονίως ὁ ἀπόστολος ὑπέρτονον ῥᾳθέγγεται καὶ αὐτίκα φησί, „πᾶν ἁμάρτημα ἐκτὸς τοῦ σώματός ἐστιν, ὁ δὲ πορνεύων εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει" †).

---

*) Matth. 23. 9. **) Ibidem. ***) 1 Corinth. 7, 32—34. †) Ibid. 6, 18.

§. 89. Εἰ δὲ πορνείαν τὸν γάμον τολμᾷ τις λέγειν πάλιν ἐπὶ τὸν νόμον καὶ τὸν κύριον ἀνατρέχων βλασφημεῖ. ὡς γὰρ ἡ πλεονεξία πορνεία λέγεται τῇ αὐταρκείᾳ ἐναντιουμένη, καὶ ὡς εἰδωλολατρεία ἐκ τοῦ ἑνὸς εἰς τοὺς πολλοὺς ἐπινέμησίς ἐστι θεοῦ, οὕτως ἡ πορνεία ἐκ τοῦ ἑνὸς γάμου εἰς τοὺς πολλοὺς ἐστιν ἔκπτωσις, τριχῶς γὰρ, ὡς εἰρήκαμεν ἥ τε πορνεία ἥ τε μοιχεία παρὰ τῷ ἀποστόλῳ λαμβάνεται. ἐπὶ τούτων ὁ προφήτης φησί· „ταῖς ὑμαρτίαις ὑμῶν ἐπράθητε". καὶ πάλιν· „κατεμιάνθης ἐν γῇ ἀλλοτρίᾳ" *) τήν τε κοινωνίαν μιαρὰν ἡγούμενος τὴν ἀλλοτρίῳ σώματι συμπλακεῖσαν καὶ μὴ τῷ κατὰ συζυγίαν εἰς παιδοποιίαν διδομένῳ. ὅθεν καὶ ὁ ἀπόστολος, „βούλομαι οὖν", φησὶ „νεωτέρας γαμεῖν, τεκνογονεῖν, οἰκοδεσποτεῖν, μηδεμίαν ἀφορμὴν διδόναι τῷ ἀντικειμένῳ λοιδορίας χάριν· ἤδη γάρ τινες ἐξετράπησαν ὀπίσω τοῦ σατανᾶ" **).

§. 90. Ναὶ μὴν καὶ τὸν τῆς μιᾶς γυναικὸς ἄνδρα πάνυ ἀποδέχεται καὶ πρεσβύτερος ἢ κἂν διάκονος κἂν λαϊκὸς ἀνεπιλήπτως γάμῳ χρώμενος, „σωθήσεται δὲ διὰ τῆς τεκνογονίας". πάλιν τε αὖ ὁ σωτὴρ τοὺς Ἰουδαίους „γενεὰν" εἰπὼν „πονηρὰν καὶ μοιχαλίδα" διδάσκει μὴ ἐγνωκότας νόμον· ὁ νόμος βούλεται, παραδόσει δὲ τῇ τῶν πρεσβυτέρων καὶ ἐντάλμασιν ἀνθρώπων κατηκολουθηκότας" ***). μοιχεύειν τὸν νόμον, οὐχ ὡς ἄνδρα καὶ κύριον τῆς παρθενίας αὐτῶν δεδομένον, τάχα δὲ καὶ ἐπιθυμίας δεδουλωμένους ἀλλοκότοις, οἷδεν αὐτοὺς, δι' ἃς καὶ συνεχῶς δουλούμενοι ταῖς ὑμαρτίαις ἐπιπράσκοντο τοῖς ἀλλοφύλοις, ἐπεὶ παρά γε τοῖς Ἰουδαίοις οὐκ ἦσαν ἀποδεδειγμέναι γυναῖκες κοιναί, ἀλλὰ καὶ ἡ μοιχεία ἀπηγόρευτο. ὁ δὲ εἰπὼν „γυναῖκα ἔγημα καὶ οὐ δύναμαι ἐλθεῖν" †) εἰς τὸ δεῖπνον τὸ θεῖον ὑπόδει-

*) Iesai. 50, 1. **) 1 Timoth. 5, 19 sq. ***) 2 Timoth. 2, 15. †) Luc. 14, 19.

γμα ἦν εἰς ἔλεγχον τῶν διὰ ἡδονὰς ἀφεστεμένων τῆς θείας ἐντολῆς, ἐπεὶ τούτῳ τῷ λόγῳ οὔθ' οἱ πρὸ τῆς παρουσίας δίκαιοι οὔθ' οἱ μετὰ τὴν παρουσίαν γεγαμηκότες κἂν ἀπόστολοι ὦσι σωθήσονται. κἂν ἐκεῖνο προκομίσωσιν αὖθις, ὡς καὶ ὁ προφήτης φησίν· „ἐπαλαιώθην ἐν πᾶσι τοῖς ἐχθροῖς μου" *) ἐχθροὺς τὰς ἁμαρτίας ἀκουέτωσαν, μία δέ τις ἁμαρτία, οὐχ ὁ γάμος, ἀλλ' ἡ πορνεία, ἐπεὶ καὶ τὴν γένεσιν εἰπάτωσαν ἁμαρτίαν καὶ τὸν τῆς γενέσεως κτίστην.

Cap. XIII.

§. 91. Τοιούτοις ἐπιχειρεῖ καὶ ὁ τῆς δοκήσεως ἐξάρχων Ἰούλιος Κασσιανός. ἐν γοῦν τῷ περὶ ἐγκρατείας ἢ περὶ εὐνουχίας κατὰ λέξιν φησίν· „καὶ μηδεὶς λεγέτω, ὅτι ἐπειδὴ τοιαῦτα μόρια ἔσχομεν ὡς τὴν μὲν θήλειαν οὕτως ἐσχηματίσθαι, τὸν δὲ ἄρρενα οὕτως, τὴν μὲν πρὸς τὸ δέχεσθαι, τὸν δὲ πρὸς τὸ ἐνσπείρειν, συγκεχωρῆσθαι τὸ τῆς ὁμιλίας παρὰ θεοῦ. εἰ γὰρ ἦν παρὰ θεοῦ εἰς ὃν σπεύδομεν ἡ τοιαύτη διασκευή, οὐκ ἂν ἐμακάρισεν τοὺς εὐνούχους, οὐδ' ἂν ὁ προφήτης εἰρήκει, „μὴ εἶναι ξύλον ἄκαρπον" **) αὐτοὺς, μεταλαβὼν ἀπὸ τοῦ βρέφους ἐπὶ τὸν κατὰ προαίρεσιν ἄνθρωπον ἑαυτὸν τῆς τοιαύτης ἐννοίας εὐνουχίζοντα".

P. 553. Pott.

§. 92. Καὶ ἔτι ἐπαγωνιζόμενος τῇ ἀθέῳ δόξῃ ἐπιφέρει· „πῶς δὲ οὐκ ἂν καὶ εὐλόγως τις αἰτιῷτο τὸν σωτῆρα, εἰ μετέπλασεν ἡμᾶς καὶ τῆς πλάνης ἐπήλλαξεν καὶ τῆς κοινωνίας τῶν μορίων καὶ προσθεμάτων καὶ αἰδοίων;" τὰ παραπλήσια τῷ Τατιανῷ κατὰ τοῦτο δογματίζων. ὃ δ' ἐκ τῆς Οὐαλεντίνου ἐξεφοίτησε σχολῆς. διὰ τοῦτό τοι ὁ Κασσιανός φησι· „πυνθανομένης τῆς Σαλώμης πότε γνωσθήσεται τὰ

*) Psalm. 6, 7. **) Iesai. 56, 3.

περὶ ὧν ἤρετο, ἔφη ὁ κύριος, ὅταν τὸ τῆς αἰσχύνης ἔνδυμα πατήσητε καὶ ὅταν γένηται τὰ δύο ἓν καὶ τὸ ἄρρεν μετὰ τῆς θηλείας οὔτε ἄρρεν οὔτε θῆλυ".

§. 93. Πρῶτον μὲν οὖν ἐν τοῖς παραδεδομένοις ἡμῖν τέτταρσιν εὐαγγελίοις οὐκ ἔχομεν τὸ ῥητὸν, ἀλλ' ἐν τῷ καθ' Αἰγυπτίους. ἔπειτα δὲ ἀγνοεῖν μοι δοκεῖ ὅτι θυμὸν μὲν ἄρρενα ὁρμὴν, θήλειαν δὲ τὴν ἐπιθυμίαν αἰνίττεται, οἷς ἐνεργήσασι μετάνοια ἕπεται καὶ αἰσχύνη. ὅταν οὖν μήτε τις θυμῷ μήτ' ἐπιθυμίᾳ χαρισάμενος, ἃ δὴ καὶ ἐξ ἔθους καὶ τροφῆς κακῆς αὐξήσαντα ἐπισκιάζει καὶ ἐγκαλύπτει τὸν λογισμὸν, ἀλλ' ἀποδυσάμενος τὴν ἐκ τούτων ἀχλὺν ἐκ μετανοίας καταισχυνθεὶς πνεῦμα καὶ ψυχὴν ἕνωσιν κατὰ τὸν τοῦ λόγου ὑπακοὴν, τότε ὡς καὶ ὁ Παῦλός φησιν „οὐκ ἔνι ἓν ὑμῖν οὐκ ἄρρεν, οὐ θῆλυ" *). ἀποστᾶσα γὰρ τοῦδε τοῦ σχήματος ᾧ διακρίνεται τὸ ἄρρεν καὶ τὸ θῆλυ ψυχὴ μετάθεται εἰς ἕνωσιν οὐδ' ἕτερον οὖσα. ἡγεῖται δὲ ὁ γενναῖος οὗτος Πλατωνικώτερον θείαν οὖσαν τὴν ψυχὴν ἄνωθεν ἐπιθυμίᾳ θηλυνθεῖσαν δεῦρο ἥκειν εἰς γένεσιν καὶ φθοράν.

Cap. XIV.

§. 94. Αὐτίκα βιάζεται τὸν Παῦλον ἐκ τῆς ἀπάτης τὴν γένεσιν συνιστάναι λέγειν διὰ τούτων· „φοβοῦμαι δὲ μὴ ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁπλότητος τῆς εἰς τὸν Χριστόν" **). ἀλλὰ καὶ ὁ κύριος ἐπὶ τὰ πεπλανημένα ὡμολογουμένως ἦλθε ***). πεπλανημένα δὲ οὐκ ἄνωθεν εἰς τὴν δεῦρο γένεσιν, κτίστης γὰρ ἡ γένεσις καὶ κτίσις τοῦ παντοκράτορος, ὃς οὐκ ἂν ποτε ἐξ ἀμεινόνων εἰς τὰ χείρω κατάγοι ψυχήν, ἀλλ' εἰς

*) Galat. 3, 28. **) 2 Corinth. 11, 3. ***) Cf. Matth. 18, 11 sq.

τοὺς πεπλανημένους τὰ νοήματα εἰς ἡμᾶς ὁ σωτὴρ ἀφίκετο, ἃ δὴ ἐκ τῆς κατὰ τὰς ἐντολὰς παρακοῆς ἐφθάρη φιληδονούντων ἡμῶν, τάχα ποὶ προλαβόντος ἡμῶν τὸν καιρὸν τοῦ πρωτοπλάστου καὶ πρὸ ὥρας τῆς τοῦ γάμου χάριτος ὀρεχθέντος καὶ διαμαρτόντος, ὅτι „πᾶς ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι ἤδη ἐμοίχευσεν αὐτὴν" *), οὐκ ἀναμείνας τὸν καιρὸν τοῦ θελήματος.

§. 95. „Ὁ αὐτὸς οὖν ἦν ὁ κύριος καὶ τότε κρίνων τὴν προλαβοῦσαν τὸν γάμον ἐπιθυμίαν. ὅταν οὖν ὁ ἀπόστολος εἴπῃ, „ἐνδύσασθε τὸν καινὸν ἄνθρωπον τὸν κατὰ θεὸν κτιζόμενον" **) ἡμῖν λέγει τοῖς πεπλασμένοις ὑπὸ τῆς νοῦ παντοκρατόρος βουλήσεως ὡς πεπλάσμεθα, παλαιὸν δὲ οὐ πρὸς γένεσιν καὶ ἀναγέννησίν φησιν, ἀλλὰ πρὸς τὸν βίον τόν τε ἐν παρακοῇ τόν τε ἐν ὑπακοῇ. „χιτῶνας δὲ δερματίνους" ***) ἥκειται ὁ Κασσιανὸς τὰ σώματα περὶ ὧν ὕστερον καὶ τοῦτον καὶ τοὺς ὁμοίως αὐτῷ δογματίζοντας πεπλανημένους ἀποδείξομεν, ὅταν περὶ τῆς ἀνθρώπου γενέσεως τὴν ἐξήγησιν ἑπομένως τοῖς προεχθῆναι δεομένοις μεταχειριζώμεθα, „ἐπεὶ", φησὶν, οἱ ὑπὸ τῶν γηΐνων βασιλευόμενοι καὶ γεννῶσι καὶ γεννῶνται, „ἡμῶν δὲ τὸ πολίτευμα ἐν οὐρανῷ ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα" †). καλῶς οὖν εἰρῆσθαι καὶ ταῦτα ἴσμεν ἡμεῖς, ἐπεὶ ὡς ξένοι καὶ παρεπιδημοῦντες πολιτεύεσθαι ὀφείλομεν, οἱ γαμοῦντες ὡς μὴ γαμοῦντες, οἱ κτώμενοι ὡς μὴ κτώμενοι, οἱ παιδοποιοῦντες ὡς θνητοὺς γεννῶντες, ὡς καταλείψοντες τὰ κτήματα, ὡς καὶ ἄνευ γυναικὸς βιωσόμενοι ἐὰν ἔῃ, οὐ προσπαθῶς τῇ κτήσει χρώμενοι, μετ' εὐχαριτίας δ' ἁπάσης καὶ μεγαλοφρονοῦντες.

*) Matth. 5, 28. **) Ephes. 4, 24. ***) Genes. 3, 21. †) Philipp. 2, 20.

Cap. XV

§. 96. *Αὖθίς τε ὅταν φῇ· „καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι, διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω“ *)· οἷον ἐπεξηγούμενος πάλιν λέγει, „ἵνα μὴ πειράζῃ ὑμᾶς ὁ σατανᾶς“ **). οὐ γὰρ τοῖς ἐγκρατῶς χρωμένοις τῷ γάμῳ ἐπὶ παιδοποιΐᾳ μόνῃ „διὰ τὴν ἀκρασίαν“ φησὶν, ἀλλὰ τοῖς P. καὶ πέρα παιδοποιΐας προβαίνειν ἐπιθυμοῦσιν, ὡς 555. μὴ πολὺ ἐπινεύσας ὁ δι' ἐναντίας ἐκκυμήνῃ τὴν ὄρε- Pott. ξιν εἰς ἀλλοτρίας ἡδονάς. τάχα δὲ ἐπὶ τοῖς δικαίως βιοῦσιν ἀνθίσταται διὰ ζῆλον καὶ ἀντιφιλονεικεῖ, ὑπάγεσθαι τούτους τῷ ἑαυτοῦ τάγματι βουλόμενος ἁφορμὰς δι' ἐγκρατείας ἐπιπόνου παρέχειν τούτοις βούλεται.

§. 97. *Εἰκότως οὖν φησὶ, „κρεῖττον γαμεῖν ἢ πυροῦσθαι“ ***), ὅπως „ὁ ἀνὴρ ἀποδιδῷ τὴν γυναικὶ τὴν ὀφειλὴν καὶ ἡ γυνὴ τῷ ἀνδρὶ, καὶ μὴ ἀποστερῶσιν ἀλλήλους“ ****) τῆς διὰ τῆς θείας εἰς γένεσιν δοθείσης βοηθείας. „ὃς δ' ἂν μὴ μισήσῃ“, φασὶ, „πατέρα ἢ μητέρα ἢ γυναῖκα ἢ τέκνα ἐμὸς εἶναι μαθητὴς οὐ δύναται“ †). οὐ τὸ γένος μισεῖν παρακελεύεται. „τίμα γὰρ“ φησὶ „πατέρα καὶ μητέρα ἵνα εὖ σοὶ γένηται“ ††), ἀλλὰ μὴ ἀπάγου, φησὶν, ἀλόγοις ὁρμαῖς μηδὲ μὴν τοῖς πολιτικοῖς ἔθεσι συνάπτου, οἶκος μὲν γὰρ ἐκ γένους συνίσταται, πόλεις δὲ ἐξ οἴκων, καθὼς καὶ ὁ Παῦλος τοὺς περὶ γάμου ἀσχολουμένους „κόσμῳ ἀρέσκειν“ †††) ἔφη. πάλιν ὁ κύριός φησιν, „ὁ γήμας μὴ ἐκβαλλέτω καὶ ὁ μὴ γαμήσας μὴ γαμείτω“ ††††), ὁ κατὰ πρόθεσιν εὐνουχίας ὁμολογήσας μὴ γῆμαι ἄγαμος διαμενέτω.

---

*) 1 Corinth. 7, 1 sq. **) Ibid. v. 5. ***) Ibid. 7, 9. ****) Ibid. v. 3. 5. †) Luc. 14, 26. ††) Exod. 20, 12. †††) 1 Corinth. 7, 33. ††††) Ibid. v. 10 sq.

§. 98. Ἀμφοτέροις γοῦν ὁ αὐτὸς κύριος διὰ τοῦ προφήτου Ἡσαΐου τὰς καταλλήλους δίδωσιν ἐπαγγελίας ὧδέ πως λέγων· „μὴ λεγέτω ὁ εὐνοῦχος ὅτι ξύλον εἰμὶ ξηρόν. τάδε λέγει ὁ κύριος τοῖς εὐνούχοις· ἐὰν φυλάξητε τὰ σάββατά μου καὶ ποιήσητε πάντα ὅσα ἐντέλλομαι, δώσω ὑμῖν τόπον κρείττονα υἱῶν καὶ θυγατέρων" *), οὐ γὰρ μόνον ἡ εὐνουχία δικαιοῖ οὐδὲ μὴν τὸ τοῦ εὐνούχου σάββατον, ἐὰν μὴ ποιήσῃ τὰς ἐντολάς. τοῖς γαμήσασι δὲ ἐπιφέρει καί φησιν· οἱ ἐκλεκτοί μου οὐ πονέσουσιν εἰς κενὸν οὐδὲ τεκνοποιήσουσιν εἰς κατάραν, ὅτι σπέρμα εὐλογημένον ἐστὶν ὑπὸ κυρίου" **). τῷ γὰρ κατὰ λόγον τεκνοποιησαμένῳ καὶ ἀναθρεψαμένῳ καὶ παιδεύσαντι ἐν κυρίῳ καθάπερ καὶ τῷ διὰ τῆς ἀληθοῦς κατηχήσεως γεννήσαντι κεῖταί τις μισθὸς ὥσπερ καὶ τῷ ἐκλεκτῷ σπέρματι. ἄλλοι δὲ „κατάραν" τὴν παιδοποιΐαν ἐκδέχονται καὶ οὐ συνιᾶσι κατ' αὐτῶν ἐκείνων λέγουσαν τὴν γραφήν. οἱ γὰρ τῷ ὄντι τοῦ κυρίου ἐκλεκτοὶ οὐ δογματίζουσιν οὐδὲ τεκνοποιοῦσιν εἰς κατάραν ὥσπερ αἱ αἱρέσεις. P. 556. Pott.

§. 99. Εὐνοῦχος τοίνυν οὐχ ὁ κατηναγκασμένος τὰ μόρια οὐδὲ μὴν ὁ ἄγαμος εἴρηται, ἀλλ' ὁ ἀγόνους ἀληθείας. „ξύλον" οὗτος „ξηρὸν" ἦν πρότερον, ὑπακούσας δὲ τῷ λόγῳ καὶ „φυλάξας τὰ σάββατα" κατὰ ἀποχὴν ἁμαρτημάτων καὶ ποιήσας τὰς ἐντολὰς ἐντιμότερος ἔσται τῶν ἄνευ πολιτείας ὀρθῆς λόγῳ μόνῳ παιδευομένων. „τεκνία", φησὶν, „ὀλίγον ἔτι μεθ' ὑμῶν εἰμὶ" ***), ὁ διδάσκαλος. διὸ καὶ Παῦλος Γαλάταις ἐπιστέλλων φησί· „τεκνία μου οὓς πάλιν ὠδίνω ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν" †). πάλιν τε αὖ Κορινθίοις γράφων· „ἐὰν γὰρ μυρίους παιδαγωγοὺς ἔχητε ἐν Χριστῷ", λέγει, „ἀλλ' οὐ πολλοὺς πατέρας, ἐν γὰρ Χριστῷ διὰ τοῦ εὐαγγελίου

*) Iesai. 56, 3—5. **) Ibid. 65, 23. ***) Ioann. 13, 33. †) Galat. 4, 19.

ἐγὼ ὑμᾶς ἐγέννησα" *). διὰ τοῦτο „οὐκ εἰσελεύσεται εὐνοῦχος εἰς ἐκκλησίαν θεοῦ" **) ὁ ἄγονος καὶ ἄκαρπος καὶ πολιτεία καὶ λόγῳ, ἀλλ' „οἱ μὲν εὐνουχίσαντες ἑαυτοὺς" ἀπὸ πάσης ἁμαρτίας „διὰ τὴν βασιλείαν τῶν οὐρανῶν" ***) μακάριοι οὗτοί εἰσιν οἱ τοῦ κόσμου νηστεύοντες.

Cap. XVI.

§. 100. „Ἐπικατάρατος" δὲ „ἡ ἡμέρα ἐν ᾗ ἐτέχθην, καὶ μὴ ἔστω ἐπευκτέα" ****) ὁ Ἱερεμίας φησὶν, οὐ τὴν γένεσιν ἁπλῶς ἐπικατάρατον λέγων, ἀλλ' ἀποδυσπετῶν ἐπὶ τοῖς ἁμαρτήμασι τοῦ λαοῦ καὶ τῇ ἀπειθείᾳ, ἐπιφέρει γοῦν· „διὰ τί γὰρ ἐγεννήθην τοῦ βλέπειν κόπους καὶ πόνους; καὶ διετέλεσαν ἐν αἰσχύνῃ αἱ ἡμέραι μου" †); αὐτίκα πάντες οἱ κηρύσσοντες τὴν ἀλήθειαν διὰ τὴν ἀπιθείαν τῶν ἀκουόντων ἐδιώκοντό τε καὶ ἐκινδύνευον. διὰ τί γὰρ οὐκ ἐγένετο ἡ μήτρα τῆς μητρός μου τάφος, ἵνα μὴ ἴδω τὸν μόχθον τοῦ Ἰακὼβ καὶ τὸν κόπον τοῦ γένους Ἰσραὴλ" ††), Ἔσδρας ὁ προφήτης λέγει. „οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου", Ἰὼβ φησιν, „οὐδ' εἰ μία ἡμέρα ἡ ζωὴ αὐτοῦ" †††). λεγέτωσαν ἡμῖν, ποῦ ἐπόρνευσεν τὸ γεννηθὲν παιδίον; ἢ πῶς ὑπὸ τὴν τοῦ Ἀδὰμ ὑποπέπτωκεν ἁμαρτίαν τὸ μηδὲν ἐνεργήσαν; ἀπολείπεται δὲ αὐτοῖς ὡς ἔοικεν ἀκολούθως λέγειν τὴν γίγνεσθαι εἶναι κακὴν, οὐ τὴν τοῦ σώματος μόνην, ἀλλὰ καὶ τὴν τῆς ψυχῆς δι' ἣν καὶ τὸ σῶμα. καὶ ὅταν ὁ Δαβὶδ εἴπῃ, „ἐν ἁμαρτίαις συνελήφθην καὶ ἐν ἀνομίαις ἐκίσησέν με ἡ μήτηρ μου" ††††), λέγει μὲν προφητικῶς μητέρα τὴν Εὔαν, ἀλλὰ „ζώντων Εὔα

*) 1 Corinth. 23, 1. **) Deuteron. 23, 1. ***) Matth. 19, 12. ****) Ierem. 20, 14. †) Ibid. v. 18. ††) Esdr. 5, 35. †††) Iob. 14, 4 sq. ††††) Psalm. 51, 5.

μήτηρ" ἐγένετο, καὶ εἰ ἐν ἁμαρτίᾳ συνελήφθη", ἀλλ' οὐκ αὐτὸς ἐν ἁμαρτίᾳ οὐδὲ μὴν ἁμαρτίαι αὐτός.

§. 101. Εἰ δὲ καὶ πᾶς ὁ ἐπιστρέφων ἐξ ἁμαρτίας ἐπὶ τὴν πίστιν ἀπὸ τῆς ἁμαρτωλοῦ οἷον μητρὸς ἐπὶ στὴν ζωὴν ἐπιστρέφει, μαρτυρήσει μοι εἷς τῶν δώδεκα προφητῶν φήσας, „εἰ ὧν πρωτότοκα ὑπὲρ ἀσεβείας καρπὸν κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου" *), οὐ διαβάλλει τὸν εἰπόντα, „αὐξάνεσθε καὶ πληθύνεσθε" **), ἀλλὰ τὰς πρώτας ἐκ γενέσεως ἁμὰς καθ' ὃς θεὸν οὐ γινώσκομεν, „ἀσεβείας" λέγει. εἰ δέ τις κατὰ τοῦτο λέγει κακὴν τὴν γένεσιν καὶ κατ' ἐκεῖνο εἰπάτω ἀγαθὴν, καθὸ ἐν αὐτῷ τὸν ἀληθείαν γινώσκομεν· „ἐνίματε δικαίως καὶ μὴ ἁμαρτάνετε, ἀγνωσίαν γὰρ θεοῦ τινες ἔχουσι" ***), δηλαδὴ οἱ ἁμαρτάνοντες· „ἐπειδὴ ἡ πάλη ἡμῖν οὐ πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰ πνευματικά" †), δυνατοὶ ἐκπεφεύγασι οἱ κασμοκράτορες τοῦ σκότους", διὰ τοῦτο εἰ συγχωροῦμαι. διὰ τοῦτο καὶ ὁ Παῦλος, „αὐτό μου τὸ σῶμα ὑποπιάζω καὶ δουλαγωγῶ", φησὶν, ὅτι πᾶς ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται" ††), ἀντὶ τοῦ εἰς πάντα ἐγκρατεύεται, οὐ πάντων ἀπεχόμενος, ἀλλ' οἷς ἔκρινεν ἐγκρατῶς χρώμενος· „ἐκεῖνοι μὲν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἵνα ἄφθαρτον", νικῶντες ἐν τῇ πάλῃ, οὐχὶ δὲ ἁλόντες στεφανούμενοι. ἤδη τινὲς καὶ τῆς παρθένου τὴν χήραν εἰς ἐγκράτειαν προτείνουσι καταμεγαλορρονήσασαν ἧς πεπείραται ἡδονῆς.

Cap. XVII.

§. 102. Εἰ δὲ γένεσις κακὸν, ἐν κακῷ λεγόντων οἱ βλάσφημοι τὸν γενέσεως μετειληφότα κύριον, ἐν κακῷ τὴν γεννήσασαν παρθένον. θέμις τῶν κακῶν,

*) Mich. 6, 7. **) Genes. 1, 28. ***) 1 Corinth. 15, 34. †) Ephes. 6, 12. ††) 1 Corinth. 9, 25. 27.

βλασφημοῦσι τὸ βούλημα τοῦ Θεοῦ καὶ τὸ μυστήριον
τῆς κτίσεως τὴν γένεσιν διαβάλλοντες. διὰ ταῦτα ἡ δό-
κησις Κασσιανῷ, διὰ ταῦτα καὶ Μαρκίωνι, καὶ μὴν καὶ
Οὐαλεντίνῳ τὸ σῶμα τὸ ψυχικὸν, ὅτι φασὶν ὁ ἄνθρω-
πος παρωμοιώθη τοῖς κτήνεσιν εἰς συνδυασμὸν ἀφι-
κνούμενος, ἀλλ' ὅταν ἐπβαίνειν ἀλλοτρίᾳ κοίτῃ ὀργήσας
ὡς ἀληθῶς θελήσῃ, τότε τῷ ὄντι ὁ τοιοῦτος ἐκθηριοῦ- P.
ται, „ἵπποι θηλυμανεῖς ἐγενήθησαν ἕκαστος ἐπὶ τὴν 559.
γυναῖκα τοῦ πλησίον ἐχρεμέτιζεν" *). κἂν ἀπὸ τῶν Pos.
P. ἀλόγων ζώων τὴν ἐπιτήδευσιν τῆς συμβιώσεως δ ὄφις
202 εἰληφὼς καὶ παρεπείσας τῇ κοινωνίᾳ τῆς Εὔας
Syb. συγκαταθέσθαι τὸν Ἀδὰμ λέγῃ, ὡς ἂν μὴ φύσει
ταύτῃ κεχρημένων τῶν πρωτοπλάστων, ὡς ἀξιοῦσί
τινες, ἡ κτίσις πάλιν βλασφημεῖται ἀσθενεστέρους
16τοὺς ἀνθρώπους τῆς τῶν ἀλόγων φύσεως πεποιηκῖα,
οἷς κατηκολούθησαν οἱ πρωτόπλαστοι τοῦ Θεοῦ.

§. 103. Εἰ δὲ ἡ μὲν φύσις ἦγεν αὐτοὺς ὡς
καὶ τὰ ἄλογα πρὸς παιδοποιΐαν, ἐκινήθησαν δὲ θᾶτ-
τον ἢ προσῆκον ἦν ἔτι νέοι πεφυκότες ἀπάτῃ παρα-
20χθέντες, δικαία μὲν ἡ κρίσις τοῦ Θεοῦ ἐπὶ τοὺς οὐκ
ἀναμείναντας τὸ βούλημα, ὑγιὰ δὲ ἡ γένεσις δι' ἣν
ὁ κόσμος συνέστηκεν, δι' ἣν αἱ οὐσίαι, δι' ἣν αἱ
φύσεις, δι' ἣν ἄγγελοι, δι' ἣν δυνάμεις, δι' ἣν ψυ-
χαὶ, δι' ἣν ἐντολαὶ, δι' ἣν νόμος, δι' ἣν τὸ εὐαγγέ-
25λιον, δι' ἣν ἡ γνῶσις τοῦ Θεοῦ, „καὶ πᾶσα σὰρξ
χόρτος, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου,
καὶ ὁ μὲν χόρτος ξηραίνεται, τὸ δὲ ἄνθος κατα πίπτει,
ἀλλὰ τὸ ῥῆμα τοῦ κυρίου μένει" **) τὸ χρῆσαν τὴν
ψυχὴν καὶ ἑνῶσαν τῷ πνεύματι. πῶς δ' ἄνευ τοῦ
30σώματος ἡ κατὰ τὴν ἐκκλησίαν καθ' ἡμᾶς οἰκονομία
τέλος ἐλάμβανεν; ὅπου γε καὶ αὐτὸς ἡ καταλὴ τῆς
ἐκκλησίας ἐν ἀρχῇ μὲν ἀφθὴς διελήλυθεν καὶ ἄμορ-
φος εἰς τὸ ἀειδὲς καὶ ἀσώματον τῆς θείας αἰτίας
ἀποβλέπειν ἡμᾶς διδάσκων· „δένδρον γὰρ ζωῆς",

*) Jerem. 5, 8. **) Isaai. 40, 6 sq.

φησὶν ὁ προφήτης, „ἐν ἐπιθυμίᾳ ἀγαθῇ γίνεται“ *), διδάσκων ἐπιθυμίας ἀστείους καὶ καθαρὰς τὰς ἐν τῷ ζῶντι κυρίῳ.

§. 104. Ἤδη δὲ ἐθέλουσι τὴν ἀνδρὸς κατὰ γάμον πρὸς γυναῖκα ὁμιλίαν „γνῶσιν“ εἰρημένην ἁμαρτίαν εἶναι, ταύτην γὰρ ὑπὸ τῆς βρώσεως μηνύεσθαι „τοῦ ξύλου τοῦ καλοῦ καὶ πονηροῦ“ **), διὰ τῆς τοῦ „ἔγνω“ ***) σημασίας παράβασιν ἐντολῆς δεδώκευσαν. εἰ δὲ τοῦτο καὶ ἡ τῆς ἀληθείας γνῶσις βρῶσίς ἐστι τοῦ ξύλου τῆς ζωῆς. ἔστιν οὖν κἀκείνοις τοῦ ξύλου μεταλαβεῖν τὸν σώφρονα γάμον, προείρηται δὲ ἡμῖν ὡς καὶ καλῶς καὶ κακῶς ἔστι χρήσασθαι τῷ γάμῳ, καὶ τοῦτ' ἔστι τὸ ξύλον „τῆς γνώσεως“, ἐὰν μὴ παρανομῶμεν τὸν γάμον. τί δέ; οὐχὶ ὁ σωτὴρ ὥσπερ τὴν ψυχὴν, οὕτω δὲ καὶ τὸ σῶμα ἰᾶτο τῶν παθῶν; οὐκ ἂν δὲ εἰ ἐχθρὰ ἡ σὰρξ ἦν τῆς ψυχῆς, ἐπετείχιζεν αὐτῇ τὴν ἔχθραν δι' ὑγιείας ἐπισκιάζων. „τοῦτο δέ φημι ἀδελφοὶ, ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται, οὐδὲ ἡ φθορὰ τὴν ἀφθαρσίαν κληρονομεῖ“ †), ἡ γὰρ ἁμαρτία „φθορὰ“ οὖσα οὐ δύναται κοινωνίαν ἔχειν μετὰ „τῆς ἀφθαρσίας“, ἥτις ἐστὶ δικαιοσύνη. „οὕτως ἀνόητοι“, φησὶν, „ἐστέ; ἐναρξάμενοι πνεύματι νῦν σαρκὶ ἐπιτελεῖτε“ ††).

Cap. XVIII.

§. 105. Τὴν δικαιοσύνην τοίνυν καὶ τὴν ἁρμονίαν τοῦ σωτηρίου σεμνὴν οὖσαν καὶ βεβαίαν οἱ μὲν ἐπέτειναν ὡς ἐπεδείξαμεν βλασφήμως ἐκδεχόμενοι μετὰ πάσης ἀθεότητος τὴν ἐγκράτειαν, ἐξὸν ἐλέσθαι τὴν εὐνουχίαν κατὰ τὸν ὑγιῆ κανόνα μετ' εὐσεβείας, εὐχαριστοῦντα μὲν ἐπὶ τῇ δοθείσῃ χάριτι, οὐ

*) Proverb. 13, 12. **) Genes. 3, 5. ***) Ibid. 4, 1. †) 1 Corinth. 15, 50. ††) Galat. 3, 3.

μισοῦντα δὲ τὴν πίστιν οὐδὲ ἐξουθενοῦντα τοὺς γεγαμηκότας, πιστὸς γὰρ ὁ κόσμος, πιστὴ καὶ ἡ εὐνουχία, ἄμφω δὲ εὐχαριστούντων ἐν οἷς ἐτάχθησαν, εἰ γνώσκουσι καὶ ἐφ' οἷς ἐτάχθησαν. οἱ δὲ ἀφηνιάσαντες ἐξύβρισαν, "ἵπποι θηλυμανεῖς" τῷ ὄντι "γενόμενοι καὶ ἐπὶ τὰς τῶν πλησίον χρεμετίζοντες" *). αὐτοί τε ἀκατασχέτως ἐχόμενοι καὶ τοὺς πλησίον ἀναπείθοντες φιληδονεῖν, ἀθλίως ἐπαίοντες ἐκείνων τῶν γραφῶν, "τὸν σὸν κλῆρον βάλε ἐν ἡμῖν, κοινὸν δὲ βαλάντιον κτησώμεθα πάντες καὶ μαρσίππιον ἓν γενηθήτω ἡμῖν" **).

§. 106. Διὰ τούτους ὁ αὐτὸς προφήτης συμβουλεύων ἡμῖν λέγει· "μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν, ἔκκλινον τὸν πόδα σοῦ ἐκ τῶν τρίβων αὐτῶν, οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς, αὐτοὶ γὰρ αἱμάτων μετέχοντες θησαυρίζουσιν ἑαυτοῖς κακά" ***), τουτέστι τῆς ἀκαθαρσίας ἀντιποιούμενοι καὶ τοὺς πλησίον τὰ ὅμοια ἐκδιδάσκοντες, "πολεμισταὶ, πλῆκται ταῖς οὐραῖς αὐτῶν" †), κατὰ τὸν προφήτην ἃς κέρκους Ἕλληνες καλοῦσιν. εἰ δ' ἄν οὖς αἰνίσσεται ἡ προφητεία κατοφερεῖς, ἀκρατεῖς, οἱ ταῖς οὐραῖς αὐτῶν πολεμισταί, σκότους καὶ "ὀργῆς τέκνα" ††), μιαιφόνοι αὐτῶν τε αὐθένται καὶ τῶν πλησίον ἀνδροφόνοι. "ἐκκαθάρατε τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα" †††), ὁ ἀπόστολος ἡμῖν ἐμβοᾷ. καὶ πάλιν ἀσχάλλων ἐπὶ τοιούτοις τισὶ διατάττεται μὴ συναναμίγνυσθαι, "ἐάν τις ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος ἢ πλεονέκτης ἢ εἰδωλολάτρης ἢ λοίδορος ἢ μέθυσος ἢ ἅρπαξ τῷ τοιούτῳ μηδὲ συνεσθίειν". "ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον", λέγει, "ἵνα θεῷ ζήσω, Χριστῷ συνεσταύρωμαι, ζῶ δὲ οὐκ ἔτι ἐγὼ", ὡς ἔζων κατὰ τὰς ἐπιθυμίας, "ζῇ δὲ

*) Ierem. 5, 8. **) Prouerb. 1, 14. ***) Ibid. v. 15—17. †) Apocalyps. 9, 10. ††) Epbes. 2, 3. †††) 1 Corinth. 5, 7.

ἐν ἐμοὶ Χριστὸς" *) διὰ τῆς τῶν ἐντολῶν ὑπακοῆς P.
ἁγνῶς καὶ μακαρίως. ὥστε τότε μὲν ἔζων ἐν σαρκὶ 561.
σαρκικῶς, "ὃ δὲ νῦν ζῶ ἐν σαρκὶ ἐν πίστει ζῶ τῇ Pott.
τοῦ υἱοῦ τοῦ θεοῦ".

§. 107. "Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε" **), τῆς ἐναντίας πολιτείας ἀποτρέπων ἡμᾶς ὁ κύριος λέγει, ἐπεὶ "ἡ καταστροφὴ ἀνδρῶν παρανόμων κακή. καὶ αὗται εἰσὶν αἱ ὁδοὶ πάντων τῶν συντελούντων τὰ ἄνομα" ***). "σὰὶ τῷ ἀνθρώπῳ ἐκείνῳ", φησὶν ὁ κύριος, "καλὸν ἦν αὐτῷ εἰ μὴ ἐγεννήθη ἢ ἕνα τῶν ἐκλεκτῶν μου σκανδαλίσαι" ****). "κρεῖττον ἦν αὐτῷ περιτεθῆναι μύλον καὶ καταποντισθῆναι εἰς θάλασσαν, ἢ ἕνα τῶν ἐκλεκτῶν μου διαστρέψαι" *****). "τὸ γὰρ ὄνομα τοῦ θεοῦ βλασφημεῖται δι' αὐτούς" †). ὅθεν γενναίως ὁ ἀπόστολος, "ἔγραψα ὑμῖν", φησὶν, "ἐν τῇ ἐπιστολῇ μὴ συναναμίγνυσθαι πόρνοις" ††) ἕως "τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ κυρίῳ, καὶ ὁ κύ- P.
ριος τῷ σώματι" †††). καὶ ὅτι οὐ τὸν γάμον πορ- 203
νείαν λέγει ἐπιφέρει, "ἢ οὐκ οἴδατε ὅτι ὁ κολλώ- Sylb.
μενος τῇ πόρνῃ ἓν σῶμά ἐστιν" ††††); ἢ πόρνην τις ἐρεῖ τὴν παρθένον πρὶν ἢ γῆμαι; "καὶ μὴ ἀποστερεῖτε", φησὶν, "ἀλλήλους, εἰ μὴ ἐκ συμφώνου πρὸς καιρόν" †††††). διὰ τῆς "ἀποστερεῖτε" λέξεως τὸ ὀφείλημα τοῦ γάμου τὴν παιδοποιίαν ἐμφαίνων, ὅπερ ἐν τοῖς ἔμπροσθεν ἐδήλωσεν εἰπών, "τῇ γυναικὶ ὁ ἀνὴρ τὴν ὀφειλὴν ἀποδιδότω, ὁμοίως δὲ καὶ ἡ γυνὴ τῷ ἀνδρί" ††††††).

§. 108. Μεθ' ἣν ἔκτισιν κατὰ τὴν οἰκουρίαν καὶ τὴν ἐν Χριστῷ πίστιν βοηθὸς, καὶ ἔτι σαφέστε-

*) Galat. 2, 19 sq. **) Matth. 10, 5. ***) Proverb. 1, 18 sq. ****) Matth. 26, 24. *****) Ibid. 18, 6 sqq. †) Romans. 2, 24. ††) 1 Corinth. 5, 11. †††) Ibid. 6, 13. ††††) Ibid. 6, 16. †††††) Ibid. 7, 5. ††††††) Ibid. v. 3.

ρον εἰπών, „τοῖς γεγαμηκόσι παραγγέλλω, οὐκ ἐγώ, ἀλλ' ὁ κύριος, γυναῖκα ἀπὸ ἀνδρὸς μὴ χωρισθῆναι, ἐὰν δὲ χωρισθῇ, μενέτω ἄγαμος ἢ τῷ ἀνδρὶ καταλλαγήτω, καὶ ἄνδρα γυναῖκα μὴ ἀφιέναι. τοῖς δὲ λοιποῖς λέγω, ἐγώ, οὐχ ὁ κύριος, εἴ τις ἀδελφὸς" *). ἕως „νῦν δὲ ἁγία ἐστί" **). τί δὲ λέγουσι πρὸς ταῦτα οἱ τοῦ νόμου κατατρέχοντες καὶ τοῦ γάμου ὡς κατὰ νόμον συγκεχωρημένου, μονονουχὶ δὲ καὶ κατὰ τὴν διαθήκην τὴν καινήν; τί πρὸς ταύτας εἰπεῖν ἔχουσι τὰς νομοθεσίας οἱ τὴν σποράν καὶ τὴν γένεσιν μνσαττόμενοι; ἐπεὶ καὶ „τὸν ἐπίσκοπον τοῦ οἴκου καλῶς προϊστάμενον" ***) νομοθετεῖ τῆς ἐκκλησίας ἀφηγεῖσθαι, P. οἶκον δὲ κυριακὸν „μιᾶς γυναικὸς" συνίστησι συζυ- 562. γία. Pott.

§. 109. „Πάντα οὖν καθαρὰ τοῖς καθαροῖς", λέγει, „τοῖς δὲ „μεμιασμένοις καὶ ἀπίστοις οὐδὲν καθαρὸν, ἀλλὰ μεμίαται αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις" †). ἐπὶ δὲ τῆς παρὰ τὸν κανόνα ἡδονῆς, „μὴ πλανᾶσθε", φησίν, „οὔτε πόρνοι οὔτε εἰδωλολάτραι οὔτε μοιχοὶ οὔτε μαλακοὶ οὔτε ἀρσενοκοῖται οὔτε πλεονέκται οὔτε κλέπται, οὐ μέθυσοι, οὐ λοίδοροι, οὐχ ἅρπαγες βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν, καὶ ἡμεῖς μὲν ἀπελουσάμεθα" ††), οἱ ἐν τούτοις γενόμενοι, οἱ δὲ εἰς ταύτην ἀπολούοντες τὴν ἀσέλγειαν ἐκ σωφροσύνης εἰς πορνείαν βαπτίζουσι ταῖς ἡδοναῖς καὶ τοῖς πάθεσι χαρίζεσθαι δογματίζοντες, ἀκρατεῖς ἐκ σωφρόνων εἶναι διδάσκοντες καὶ τὴν ἐλπίδα τὴν σφῶν ταῖς τῶν μορίων ἀναισχυντίαις προσανέχοντες, ἀποκηρύκτους εἶναι τῆς βασιλείας τοῦ θεοῦ, ἀλλ' οὐκ ἐγγράφους τοὺς φοιτητὰς παρασκευάζοντες, ψευδωνύμου γνώσεως προσηγορίᾳ τὴν εἰς τὸ ἐξώτερον σκότος ὁδοιπορίαν ἐπανηρημένοι. „τὸ λοι-

*) 1 Corinth. v. 10—12. **) Ibid. v. 14. ***) 1 Timoth. 3, 2. 4. Tit. 1, 6. †) Tit. 1, 15. ††) 1 Corinth. 6, 9—11.

πὸν, ἀδελφοὶ, ὅσα ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴ τις ἀρετὴ καὶ εἴ τις ἔπαινος, ταῦτα λογίζεσθε, ἃ καὶ ἐμάθετε, ἃ καὶ παρελάβετε καὶ ἠκούσατε καὶ εἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε, καὶ ὁ θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν" *).

§. 110. Καὶ ὁ Πέτρος ἐν τῇ ἐπιστολῇ τὰ ὅμοια λέγει· „ὥστε τὴν πίστιν ὑμῶν καὶ ἐλπίδα εἶναι εἰς θεὸν, τὰς ψυχὰς ὑμῶν ἡγνικότες ἐν τῇ ὑπακοῇ τῆς ἀληθείας" **), „ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόνοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ κατὰ τὸν καλέσαντα ὑμᾶς ἅγιον, καὶ αὐτοὶ ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γενήθητε, διότι γέγραπται· ἅγιοι ἔσεσθε, διότι ἐγὼ ἅγιος" ***). ἀλλὰ γὰρ πέρα τοῦ δέοντος ἡ πρὸς τοὺς ψευδωνύμους τῆς γνώσεως ὑποκριτὰς ἀναγκαία γενομένη ἀντιλογία εἰς μακρὸν ἀπήγαγεν ἡμᾶς καὶ ἐξέτεινε τὸν λόγον. ὅθεν καὶ ὁ τρίτος ἡμῖν τῶν κατὰ τὴν ἀληθῆ φιλοσοφίαν γνωστικῶν ὑπομνημάτων στρωματεὺς τοῦτο ἔχει τὸ πέρας.

*) Philipp. 4, 8 sq. **) 1 Petr. 1, 21 sq. ***) Ibid. v. 14—16.

ΚΛΗΜΕΝΤΟΣ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ ΤΩΝ ΣΤΡΩΜΑΤΕΩΝ ΛΟΓΟΣ Ο ΤΕΤΑΡΤΟΣ.

P. 563. Pott.

CLEMENTIS ALEXANDRINI STROMATUM LIBER QUARTUS.

Argumentum.

Cap. I. Ordo dicendorum (§. 1—3.). C. II. cur libri isti στρωματεῖς dicantur (§. 4—7.). C. III. in quo vera hominis praestantia consistat (§. 8—12.). C. IV. martyri laudes (§. 13—18.). C. V. de doloris, paupertatis aliarumque rerum externarum contemptu (§. 19—24.). C. VI. aliquot beatitudinum capita exponit (§. 25—41.). C. VII. beatos esse qui dei caussa sanguinem profundant (§. 42—56.). C. VIII. in ecclesia feminas non minus quam viros et servos pariter ac liberos martyri esse candidatos (§. 57—71.). C. IX. quae Christus de martyri beneficiis dixerit colligit in vnum atque illustrat (§. 72—77.). C. X. graviter reprehendit illos qui iudicibus se offerebant (§. 78. 79.). C. XI. graviter respondet obiectioni, *si deus vestri curam gerit, cur patimini?* (§. 80—82.). C. XII. Basilidae sententiam martyrium supplici genus existimantis refutat (§. 83—90.). C. XIII. Valentini nenias de mortis abolitione redarguit (§. 91—96.). C. XIV. de dilectione omnium, etiam inimicorum (§. 97. 98.). C. XV. de vitando scandalo (§. 99. 100.). C. XVI. alios sacrae scripturae locos de constantia (παῤῥησίᾳ), patientia, caritate martyrum illustrat (§. 101—106.). C. XVII. citationem bene longam ex epistola Clementis ad Corinthios huc spectantem affert

(§. 107 — 112.). C. XVIII. rursus de caritate et de reprimendis cupiditatibus (§. 113 — 119.). C. XIX. tam mulieres quam viros esse perfectionis obtinendae capaces, quod etiam hereinarum apud exteros exemplis confirmat (§. 120 — 126.). C. XX. vxoris bene moratae officium describit (127 — 131.). C. XXI. perfectum sine vere gnosticum describit (§. 132 — 136.). C. XXII. talem neque metu poenae neque spe praemii officium facere, sed solius boni et pulcri ratione habita (§. 137 — 148.). C. XXIII. ob quam rationem talis a rebus sensui iucundis quam maxime potest abstineat, meliorum scilicet intuitu (§. 149—154.). C. XXIV. de poenarum a deo inflictarum ratione et fine (§. 155. 156.). C. XXV. in cognitione et amore dei sitam esse veram perfectionem (157 — 164.). C. XXVI. quo modo corpore et rebus mundanis vtatur vere perfectus (§. 165—174.).

Cap. I.

§. 1. Ἀκόλουθον δ' ἂν οἶμαι περί τε μαρτυρίου διαλαβεῖν καὶ τίς ὁ τέλειος, οἷς ἐμπεριληφθήσεται κατὰ τὴν ἀπαίτησιν τῶν λεχθησομένων τὰ παρεσπόμενα καὶ ὡς ὁμοίως τε φιλοσοφητέον δούλῳ τε καὶ ἐλευθέρῳ κἂν ἀνὴρ ᾖ γυνὴ τὸ γένος τυγχάνῃ, τά τε ἐξῆς περί τε πίστεως καὶ περὶ τοῦ ζητεῖν προσαποπληρώσαντες τὸ συμβολικὸν εἶδος παραθησόμεθα, ἵν' ὡς ἐν ἐπιδρομῇ τὸν ἠθικὸν συμπερανάμενοι λόγον κεφαλαιωδῶς παραστήσωμεν τὴν εἰς Ἕλληνας ἐκ τῆς βαρβάρου φιλοσοφίας διαδοθεῖσαν ὠφέλειαν. μεθ' ἣν ὑποτύπωσιν ἥ τε πρὸς τοὺς Ἕλληνας καὶ ἡ πρὸς τοὺς Ἰουδαίους κατ' ἐπιτομὴν τῶν γραφῶν ἔκθεσις παραδοθήσεται καὶ ὅσα ἐν τοῖς πρὸ τούτου στρωματεῦσι κατὰ τὴν τοῦ προοιμίου εἰσβολὴν ἐν ἑνὶ προθεμένους τελειώσειν ὑπομνήματι τῷ πλήθει τῶν πραγμάτων ἀναγκαίως δουλεύσασι περιλαβεῖν οὐκ ἐξεγένετο. P. 564. Pott.

§. 2. Ἐπὶ τούτοις ὕστερον πληρωθείσης ὡς ἔνι μάλιστα τῆς κατὰ τὰ προκείμενα ἡμῖν ὑποτυπώσεως τὰ περὶ ἀρχῶν φυσιολογηθέντα τοῖς τε Ἕλλησι τοῖς

τε ἄλλοις βαρβάροις ὅσον ἦκον εἰς ἡμᾶς αἱ δόξαι ἐξιστορητέον καὶ πρὸς τὰ κυριώτατα τῶν τοῖς φιλοσόφοις ἐπινενοημένων ἐγχειρητέον. οἷς ἑπόμενον ἂν εἴη μετὰ τὴν ἐπιδρομὴν τῆς θεολογίας τὰ περὶ προφητείας παραδεδομένα διαλαβεῖν, ὡς καὶ τὰς γραφὰς αἷς πεπιστεύκαμεν κυρίας οὔσας ἐξ αὐθεντείας παντοκρατορικῆς ἐπιδείξαντας προϊέναι δι' αὐτῶν εἱρμῷ δύνασθαι ἁπάσαις ἐντεῦθεν ταῖς αἱρέσεσιν ἕνα δεικνύναι θεὸν καὶ κύριον παντοκράτορα τὸν διὰ νόμου
P. καὶ προφητῶν, πρὸς δὲ καὶ τοῦ μακαρίου εὐαγγελίου
204. γνησίως κεκηρυγμένον. πολλαὶ δὲ ἡμᾶς αἱ πρὸς τοὺς
Sylb. ἑτεροδόξους ἀντιρρήσεις ἐκδέχονται πειρωμένους τά τε ὑπ' αὐτῶν προκομιζόμενα ἐγγράφως διαλύεσθαι πείθειν τε αὐτοὺς καὶ ἄκοντας, δι' αὐτῶν ἐλέγχοντας
15 τῶν γραφῶν.

§. 3. Τελειωθείσης τοίνυν τῆς προθέσεως ἡμῖν ἁπάσης ἐν οἷς ἐὰν θελήσῃ τὸ πνεῦμα ὑπομνήμασι πρὸς τὴν κατεπείγουσαν ἐξυπηρετούμενοι χρείαν — πολλὴ γὰρ ἡ τῶν προλεγομένων ὀφείλεσθαι τῆς ἀληθείας
20 ἀνάγκη —, τότε δὴ τὴν τῷ ὄντι γνωστικὴν φυσιολογίαν μέτειμεν τὰ μικρὰ πρὸ τῶν μεγάλων μυηθέντες μυστηρίων, ὡς μηδὲν ἐμποδὼν τῇ θείᾳ ὄντως ἱεροφαντίᾳ γίνεσθαι προκεκαθαρμένων καὶ προδιατετυπωμένων τῶν προϊστορηθῆναι καὶ προπαραδοθῆναι δεόν-
25 των. ἡ γοῦν κατὰ τὸν τῆς ἀληθείας κανόνα γνωστικὴς παραδόσεως φυσιολογία, μᾶλλον δὲ ἐποπτεία, ἐκ τοῦ περὶ κοσμογονίας ἤρτηται λόγου, ἐνθένδε ἀναβαίνουσα ἐπὶ τὸ θεολογικὸν εἶδος. ὅθεν εἰκότως τὴν ἀρχὴν τῆς παραδόσεως ἀπὸ τῆς προφητευθείσης ποιησόμεθα
30 γενέσεως ἐν μέρει καὶ τὰ τῶν ἑτεροδόξων παρατιθέμενοι καὶ ὡς οἷόν τε ἡμῖν διαλύεσθαι πειρώμενοι. ἀλλὰ γὰρ τὸ μὲν γεγράψεται ἢν θεός γε ἐθέλῃ καὶ ὅπως ἂν ἐμπνέῃ, νυνὶ δὲ ἐπὶ τὸ προκείμενον μετιτέον καὶ τὸν ἠθικὸν ἀποπληρωτέον λόγον.

P. 565. Pott

Cap. II.

§. 4. Ἔστω δὲ ὑμῖν τὰ ὑπομνήματα ὡς πολλάκις εἴπομεν διὰ τοὺς ἀναίδην ἀπείρως ἐντυγχάνοντας ποικίλα ὡς αὐτό που τοὔνομά φησι διεστρωμένα ἀπ' ἄλλου εἰς ἄλλο συνεχὲς μετιόντα καὶ ἕτερον μέν τι κατὰ τὸν ἑρμηνέα τῶν λόγων μηνύοντα, ἐνδεικνύμενα δὲ ἄλλο τι. „χρυσὸν γὰρ οἱ διζήμενοι", φησὶν Ἡράκλειτος, „γῆν πολλὴν ὀρύσσουσι καὶ εὑρίσκουσιν ὀλίγον"; οἱ δὲ τοῦ χρυσοῦ ὄντως γένους τὸ συγγενὲς μεταλλεύοντες εὑρήσουσι τὸ πολὺ ἐν ὀλίγῳ, εὑρήσει γὰρ τὸν συνήσοντα ἕνα ἡ γραφή. συλλαμβάνουσι μὲν οὖν πρός τε ἀνάπαυσιν πρός τε ἔμφασιν ἀληθείας τῷ οἴῳ τε ζητεῖν μετὰ λόγου οἱ τῶν ὑπομνημάτων στρωματεῖς. δεῖ δὲ καὶ ἡμᾶς τούτοις προσεκπονεῖν καὶ προσεφευρίσκειν ἕτερα, ἐπεὶ καὶ τοῖς ὁδὸν ἀπιοῦσιν ἦν οὐκ ἴσασιν ἀρκεῖ τὴν φέρουσαν ὑποσημῆναι μόνον.

§. 5. Βαδιστέον δὲ τὸ μετὰ τοῦτο ἤδη τὴν καὶ λοιπὴν ἑαυτοῖς ἐξευρητέον, ὥσπερ φασὶ καὶ δούλῳ τινὶ χρωμένῳ ποτέ τι ἂν ποιῶν τὸν δεσπότην ἀρέσαιτο ἀνειπεῖν τὴν Πυθίαν, „εὑρήσεις ἐὰν ζητήσῃς". χαλεπὸν οὖν τῷ ὄντι ὡς ἔοικεν λανθάνον καλὸν ἐξευρεῖν, ἐπεὶ „τῆς ἀρετῆς ἱδρῶς" πρόκειται,

μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηιδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα *).

„στενὴ" γὰρ τῷ ὄντι „καὶ τεθλιμμένη ἡ ὁδὸς" κυρίως, καὶ „βιαστῶν ἐστὶν ἡ βασιλεία τοῦ θεοῦ". ὅθεν „ζήτει", φησὶ „καὶ εὑρήσεις" **), τῆς βασιλικῆς ὄντως ἐχόμενος ὁδοῦ καὶ μὴ παρεκτρέχων.

§. 6. Εἰκότως οὖν πολὺ τὸ γόνιμον ἐν ὀλίγῳ σπερμάτων ἐμπεριεχομένων τῇδε τῇ πραγματείᾳ

*) Hesiod. ἔργ. καὶ ἡμ. v. 287—290. **) Cf. Matth. 7, 14. 11, 12. 7, 7.

δογμάτων, ὥσπερ τὸ „παμβότανον τοῦ ἀγροῦ" *), φησὶν ἡ γραφή. ᾗ καὶ τὴν ἐπιγραφὴν κυρίαν ἔχουσιν οἱ τῶν ὑπομνημάτων στρωματεῖς ἀτεχνῶς κατὰ τὴν παλαιὰν ἐκείνην ἀπηνθισμένην προσφορὰν περὶ ἧς ὁ Σοφοκλῆς γράφει·

ἦν μὲν γὰρ οἰὸς μαλλὸς, ἦν δὲ κἀμπέλων
σπονδή τε καὶ ῥὰξ εὖ τεθησαυρισμένη,
ἐνῆν δὲ παγκάρπεια συμμιγὴς ὀλαῖς
λῖπός τ' ἐλαίου καὶ τὸ ποικιλώτατον P.
ξανθῆς μελίσσης κηρόπλαστον ὄργανον. 56

§. 7. Αὐτίκα οἱ στρωματεῖς ἡμῶν κατὰ τὸν Petr.
γεωργὸν Τιμοκλέους τοῦ κωμικοῦ,

σῦκ', ἔλαιον, ἰσχάδας,

μέλι προσοδεύουσι, καθάπερ ἐκ παμφόρου χωρίου. δι' ἣν εὐκαρπίαν ἐπιφέρει·

σὺ μὲν εἰρεσιώνην, οὐ γεωργίαν λέγεις,
ἐπιφωνεῖν γὰρ εἰώθεσαν Ἀθηναῖοι·
εἰρεσιώνη σῦκα φέρει καὶ πίονας ἄρτους,
καὶ μέλι ἐν κοτύλῃ καὶ ἔλαιον ἀναψήσασθαι.

χρὴ τοίνυν πολλάκις ὡς ἐν τοῖς πλοκάνοις διασείοντας καὶ ἀναρριπτοῦντας τὴν πολυμιγίαν τῶν σπερμάτων τὸν πυρὸν ἐκλέγειν.

Cap. III.

§. 8. Οἱ πολλοὶ δὲ τῇ τῶν χειμώνων καταστάσει ὁμοίαν ἔχουσι τὴν διάθεσιν ἀνέδραστόν τε καὶ ἀλόγιστον.

πόλλ' ἀπιστία δέδρακεν ἀγαθὰ [καὶ] πίστις κακά·
ὅ τε Ἐπίχαρμος,
μέμνασ' ἀπιστεῖν,
φησὶν,
ἄρθρα ταῦτα τᾶν φρενῶν.

αὐτίκα τὸ μὲν ἀπιστεῖν τῇ ἀληθείᾳ θάνατον φέρει,

*) Iob. 5, 25.

ὡς τὸ πιστεύειν ζωὴν, ἔμπαλιν δὲ τὸ πιστεύειν τῷ ψεύδει ἄπιστον δὲ τῇ ἀληθείᾳ εἰς ἀπώλειαν ὑποσύρει. ὁ αὐτὸς λόγος ἐπί τε ἐγκρατείας καὶ ἀκρασίας ἐγκρατεύεσθαι μὲν γὰρ ἀγαθοεργίας καθίας ἔργον, ἀπέχεσθαι δὲ ἀδικίας σωτηρίας ἀρχή. ᾗ μοι δοκεῖ τὸ σάββατον διὰ ἀποδοχῆς κακῶν ἐγκρύπτειν αἰνίσσεσθαι καὶ τί ποτ' ἐστὶν ᾧ διαφέρει θηρίων ἄνθρωπος. τοῦτον τε αὖ οἱ τοῦ Θεοῦ ἄγγελοι σοφώτερον „ἠλάττωσας αὐτὸν", φησὶ, βραχύ τι παρ' ἀγγέλους *). οὐ γὰρ ἐπὶ τοῦ κυρίου ἐκδέχονται τὴν γραφὴν — καίτοι κἀκεῖνος σάρκα ἔφερεν —, ἐπὶ δὲ τοῦ τελείου καὶ γνωστικοῦ τῷ χρόνῳ καὶ τῷ ἐνδύματι ἐλαττουμένου παρὰ τοὺς ἀγγέλους. οὔκουν ἄλλο τι σοφίαν παρὰ τὴν ἐπιστήμην λέγω, ἐπεὶ μὴ διαφέρει ζωὴ ζωῆς, κοινὸν γὰρ τῇ φύσει τῇ ὑγιεῖ, τοντέστι τῷ ἀνθρώπῳ πρὸς τὸ ἀθανασίας κατηξιωμένον τὸ ζῆν, ἕξις θεωρίας τε καὶ ἐγκρατείας θατέρου διαφέροντος.

P. 167. Pott.

§. 9. Ἦν μοι δοκεῖ καὶ Πυθαγόρας σοφὸν μὲν εἶναι τῶν θεῶν λέγων μόνον, ἐπεὶ καὶ ὁ ἀπόστολος ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ γράφει· εἰς ὑπακοὴν πίστεως εἰς πάντα τὰ ἔθνη γνωρισθέντος μόνῳ σοφῷ θεῷ διὰ Ἰησοῦ Χριστοῦ" **), ἑαυτὸν δὲ διὰ φιλίαν τὴν πρὸς τὸν θεὸν φιλόσοφον. „διελέγετο" γοῦν „Μωϋσεῖ," φησὶν, „ὁ θεὸς ὡς φίλος φίλῳ" ***). τὸ μὲν οὖν ἀληθὲς τῷ θεῷ σαφὲς αὐτίκα τὴν ἀλήθειαν γέννᾷ, ὁ γνωστικὸς δὲ ἀληθείας ἐρᾷ. „ἴσθι", φησὶ, „πρὸς τὸν μύρμηκα, ὦ ὀκνηρέ, καὶ μελίττης γενοῦ μαθητής" †), ὁ Σολομὼν λέγει· εἰ γὰρ ἑκάστου τῆς οἰκείας φύσεως ἔργον ἓν καὶ βοὸς ὁμοίως καὶ ἵππου καὶ κυνὸς, τί ἂν φήσαιμεν τοῦ ἀνθρώπου τὸ ἔργον τὸ οἰκεῖον; ἔοικεν δ' οἶμαι κενταύρῳ Θετταλικῷ πλάσματι ἐκ λογικοῦ καὶ ἀλόγου συγκείμενος ψυχῆς καὶ σώματος, ἀλλὰ τὸ μὲν σῶμα γῆν τε ἐργάζεται καὶ

*) Psalm. 8, 5. **) Ioann. 16, 26 sq. ***) Exod. 33, 11. Proverb. 6, 6. 8.

σπεύδει εἰς γῆν, τέταται δὲ ἡ ψυχὴ πρὸς τὸν θεὸν, ἥ γε διὰ φιλοσοφίας τῆς ἀληθοῦς παιδευομένη πρὸς τοὺς ἄνω σπεύδει συγγενεῖς ἀποστραφεῖσα τῶν τοῦ σώματος ἐπιθυμιῶν, πρός τε ταύτας πόνου τε καὶ φόβου κεῖνοι πρὸς ἀγαθοῦ καὶ τὴν ὑπομονὴν καὶ τὸν φόβον ἐδείξαμεν. εἰ γὰρ „διὰ νόμου ἐπίγνωσις ἁμαρτίας" *), ὡς οἱ κατατρέχοντες τοῦ νόμου φασὶ καὶ „ἄχρι νόμου ἁμαρτία ἦν ἐν κόσμῳ" **), ἀλλὰ „χωρὶς νόμου ἁμαρτία νεκρὰ" ***) ἀντᾴδομεν αὐτοῖς. Ὅταν γὰρ ἀφέλῃς τὸ αἴτιον τοῦ φόβου τὴν ἁμαρτίαν, ἀφεῖλες τὸν φόβον, πολὺ δὲ ἔτι κόλασιν, ὅταν ἀπῇ τὸ πεφυκὸς ἐπιθυμεῖν· „δικαίῳ γὰρ οὐ κεῖται νόμος" †) P. ἡ γραφή φησιν. 568.

§. 10. Καλῶς οὖν Ἡράκλειτος, „δίκης ὄνομα", Pon. φησὶν, „οὐκ ἂν ἤδεσαν, εἰ ταῦτα μὴ ἦν", Σωκράτης δὲ νόμον ἕνεκα ἀγαθῶν οὐκ ἂν γενέσθαι. ἀλλ' οὐδὲ τοῦτο ἔγνωσαν οἱ κατήγοροι ὡς ὁ ἀπόστολος φησιν ὅτι „ὁ ἀγαπῶν τὸν πλησίον κακὸν οὐκ ἐργάζεται, τὸ γὰρ οὐ φονεύσεις, οὐ μοιχεύσεις, οὐ κλέψεις καὶ εἴ τις ἑτέρα ἐντολὴ ἐν τούτῳ μόνῳ ἀνακεφαλαιοῦται τῷ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν" ††). ταύτῃ που, „ἀγαπήσεις κύριον τὸν θεόν σου", φησὶν, „ἐξ ὅλης καρδίας σου, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν". εἰ δὲ „ὁ τὸν πλησίον ἀγαπῶν κακὸν οὐκ ἐργάζεται" καὶ „πᾶσα ἐντολὴ ἐν τούτῳ ἀνακεφαλαιοῦται τῷ ἀγαπᾶν τὸν πλησίον" †††), αἱ τὸν φόβον ἐπαρτῶσαι ἐντολαὶ ἀγάπην, οὐ μῖσος κατασκευάζουσιν.

§. 11. Οὔκουν πάθος τοῦ φόβου γεννητικὸς ὁ νόμος. „ὥστε ὁ νόμος ἅγιος" καὶ τῷ ὄντι „πνευματικός" ††††) ἐστι κατὰ τὸν ἀπόστολον. δεῖ δὴ ὡς ἔοικε τήν γε τοῦ σώματος φύσιν καὶ τὴν τῆς ψυχῆς οὐσίαν πολυπραγμονήσαντας τὸ ἑκατέρου τέλος καταλαβέσθαι

---

*) Roman. 3, 20. **) Ibid. 5, 13. ***) Ibid. 7, 9. †) 1 Timoth. 1, 9. ††) Romn. 13, 18. 10. 9. †††) Luc. 10, 27. Matth. 22, 37. 39. ††††) Roman. 7, 12. 14.

καὶ μὴ τὸν θάνατον ἡγεῖσθαι κακόν· „ὅτε γὰρ δοῦλοί ἦτε τῆς ἁμαρτίας", φησὶν ὁ ἀπόστολος, „ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. τίνα οὖν καρπὸν εἴχετε τότε ἐφ' οἷς νῦν ἐπαισχύνεσθε; τὸ γὰρ τέλος ἐκείνων θάνατος, νῦν δὲ ἐλευθερωθέντες ἀπὸ τῆς ἁμαρτίας, δουλωθέντες δὲ τῷ θεῷ ἔχετε τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν, τὸ δὲ τέλος ζωὴν αἰώνιον, τὰ γὰρ ὀψώνια τῆς ἁμαρτίας θάνατος, τὸ δὲ χάρισμα τοῦ θεοῦ ζωὴ αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν" *).

§. 12. Κινδυνεύει τοίνυν δεδεῖχθαι θάνατος μὲν εἶναι ἡ ἐν σώματι κοινωνία τῆς ψυχῆς ἁμαρτητικῆς οὔσης, ζωὴ δὲ ὁ χωρισμὸς τῆς ἁμαρτίας. πολλοὶ δὲ οἱ ἐν ποσὶ χάρακες καὶ τάφροι τῆς ἐπιθυμίας, τά τε ὀργῆς καὶ θυμοῦ βάραθρα, ἃ διαπηδᾶν ἀνάγκη καὶ πᾶσαν ἀποφεύγειν τὴν τῶν ἐπιβουλῶν ἀνασκευὴν τὸν μηκέτι „δὶ' ἐσόπτρου" **) τὴν γνῶσιν τοῦ θεοῦ κατοψόμενον·

ἤμισυ γάρ τ' ἀρετῆς ἀποαίνυται εὐρύοπα Ζεὺς
ἀνέρος, εὖτ' ἂν μιν κατὰ δούλιον ἦμαρ ἕλῃσι ***),

„δούλους" δὲ τοὺς „ὑπὸ ἁμαρτίαν καὶ ταῖς ἁμαρτίαις πεπραμένους" †) τοὺς φιληδόνους καὶ φιλοσωμάτους οἶδεν ἡ γραφή· καὶ θηρία μᾶλλον ἢ ἀνθρώπους, „τοὺς πορομοιωθέντας τοῖς κτήνεσι θηλυμανεῖς ἵπποις ἐπὶ τὰς τῶν πλησίον χρεμετίζοντας, ὄνος ὑβριστὴς" ὁ ἀκόλαστος, „λύκος ἅρπαξ" ὁ πλεονεκτικὸς, καὶ „ὄφις" ††) ὁ ἀπατεών. ὁ τοίνυν τοῦ σώματος ἀπὸ τῆς ψυχῆς χωρισμὸς ὁ παρ' ὅλον τὸν βίον μελετώμενος τῷ φιλοσόφῳ προθυμίαν κατασκευάζει γνωστικὴν εὐκόλως δύνασθαι φέρειν τὸν τῆς φύσεως θάνατον διάλυσιν ὄντα τῶν πρὸς τὸ σῶμα τῆς ψυχῆς δεσμῶν· „ἐμοὶ γὰρ κόσμος ἐσταύρωται κἀγὼ τῷ κόσμῳ" †††) λέγει·

*) Roman. 6, 20—23. **) 1 Corinth. 13, 12. ***) Homer. Odyss. ρ. v. 322 sq. †) Cf. Roman. 6, 17. 20. 3, 9. 7, 14. ††) Cf. Psalm. 48, 12. 20. Ierem. 5, 8 sq. †††) Galat. 6, 14.

P. 569. Petr.

βιῶ δὲ ἤδη ἐν σαρκὶ ὢν „ὡς ἐν οὐρανῷ πολιτευόμενος" *).

Cap. IV.

§. 13. Ὅθεν εἰκότως καλούμενος ὁ γνωστικὸς ὑπακούει ῥᾳδίως καὶ τῷ τὸ σωμάτιον αἰτοῦντι φέρων προσδίδωσι καὶ τὰ πάθη προαποδυόμενος τοῦ σαρκίου ταῦτα οὐχ ὑβρίζων τὸν πειράζοντα, παιδεύων δὲ οἶμαι καὶ ἐλέγχων

ἐξ οἵης τιμῆς καὶ οἵου μήκεος ὄλβου,

ὥς φησιν Ἐμπεδοκλῆς ὧδε λιπὼν μετὰ θνητῶν ἀναστρέφεται. οὗτος ὡς ἀληθῶς μαρτυρεῖ αὐτῷ μὲν τὸ εἶναι πιστῷ γνησίῳ πρὸς τὸν θεὸν, τῷ πειράζοντι δὲ μάτην ἐζηλωκέναι τὸν δι' ἀγάπης πιστὸν, τῷ δ' αὖ κυρίῳ τὴν ἔνθεον πρὸς τὴν διδασκαλίαν πειθὼ, ἧς οὐκ ἀποστήσεται θανάτου φόβῳ, ναὶ μὴν καὶ τοῦ κηρύγματος τὴν ἀλήθειαν συμβεβαιοῖ ἔργῳ δυνατὸν εἶναι δεικνὺς τὸν πρὸς ὃν σπεύδει θεόν. θαυμάσαις ἂν τὴν ἀγάπην αὐτοῦ ἣν ἐναργῶς διδάσκει εὐχαρίστως ἑνούμενος πρὸς τὸ συγγενὲς, οὐ μὴν ἀλλὰ καὶ τῷ τιμίῳ αἵματι τοὺς ἀπίστους δυσωπῶν.

§. 14. Οὗτος οὖν φόβῳ τὸ ἀρνεῖσθαι Χριστὸν διὰ τὴν ἐντολὴν ἐκκλίνει, ἵνα δὴ φόβῳ μάρτυς γένηται. οὐ μὴν οὐδὲ ἐλπίδι δωρεῶν ἡτοιμασμένων πιπράσκων τὴν πίστιν· ἀγάπῃ δὲ πρὸς τὸν κύριον ἀσμενέστατα τοῦδε τοῦ βίου ἀπολυθήσεται, χάριν ἴσως καὶ τῷ τὴν αἰτίαν παρασχομένῳ τῆς ἐνθένδε
P. ἐξόδου καὶ τῷ τὴν ἐπιβουλὴν τεχνασαμένῳ ἐγνωκὼς
206 πρόφασιν εὔλογον λαβὼν ἣν οὐκ αὐτὸς παρέσχεν
Sylb. ἑαυτὸν ἐπιδεῖξαι ὅς ἐστι, τῷ μὲν δι' ὑπομονῆς,
δι' ἀγάπης δὲ κυρίῳ, δι' ἧς ἀνεδείκνυτο τῷ κυ-
ρίῳ καὶ πρὸ τῆς γενέσεως τὴν προαίρεσιν τοῦ 57
μαρτυρήσαντος εἰδότι. εὐθαρσήσας τοίνυν πρὸς Po

*) Philipp. 2, 20.

φίλων τὸν πόνον ὑπὲρ οὗ καὶ τὸ σῶμα ἐκδέδωκεν, πρὸς δὲ καὶ τὴν ψυχὴν ὡς οὐ δικαστὴν πρόσεδύσαντο ἑκόντες, φίλε καὶ γνήσιε καὶ πονηκῶς γε ἀπούσας πρὸς τοῦ σωτῆρος ἡμῶν διὰ τὴν τοῦ βίου ὀλιγοστότητα· ἀσθενὴς γὰρ τελείωσιν τὸ μυρίχριον καλοῦμεν· οὐχ ὅτι τέλος τοῦ βίου ὁ ἄνθρωπος ἔλαβεν ὡς οἱ λοιποί, ἀλλ' ὅτι τέλειον ἔχων ἀγάπης ἐνδείξατο, καὶ οἱ παλαιοὶ δὲ τῶν παρ' Ἕλλησι τῶν ἐν πολέμῳ ἀποθνῄσκοντων τὴν τελευτὴν ἐπαινοῦσιν οὐ τὸ βιαίως ἀποθνῄσκειν συνιέντες, ἀλλ' ὅτι ὁ κατὰ πόλεμον τελευτῶν ἀδεὴς τοῦ θανεῖν ἀπήλλακται ἀποτιεσθεὶς τοῦ σώματος καὶ οὐ προκαταλυπηθεὶς τῇ ψυχῇ οὐδὲ καταμαλακισθεὶς ἢ περὶ τὰς νόσους πάσχουσιν οἱ ἄνθρωποι, ἀπαλλάττονται γὰρ θηλυκευόμενοι καὶ διαφθορὰς τοῦ ζῆν.

§. 45. Διὰ ταῦτα οὐδὲ καθαρὰν ἀπολύουσιν τὴν ψυχὴν, ἀλλ' ὥσπερ μολυβδίδας τὰς ἐπιθυμίας μεθ' ἑαυτῆς φορουμένην, εἰ μή τινες τούτων ἐλλόγιμοι καὶ ἀρετὴν γεγόνασιν. εἰσὶ δὲ καὶ οἱ ἐν πολέμῳ μετ' ἐπιθυμιῶν ἀποθνῄσκουσιν, οὐδὲν οὗτοι διαφέροντες, εἰ καὶ νόσῳ κατεμαραίνοντο· εἰ τοίνυν ἡ πρὸς θεὸν ὁμολογία μαρτυρία ἐστὶ, πᾶσα ἡ καθαρῶς πεπιστευκυῖα ψυχὴ μετ' ἐπιγνώσεως τοῦ θεοῦ ἡ ταῖς ἐντολαῖς ἐπακηκουὼς μάρτυς ἐστὶ καὶ βίῳ καὶ λόγῳ, ὅπως ποτὲ τοῦ σώματος ἀπαλλάττηται, οἷον αἷμα τὴν πίστιν ἀνὰ τὸν βίον ἅπαντα, πρὸς δὲ καὶ τὴν ἔξοδον προσχέουσα. αὐτίκα ὁ κύριος ἐν τῷ εὐαγγελίῳ φησὶν, „ὃς ἂν καταλείψῃ πατέρα ἢ μητέρα ἢ ἀδελφοὺς" καὶ τὰ ἑξῆς „ἕνεκεν τοῦ εὐαγγελίου καὶ τοῦ ὀνόματός μου" *) μακάριος οὗτος, οὐ τὴν ἁπλῆν ἐκφαίνων μαρτυρίαν, ἀλλὰ τὴν γνωστικὴν, ὡς κατὰ τὸν κανόνα τοῦ εὐαγγελίου πολιτευσάμενος διὰ τῆς πρὸς τὸν κύριον ἀγάπης, γνῶσιν γὰρ σημαίνει ἡ τοῦ ὀνόματος εὔθησις καὶ ἡ τοῦ εὐαγγελίου νόησις, ἀλλ' οὐ μιλὴν

*) Matth. 19, 29. Marc. 10, 29. 30.

τὴν προσηγορίαν, ἀπολιπεῖν μὲν γένος τὸ κοσμικὸν, ἀπολιπεῖν δὲ οὐσίαν καὶ κτῆσιν πᾶσαν διὰ τὸ ἀπροσπαθῶς βιοῦν. μήτηρ γοῦν ἡ πατρὸς καὶ τροφὸς ἀλληγορεῖται, πάτερες δὲ οἱ νόμοι οἱ πολιτικοί. ἃ δὴ ὑπεροπτέον εὐχαρίστως τῷ μεγαλόφρονι δικαίῳ ἕνεκεν τοῦ φίλον γενέσθαι τῷ θεῷ καὶ τυχεῖν τῶν δεξιῶν μερῶν τοῦ ἁγιάσματος καθάπερ καὶ οἱ ἀπόστολοι πεποιήκασιν. P. 571.

§. 16. Εἶτα Ἡράκλειτος μέν φησιν ἀρτιφανεῖς θεοὺς τιμῶσι καὶ ἄνθρωποι, καὶ Πλάτων ἐν τῷ πέμπτῳ τῆς πολιτείας γράφει· τῶν δὲ δὴ ἀποθανόντων ἐπὶ στρατείας ὃς ἂν εὐδοκιμήσας τελευτήσῃ, ἆρ' οὐ πρῶτον μὲν φήσομεν τοῦ χρυσοῦ γένους εἶναι; πάντων γε μάλιστα. τὸ δὲ χρυσοῦν γένος πρὸς θεῶν ἐστὶ τῶν κατ' οὐρανὸν καὶ τὴν ἀπλανῆ σφαῖραν, οἳ μάλιστα τὴν ἡγεμονίαν ἔχουσι τῆς κατ' ἀνθρώπους προνοίας. τίνες δὲ τῶν αἱρετικῶν τοῦ κυρίου παρακηκοότες ἀσεβῶς ἅμα καὶ δειλῶς φιλοζωοῦσι, μαρτυρίαν λέγοντες ἀληθῆ εἶναι τὴν τοῦ ὄντως ὄντος γνῶσιν θεοῦ, ὅπερ καὶ ἡμεῖς ὁμολογοῦμεν, φονέα δὲ εἶναι αὐτὸν ἑαυτοῦ καὶ αὐθέντην τὸν διὰ θανάτου ὁμολογήσαντα, καὶ ἄλλα τοιαῦτα δειλίας σοφίσματα εἰς μέσον κομίζουσι. πρὸς οὓς εἰρήσεται ὁπόταν καιρὸς ἁπαιτῇ. διαφέρονται γὰρ ἡμῖν περὶ ἀρχάς.

§. 17. Λέγομεν δὲ καὶ ἡμεῖς τοὺς ἐπιπηδήσαντας τῷ θανάτῳ, εἰσὶ γάρ τινες οὐχ ἡμέτεροι μόνου τοῦ ὀνόματος κοινωνοὶ, οἳ δὴ αὐτοὺς παραδιδόντες ἀπεύδουσι τῇ πρὸς τὸν δημιουργὸν ἀπεχθείᾳ οἱ ἄθλιοι θανατοῦντες. τούτους ἐξάγειν ἑαυτοὺς ἁμαρτύρως λέγομεν κἂν δημοσίᾳ κολάζωνται. οὐ γὰρ τὸν χαρακτῆρα σώζουσι τοῦ μαρτυρίου τοῦ πιστοῦ τὸν ὄντως θεὸν μὴ γνωρίσαντες, θανάτῳ δὲ ἑαυτοὺς ἀποδίδοασι κενῷ, καθάπερ καὶ οἱ τῶν Ἰνδῶν γυμνοσοφισταὶ ματαίῳ πυρί. ἐπεὶ δ' οἱ ψευδώνυμοι οὗτοι τὸ σῶμα διαβάλλουσι, μαθέτωσαν ὅτι καὶ ἡ τοῦ σώ-

ματος εὐαρμόστια συμβάλλεται τῇ διανοίᾳ πρὸς τὴν εὐφυΐαν.

§. 18. *Διὸ ὃ ἐν τῷ τρίτῳ τῆς πολιτείας ὁ Πλάτων εἶπεν, ὃν μάλιστα ἐπιβοῶνται μάρτυρα τὴν γόησιν κακίζοντα, ἐπιμελεῖσθαι σώματος δεῖν ψυχῆς ἕνεκα ἁρμονίας, διὰ οὗ βιοῦν τέ ἐστι καὶ ὀρθῶς βιῶν καταγγέλλοντα τῆς ἀληθείας τὸ κήρυγμα· διὰ γὰρ τοῦ ζῆν καὶ τῆς ὑγιείας ὁδευόντες ἐκμανθάνομεν τὴν γνῶσιν. ᾧ δὲ οὐδὲ τὸ τυχὸν προσελθεῖν ἐστιν* P. 10 *εἰς ὕψος ἄνευ τοῦ ἐν τοῖς ἀναγκαίοις εἶναι καὶ διὰ* 572. *αὐτῶν πάντα ποιεῖν τὰ πρὸς τὴν γνῶσιν συντείνοντα.* Pott. *τὸ εὖ ζῆν τούτῳ πῶς οὐχ αἱρετέον; ἐν γοῦν τῷ ζῆν τὸ εὖ ζῆν κατορθοῦται, καὶ εἰς ἕξιν ἀϊδιότητος παραπέμπεται ὁ διὰ σώματος μελετήσας εὐζωΐαν.*

Cap. V.

§. 19. *Θαυμάζειν δὲ ἄξιον καὶ τῶν Στωικῶν οἵτινές φασι μηδὲν τὴν ψυχὴν ὑπὸ τοῦ σώματος διατίθεσθαι μήτε πρὸς κακίαν ὑπὸ τῆς νόσου μήτε πρὸς ἀρετὴν ὑπὸ τῆς ὑγιείας, ἀλλ' ἀμφότερα ταῦτα λέγουσιν ἀδιάφορα εἶναι. καίτοι καὶ Ἰὼβ* *) *ἐγκρατείας ὑπερβολῇ καὶ πίστεως ὑπεροχῇ πένης μὲν ἐκ πλουσίου, ἄτιμος δὲ ἐξ ἐνδόξου, αἰσχρὸς δὲ ἐκ καλοῦ καὶ νοσερὸς ἐξ ὑγιεινοῦ γενόμενος ἡμῖν τέ ἐστι παράδειγμα ἀγαθὸν ἀναγεγραμμένος, δυσωπῶν τὸν πειράσαντα, εὐλογῶν τὸν πλάσαντα, φέρων οὕτω τὰ δεύτερα ὡς καὶ τὰ πρότερα, διδάσκων εὖ μάλα τοῖς περιστατικοῖς ἅπασιν οἷόν τε εἶναι καλῶς χρῆσθαι τὸν γνωστικόν. καὶ ὅτι γε εἰκόνες τὰ παλαιὰ κατορθώματα εἰς τὰ ἡμιεδαπὰ ἐπανορθώματα ἔκκεινται ἐμφαίνων ὁ ἀπόστολος, „ὥστε τοὺς δεσμούς μου", φησὶ, „φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς λοιποῖς πᾶσι καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν κυρίῳ πεποιθότας τοῖς δεσμοῖς*

*) Iob. c. 1.

μοὺ περισσοτέρως τολμῶν ἀφόβως τὸν λόγον τοῦ θεοῦ λαλεῖν" *), ἐπεὶ καὶ τὰ μαρτύρια ἐπιστρεφῆς ἐστὶ παραδείγματα ἐνδόξως ἠγιασμένα. „ὅσα γὰρ ἡ γραφὴ λέγει εἰς τὴν ἡμετέραν διδασκαλίαν ἐγράφη, ἵνα διὰ τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως τῶν γραφῶν τὴν ἐλπίδα ἔχωμεν τῆς παρακλήσεως" **).

§. 20. Ἔοικε δέ πως παρούσης ἀλγηδόνος ἡ ψυχὴ νεύειν ἀπ' αὐτῆς καὶ τιμιον ἡγεῖσθαι τὴν ἀπαλλαγὴν τῆς παρούσης ὀδύνης· ἀμέλει κατ' ἐκεῖνο καιροῦ καὶ μαθημάτων φαινομεῖ ὑπηνίκα καὶ αἱ ἄλλαι ἐπηρέληνται ἀρεταί. καὶ οὐ δήπου τὴν ἀρετὴν αὐτὴν πάσχειν φαμὲν, οὐδὲ γὰρ νοσεῖ ἡ ἀρετὴ, ὁ δὲ ἀμφοῖν μετεσχηκὼς ἀρετῆς καὶ νόσου ὑπὸ τοῦ κατεπείγοντος θλίβεται, κἂν μὴ καταμεγαλοφρονῶν τύχῃ, ὁ μηδέπω τὴν ἕξιν τῆς ἐγκρατείας περιποιησάμενος ἐξίσταται ἴσον τε εὑρίσκεται τῷ φεύγειν τὸ μὴ οὐ ὑπομεῖναι. P. 573.

§. 21. Ὁ δὲ αὐτὸς λόγος καὶ περὶ πενίας, ἐπεὶ καὶ αὐτὴ τῶν ἀναγκαίων, τῆς θεωρίας λέγω καὶ τῆς καθαρᾶς ἀναμαρτησίας, ἀπασχολεῖν βιάζεται τὴν ψυχὴν περὶ τοὺς πορισμοὺς διατρίβειν ἀναγκάζουσα τὸν μὴ ὅλον ἑαυτὸν δι' ἀγάπης ἀνατεθεικότα τῷ θεῷ. ὥσπερ ἔμπαλιν ἡ τε ὑγίεια καὶ ἡ τῶν ἐπιτηδείων ἀφθονία ἐλευθέραν καὶ ἀνεμπόδιστον φυλάσσει τὴν ψυχὴν καὶ εὖ χρῆσθαι τοῖς παροῦσι γιγνώσκουσαν. „θλῖψιν γὰρ", φησὶν ὁ ἀπόστολος, „τῇ σαρκὶ ἕξουσιν οἱ τοιοῦτοι, ἐγὼ δὲ ὑμῶν φείδομαι, θέλω γὰρ ὑμᾶς ἀμερίμνους εἶναι πρὸς τὸ εὐσχήμον καὶ εὐπάρεδρον τῷ κυρίῳ ἀπερισπάστως" ***).

§. 22. Τούτων οὖν ἀνθεκτέον οὐ δι' αὐτὰ, ἀλλὰ διὰ τὸ σῶμα, ἡ δὲ τοῦ σώματος ἐπιμέλεια διὰ τὴν ψυχὴν γίνεται ἐφ' ἣν ἡ ἀναφορά. ἐν ταύτῃ γὰρ μαθεῖν ἀνάγκη τὸν γνωστικῶς πολιτευόμενον τὰ προσήκοντα, ἐπεὶ τό γε μὴ εἶναι τὴν ἡδονὴν ἀγαθὸν ὠμο-

*) Philipp. 1, 13 sq. **) Roman. 15, 4. ***) 1 Corinth. 7, 28. 32. 35.

λόγηται ἐκ τοῦ κακὰς εἶναί τινας ἡδονάς. τούτῳ τῷ λόγῳ ἀναφαίνεται τὸ ἀγαθὸν κακὸν καὶ τὸ κακὸν ἀγαθόν. ἔπειτα δὲ εἴ τινας μὲν αἱρούμεθα τῶν ἡδονῶν, τινὰς δὲ φεύγομεν, οὐ πᾶσα ἡδονὴ ἀγαθὸν, ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀλγηδόνων ὁ αὐτὸς λόγος, ὧν τὰς μὲν ὑπομένομεν, τὰς δὲ φεύγομεν, ἡ δὲ αἵρεσις καὶ φυγὴ κατ' ἐπιστήμην γίνεται· ὥστε τὴν ἐπιστήμην εἶναι τὸ ἀγαθὸν οὐ τὴν ἡδονὴν, δι' ἣν ἔστιν ὅτε καὶ τὴν ποιὰν ἡδονὴν αἱρησόμεθα.

§. 23. Αὐτίκα ὁ μάρτυς ἡδονὴν τὴν δι' ἐλπίδος διὰ τῆς παρούσης ἀλγηδόνος αἱρεῖται. εἰ δὲ κατὰ μὲν δίψαν ἡ ἀλγηδὼν νοεῖται, κατὰ τὴν πόσιν δὲ ἡ ἡδονὴ, ποιητικὴ τῆς ἡδονῆς ἡ ἀλγηδὼν ἡ προϋπάρξασα γίνεται· ἀγαθοῦ δὲ ποιητικὸν τὸ κακὸν οὐκ ἂν γένοιτο· οὐθέτερον οὖν κακόν. ὁ μὲν οὖν Σιμωνίδης, καθάπερ καὶ Ἀριστοτέλης, P. 574. Pott.

ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ **,
γράφει,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως.

καὶ ὁ Μεγαρεὺς Θέογνις·

χρὴ πενίην φεύγοντα καὶ εἰς βαθυκήτεα πόντον
ῥιπτεῖν καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων.

ἔμπαλιν δὲ Ἀντιφάνης ὁ κωμικὸς,
ὁ Πλοῦτος,
φησὶ,
θατέρου
πλέον βλέποντας παραλαβὼν τυφλοὺς ποιεῖ.

§. 24. Αὐτίκα πρὸς τῶν ποιητῶν τυφλὸς ἐκ γενετῆς κηρύττεται·

καί οἱ γείνατο κοῦρον ὃς οὐκ ἠλέκτορα εἶδεν,

φησὶν ὁ Χαλκιδεὺς Εὐφορίων. κακὸν οὖν ἦν τι παίδευμ' εἰς εὐανδρίαν
ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαὶ,

ἐν τῷ Ἀλεξάνδρῳ ὁ Εὐριπίδης πεποίηκεν. εἴρηταί γε, ἡ πενία

σοφίαν ἔλαχε διὰ τὸ δυστυχὲς,
ἁ φιλοχρηματία δὲ οὐ Σπάρταν μόνον, ἀλλὰ καὶ P.
πᾶσαν πόλιν ἕλοι ἄν. οὔκουν μόνον τοῦτο νόμισμα 575
λευκὸς ἄργυρος Pou
ἢ χρυσός ἐστιν, ἀλλὰ κἀρετὴ βροτοῖς,
ὥς φησιν ὁ Σοφοκλῆς.

Cap. VI.

§. 25. Ὁ σωτὴρ ἡμῶν ὁ ἅγιος καὶ ἐπὶ τῶν πνευματικῶν καὶ ἐπὶ τῶν αἰσθητῶν τὴν πενίαν καὶ τὸν πλοῦτον καὶ τὰ τούτοις ὅμοια ἔταξεν, εἰπὼν γὰρ „μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης" *) σαφῶς ἡμᾶς διδάσκει ἐν πάσῃ περιστάσει τὸν μάρτυρα ζητεῖν, ὃς ἐὰν πτωχὸς ᾖ διὰ δικαιοσύνην μαρτυρεῖ δικαιοσύνην ἀγαθὸν εἶναι ἣν ἠγάπησεν, „κἂν πεινῇ κἂν διψῇ διὰ δικαιοσύνην" **), μαρτυρεῖ δικαιοσύνην τὸ ἄριστον τυγχάνειν.

§. 26. Ὁμοίως δὲ καὶ ὁ κλαίων καὶ ὁ πενθῶν διὰ δικαιοσύνην μαρτυρεῖ τῷ βελτίστῳ νόμῳ εἶναι καλῷ. ὡς οὖν „τοὺς δεδιωγμένους", οὕτω δὲ καὶ τοὺς πεινῶντας καὶ τοὺς διψῶντας διὰ δικαιοσύνην „μακαρίους" κέκρει, ὁ τὸν γνήσιον ἀποδεχόμενος πόθον ὃν οὐδὲ λιμὸς διακόψαι ἴσχυσεν. „κἂν τὴν δικαιοσύνην αὐτὴν πεινῶσι μακάριοι", „μακάριοι δὲ καὶ οἱ πτωχοὶ ***) εἴτε πνεύματι εἴτε περιουσίᾳ διὰ δικαιοσύνην δῆλον ὅτι. μή τι οὖν οὐχ ἁπλῶς τοὺς πένητας, ἀλλὰ τοὺς ἐθελήσαντας διὰ δικαιοσύνην πτωχοὺς γενέσθαι τούτους μακαρίζει τοὺς καταμεγαλοφρονήσαντας τῶν ἐνταῦθα τιμῶν εἰς περιπρίησιν τἀγαθοῦ. ὁμοίως δὲ καὶ τοὺς καλοὺς τὸ ἦθος καὶ τὸ σῶμα δι' ἁγνείαν γενομένους, τούς τε εὐγενεῖς καὶ ἐνδόξους, τοὺς διὰ δικαιοσύνην εἰς υἱοθεσίαν ἐληλακότας καὶ διὰ τοῦτο „εἰληφότας ἐξουσίαν τέκνα θεοῦ γενέσθαι καὶ ἐπάνω ὄφεων καὶ

*) Matth. 5, 10. **) Ibid. v. 6. ***) Ibid. v. 3.

σκορπίων περιπατεῖν, κυριεύειν τε καὶ δαιμόνων καὶ τῆς τοῦ ἀντικειμένου στρατιᾶς" *).

§. 27. Καὶ ὅλως ἡ κυριακὴ ἄσκησις ἀπάγει τὴν ψυχὴν τοῦ σώματος εὐχαριστως, εἴ γε καὶ αὐτὴ ἑαυτὴν κατὰ μετάθεσιν ἀποδοπᾷ. ὁ γὰρ ἐρῶν τὴν P. ψυχὴν αὐτοῦ ἀπολέσει αὐτήν, καὶ ὁ ἀπολέσας εὑρή- 208. σει αὐτήν" **), ἣν μόνον τὸ ἐπίκηρον ἡμῶν ἐπιβά- Syn. λωμεν τῇ τοῦ Θεοῦ ἀφθαρσίᾳ. Θέλημα δὲ τοῦ Θεοῦ ἐπίγνωσις τοῦ Θεοῦ, ἥτις ἐστὶ κοινωνία ἀφθαρ- σίας. ὁ τοίνυν ἐπιγινώσκων κατὰ τὸν τῆς μετανοίας λόγον ἁμαρτολὸν τὴν ψυχὴν ἀπολέσει αὐτὴν τῆς ἁμαρτίας ἧς ἀπέσπασται, ἀπολέσας δὲ εὑρήσει κατὰ τὴν ὑπακοὴν τὴν ἀναζήσασαν μὲν τῇ πίστει, ἀποθα- νοῦσαν δὲ τῇ ἁμαρτίᾳ. τοῦτ' οὖν ἐστὶ τὸ εὑρεῖν τὴν ψυχὴν τὸ γνῶναι ἑαυτόν.

§. 28. Τὴν δὲ μετάστροφὴν τὴν ἐπὶ τὰ θεῖα οἱ μὲν Στωικοὶ ἐκ μεταβολῆς φασὶ γενέσθαι μετα- βαλούσης τῆς ψυχῆς εἰς σοφίαν, Πλάτων δὲ τῆς ψυχῆς ἐπὶ τὰ ἀμείνω περιαγωγὴν λαβούσης καὶ μετάστροφὴν ἐκ νυκτερινῆς τινος ἡμέρας. αὐτίκα εὔλογον ἐξαγω- P. γὴν τῷ σπουδαίῳ συγχωροῦσι καὶ οἱ φιλόσοφοι, εἰ 576. τις τὸν πράσσειν αὐτὸν οὕτως τηρήσειεν αὐτῶν, ὡς Pott. μηκέτι ἀπαλελεῖφθαι αὐτῷ μηδὲ ἐλπίδα τῆς πράξεως, ὁ δὲ ἐκβιασάμενος δικαστὴς ἀρνεῖσθαι τὸν ἠγαπη- μένον, διελέγχειν μοι δοκεῖ τὸν φίλον τῷ θεῷ καὶ τὸν μή. ἐνταῦθα οὐδὲ σύγκρισις ἔτι ἀπολείπεται τί ἄν τις καὶ μᾶλλον ἕλοιτο, ἀπειλὴν ἀνθρωπίνην ἢ τὴν ἀγάπην τοῦ Θεοῦ· καὶ πως ἡ τῶν κακῶν πρά- ξεων ἀποχὴ μείωσίς τε καὶ σβέσις τῶν κακῶν εὑρί- σκεται καθαιρουμένης τῆς ἐνεργείας αὐτῶν διὰ τῆς ἀπραξίας, καὶ τοῦτ' ἐστι, „πώλησόν σου τὰ ὑπάρ- χοντα καὶ δὸς πτωχοῖς καὶ δεῦρο ἀκολούθει μοι" ***), τουτέστιν τοῖς ὑπὸ τοῦ κυρίου λεγομένοις ἕπου.

*) Ioann. 1, 12. Luc. 10, 19. **) Ioann. 12, 25. Matth. 10, 39. ***) Ibid. 19, 21.

§. 29. Ὑπάρχοντα δέ φασί τινες αὐτὸν εἰρηκέναι τὰ ἐν τῇ ψυχῇ ἀλλότρια, καὶ πῶς τοῖς πτωχοῖς ταῦτα διανέμεται οὐκ ἔχουσιν εἰπεῖν, ἀλλ' ὁ Θεὸς γὰρ πάντα πᾶσι μερίζει κατ' ἀξίαν δικαίας οὔσης τῆς οἰκονομίας. καταφρονήσας οὖν, φησὶ, τῶν ὑπαρχόντων ἃ ὁ Θεὸς μερίζει διὰ τῆς σῆς μεγαλειότητος, ἔπου τοῖς ὑπ' ἐμοῦ λεγομέναις σπεύδων πρὸς τὴν τοῦ πνεύματος ἄνοδον, οὐκ ἀποχῇ κακῶν μόνον δικαιωθείς, πρὸς δὲ καὶ τῇ κυριακῇ τελειωθεὶς εὐπομίᾳ. αὐτίκα τὸν καυχώμενον τελείως τὰ ἐκ ταῦ νόμου προστάγματα πεπληρωκέναι διήλεγχε, μὴ τὸν πλησίον ἀγαπήσαντα, εὐεργεσίαν δὲ ἀγάπη ἐπαγγέλλεται ἡ κυριεύουσα τοῦ σαββάτου κατ' ἐπιφάνειαν γνωστικήν. δεῖν δ' οἶμαι μήτε διὰ φόβον κολάσεως μήτε διά τινα ἐπαγγελίαν δόσεως, δι' αὐτὸ δὲ τὸ ἀγαθὸν προσελθηλυθέναι τῷ σωτηρίῳ λόγῳ.

§. 30. Οἱ τοιοῦτοι ἐκ δεξιῶν ἵστανται τοῦ ἀγιάσματος, οἱ δὲ διὰ τῆς τῶν φθαρτῶν δόσεως οἰόμενοι ἀντικαταλλάσσεσθαι τὰ τῆς ἀφθαρσίας ἐν τῇ τῶν ὀφειλῶν ἀδελφῶν παραβολῇ μίσθιοι κέκληνται [*]), καὶ μή τί γε ἐνταῦθα τὸ „καθ' ὁμοίωσιν καὶ εἰκόνα" [**]), ἀνακύπτει ἐν οἱ μὲν κατὰ τὴν πρὸς τὸν σωτῆρα ὁμοίωσιν συμπολιτεύωνται, οἱ δὲ ἐξ εὐωνύμων ἱστάμενοι κατὰ τὴν τούτων εἰκόνα. τρία τοίνυν ἐστὶν ἀπὸ τῆς ἀληθείας μιᾶς ῥίζης ἀμφοῖν ὑποκειμένης, αἱρέσεως δὲ οὐκ ἴσης, μᾶλλον δὲ τῆς κατὰ τὴν αἵρεσιν διαφορᾶς οὐκ ἴσης. διαφέροι δ' οἶμαι τὸ κατὰ μίμησιν ἐλέσθαι τοῦ κατὰ γνῶσιν ἑλομένου ὡς τὸ πεπυρωμένον καὶ τὸ πεφωτισμένον. φῶς οὖν τῆς κατὰ τὴν γραφὴν οἰκειότητος ὁ Ἰσραὴλ, ὁ δὲ ἄλλος εἰκών. τί δὲ βούλεται ἡ τοῦ Λαζάρου παραβολὴ [***]) τῷ κυρίῳ πλουσίου καὶ πένητος εἰκόνα δεικνύουσα; τί δὲ „οὐδεὶς δύναται δυσὶ δουλεύειν κυρίοις, θεῷ

*) Luc. 15, 11. **) Genes. 1, 26. ***) Luc. 16, 9.

καὶ μαμωνᾷ" *); τὴν φιλαργυρίαν οὕτως ὀνομάσαντος τοῦ κυρίου.

§. 31. Αὐτίκα εἰς τὴν κλῆσιν τοῦ δείπνου οἱ φιλοκτήμονες κληθέντες **) οὐκ ἀπαντῶσιν, οὐ διὰ τὸ κεκλῆσθαι, ἀλλὰ διὰ τὸ προσπαθῶς κεκτῆσθαι. „αἱ ἀλώπεκες" ἄρα „φωλεοὺς ἔχουσι" ***). τοὺς ἀμφὶ τὸν μεταλλευόμενον καὶ γεωρυχούμενον διατρίβοντας πλοῦτον κακοήθεις ἀνθρώπους καὶ γηγενεῖς ἀλώπεκας προσεῖπεν. ὡσαύτως καὶ ἐπὶ τοῦ Ἡρῴδου· „ὑπάγετε, εἴπατε τῇ ἀλώπεκι ταύτῃ· ἰδοὺ ἐκβάλλω δαιμόνια καὶ ἰάσεις ἀποτελῶ σήμερον καὶ αὔριον καὶ τῇ τρίτῃ τελειοῦμαι" †)· „πετεινὰ γὰρ οὐρανοῦ" ††) τοὺς οὐρανῷ τῶν ἄλλων ἀρνέων διακεκριμένους καθαροὺς τῷ ὄντι τοὺς εἰς τὴν τοῦ οὐρανίου λόγου γνῶσιν πτητικοὺς προσεῖπεν. οὐ γὰρ δὴ μόνον πλούτου καὶ δόξης καὶ γάμου, ἀλλὰ καὶ πενίας τῷ μὴ φέροντι μυρίαι φροντίδες, καὶ μὴν ταύτας ἐν τῇ παραβολῇ τοῦ τετραμεροῦς σπόρου ἠνίξατο τὰς μερίμνας †††), „τὸ σπέρμα τοῦ λόγου" φήσας „τὸ εἰς ἀκάνθας" καὶ φραγμοὺς „πεσὸν συμπνιγῆναι" „ὑπ' αὐτῶν καὶ μὴ καρποφορῆσαι δυνηθῆναι.

§. 32. Μαθεῖν οὖν ἀνάγκη ὅπως ἑκάστῳ τῶν προσπεπτόντων χρηστέον ὡς δὲ εὐζωίας γνωστικῆς εἰς ἕξιν ἀϊδίου συνασκηθῆναι ζωῆς. „εἶδον γάρ" φησι „τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου καὶ παρῆλθον", λέγει ἡ γραφή, „καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ. φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα, ὅτι ἔστιν ἐγκατάλειμμα ἀνθρώπῳ εἰρηνικῷ" ††††). οὗτος δ' ἂν εἴη ὁ ἀνυποκρίτως ἐξ

*) Matth. 6, 24. Luc. 16, 13. **) Cf. Matth. 22, 2. Luc. 14, 16. ***) Matth. 8, 20. Luc. 11, 58. †) Ibid. 13, 32. ††) Matth. 6, 26. Luc. 11, 68. †††) Matth. 13, 4. Luc. 8, 5. ††††) Psalm. 37, 35 — 37.

ῆλης καρδίας πιστούμεν καὶ πάσῃ τῇ ψυχῇ γαληνιῶ· „ὁ γὰρ λαὸς ὁ ἕτερος τοῖς χείλεσι τιμᾷ, ἡ δὲ καρδία αὐτοῦ πόρρω ἄπεστιν ἀπὸ κυρίου" *). „τῷ στόματι αὐτῶν εὐλογοῦσι, τῇ δὲ καρδίᾳ αὐτῶν κατα-
P. 578 ῥῶνται" **). ἠγάπησαν αὐτὸν ἐν τῷ στόματι αὐ-
Pott. τῶν καὶ τῇ γλώσσῃ αὐτῶν ἐψεύσαντο αὐτόν. ἡ δὲ καρδία αὐτῶν οὐκ εὐθεῖα μετ' αὐτοῦ οὐδὲ ἐπιστώθησαν ἐν τῇ διαθήκῃ αὐτοῦ" ***).

§. 33. Διὰ τοῦτο „ἄλαλα γενηθήτω πάντα τὰ
10 χείλη τὰ δόλια" ****), καὶ „γλῶσσαν μεγαλορήμονα, τοὺς εἰπόντας τὴν γλῶσσαν ἡμῶν μεγαλυνοῦμεν, τὰ
P. χείλη ἡμῶν παρ' ἡμῖν ἐστι, τίς ἡμῶν κύριός ἐστιν;
209. ἀπὸ ταλαιπωρίας τῶν πτωχῶν καὶ τοῦ στεναγμοῦ τῶν
Sylb. πενήτων νῦν ἀναστήσομαι, λέγει κύριος, θήσομαι
15 ἐν σωτηρίῳ, παρρησιάσομαι ἐν αὐτῷ" †). ταπεινοφρονούντων γάρ ἐστιν ὁ Χριστὸς οὐκ ἐπαιρομένων ἐπὶ τὸ ποίμνιον αὐτοῦ. „μὴ θησαυρίζετε" τοίνυν „ὑμῖν θησαυροὺς ἐπὶ τῆς γῆς ὅπου σὴς καὶ βρῶσις ἀφανίζει καὶ κλέπται διορύσσουσι καὶ κλέπτουσι" ††).
20 τάχα μὲν τοὺς φιλοκτήμονας ὀνειδίζων λέγει ὁ κύριος, τάχα δὲ καὶ τοὺς ἁπλῶς μεριμνητάς τε καὶ φροντιστὰς, ἤδη δὲ καὶ τοὺς φιλοσωμάτους, ἔρωτες γὰρ καὶ νόσοι καὶ οἱ φαῦλοι διαλογισμοὶ διορύσσουσι τὸν λογισμὸν καὶ τὸν ὅλον ἄνθρωπον, ὁ δὲ τῷ ὄντι θη-
25 σαυρὸς ἡμῶν ἔνθα ἡ συγγένεια τοῦ νοῦ ἐπὶ τὸ κοινωνικὸν τῆς δικαιοσύνης παραδίδωσιν, ἐμφαίνων δεῖν ἀποδιδόναι τῇ συνηθείᾳ τῆς παλαιᾶς ἀναστροφῆς τὰ ὑπ' αὐτῆς ἡμῖν περικτηθέντα καὶ ἐπὶ τὸν Θεὸν ἀνατρέχειν ἔλεον αἰτουμένους. οὗτός ἐστι τῷ ὄντι
30 „βαλλάντιον μὴ παλαιούμενον" †††), ἐφόδιον ζωῆς ἀϊδίου, „θησαυρὸς ἀνέκλειπτος ἐν οὐρανῷ", ὅτι „ἐλεῶν ἐλεηθήσῃ ὃν ἂν ἐλεῷ" ††††) φησὶ κύριος.

---

*) Iesai. 29, 13. **) Psalm. 62, 4. ***) Ibid. 38, 36 sq. ****) Ibid. 31, 18. †) Ibid. 12, 3—5. ††) Matth. 6, 19. †††) Luc. 12, 33. ††††) Roman. 9, 15. Exod. 33, 19.

§. 34. Λέγουσι δὲ ταῦτα καὶ τοῖς θέλουσι διὰ τὴν δικαιοσύνην πονηρεύεσθαι· ἀκηκόασι γὰρ διὰ τῆς ἐντολῆς ὅτι „πλατεῖα καὶ εὐρύχωρος ὁδὸς ἀπάγει εἰς τὴν ἀπώλειαν καὶ πολλοί εἰσιν οἱ διερχόμενοι δι' αὐτῆς“ *). Σοῦ περὶ ἄλλου τινὸς ἀλλὰ περὶ σωτηρίας καὶ φιλογυνίας, φιλοδοξίας, φιλαργυρίας καὶ τῶν ὁμοίων διαλέγεται παθῶν. „ἄφρον“ γάρ, οὕτως ἔφη, „ὅτι τῇ νυκτὶ ταύτῃ ἀπαιτοῦσί σου τὴν ψυχήν· ἃ δὲ ἡτοίμασας αὐτῇ τίνι ἔσονται“ **); καὶ τὰ μὲν τῆς ἐντολῆς ὧδε ἔχει κατὰ λέξιν· „φυλάσσεσθε τοίνυν ἀπὸ πάσης πλεονεξίας, ὅτι οὐκ ἐν τῷ περισσεύειν τινὶ τὰ ὑπάρχοντά ἐστιν ἡ ζωὴ αὐτοῦ“ ***). „τί γὰρ ὠφελεῖται ἄνθρωπος ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ; ἢ τί δώσει ἄνθρωπος ἀντάλλαγμα τῆς ψυχῆς αὐτοῦ“ †); „διὰ τοῦτο λέγω μὴ μεριμνᾶτε τῇ ψυχῇ ὑμῶν τί φάγητε, μηδὲ τῷ σώματι τί περιβάλησθε, ἡ γὰρ ψυχὴ πλείων ἐστὶ τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος“ ††). καὶ πάλιν, „οἶδεν γὰρ ὁ πατὴρ ὑμῶν ὅτι χρῄζετε τούτων ἁπάντων, ζητεῖτε δὲ πρῶτον τὴν βασιλείαν τῶν οὐρανῶν καὶ τὴν δικαιοσύνην, ταῦτα γὰρ μεγάλα, τὰ δὲ μικρὰ“ καὶ περὶ τὸν βίον ταῦτα „προστεθήσεται ὑμῖν“ †††).

P. 579. Pott.

§. 35. Ἆρ' οὐκ ἄντικρυς τὸν γνωστικὸν μεθέπειν ἡμᾶς παρακελεύεται βίον, ἔργῳ τε καὶ λόγῳ ζητεῖν τὴν ἀλήθειαν προτρέπει; πλούσιον τοίνυν οὐ τὴν θάσιν, ἀλλὰ τὴν προαίρεσιν λογίζεται ὁ παιδεύων τὴν ψυχὴν Χριστός. Ζακχαῖον τοίνυν, οἱ δὲ Ματθίαν φασίν, ἀρχιτελώνην ἀκηκόότα τοῦ κυρίου κατασχόντος πρὸς αὐτὸν γενέσθαι, „ἰδοὺ τὰ ἥμισυ τῶν ὑπαρχόντων μου δίδωμι ἐλεημοσύνην“, φάναι, „κύριε· καὶ εἴ τινός τι ἐσυκοφάντησα, τετραπλοῦν ἀποδίδωμι“ ††††). ἐφ' οὗ καὶ ὁ σωτὴρ εἶπεν· „ὃ

*) Matth. 7, 13. **) Luc. 12, 20. ***) Ibid. v. 15.
†) Matth. 16, 26. ††) Ibid. 6, 31. Luc. 12, 22 sq.
†††) Matth. 6, 32 sq. Luc. 12, 30. ††††) Cf. Luc. 19, 8—10.

υἱὸς τοῦ ἀνθρώπου ἐλθὼν σήμερον τὸ ἀπολωλὸς εὗρεν". πάλιν τε μὴ θεασάμενος εἰς τὸ γαζοφυλάκιον τὸν μὲν πλούσιον ἀναλόγως τῇ κτήσει βεβληκότα, τὴν δὲ χήραν χαλκοῦς δύο πλεῖν ἔφη τὴν χήραν βεβληκέναι πάντων· ὁ μὲν γὰρ ἀπὸ τοῦ περισσεύματος, ἡ δὲ ἐκ τῆς στερήσεως συνεισήνεγκεν *).

§. 36. Ὅτι δὲ πάντα ἐπὶ τὴν παίδευσιν τῆς ψυχῆς ἀνήγαγεν, „μακάριοι", φησίν, „οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν" **). πραεῖς δέ εἰσιν οἱ τὴν ἄπιστον μάχην τὴν ἐν τῇ ψυχῇ καταπεπαυκότες θυμοῦ καὶ ἐπιθυμίας καὶ τῶν τούτοις ὑποβεβλημένων εἰδώλων. τρεῖς δὲ τοὺς κατὰ προαίρεσιν, οὐ καθ' ἁπλότητα ἐπαινεῖ, εἰσὶ γὰρ παρὰ κυρίῳ καὶ μισθοὶ καὶ μισθοὶ πλείονες ***) κατὰ ἀναλογίαν βίων· „ὃς γὰρ ἂν δέξηται", φησί, „προφήτην εἰς ὄνομα προφήτου μισθὸν προφήτου λήψεται, καὶ ὃς ἂν δέξηται δίκαιον εἰς ὄνομα δικαίου μισθὸν δικαίου λήψεται, καὶ ὃς ἂν δέξηται ἕνα τῶν μαθητῶν τούτων τῶν μικρῶν τὸν μισθὸν οὐκ ἀπολέσει" †). πάλιν τε αὖ τὰς κατ' ἀξίαν διαφορὰς τῆς ἀρετῆς, εὐγενεῖς ὁμοιβὰς διὰ τῶν ὡρῶν, τῶν οὐχ ὁμοίων τὸν ἀριθμὸν, πρὸς δὲ καὶ τοῦ ἑκάστῳ τῶν ἐργατῶν ἀποδοθέντος P. ἴσου μισθοῦ, τουτέστι τῆς σωτηρίας, ἣν τὸ δηνάριον 580. αἰνίσσεται, τὸ ἐπ' ἴσης δίκαιον μεμήνυκεν διὰ τῶν Pott. κατὰ τὰς ἀκαταλλήλους ὥρας ἐργασαμένων ††).

§. 37. Ἐργάσονται μὲν οὖν κατὰ τὰς μονὰς τὰς ἀναλόγους ὧν κατηξιώθησαν γερῶν συνεργοὺς τῆς ἀρρήτου οἰκονομίας καὶ λειτουργίας. „οἳ δὲ δὴ ἂν δόξωσι διαφερόντως πρὸς τῷ ὁσίως βιῶναι προσκεκλῆσθαι", φησὶν ὁ Πλάτων, „οὗτοί εἰσιν οἱ τῶνδε μὲν τῶν ἐν τῇ γῇ ἐλευθερούμενοί τε καὶ ἀπαλλαττόμενοι, ὥσπερ δεσμωτηρίων, ἄνω δὲ εἰς καθαρὰν οἴκησιν ἀφικνούμενοι". διὰ σαφεστέρων τε αὖ τὸ

*) Cf. Luc. 21, 1. Marc. 12, 41. **) Matth. 5, 5.
***) Cf. Ioann. 14, 2. †) Matth. 10, 41 sq. ††) Ibid. 20, 1 sq.

αὐτὸ ὧδέ πως λέγει· „τούτων δὲ αὐτῶν οἱ ἐν φιλοσοφίᾳ ἱκανῶς καθηρημένοι ἄνευ τε σωμάτων ζῶσι τὸ παράπαν εἰς τὸν ἅπαντα χρόνον, καίτοι σχήματά τινα περιτίθησι ταῖς μὲν ἀέρινα αὐτῶν, ταῖς δὲ καὶ πύρινα". ἔτι ἐπιφέρει, „καὶ εἰς οἰκήσεις ἔτι τούτων καλλίους ἀφικνοῦνται, ἃς οὐδὲ ῥᾴδιον δηλῶσαι οὐδὲ ὁ χρόνος ἱκανὸς ἐν τῷ παρόντι". ὅθεν εἰκότως „μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται" *). οἱ γὰρ μετανοήσαντες ἐφ' οἷς κακῶς προβεβιώκασιν εἰς τὴν κλῆσιν παρέσονται· τοῦτο γάρ ἐστι τὸ παρακληθῆναι. τοῦ μετανοοῦντος δὲ τρόποι δύο, ὁ μὲν κοινότερος φόβος ἐπὶ τοῖς πραχθεῖσιν, ὁ δὲ ἰδιαίτερος ἡ δυσωπία ἡ πρὸς ἑαυτὴν τῆς ψυχῆς ἐκ συνειδήσεως, εἴτ' οὖν ἐνταῦθα εἴτε καὶ ἀλλαχῆ, ἐπεὶ μηδεὶς τόπος ἀργὸς εὐποιΐας θεοῦ.

§. 38. Πάλιν φησίν· „μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται". ὁ δὲ ἔλεος οὐχ ἥ τινες τῶν φιλοσόφων ὑπειλήφασι λύπη ἐπ' ἀλλοτρίαις συμφοραῖς, μᾶλλον δὲ ἀστεῖόν τί ἐστιν ὡς οἱ προφῆται λέγουσιν· „ἔλεον γάρ", φησί, „θέλω καὶ οὐ θυσίαν **). ἐλεήμονας δ' εἶναι βούλεται οὐ μόνον τοὺς ἔλεον ποιοῦντας, ἀλλὰ καὶ τοὺς ἐθέλοντας ἐλεεῖν κἂν μὴ δύνωνται, οἷς κατὰ προαίρεσιν τὸ ἐνεργεῖν πάρεστιν, ἐνίοτε γὰρ βουλόμεθα διὰ ἀργυρίου δόσεως ἢ διὰ σωματικῆς σπουδῆς ἔλεον ποιῆσαι, ὡς δεομένῳ ἐπαρκέσαι ἢ νοσοῦντι ὑπουργῆσαι ἢ ἐν περιστάσει γενομένῳ παραστῆναι, καὶ οὐχ οἷοί τέ ἐσμεν ἤτοι διὰ πενίαν ἢ νόσον ἢ γῆρας· φυσικὴ γὰρ νόσος καὶ τοῦτο, ἐξυπηρετῆσαι τῇ προαιρέσει ἐφ' ὧν ὁρμῶμεθα μὴ δυνηθέντες ἐπὶ τέλος ἀγαγεῖν ὃ βεβουλήμεθα. τῆς αὐτῆς τιμῆς μεθέξουσι τοῖς δυνηθεῖσιν οἱ βεβουλημένοι, ὧν ἡ προαίρεσις ἴση κἂν πλεονεκτῶσιν ἕτεροι τῇ περιουσίᾳ.

P. 210. Sylb. 581. Pott.

§. 39. Ἐπεὶ δὲ τῶν ἀπαγόντων εἰς τὴν τελείωσιν τῆς σωτηρίας ὁδοὶ εὑρίσκονται δύο ἔργα καὶ

*) Matth. 5, 4. 7. **) Hos. 6, 6. Matth. 9, 13. 12, 7.

γνῶσις, „μακαρίους" εἶπεν „τοὺς καθαροὺς τὴν καρδίαν, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται" *). κἂν τῷ ὄντι τὸ ἀληθὲς σκοπῶμεν, ἡ γνῶσις τοῦ ἡγεμονικοῦ τῆς ψυχῆς κάθαρσίς ἐστι καὶ ἐνέργειά ἐστιν ἀγαθή. ἀγαθὰ γοῦν τὰ μὲν αὐτὰ καθ' ἑαυτά, τὰ δὲ μετέχοντα τῶν ἀγαθῶν ὡς τὰς καλὰς πράξεις φαμὲν, ἄνευ δὲ τῶν μεταξὺ ἃ δὴ ὕλης ἐπέχει τάξιν οὔθ' αἱ ἀγαθαὶ οὔθ' αἱ κακαὶ συνίστανται πράξεις, οἷον ζωῆς λέγω καὶ ὑγιείας, τῶν τε ἄλλων τῶν ἀναγκαίων ἢ περιστατικῶν. καθαροὺς οὖν κατὰ τὰς σωματικὰς ἐπιθυμίας καὶ τοὺς ἀγίους διαλογισμοὺς τοὺς εἰς ἐπίγνωσιν τοῦ θεοῦ ἀφικνουμένους εἶναι βούλεται, ὅταν μηδὲν ἔχῃ νόθον ἐπιπροσθοῦν τῇ δυνάμει ἑαυτοῦ τὸ ἡγεμονικόν.

§. 40. "Οταν τοίνυν ἐνδιατρίψῃ τῇ θεωρίᾳ τῷ θείῳ καθαρῶς ὁμιλῶν ὁ γνωστικῶς μετέχων τῆς ἁγίας ποιότητος προσεχέστερον ἐν ἕξει γίνεται ταυτότητος ἀπαθοῦς, ὡς μηκέτι ἐπιστήμην ἔχειν καὶ γνῶσιν κεκτῆσθαι, ἐπιστήμην δὲ εἶναι καὶ γνῶσιν. „μακάριοι" τοίνυν „οἱ εἰρηνοποιοί" **). τὸν ἀντιστρατηγοῦντα νόμον τῷ φρονήματι τοῦ νοῦ ἡμῶν τοῦ θυμοῦ τὰς ἀπειλὰς καὶ τῆς ἐπιθυμίας τὰ δελέατα, τά τε ἄλλα πάθη ὅσα πολεμεῖ τὸν λογισμὸν τιθασσεύσαντες καὶ ἐξηρεμώσαντες, οἱ μετ' ἐπιστήμης ἔργων τε ἀγαθῶν καὶ λόγου ἀληθοῦς καταβιώσαντες εἰς υἱοθεσίαν ἀποκατασταθήσονται τὴν προσφιλεστέραν. εἴη δ' ἂν ἡ τελεία εἰρηνοποίησις ἡ ἐπὶ πάντι τῷ συμβαίνοντι ἄτρεπτον φυλάσσουσα τὸ εἰρηνικὸν, ἄγιαν τε καὶ καλὴν τὴν διοίκησιν λέγουσα ἐν ἐπιστήμῃ θείων καὶ ἀνθρωπίνων πραγμάτων καθεστῶσα, δι' ἧς τὰς ἐν τῷ κόσμῳ ἐναντιότητας ἁρμονίαν κτίσεως καλλίστην λογίζεται. εἰρηνοποιοῦσι δὲ καὶ τοὺς ἐνταῦθα πολεμουμένους τοῖς τῆς ἁμαρτίας στρατηγήμασι μεταδιδάσκοντες ἐπὶ τὴν πίστιν καὶ τὴν εἰρήνην μετιέναι.

*) Matth. 5, 8. **) Ibid. v. 9.

§. 41. *Κεφάλαιον δ' οἶμαι πάσης ἀρετῆς κύριος παιδεύων ἡμᾶς τὸ δεῖν γνωστικώτερον δὲ ἀχάριστον τὴν πρὸς τὸν θεὸν θανάτου καταφρονεῖν· „μακάριοι", φησίν, „οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν· μακάριοι ἐστε ὅταν μισήσωσιν ὑμᾶς, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσιν καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρὸν ἕνεκα τοῦ υἱοῦ τοῦ ἀνθρώπου· χάρητε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε, ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ· κατὰ τὰ αὐτὰ γὰρ ἐποίουν τοῖς προφήταις οἱ πατέρες αὐτῶν". ἐπὶ τούτοις ἐπαγγελίαις ἀπαρακλήτοις οὐκ ἐπιτρέπει ἀποστῆναι τοῦ κυρίου, οὐδὲ ἀπιστεῖν τοῖς ὑπὲρ ἀνθρώπους ἐπαγγελλομένοις, οὐδὲ ἀπειθεῖν τοῖς ὑπὲρ ἀνθρώπους ἐπιτάττουσιν, οὐδὲ ἀπαρνεῖσθαι τὸν ἐπὶ τοσούτοις ἀγαθοῖς καλοῦντα. ἀλλὰ τὸν μὲν ἀπαρνούμενον τὸν κύριον ἀπαρνεῖται ὁ κύριος, τὸν δὲ ὁμολογοῦντα ὁμολογήσει ὁ πατὴρ ὁ ἐν οὐρανοῖς, ὁ τὸν ἀπαρνούμενον ἀπαρνησάμενος, ὁ τὸν ὁμολογοῦντα ὁμολογήσας.*

Cap. VII.

§. 42. *Εἶτα ὁ μὲν ψευσάμενος καὶ ἑαυτὸν ἄπιστον δείξας καὶ μεταστὰς εἰς τὴν τοῦ διαβόλου στρατείαν ἐν τίνι, οἰόμεθα, ἐστὶ κακῷ; ψεύδεται τοίνυν τὸν κύριον, μᾶλλον δὲ τὴν ἑαυτοῦ διέψευσται ἐλπίδα ὃς οὐ πιστεύει τῷ θεῷ οὐ πιστεύει δὲ ὁ μὴ ποιῶν ἃ ἐπετέλατο. τί δέ; οὐχ ἑαυτὸν ἀρνεῖται ὁ ἀρνούμενος τὸν κύριον; οὐ γὰρ ἀφαιρεῖται τῆς κυρίας τὸν δεσπότην ὅ γε καὶ στερίσκων αὐτὸν τῆς πρὸς ἐκεῖνον οἰκειότητος. ὁ τοίνυν ἀρνούμενος τὸν σωτῆρα ἀρνεῖται τὴν ζωήν, ὅτι „ζωὴ ἦν τὸ φῶς" ***). ὀλιγοπίστους τούτους †) οὐ λέγει, ἀλλὰ ἀπίστους καὶ ὑποκριτάς, τὸ μὲν ὄνομα ὑπογεγραμμένους, τὸ δ' εἶναι πιστοὺς ἀρνουμένους. πιστὸς δὲ εἴρηται καὶ δοῦλος*

*) Matth. 5, 10. **) Luc. 6, 22. ***) Ioann. 1, 4.
†) Cf. Matth. 6, 30.

καὶ φίλος. ὥστε εἴ τις ἑαυτὸν ἀγαπᾷ ἀγαπᾷ τὸν κύριον καὶ ὁμιλογεῖ τὴν σωτηρίαν, ἵνα σώσῃ τὴν ψυχήν.

§. 43. Καίτοι κἂν ὑπεραποθάνῃς τοῦ πλησίον δὲ ἀγάπην, πλησίον δὲ ἡμῶν τὸν σωτῆρα ὑπολάβῃς, ὀφθεὶς γὰρ ἐγγίζων ὁ σώζων πρὸς τὸ σωζόμενον ἐλέχθη, θάνατον ἑλόμενος διὰ ζωὴν καὶ σεαυτοῦ μᾶλ- P.
λον ἢ ἐκείνου ἕνεκεν παθών. καὶ μή τι διὰ τοῦτο583. Pott.
ἀδελφὸς εἴρηται, ὁ δὲ ἀγάπην τὴν πρὸς τὸν θεὸν
παθὼν διὰ τὴν ἰδίαν ἔπαθε σωτηρίαν, ὅ τε αὖ διὰ τὴν
ἰδίαν ἀποθνήσκων σωτηρίαν διὰ τὴν ἀγάπην ὑπομένει τοῦ κυρίου. καὶ γὰρ αὐτὸς ζωὴ ὢν δι' οὗ ἔπαθεν παθεῖν ἠθέλησεν, ἵνα τῷ πάθει ζήσωμεν αὐτοῦ· „τί με λέγετε κύριε κύριε", φησί, „καὶ οὐ ποιεῖτε ἃ λέγω" *); ὁ μὲν γὰρ „τοῖς χείλεσιν ἀγαπᾷν λαός, τὴν δὲ καρδίαν μακρὰν ἔχων ἀπὸ τοῦ κυρίου" **) ἄλλος ἐστὶν, ἄλλῳ πεπεισμένος, καὶ τούτῳ ἑκὼν ἑαυτὸν πέπρακεν, ὅσοι δὲ τὰς ἐντολὰς τοῦ σωτῆρος ἐπιτελοῦσιν καθ' ἑκάστην πρᾶξιν μαρτυροῦσι, ποιοῦντες μὲν ὃ θέλει, ἀκολούθως δὲ ὀνομάζοντες τὸν κύριον καὶ δι' ἔργου μαρτυροῦντες ᾧ πείθονται εἶναι „οἱ τὴν σάρκα σὺν P.
ταῖς ἐπιθυμίαις καὶ τοῖς παθήμασι σταυρώσαντες. 211.
εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν" ***), Sylb.
λέγει. „ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ ἐκ τῆς σαρκὸς θερίσει φθοράν, ὁ δὲ σπείρων εἰς τὸ πνεῦμα ἐκ τοῦ πνεύματος θερίσει ζωὴν αἰώνιον" †).

§. 44. Τοῖς δὲ ἀθλίοις τῶν ἀνθρώπων θάνατος εἶναι ὁ βιαιότατος ἢ δι' αἵματος μαρτυρία τοῦ κυρίου δοκεῖ, οὐκ εἰδόσι τῆς ὄντως οὔσης ζωῆς. ἀρχὴν εἶναι τὴν τοιαύτην τοῦ θανάτου πύλην, καὶ οὔτε τὰς τιμὰς τὰς μετὰ θάνατον τῶν ὁσίως βεβιωκότων οὔτε τὰς κολάσεις τῶν ἀδίκως καὶ ἀσελγῶς πεπολιτευμένων συνεῖναι βούλονται οὐκ ἐκ τῶν ἡμετέρων μόνον λέγω γραφῶν, σχεδὸν γὰρ πᾶσαι αἱ ἐντολαὶ ταῦ-

*) Cf. Luc. 6, 46. **) Iesai. 29, 13. ***) Galat. 5, 24 sq. †) Ibid. 6, 8.

ι μηνύουσιν, ἀλλ' οὐδὲ τῶν οἰκείων ἐθέλουσιν ὑπα-
ῦσαι λόγων. Θεανὼ γὰρ ἡ Πυθαγορικὴ γράφει. ἦν
ὰρ τῷ ὄντι τοῖς κακοῖς εὐωχία ὁ βίος, πονηρευσα-
ένοις ἔπειτα τελευτῶσιν, εἰ μὴ ἦν ἀθάνατος ἡ ψυχή,
ρμαῖον ὁ θάνατος. καὶ Πλάτων ἐν Φαίδωνι· εἰ μὲν
ὰρ ἦν ὁ θάνατος τοῦ παντὸς ἀπαλλαγὴ καὶ τὰ ἑξῆς.

§. 45. Οὐκ ἔστιν οὖν κατὰ τὸν Αἰσχύλου Τή-
εφον νοεῖν ἁπλῆν οἶμον εἰς Ἅιδου φέρειν, ὁδοὶ δὲ
πολλαί, καὶ ἀπάγουσαι ἁμαρτίαι. πολυπλανεῖς τούτους, P.
ὡς ἔοικε, τοὺς ἀπίστους διακωμῳδῶν Ἀριστοφάνης· 584.
ἄγε δὴ φύσιν ἄνδρες ἀμαυρόβιοι, φύλλων γενεᾷ Rott.
προσόμοιοι,
ὀλιγοδρανέες, πλάσματα κηροῦ, σκιοειδέα φῦλ',
ἀμενηνοὶ,
ἀπτῆνες, ἐφημέριοι.
καὶ ὁ Ἐπίχαρμος,
αὕτα φύσις ἀνθρώπων, ἀσκοὶ πεφυσιημένοι.
ἡμῖν δὲ ὁ σωτὴρ εἴρηκεν, „τὸ πνεῦμα πρόθυμον, ἡ
δὲ σὰρξ ἀσθενής" *)· διότι „τὸ φρόνημα τῆς σαρκὸς
ἔχθρα εἰς θεὸν" ὁ ἀπόστολος ἐξηγεῖται, „τῷ γὰρ
νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται, οὐδὲ γὰρ δύναται,
οἱ δὲ ἐν σαρκὶ ὄντες θεῷ ἀρέσαι οὐ δύνανται". καὶ
ἐπεκδιηγούμενος ἐπιφέρει, ἵνα μὴ ὡς Μαρκίων ἀχα-
ρίστως ἐκδέξηταί τις τὴν δημιουργίαν κακήν· „εἰ δὲ
Χριστὸς ἐν ὑμῖν, τὸ μὲν σῶμα νεκρὸν δι' ἁμαρτίαν,
τὸ δὲ πνεῦμα ζωὴ διὰ δικαιοσύνην". πάλιν τε αὖ·
„εἰ" γὰρ „κατὰ σάρκα ζῆτε μέλλετε ἀποθνήσκειν,
λογίζομαι γὰρ ὅτι οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν
καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι
εἰς ἡμᾶς, εἴπερ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν,
ὡς συγκληρονόμοι Χριστοῦ.

§. 46. Οἴδαμεν δὲ ὅτι τοῖς ἀγαπῶσι τὸν θεὸν
πάντα συνεργεῖ εἰς τὸ ἀγαθὸν, τοῖς κατὰ πρόθεσιν
κλητοῖς οὖσι, ὅτι οὓς προέγνω καὶ προώρισεν συμμόρ-

*) Matth. 26, 41.

φους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς, οὓς δὲ προώρισεν, τούτους καὶ ἐκάλεσεν, οὓς δὲ ἐκάλεσεν, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασεν" **). ὁρᾷς δι' ἀγάπην διδασκομένην μαρτυρίαν. κἂν δι' ἀμοιβὴν ἀγαθῶν ἐθελήσῃς μαρτυρῆσαι, ἀκούσῃ πάλιν· „τῇ γὰρ ἐλπίδι ἐσώθημεν, ἐλπὶς δὲ βλεπομένη οὐκ ἔστιν ἐλπίς, ὃ γὰρ βλέπει τις, τί καὶ ἐλπίζει; εἰ δὲ ὃ οὐ βλέπομεν ἐλπίζομεν, δι' ὑπομονῆς ἀπεκδεχόμεθα" **). „ἀλλ' εἰ καὶ πάσχομεν διὰ δικαιοσύνην, μακάριοι", φησὶν ὁ Πέτρος. „τὸν δὲ φόβον αὐτῶν μὴ φοβηθῆτε, μηδὲ ταραχθῆτε, κύριον δὲ τὸν Χριστὸν ἁγιάσατε ἐν ταῖς καρδίαις ὑμῶν, ἕτοιμοι δὲ ἀεὶ πρὸς ἀπολογίαν παντὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος, ἀλλὰ μετὰ πραΰτητος καὶ φόβου συνείδησιν ἔχοντες ἀγαθὴν, ἵνα ἐν ᾧ καταλαλεῖσθε καταισχυνθῶσιν οἱ ἐπηρεάζοντες τὴν καλὴν ἀναστροφὴν ὑμῶν ἐν Χριστῷ. κρεῖττον γὰρ ἀγαθοποιοῦντας εἰ θέλοι τὸ θέλημα τοῦ θεοῦ πάσχειν ἢ κακοποιοῦντας" ***).

P. 585. Pott.

§. 48. Κἄν τις ἐρεσχελῶν λέγῃ, καὶ πῶς οἷόν τέ ἐστι τὴν σάρκα τὴν ἀσθενῆ πρὸς τὰς δυνάμεις καὶ τὰ πνεύματα τῶν ἐξουσιῶν ἀνθίστασθαι; ἀλλ' ἐκεῖνο γνωριζέτω ὅτι τῷ παντοκράτορι καὶ τῷ κυρίῳ θαρροῦντες ἀντιπολιτευόμεθα ταῖς ἀρχαῖς τοῦ σκότους καὶ τῷ θανάτῳ. „ἔτι σοὺ λαλοῦντος", φησὶν, „ἐρεῖ, ἰδοὺ πάρειμι" †). ὅρα τὸν ἀήττητον βοηθὸν, τὸν ὑπερασπίζοντα ἡμῶν. „μὴ ξενίζεσθε τοίνυν", ὁ Πέτρος λέγει, „τῇ ἐν ὑμῖν πυρώσει πρὸς πειρασμὸν ὑμῖν γινομένῃ ὡς ξένου ὑμῖν συμβαίνοντος, ἀλλὰ καθὸ κοινωνεῖτε τοῖς τοῦ Χριστοῦ παθήμασι, χαίρετε ἵνα καὶ ἐν τῇ ἀποκαλύψει τῆς δόξης αὐτοῦ χαρῆτε ἀγαλλιώμενοι, εἰ ὀνειδίζεσθε ἐν ὀνόματι

) Roman. 7, 7. 8. 10. 13. 18. 17. 28—30. **) Ibid. v. 24. 25. *) 1 Petr. 3, 14—17. †) Iesai. 58, 9.

Χριστοῦ. μακάριοι ὅτι τὸ τῆς δόξης καὶ τὸ τοῦ θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται" *). καθάπερ γέγραπται ὅτι ἕνεκεν σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς. ἀλλ' ἐν τούτοις πᾶσιν ὑπερνικῶμεν διὰ τοῦ ἀγαπήσαντος ἡμᾶς" **).

§. 49. Ἃ δ' ἐκπύθεσθαι τῆς ἐμῆς χρήζεις φρενὸς,

οὔτ' ἂν καταίθων οὔτε κρατὸς ἐξ ἄκρου
δεινοὺς καθιεὶς πρίονας εἰς ἄκρους πόδας
πύθοι' ἄν, οὐδ' εἰ δεσμὰ πάντα προσβάλοις·

ἀφόβως ἀνδρεϊζομένη παρὰ τῇ τραγῳδίᾳ λέγει γυνή. ἥ τε Ἀντιγόνη τοῦ Κρεοντείου καταφρονοῦσα κηρύγματος θαρσοῦσά φησιν·

οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύσσων τάδε·

θεὸς δὲ ἡμῖν κηρύσσει καὶ πιστέον αὐτῷ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν. λέγει γοῦν ἡ γραφή· πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ οὐ καταισχυνθήσεται" ***). εἰκότως οὖν Σιμωνίδης γράφει· ἔστι τις λόγος, τὰν ἀρετὰν ναίειν δυσαμβάτοις ἐπὶ πέτραις, νῦν δέ μιν θοὰν χῶρον ἁγνὸν ἀμφέπειν, οὐδὲ πάντων βλεφάροις θνατῶν ἐσοπτὸς ᾧ μὴ δακέθυμος ἱδρὼς ἔνδοθεν μόλῃ, ἵκητ' ἐς ἄκρον ἀνδρείας. P. 586. Pott.

§. 50. Καὶ ὁ Πίνδαρος,

νέων δὲ μέριμναι σὺν πόνοις εἱλισσόμεναι
δόξαν εὑρίσκοντι, λάμπει δὲ χρόνῳ
ἔργα μετ' αἰθέρα λαμπευθέντα.

ταύτης τῆς ἐννοίας καὶ Αἰσχύλος ἐπιλαβόμενος φησί·

---

*) 1 Petr. 4, 12—14. **) Roman. 8, 36 sq. ***) Ibid. 10, 10 sq.

τῷ πονοῦντι δ' ἐκ θεῶν
P. ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος,
212 μόροι γὰρ μέζονες μέζονας μοίρας λαγχάνουσι' καθ'
Sylb. Ἡράκλειτον.

τίς δ' ἐστὶ δοῦλος τοῦ θανεῖν ἄφροντις ὤν;

„οὐ γὰρ ἔδωκεν ἡμῖν ὁ θεὸς πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλὰ δυνάμεως καὶ ἀγάπης καὶ σωφρονισμοῦ. μὴ οὖν ἐπαισχυνθῇς τὸ μαρτύριον τοῦ κυρίου ἡμῶν μηδὲ ἐμὲ τὸν δέσμιον αὐτοῦ" *), τῷ Τιμοθέῳ γράφει. εἴη δ' ἂν ὁ τοιοῦτος „ὁ κολλώμενος τῷ ἀγαθῷ", κατὰ τὸν ἀπόστολον, „ἀποστυγῶν τὸ πονηρὸν, ἀγάπην ἔχων ἀνυπόκριτον" **)· „ὁ γὰρ ἀγαπῶν τὸν ἕτερον νόμον πεπλήρωκεν" ***)· εἰ δὲ ὁ θεὸς τῆς ἐλπίδος οὗτός ἐστιν ᾧ μαρτυροῦμεν, ὥσπερ οὖν ἐστὶ, τὴν ἐλπίδα ἡμῶν ὁμολογοῦμεν εἰς τὴν ἐλπίδα σπεύδοντες. οἱ δὲ μέγιστοι „τῆς ἀγαθωσύνης πεπληρωμένοι", φησὶ, „πάσης τῆς γνώσεως" †).

§. 51. Ἰνδῶν οἱ φιλόσοφοι Ἀλεξάνδρῳ λέγουσι τῷ Μακεδόνι, σώματα μὲν μετάξεις ἐκ τόπου εἰς τόπον, ψυχὰς δ' ἡμετέρας οὐκ ἀναγκάσεις ποιεῖν ἃ μὴ βουλόμεθα, πῦρ ἀνθρώποις μέγιστον κολαστήριον, τούτου ἡμεῖς καταφρονοῦμεν. κἀντεῦθεν Ἡράκλειτος ἓν ἀντὶ πάντων κλέος ᾑρεῖτο; τοῖς δὲ πολλοῖς παραχωρεῖν ὁμολογεῖ καὶ κορῆσθαι οὐχ ὥσπερ κτήνεσι.

τοῦ σώματος γὰρ οὕνεχ' οἱ πολλοὶ πόνοι,
τοῦδ' εἵνεκ' οἶκον στεγανὸν ἐξευρήκαμεν
λευκόν τ' ὀρύττειν ἄργυρον σπείρειν τε γῆν,
τά τ' ἄλλ' ὅσ' ἡμεῖς ὀνόμασιν γινώσκομεν.

§. 52. Τοῖς μὲν οὖν πολλοῖς ἡ ματαιοπονία αὕτη αἱρετὴ, ἡμῖν δὲ ὁ ἀπόστολός φησι· „τοῦτο δὲ γινώσκομεν ὅτι ὁ παλαιὸς ἄνθρωπος ἡμῶν συνεσταύ-

*) 2 Timoth. 1, 7 sq. Rom. 8, 15. **) Roman. 12, 9. ***) Ibid. 13, 8. †) Ibid. 15, 13 sq.

ρωται, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας τοῦ P.
μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ *). ἀρ' οὐκ587.
ἐμφανῶς κἀκεῖνα ἐπιφέρει ὁ ἀπόστολος πείσας τὸν Pott.
καταισχυμμένον τῆς πίστεως παρὰ τοῖς πολλοῖς; πο-
κῶ γὰρ ὁ θεὸς ἡμᾶς τοὺς ἀποστόλους ἐσχάτους ἀπέ-
δειξεν ὡς ἐπιθανατίους, ὅτι θέατρον ἐγενήθημεν τῷ
κόσμῳ καὶ ἀγγέλοις καὶ ἀνθρώποις ἄχρι τῆς ἄρτι
ὥρας, καὶ πεινῶμεν καὶ διψῶμεν καὶ γυμνητεύομεν
καὶ κολαφιζόμεθα καὶ ἀστατοῦμεν καὶ κοπιῶμεν ἐρ-
γαζόμενοι ταῖς ἰδίαις χερσί, λοιδορούμενοι εὐλογοῦ-
μεν, διωκόμενοι ἀνεχόμεθα, βλασφημούμενοι παρακα-
λοῦμεν· ὡς περικαθάρματα τοῦ κόσμου ἐγενήθη-
μεν **).

§. 53. Τοιαῦτα καὶ τὰ τοῦ Πλάτωνος ἔν πολ-
λοῖς· καὶ στρέβλωται ὁ δικαιος κἂν ἐξορύττηται τιδὶ
ὀφθαλμὸν ἢ τι ἐπιδιαιμονῇ ἔστω· ἀλλὰν ἐπὶ τῇ ψυχῇ
τὸ τέλος ἔχει· πάντε ὁ γνωστικὸς κείμενον, ἀλλ' ἐπ'
αὐτῷ τῷ εὐδαιμονεῖν αἰεὶ καὶ τῷ μακαρίῳ εἶναι βα-
σιλικῷ τε φίλῳ τοῦ θεοῦ· κἂν ἀτιμίαν τις περιβάλλῃ
τοιαύτην φυγῆ τε καὶ δημεύσει καὶ ἐπὶ πᾶσι θανάτῳ·
οὐκ ἀποστησθήσεταί ποτε τῆς ἐλευθερίας καὶ παρρη-
σίας πρὸς τὸν θεὸν ἀγάπης, ἣ πάντα στέγει καὶ
πάντα ὑπομένει ***). καλῶς πάντα τὴν θείαν δυνα-
μιν πρόνοιαν πεπειστοι ἡ ἀγάπη· παρακαλεῖ οὖν
ἡμᾶς, μιμηταί μου γίνεσθε †), φησίν.

§. 54. Ὁ μὲν οὖν πρῶτος βαθμὸς τοῦ σώμα-
τος ἡ μετὰ φόβου διδασκαλία· δι' ἧς ἀπεχθανόμεθα
τῆς ἀδικίας· δεύτερος δὲ ἡ ἐλπὶς δι' ἣν ἐφιέμεθα
τῶν βελτίστων, τελειοῖ δὲ ἡ ἀγάπη· ὃς ποσαπλάσιόν ἐστι
γνωστικῶς ἤδη πάσχουσα. Ἕλληνες γὰρ οὐκ οἶδε
ὅπως ἀνάγκῃ δεδωκότες ἀλόγως τὰ συμβαίνοντα ἀ-
κοντες πείθεσθαι ὁμολογοῦσιν· ὁ γοῦν Εὐριπίδης
λέγει·

---

*) Rom. 6, 6. **) 1. Corinth. 4, 9. 11—13.
***) Ibid. 13, 7. †) Ibid. 4, 16.

Ἃ γοῦν παραινῶ, ταῦτά μοι δέξαι γνώμῃ.
Ἐφ᾽ ὑμῖν ἐσθίειν ὅσα οὐ πωλεῖται βρωτῶν,
θάπτειν τε τέκνα χάτερ᾽ ἢ σπείρει νέα,
αὐτός τε θνήσκειν καὶ πάλ᾽ ἄχθονται βροτοί.
εἶτα ἐποφέρει·
ταῦτα δεῖ
στέγειν ἄκρο δεῖ κατὰ φύσιν διεκπερᾶν,
οὗ δεινὸν οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.

§. 55. Πρόκειται δὲ τοῖς εἰς τελείωσιν σπεύδουσιν ἡ γνῶσις ἡ λογικὴ ἧς θεμέλιος ἡ ὑγιὴς τριὰς, πίστις, ἐλπὶς, ἀγάπη, μείζων τε τούτων ἡ ἀγάπη[*]). ἀμέλει πάντα ἔξεστιν, ἀλλ᾽ οὐ πάντα συμφέρει· πάντα ἔξεστιν, ἀλλ᾽ οὐ πάντα οἰκοδομεῖ[**]), φησὶν ὁ ἀπόστολος. καὶ μηδεὶς τὸ ἑαυτοῦ ζητείτω μόνον, ἀλλὰ καὶ τὸ τοῦ ἑτέρου[***]), ὡς ποιεῖν ὁμοῦ καὶ διδάσκειν δύνασθαι οἰκοδομοῦντα καὶ ἐποικοδομοῦντα. ὅτι μὲν γὰρ τοῦ κύριόν ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς[†]) ὁμολογεῖται, ἀλλ᾽ ἡ συνείδησις τοῦ ἀσθενοῦντος ὑποφέρειται· συνείδησιν δὲ λέγω οὐχὶ τὴν ἑαυτοῦ, ἀλλὰ τὴν τοῦ ἑτέρου. ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; εἰ ἐγὼ χάριτι μετέχω, τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; εἴτε οὖν ἐσθίετε εἴτε πίνετε εἴτε τι ποιεῖτε, πάντα εἰς δόξαν θεοῦ ποιεῖτε[††]). ἐν σαρκὶ γὰρ περιπατοῦντες οὐ κατὰ σάρκα στρατευόμεθα, τὰ γὰρ ὅπλα τῆς στρατείας ἡμῶν οὐ σαρκικὰ, ἀλλὰ δυνατὰ τῷ θεῷ πρὸς καθαίρεσιν ὀχυρωμάτων, λογισμοὺς καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ κυρίου[‡]).

§. 56. Ἑορτάζει ὁ γνωστικὸς τοῖς ὅπλοις κοσμούμενος· ὁ κύριος φησὶ δοὺς παράστασιν καὶ λόγον ἐπίδειξιν· ἐγὼ τὴν δεινὴν ταύτην ἀνθρώπων ὑπερφρονῶ διὰ τὴν πρὸς σὲ ἀγάπην·

*) 1 Corinth. 13, 13. **) Ibid. 10, 23 sq. ***) Ibid. v. 26. 28—31. †) 2 Corinth. 10, 3—5.

δθούνει ἀρετὴ τῶν ἐν ἀνθρώποις μόνη.
οὐκ ἐκ θυραίων ταπίχεια λαμβάνει,
αὐτὴ δ' ἑαυτὴν ἄθλα τῶν πόνων ἔχει.

ἐνδύσασθε οὖν ὡς ἐκλεκτοὶ τοῦ θεοῦ ἅγιοι καὶ ἠγαπημένοι σπλάγχνα οἰκτιρμῶν, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν, ἐπὶ πᾶσι δὲ τούτοις τὴν ἀγάπην, ὅ ἐστι σύνδεσμος τῆς τελειότητος, καὶ ἡ εἰρήνη τοῦ Χριστοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε" *) οἱ ἐν σώματι ἔτι ὄντες, καθάπερ οἱ παλαιοὶ δίκαιοι ἀπάθειαν ψυχῆς καὶ ἀταραξίαν καρπούμενοι. P. 589. Pott.

Cap. VIII.

§. 57. Ἐπεὶ οὖ μόνον Αἰσώπιοι καὶ Μακεδόνες καὶ Λάκωνες στρεβλούμενοι ἐκαρτέρουν, ὥς φησιν Ἐρατοσθένης ἐν τοῖς περὶ ἀγαθῶν καὶ κακῶν, ἀλλὰ καὶ Ζήνων ὁ Ἐλεάτης ἀναγκαζόμενος κατεπεῖν τι τῶν ἀπορρήτων ἀντέσχεν πρὸς τὰς βασάνους οὐδὲν ἐξομολογούμενος, ὃς γε καὶ τελευτῶν τὴν γλῶτταν ἐκτρώγων προσέπτυσε τῷ τυράννῳ, ὃν οἱ μὲν Νέαρχον, οἱ δὲ Δήμυλον προσαγορεύουσιν. ὁμοίως δὲ καὶ Θεόδοτος ὁ Πυθαγόρειος ἐποίησεν καὶ Παῦλος ὁ Λεκύδου γνώριμος, ὡς φησι Τιμόθεος ὁ Περγαμηνὸς ἐν τῷ περὶ τῆς τῶν φιλοσόφων ἀνδρείας καὶ Ἀχαϊκὸς ἐν τοῖς ἠθικοῖς. ἀλλὰ καὶ Πόστουμος ὁ Ῥωμαῖος ληφθεὶς ὑπὸ Πευκετίωνος οὐχ ὅπως τι τῶν κεκρυμμένων οὐκ ἐδήλωσεν, ἀλλὰ καὶ τὴν χεῖρα ἐπὶ τοῦ πυρὸς θεὶς καθάπερ εἰς χαλκὸν κατέθηκεν ἀτρέπτῳ πάνυ τῷ παραστήματι. τὰ γὰρ Ἀναξάρχου ὀσιωπῶ, πίσσε, ἐπιβοῶντος, τὸν Ἀναξάρχου θύλακον, Ἀνάξαρχον γὰρ οὐ πτίσσεις· ὀπηνίκα πρὸς τοῦ τυράννου ὑπέροις σιδηροῖς ἐπτίσσετο.

*) Coloss. 3, 12. 14 sq.

§. 58. Οὔτ' οὖν ἡ πᾶς εὐδαιμονίας ἐλπὶς οὐδ' ἡ πρὸς τὸν θεὸν ἀγάπη δυσανασχετεῖ πρὸς τὰ ἐπιπίπτοντα, μένει δὲ ἐλευθέρα κἂν θηρίοις τοῖς ἀγριωτάτοις πᾶν τῷ παμφάγῳ ἐκπεσὸν πυρὶ κἂν κατακτείνηται βασάνοις τυραννικαῖς, ταῖς θείαις ἀπαρτωμένη φιλίαις ἀδούλωτος. ἄνω περιπολεῖ τὸ σῶμα παραδοῦσα τοῖς τούτου μόνοις ἔχεσθαι δυναμένοις. λέγε- P.
τω δὲ ἔθνος βάρβαρον οὐκ ἄγευστον φιλοσοφίας· 590.
πρεσβύτην αἱροῦνται πρὸς Ζάμολξιν ἥρωα κατ' ἔνος. Rom.
ὁ δὲ Ζάμολξις ἦν τῶν Πυθαγόρου γνωρίμων.

§. 59. Ἀποσφάττεται οὖν ὁ δοκιμώτατος κριθεὶς ἀνιωμένων τῶν φιλοσοφησάντων μέν, οὐχ αἱρεθέντων δέ, ὡς ἀποδεδοκιμασμένων εὐδαίμονος ὑπηρεσίας. μεστὴ μὲν οὖν πᾶσα ἡ ἐκκλησία τῶν μελετησάντων τὸν ζώπυρον θάνατον εἰς Χριστὸν παρ' ὅλον τὸν βίον καθάπερ ἀνδρῶν, οὕτω δὲ καὶ γυναικῶν γνησίων. ἔξεστι γὰρ τῷ καθ' ἡμᾶς πολιτευομένῳ καὶ ἄνευ γραμμάτων φιλοσοφεῖν κἂν βάρβαρος ᾖ κἂν Ἕλλην κἂν δοῦλος κἂν γέρων κἂν παιδίον κἂν γυνή· κοινὴ γὰρ ἁπάντων τῶν ἀνθρώπων τῶν γε ἑλομένων ἡ σωφροσύνη. ὁμολόγηται δ' ἡμῖν τὴν αὐτὴν φύσιν κατὰ γένος ἕκαστον τὴν αὐτὴν καὶ ἴσχειν ἀρετήν.

§. 60. Οὐκ ἄλλην τοίνυν πρὸς τὴν ἀνθρωπότητα φύσιν ἔχει ἡ γυνὴ ἄλλην δὲ ὁ ἀνὴρ φαίνεται, ἀλλ' ἡ τὴν αὐτὴν, ὥστε καὶ τὴν ἀρετήν. εἰ δὲ ἀνδρὸς ἀρετὴ σωφροσύνη δήπουθεν καὶ δικαιοσύνη καὶ ὅσαι ταύταις ἀκόλουθοι νομίζονται ἀνδρὶ μόνῳ ἐναρέτῳ εἶναι προσήκει, γυναικὶ δὲ ἀνοίκειον καὶ ἀθέμιτον ἀλλὰ ἀπρεπὲς τοῦτο καὶ λέγειν· × σωφροσύνης οὖν ἐπιμεληθέον καὶ δικαιοσύνης καὶ τῆς ἄλλης ἀρετῆς ἁπάσης ὁμοίως μὲν γυναικὶ, ὁμοίως δὲ ἀνδρὶ, ἐλευθέρῳ τε καὶ δούλῳ, ἐπειδὴ μίαν καὶ τὴν αὐτὴν ἀρετὴν εἶναι τῆς αὐτῆς φύσεως συμβέβηκεν. τὸ μὲν τοίνυν τὴν αὐτὴν εἶναι φύσιν τοῦ θήλεος πρὸς τὸ ἄρρεν καθὸ θῆλύ ἐστιν οὐ φαμέν· πάντως γάρ τινα καὶ δια-

φορὰν ὑπάρχειν προσῆκεν ἑκατέρῳ τούτων δὲ ἦν τὸ μὲν θῆλυ αὐτῶν, τὸ δὲ ἄρρεν γέγονεν· τὸ γοῦν κυοφορεῖν καὶ τὸ τίκτειν τῇ γυναικὶ προσεῖναί φαμεν, καθὸ θήλεια τυγχάνει, οὐ καθὸ ἄνθρωπος. εἰ δὲ μηδὲν ἦν τὸ διάφορον ἀνδρὸς καὶ γυναικὸς, τὰ αὐτὰ ἂν ἑκάτερον αὐτῶν ἔδρα τε καὶ ἔπασχεν.

§. 61. Ἡ μὲν τοίνυν ταυτόν ἐστι καθὸ ψυχή, ταύτῃ ἐπὶ τὴν αὐτὴν ἀφίξεται ἀρετήν· ᾗ δὲ διάφορον, κατὰ τὴν τοῦ σώματος ἰδιότητα, ἐπὶ τὰς κυήσεις καὶ τὴν οἰκουρίαν. „θέλω γὰρ ὑμᾶς", φησὶν ὁ ἀπόστολος, „εἰδέναι, ὅτι παντὸς ἀνδρὸς ἡ κεφαλὴ ὁ Χριστός, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνήρ· οὐ γάρ ἐστιν ἐκ γυναικὸς ἀνὴρ, ἀλλὰ γυνὴ ἐξ ἀνδρός. πλὴν οὔτε γυνὴ χωρὶς ἀνδρὸς, οὔτε ἀνὴρ χωρὶς γυναικὸς ἐν κυρίῳ" *). ὡς γὰρ σώφρονα τὴν ἄνδρα καὶ τῶν ἡδονῶν κρείττονα δεῖν εἶναί φαμεν, οὕτω καὶ τὴν γυναῖκα σώφρονά τε ὁμοίως ἀξιώσαιμεν εἶναι καὶ πρὸς τὰς ἡδονὰς διαμάχεσθαι μεμελετηκυῖαν· „λέγω δέ· πνεύματι περιπατεῖτε καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε", ἡ ἀποστολικὴ συμβουλεύει ἐντολή· „ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος, τὸ δὲ πνεῦμα κατὰ τῆς σαρκός. ταῦτα" οὖν „ἀντίκειται" οὐχ ὡς κακὸν ἀγαθῷ, ἀλλ' ὡς συμφερόντως μαχόμενα.

P. 591. Pott.

§. 62. Ἐπιφέρει γοῦν, „ἵνα μὴ ἃ ἂν θέλητε ταῦτα ποιῆτε. φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκὸς, ἅ τινά ἐστι, πορνεία, ἀκαθαρσία, ἀσέλγεια, εἰδωλολατρεία, φαρμακεῖαι, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοὶ, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις, ἃ προλέγω ὑμῖν καθὼς καὶ προεῖπον ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν. ὁ δὲ καρπὸς τοῦ πνεύματός ἐστιν ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἐγ-

*) 1 Corinth. 11, 3. 8. 11.

πράξεια, ἀγαθωσύνη, πίστις, πραότης" *). „σάρκα", οἶμαι, τοὺς ἁμαρτωλοὺς, ὡς „πνεῦμα" τοὺς δικαίους εἰρηκεν. καὶ μὴν τὸ τῆς ἀνδρείας πρὸς τὸ εὐθαρσὲς καὶ τὸ ὑπομονητικὸν παραληπτέον, ὡς „τῷ ἐπιόντι τὴν σιαγόνα παραταθῆναι τὴν ἑτέραν καὶ τῷ τὸ ἱμάτιον αἴροντι καὶ τοῦ χιτῶνος παραχωρεῖν" **) θυμοῦ κρατοῦντας ἐρωμένως. οὐ γάρ τινας Ἀμαζόνας τὰ πολεμικὰ ἀνδρείας ἀσκοῦμεν τὰς γυναῖκας, ὅπου γε καὶ τοὺς ἄνδρας εἰρηνικοὺς εἶναι βουλόμεθα.

§. 63. Ἀκούω δ' ἔγωγε καὶ Σαυρομάτιδας γυναῖκας πολέμῳ χρωμένας ἀνδρῶν οὐκ ἔλαττον, καὶ Σαλίδας ἄλλας αἱ τοξεύουσιν εἰς τοὐπίσω φεύγειν προσποιούμεναι τοῖς ἀνδράσιν ἐπ' ἴσης. οἶδα καὶ
P. τὰς πλησίον τῆς Ἰβηρίας γυναῖκας ἔργῳ καὶ πόνῳ P.
214 χρωμένας ἀνδρικῷ, κἂν πρὸς τὸ ἀποκύειν γένωνται 592
Syl. οὐδὲν ἀνιείσας τῶν πρακτέων, ἀλλ' ἐν αὐτῇ πολ- Pot.
λάκις τῇ ἀμίλλῃ τῶν πόνων ἡ γυνὴ ἀποκυήσασα τὸ βρέφος ἀνελομένη οἴκαδε φέρει. ἤδη γοῦν αἱ γυναῖκες οὐδὲν ἔλαττον τῶν ἀρρένων καὶ οἰκουροῦσι καὶ θηρεύουσι καὶ τὰς ποίμνας φυλάττουσι.

Κρῆσσα κύων ἐλάφοιο καὶ ἴχνιον ἔδραμε γοργῶς. φιλοσοφητέον οὖν καὶ ταῖς γυναιξὶν ἐμφερῶς τοῖς ἀνδράσι κἂν βελτίους οἱ ἄρρενες τὰ πρῶτα ἐν πᾶσι φερόμενοι τυγχάνωσιν, ἐκτὸς εἰ μὴ καταμαλακισθεῖεν.

§. 64. Ἀναγκαῖον οὖν σύμπαντι τῷ τῶν ἀνθρώπων γένει παιδεία τε καὶ ἀρετὴ, εἴ γε ἐπὶ τὴν εὐδαιμονίαν σπεύδοιεν. καὶ πῶς οὐ μάτην Εὐριπίδης ποικίλως γράφει; ποτὲ μὲν,

πᾶσα γὰρ ἀνδρὸς κακίων ἄλοχος
κἂν ὁ κράτιστος
γήμῃ τὴν εὐδοκιμοῦσαν·

ποτὲ δὲ, πᾶσα γὰρ δούλη ἐστὶν ἀνδρὸς ἥ σώφρων

*) Galat. 5, 16 sq. 19—22. **) Luc. 6, 29.

γυνὴ,

ἡ δὲ μὴ σώφρων ἀνοίᾳ τὸν ξυνόνθ' ὑπερφρονεῖ·

οὐ μὲν γὰρ * * κρεῖσσον καὶ ἄρειον,

ἢ ὅθ' ὁμοφρονέοντε νοήμασιν οἶκον ἔχητον,

ἀνὴρ ἠδὲ γυνή *).

κεφαλὴ τοίνυν τὸ ἡγεμονικόν. εἰ δὲ „κύριος κεφαλὴ τοῦ ἀνδρὸς, κεφαλὴ δὲ γυναικὸς ὁ ἀνὴρ", κύριος ὁ ἀνὴρ τῆς γυναικὸς, „εἰκὼν καὶ δόξα θεοῦ" **) ὑπάρχων.

§. 65. Διὸ καὶ ἐν τῇ πρὸς Ἐφεσίους γράφει· „ὑποτασσόμενοι ἀλλήλοις ἐν φόβῳ θεοῦ, αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ὡς τῷ κυρίῳ, ὅτι ὁ ἀνήρ ἐστι κεφαλὴ τῆς γυναικὸς ὡς καὶ ὁ Χριστὸς κεφαλὴ τῆς ἐκκλησίας, αὐτὸς ὁ σωτὴρ τοῦ σώματος. ἀλλ' ὡς ἡ ἐκκλησία ὑποτάσσεται τῷ Χριστῷ, οὕτως καὶ αἱ γυναῖκες τοῖς ἰδίοις ἀνδράσιν ἐν παντί. οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας καθὼς καὶ ὁ Χριστὸς ἠγάπησεν τὴν ἐκκλησίαν· οὕτω καὶ οἱ ἄνδρες ὀφείλουσιν ἀγαπᾶν τὰς ἑαυτῶν γυναῖκας, ὡς τὰ ἑαυτῶν σώματα. ὁ ἀγαπῶν τὴν ἑαυτοῦ γυναῖκα, ἑαυτὸν ἀγαπᾷ· οὐδεὶς γάρ ποτε τὴν ἑαυτοῦ σάρκα ἐμίησεν" ***). P. 593. Pott.

§. 66. Κἂν τῇ πρὸς Κολοσσαεῖς· „αἱ γυναῖκες", φησὶν, „ὑποτάσσεσθε τοῖς ἀνδράσιν ὡς ἀνήκει ἐν κυρίῳ. οἱ ἄνδρες ἀγαπᾶτε τὰς γυναῖκας καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσι κατὰ πάντα, τοῦτο γὰρ εὐάρεστον τῷ κυρίῳ. οἱ πατέρες μὴ ἐρεθίζετε τὰ τέκνα ὑμῶν ἵνα μὴ ἀθυμῶσιν. οἱ δοῦλοι ὑπακούετε τοῖς κατὰ σάρκα κυρίοις μὴ ἐν ὀφθαλμοδουλείαις ὡς ἀνθρωπάρεσκοι, ἀλλ' ἐν ἁπλότητι καρδίας φοβούμενοι τὸν κύριον, καὶ πᾶν ὃ ἐὰν ποιῆτε ἐκ ψυχῆς ἐργάζεσθε, ὡς τῷ κυρίῳ δουλεύοντες καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι ἀπὸ κυρίου ἀπολήψεσθε τὴν ἀνταπόδοσιν τῆς κληρονομίας, τῷ

*) Homer. Odyss. ζ. v. 182. **) 1 Corinth. 11, 8. 7.
***) Ephes. 5, 21—25. 28 sq.

γὰρ κυρίῳ Χριστῷ δουλεύετε, ὁ γὰρ ἄδικος κομίσεται ὃ ἠδίκησεν καὶ οὐκ ἔστι προσωποληψία. οἱ κύριοι τὸ δίκαιον καὶ τὴν ἰσότητα τοῖς δούλοις παρέχετε εἰδότες ὅτι καὶ ὑμεῖς ἔχετε κύριον ἐν οὐρανῷ" *), ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος Σκύθης, δοῦλος ἐλεύθερος, ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός **).

§. 68. Εἰκὼν δὲ τῆς οὐρανίου ἐκκλησίας ἡ ἐπίγειος, ὅπερ εὐχόμεθα καὶ „ἐπὶ γῆς γενέσθαι τὸ θέλημα τοῦ θεοῦ ὡς ἐν οὐρανῷ" ***)· „ἐνδυσάμενοι σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα, ταπεινοφροσύνην, πραότητα, μακροθυμίαν, ἀνεχόμενοι ἀλλήλων καὶ χαριζόμενοι ἑαυτοῖς ἐάν τις πρός τινα ἔχῃ μομφήν, καθὼς καὶ ὁ Χριστὸς ἐχαρίσατο ἡμῖν, οὕτως καὶ ἡμεῖς. ἐπὶ πᾶσι δὲ τούτοις ἡ ἀγάπη ὅ ἐστι σύνδεσμος τῆς τελειότητος, καὶ ἡ εἰρήνη τοῦ Χριστοῦ βραβευέτω ἐν ταῖς καρδίαις ὑμῶν εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώματι, καὶ εὐχάριστοι γίνεσθε" †). οὐδὲν γὰρ κωλύει πολλάκις τὴν αὐτὴν παρατίθεσθαι γραφὴν εἰς ἐντροπὴν Μαρκίωνος ἤν πως μεταβάληται πεισθείς, εὐχάριστον δεῖν μαθὼν τὸν πιστὸν εἶναι τῷ δημιουργῷ θεῷ τῷ καλέσαντι ἡμᾶς καὶ εὐαγγελισαμένῳ ἐν σώματι.

§. 69. Σαφὴς ἡμῖν ἐκ τούτων ἡ ἐκ πίστεως ἑνότης καὶ τίς ὁ τέλειος δέδεικται, ὥστε καὶ ἀκόντων τινῶν καὶ τὰ πλεῖστα ἐνισταμένων κἂν κολάσεις ἐπαρτῶνται πρὸς τοῦ ἀνδρὸς ἢ πρὸς τοῦ δεσπότου φιλοσοφήσει ὅ τε οἰκέτης ἥ τε γυνή. ναὶ μὴν καὶ ἐλεύθερος κἂν τυράννου θάνατος ἀπειλῆται τούτῳ κἂν ἐπὶ δικαστήρια ἄγηται καὶ εἰς κινδύνους ἐσχάτους περιέλκηται περί τε τῆς κτήσεως ἁπάσης κινδυνεύσῃ οὐκ ἀφέξεται τῆς θεοσεβείας οὐδ' ὅπως [illegible] οὖν, οὐδὲ ἀπαυδήσει ποτὲ ἡ μὲν γυνὴ φαύλῳ συνοι[illegible]

*) Coloss. 3, 18—25. 4, 1. **) Ibid. 3, 11. ***) Matth. 6, 10. Luc. 11, 2. †) Coloss. 3, 12—15

κοῦσα ἀνδρὶ, ὁ δὲ υἱὸς ἐὰν φαῦλον ἔχῃ πατέρα ἢ πονηρὸν δεσπότην ὁ οἰκέτης, τῆς ἀρετῆς ἐχόμενοι γενναίως, ἀλλ' ὡς ἀνδρὶ ἀποθνήσκειν καλὸν ὑπέρ τε ἀρετῆς ὑπέρ τε ἐλευθερίας ὑπέρ τε ἑαυτοῦ, ὡσαύτως καὶ γυναικὶ, οὐ γὰρ τῆς τῶν ἀρρένων φύσεως τοῦτο ἴδιον, ἀλλὰ τῆς τῶν ἀγαθῶν.

§. 70. Πιστῶς οὖν καὶ ὁ πρεσβύτης καὶ ὁ νέος καὶ ὁ οἰκέτης ὑπακούων ταῖς ἐντολαῖς βιώσεταί τε καὶ ἐὰν δέῃ τεθνήξεται, ὅπερ ἂν εἴη διὰ θανάτου ζωοποιηθῆναι. ἴσμεν γοῦν καὶ παῖδας καὶ γυναῖκας καὶ οἰκέτας πολλάκις ἀκόντων πατέρων καὶ δεσποτῶν καὶ ἀνδρῶν βελτίστους γεγονέναι. οὔκουν ἔλαττον προθυμεῖσθαι χρὴ τοὺς μέλλοντας θεοσεβῶς ζήσειν ἐπειδὰν εἴργειν αὐτούς τινες δοκῶσιν, ἀλλὰ πολὺ πλέον οἶμαι προσήκειν σπεύδειν τε καὶ ἀγωνίζεσθαι διαφερόντως, ὅπως ἂν μὴ ἡττηθέντες ἀποπτέσωσι τῶν ἀρίστων καὶ ἀναγκαιοτάτων βουλευμάτων. οὐ γὰρ οἶμαι σύγκρισιν ἐπιδέχεσθαι πότερον ἄμεινον θειασώτην γενέσθαι τοῦ παντοκράτορος ἢ τὸ τῶν δαιμόνων ἑλέσθαι σκότος. τὰ μὲν γὰρ ἄλλων ἕνεκα πραττόμενα ἡμῖν ἑκάστοτε πράξαιμεν ἂν εἰς ἐκείνους ἀποβλέπειν πειρώμενοι, ὧν ἕνεκα γίνεσθαι δοκεῖ, μέτρον ἡγούμενοι τοῦτο τὸ ἐν ἐκείνοις κεχαρισμένον, τὰ δὲ αὐτῶν μᾶλλον ἢ τινῶν ἑτέρων, ταῦτα ἂν ἡμῖν γίγνοιτο μετὰ τῆς ἴσης σπουδῆς ἐάν τε ἀρέσκειν τισὶ δοκῇ ἐάν τε καὶ μή.

§. 71. Εἰ δὴ τῶν ἀδιαφόρων ἕνια τριφύτην εἴληχε τιμὴν ὥστε καὶ ἀκόντων τινῶν αἱρετὰ εἶναι δοκεῖν, πολὺ δὲ πλέον τὴν ἀρετὴν περιμάχητον νομιστέον, μὴ εἰς ἄλλο τι ὠφροῦντας, ἀλλὰ εἰς αὐτὸ τὸ καλῶς πραχθῆναι δυνάμενον ἐάν τε ἑτέροις δοκῇ ἐάν τε καὶ μή. καλῶς οὖν καὶ Ἐπίκουρος Μενοικεῖ γράφων· μήτε νέος τις ὢν μελλέτω φιλοσοφεῖν μήτε γέρων ὑπάρχων κοπιάτω φιλοσοφῶν, οὔτε γὰρ ἄωρος οὐδείς ἐστιν οὔτε πάρωρος πρὸς τὸ κατὰ

ψυχὴν ὑγιαίνειν. ὁ δὲ λέγων ἢ μήπω τοῦ φιλοσοφεῖν ὑπάρχειν ὥραν ἢ παρεληλυθέναι τὴν ὥραν ὁμοίως ἐστὶ τῷ λέγοντι πρὸς εὐθαιμονίαν ἢ μήπω παρεῖναι τὴν ὥραν ἢ μηκέτ' εἶναι τὴν ὥραν. ὥστε φιλοσοφητέον καὶ νεωτέρῳ καὶ γέροντι, τῷ μὲν ὅπως γηράσκων νεάζῃ τοῖς ἀγαθοῖς διὰ τὴν χάριν τῶν γεγονότων, τῷ δὲ ὅπως νέος ἅμα καὶ παλαιὸς ᾖ διὰ τὴν ἀφοβίαν τῶν μελλόντων.

Cap. IX.

§. 72. Περὶ δὲ τοῦ μαρτυρίου διαρρήδην ὁ κύριος εἴρηκεν, καὶ τὰ διαφόρως γεγραμμένα συντάξομεν· „λέγω δὲ ὑμῖν πᾶς ὃς ἐὰν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ θεοῦ, τὸν δὲ ἀρνησάμενόν με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνήσομαι αὐτὸν ἔμπροσθεν τῶν ἀγγέλων" *). „ὃς γὰρ ἂν ἐπαισχυνθῇ με ἢ τοὺς ἐμοὺς λόγους ἐν τῇ γενεᾷ ταύτῃ τῇ μοιχαλίδι καὶ ἁμαρτωλῷ καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐπαισχυνθήσεται αὐτὸν ὅταν ἔλθῃ ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἁγγέλων αὐτοῦ" **). „πᾶς οὖν ὅστις ἐὰν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς" ***). „ὅταν δὲ φέρωσιν ὑμᾶς εἰς τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας μὴ προμεριμνᾶτε πῶς ἀπολογηθῆτε ἢ τί εἴπητε, τὸ γὰρ ἅγιον πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ τί δεῖ εἰπεῖν" †).

§. 73. Τοῦτον ἐξηγούμενος τὸν τόπον Ἡρακλέων ὁ τῆς Οὐαλεντίνου σχολῆς δοκιμώτατος κατὰ λέξιν φησὶν ὁμολογίαν εἶναι τὴν μὲν ἐν τῇ πίστει

*) Luc. 12, 8. **) Marc. 8, 38. ***) Matth. 10, 32. †) Luc. 12, 11 sq.

καὶ πολιτείᾳ, τὴν δὲ ἐν φωνῇ. ἡ μὲν οὖν ἐν φωνῇ ὁμολογία καὶ ἐπὶ τῶν ἐξουσιῶν γίνεται, ἣν μόνην, φησὶν, ὁμολογίαν ἡγοῦνται εἶναι οἱ πολλοὶ, οὐχ ὑγιῶς, δύνανται δὲ ταύτην τὴν ὁμολογίαν καὶ οἱ ὑποκριταὶ ὁμολογεῖν. ἀλλ' οὐδ' εὑρεθήσεται οὗτος ὁ λόγος καθολικῶς εἰρημένος, οὐ γὰρ πάντες οἱ σωζόμενοι ὡμολόγησαν τὴν διὰ τῆς φωνῆς ὁμολογίαν καὶ ἐξῆλθον, ἐξ ὧν Ματθαῖος, Φίλιππος, Θωμᾶς, Λευῒς καὶ ἄλλοι πολλοί. καὶ ἔστιν ἡ διὰ τῆς φωνῆς ὁμολογία οὐ καθολικὴ, ἀλλὰ μερική. καθολικὴ δὲ ἣν νῦν λέγει τὴν ἐν ἔργοις καὶ πράξεσι καταλλήλοις τῆς εἰς αὐτὸν πίστεως. ἔπεται δὲ ταύτῃ τῇ ὁμολογίᾳ καὶ ἡ μερικὴ ἡ ἐπὶ τῶν ἐξουσιῶν, ἐὰν δέῃ καὶ ὁ λόγος αἱρῇ, ὁμολογήσει γὰρ οὗτος καὶ τῇ φωνῇ ὀρθῶς προομολογήσας πρότερον τῇ διαθέσει.

§. 74. Καὶ καλῶς ἐπὶ μὲν τῶν ὁμολογούντων P. "ἐν ἐμοὶ" εἶπεν, ἐπὶ δὲ τῶν ἀρνουμένων τὸ "ἐμὲ" 596. προσέθηκεν. οὗτοι γὰρ κἂν τῇ φωνῇ ὁμολογήσωσιν Pott. αὐτὸν, ἀρνοῦνται αὐτὸν τῇ πράξει μὴ ὁμολογοῦντες, μόνοι δ' ἐν αὐτῷ ὁμολογοῦσιν οἱ ἐν τῇ κατ' αὐτὸν ὁμολογίᾳ καὶ πράξει βιοῦντες, ἐν οἷς καὶ αὐτὸς ὁμολογεῖ ἐκβεβλημένος αὐτοὺς καὶ ἐχόμενος ὑπὸ τούτων, διόπερ "ἀρνήσασθαι ἑαυτὸν οὐδέποτε δύναται" *). ἀρνοῦνται δὲ αὐτὸν οἱ μὴ ὄντες ἐν αὐτῷ, οὐ γὰρ εἶπεν, "ὃς ἀρνήσηται ἐν ἐμοὶ", ἀλλ' "ἐμέ". οὐδεὶς γάρ ποτε ὢν ἐν αὐτῷ ἀρνεῖται αὐτόν. τὸ δὲ "ἔμπροσθεν τῶν ἀνθρώπων" καὶ τῶν σωζομένων καὶ τῶν ἐθνικῶν δὲ ὁμοίως παρ' οἷς μὲν καὶ τῇ πολιτείᾳ, παρ' οἷς δὲ καὶ τῇ φωνῇ. διόπερ ἀρνήσασθαι αὐτὸν οὐδέποτε δύνανται, ἀρνοῦνται δὲ αὐτὸν οἱ μὴ ὄντες ἐν αὐτῷ.

§. 75. Ταῦτα μὲν ὁ Ἡρακλέων, καὶ τὰ μὲν ἄλλα φαίνεται ὁμοδοξεῖν ἡμῖν κατὰ τὴν περικοπὴν

*) 2 Timoth. 2, 13.

ταύτην, ἐκεῖνο δὲ οὐκ ἐπέστησεν ὅτι εἰ καὶ μὴ πράξει τινὲς καὶ τῷ βίῳ „ὡμολόγησαν τὸν Χριστὸν ἔμπροσθεν τῶν ἀνθρώπων", τὸ μέντοι κατὰ φωνὴν ὁμολογεῖν ἐν δικαστηρίοις καὶ μέχρι θανάτου βασανιζομένους μὴ ἀρνεῖσθαι ἀπὸ διαθέσεως πεπιστευκέναι φαίνονται, διάθεσις δὲ ὁμολογουμένη καὶ μάλιστα ἡ μηδὲ θανάτῳ τρεπομένη ὑφ' ἕνα πάντων τῶν παθῶν ἃ δὴ διὰ τῆς σωματικῆς ἐπιθυμίας ἐγεννᾶτο ἀποκοπὴν ποιεῖται· ἔστι γὰρ ὡς ἔπος εἰπεῖν ἐπὶ τέλει τοῦ βίου ἀθρόα κατὰ τὴν πρᾶξιν μετάνοια καὶ ἀληθὴς εἰς Χριστὸν ὁμολογία ἐπιμαρτυρούσης τῆς φωνῆς. εἰ δὲ „τὸ πνεῦμα τοῦ πατρὸς" ἐν ἡμῖν μαρτυρεῖ, πῶς ἔτι ὑποκριταὶ οὓς φωνῇ μόνῃ μαρτυρεῖν εἴρηκεν; δοθήσεται δέ τισιν ἐὰν συμφέρῃ ἀπολογήσασθαι, ἵνα διά τε τῆς μαρτυρίας διά τε τῆς ὁμολογίας ὠφελῶνται οἱ πάντες, ἰσχυροποιούμενοι μὲν οἱ κατ' ἐκκλησίαν, θαυμάζοντες δὲ καὶ εἰς πίστιν ὑπαγόμενοι οἱ ἐξ ἐθνῶν τὴν σωτηρίαν πολυπραγμονήσαντες, οἱ λοιποὶ δὲ ὑπ' ἐκπλήξεως κατεχόμενοι.

§. 76. Ὥστε τὸ ὁμολογεῖν ἐκ παντὸς δεῖ, ἐφ' ἡμῖν γὰρ, ἀπολογεῖσθαι δὲ οὐκ ἐκ παντὸς, οὐ γὰρ καὶ τοῦτο ἐφ' ἡμῖν. „ὁ δὲ ὑπομείνας εἰς τέλος οὗτος σωθήσεται" *)· ἐπεὶ τίς οὐκ ἂν τῶν εὖ φρονούντων βασιλεύειν ἐν θεῷ, ἀλλ' οὐ δουλεύειν ἕλοιτο; „θεὸν οὖν ὁμολογοῦσί" τινες „εἰδέναι" κατὰ τὸν ἀπόστολον, τοῖς δὲ ἔργοις ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι" **), οἱ δὲ κἂν τοῦτο μόνον ὁμολογήσωσιν ἕν τι κατεπράξαντο ἐπὶ τέλει ἔργον ἀγαθόν. ἔοικεν οὖν τὸ μαρτύριον ἀποκάθαρσις εἶναι ἁμαρτιῶν μετὰ δόξης. αὐτίκα ὁ ποιμήν φησιν, „ἐκφεύξεσθε τὴν ἐνέργειαν τοῦ ἀγρίου θηρίου, ἐὰν ἡ καρδία ὑμῶν γένηται καθαρὰ καὶ ἄμωμος. ἀλλὰ καὶ αὐτὸς ὁ κύ-

P. 216 Sylb. 59 P.

*) Matth. 24, 13. **) Tit. 1, 16.

ριος, „ἐξητήσατο ὑμᾶς ὁ σατανᾶς", λέγει, „σινιάσαι, ἐγὼ δὲ παρῃτησάμην" *).

§. 77. Μόνος ταύνυ ὁ κύριος διὰ τὴν τῶν ἐπιβουλευόντων αὐτῷ ἀνθρώπων καὶ τὴν τῶν ἀπίστων ἀποκάθαρσιν, „ἔπιεν τὸ ποτήριον" **)· ὃν μιμούμενοι οἱ ἀπόστολοι ὡς ἂν τῷ ὄντι γνωστικοὶ καὶ τέλειοι ὑπὲρ τῶν ἐκκλησιῶν ἃς ἔπηξαν ἔπαθον. οὕτως οὖν καὶ οἱ κατ' ἴχνος τὸ ἀποστολικὸν πορευόμενοι γνωστικοὶ ἀναμάρτητοί γε εἶναι ὀφείλουσι καὶ δι' ἀγάπην τὴν πρὸς τὸν κύριον ἀγαπᾶν καὶ τὸν πλησίον, ἵν' εἰ καλοίη περίστασις ὑπὲρ ἐκκλησίας ἀσκανδάλιστοι τὰς θλίψεις ὑπομένοντες „τὸ ποτήριον πίωσιν". ὅσοι δὲ ἔργῳ μὲν παρὰ τὸν βίον, λόγῳ δὲ ἐν δικαστηρίῳ μαρτυροῦσι κἂν ἐλπίδα ἐκδεχόμενοι κἂν φόβον ὑφορώμενοι βελτίους οὗτοι τῶν στόματι μόνον ὁμολογούντων τὴν σωτηρίαν. ἀλλ' εἰ καὶ ὑπερβαίη τις ἐπὶ τὴν ἀγάπην τῷ ὄντι μακάριος οὗτος καὶ γνήσιος μάρτυς τελείως ὁμολογήσας καὶ ταῖς ἐντολαῖς καὶ τῷ Θεῷ διὰ τοῦ κυρίου, ὃν ἀγαπήσας ἀδελφὸν ἐγνώρισεν ὅλον ἑαυτὸν ἐπιδοὺς διὰ τὸν Θεὸν οἷον παρακαταθήκην εὐγνωμόνως καὶ ἀγαπητικῶς ἀποδιδοὺς τὸν ἀπαιτούμενον ἄνθρωπον.

Cap. X.

§. 78. Ἐπὰν δ' ἔμπαλιν εἴπῃ, „ὅταν διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἄλλην" ***)· οὐχ ὡς κακὸν τὸ διώκεσθαι παραινεῖ φεύγειν οὐδ' ὡς θάνατον φοβουμένους διὰ φυγῆς ἐκκλίνειν προστάττει τοῦτον, βούλεται δὲ ἡμᾶς μηδενὶ αἰτίους μηδὲ συναιτίους κακοῦ τινὸς γίνεσθαι σφίσιν τε αὐτοῖς, πρὸς δὲ καὶ τῷ διώκοντι καὶ τῷ ἀναιροῦντι, τρόπον γάρ τινα προσαγγέλλει ἑαυτὸν

*) Luc. 22, 31 sq. **) Matth. 20, 22. ***) Ibid. 10, 23.

περιίστασθαι, ὁ δὲ παρακούων τολμηρὸς καὶ ῥιψοκίνδυνος.

§. 79. Εἰ δὲ ὁ ἀναιρῶν „ἄνθρωπον Θεοῦ" εἰς θεὸν ἁμαρτάνει καὶ τοῦ ἀποκτιννύντος αὐτὸν ἔνοχος καθίσταται ὁ ἑαυτὸν προσάγων τῷ δικαστηρίῳ· οὗτος δ' ἂν εἴη ὁ μὴ περιστελλόμενος τὸν διωγμὸν ἁλώσιμον διὰ θράσος παρέχων ἑαυτόν, οὗτός ἐστι τὸ ὅσον ἐφ' ἑαυτῷ ὁ συνεργὸς γινόμενος τῇ τοῦ διώκοντος πονηρίᾳ, εἰ δὲ καὶ προσερεθίζοι, τέλεον αἴτιος, ἐκκαλούμενος τὸ θηρίον. ὡς δ' αὕτως κἂν αἰτίαν μάχης παράσχῃ τινὰ ἢ ζημίας ἢ δίκης ἢ ἔχθρας ἀφορμὴν ἐγέννησε διωγμοῦ. διὰ τοῦτ' οὖν μηδενὸς ἀντέχεσθαι τῶν ἐν τῷ βίῳ προστέταχται ἡμῖν, ἀλλὰ καὶ „τῷ αἴροντι τὸ ἱμάτιον καὶ τὸν χιτῶνα προσδιδόναι"*)· οὐχ ἵνα ἀπροσπαθεῖς διαμένωμεν μόνον, ἀλλ' ὡς μὴ ἀντιποιούμενοι τοὺς ἐπιδικαζομένους ἐφ' ἑαυτοὺς ἀγοριαίνωμεν καὶ δι' ἡμῶν ἐπὶ τὴν τοῦ ὀνόματος διακινῶμεν βλασφημίαν.

P. 598 Rom.

Cap. XI.

§. 80. Ναί φασιν, εἰ κήδεται ὑμῶν ὁ Θεὸς, τί δήποτε διώκεσθε καὶ φονεύεσθε ἢ αὐτὸς ὑμᾶς εἰς τοῦτο ἐκδίδωσιν; ἡμεῖς δὲ οὐχ οὕτως ὑπολαμβάνομεν τοῖς περιστατικοῖς περιπίπτειν ἡμᾶς τὸν κύριον βουληθῆναι, ἀλλὰ προφητικῶς τὰ συμβήσεσθαι μέλλοντα προειρηκέναι, ὡς διὰ τὸ ὄνομα αὐτοῦ διωχθησόμεθα, φονευθησόμεθα, ἀνασκινδυλευθησόμεθα. ὥστ' οὐ διώκεσθαι ἠθέλησεν ἡμᾶς, ἀλλ' ἃ πεισόμεθα προεμήνυσεν διὰ τῆς τοῦ συμβήσεσθαι προαγορεύσεως εἰς χαρτέριαν γυμνασίας ἢ τὴν κληρονομίαν ἐπηγγείλατο. καὶ τοὶ οὐ μόνοι, ἀλλὰ μετὰ πολλῶν κολαζόμεθα. ἀλλ' ἐκεῖνοι, φασὶ, κακοῦργοι τυγχάνοντες δικαίως ὑπίσχουσι τὴν τιμωρίαν.

*) Luc. 6, 29.

§. 81. Ἄκοντες οὖν μαρτυροῦσιν ἡμῖν τὴν δικαιοσύνην τοῖς διὰ δικαιοσύνην ἀδίκως κολαζομένοις. ἀλλ' οὐδὲ τὸ ἄδικον τοῦ δικαστοῦ τῆς προνοίας ἅπτεται, δεῖ γὰρ κύριον εἶναι τὸν κριτὴν τῆς ἑαυτοῦ γνώμης, μὴ νευροσπαστούμενον ἀψύχων δίκην ὀργάνων ἀφορμὰς ἴσως μόνον παρὰ τῆς ἔξωθεν αἰτίας λαμβάνοντα. δοκιμάζεται γοῦν ἐν ᾧ κρίνει καθάπερ καὶ ἡμεῖς κατά τε τὴν τῶν αἱρετῶν ἐκλογὴν κατά τε τὴν ὑπομονὴν κἂν μὴ ἀδικῶμεν, ἀλλ' ὡς ἀδικοῦσιν ἡμῖν ὁ δικαστὴς ἀφορᾷ, οὐ γὰρ οἶδεν τὰ καθ' ἡμᾶς οὐδὲ θέλει μαθεῖν, προλήψει δὲ συναπάγεται κενῇ, διὸ καὶ κρίνεται. διώκουσι τοίνυν ἡμᾶς οὐκ ἀδίκους εἶναι καταλαβόντες, ἀλλ' αὐτῷ μόνῳ τῷ Χριστιανοὺς εἶναι τὸν βίον ἀδικεῖν ὑπολαμβάνοντες αὐτούς τε οὕτω πολιτευομένους καὶ τοὺς ἄλλους τὸν ὅμοιον αἱρεῖσθαι βίον προστρεπομένους.

§. 82. Διὰ τί δὲ οὐ βοηθεῖσθε διωκόμενοι; φασί. τί γὰρ καὶ ἀδικούμεθα ὡς πρὸς ἡμᾶς αὐτοὺς θανάτῳ ἀπολυόμενοι πρὸς τὸν κύριον καὶ καθάπερ ἡλικίας μεταβολὴν, οὕτω δὲ καὶ βίου ἀλλαγὴν ὑπομένοντες; εἰ δὲ εὖ φρονοῦμεν χάριν εἰσόμεθα τοῖς τὴν ἀφορμὴν τῆς ταχείας ἀποδημίας παρεσχημένοις, εἰ δι' ὠμότητα μαρτυροῖμεν, εἰ δὲ μὴ, φαῦλοί τινες ἄνδρες εἶναι τοῖς πολλοῖς ἐδοκοῦμεν ἡμεῖς. εἰ ἦδεσαν δὲ καὶ αὐτοὶ τὴν ἀλήθειαν, πάντες μὲν ἂν ἐπεπήδων τῇ ὁδῷ, ἐκλογὴ δὲ οὐκ ἂν ἦν. ἀλλὰ γὰρ ἡ ἡμετέρα πίστις, „φῶς" οὖσα „τοῦ κόσμου" *), ἐλέγχει τὴν ἀπιστίαν. ἐμὲ μὲν γὰρ Ἄνυτός τε καὶ Μέλητος ἀποκτείνειεν μέν τ' ἄν, βλάψειεν δ' ἂν οὐδ' ὁπωστι οὖν· οὐ γὰρ οἶμαι θεμιτὸν εἶναι τὸ ἄμεινον πρὸς τοῦ χείρονος βλάπτεσθαι. ὥστε θαρροῦντα ἡμῶν ἕκαστον λέγειν· „κύριος ἐμοὶ βοηθὸς, οὐ φοβηθήσομαι τί ποιήσει μοι ἄνθρωπος" **)· „δικαίων

*) Matth. 5, 14. **) Psalm. 118, 6.

P. 599. Pott.

γὰρ ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος" *).

Cap. XII.

§. 83. Βασιλείδης δὲ ἐν τῷ εἰκοστῷ τρίτῳ τῶν ἐξηγητικῶν περὶ τῶν κατὰ τὸ μαρτύριον κολαζομέ-
P. νων αὐταῖς λέξεσι τάδε φησί· „φημὶ γὰρ τὸ ὁπό-
217 σοι ὑποπίπτουσι ταῖς λεγομέναις θλίψεσιν ἤτοι ἡ-
8yib. μαρτηκότες ἐν ἄλλοις λανθάνοντες πταίσμασιν εἰς τοῦτο ἄγονται τὸ ἀγαθὸν χρηστότητι τοῦ περιάγον-
P. 10τος, ἄλλα ἐξ ἄλλων ὄντως ἐγκαλούμενοι ἵνα μὴ ὡς600.
κατάδικοι ἐπὶ κακοῖς ὁμολογούμενοι πάθωσι, μηδὲ Rom.
λοιδορούμενοι ὡς ὁ μοιχὸς ἢ ὁ φονεύς, ἀλλ' ὅτι Χρι-
στιανοὶ πεφυκότες, ὅπερ αὐτοὺς παρηγορήσει μηδὲ πάσχειν δοκεῖν, κἂν μὴ ἡμαρτηκὼς ὅλως τις ἐπὶ
15τὸ παθεῖν γένηται σπάνιον μέν, ἀλλ' οὐδὲ οὗτος κατ' ἐπιβουλὴν δυνάμεώς τι πείσεται, ἀλλὰ πείσεται ὡς ἔπασχε καὶ τὸ νήπιον τὸ δοκοῦν οὐχ ἡμαρτηκέναι".

§. 84. Εἶθ' ὑποβὰς πάλιν ἐπιφέρει· „ὡς οὖν τὸ νήπιον οὐ προημαρτηκὸς ἢ ἐνεργῶς μὲν οὐχ
20ἡμαρτηκὸς οὐδὲν ἐν ἑαυτῷ, τῷ δὲ τὸ ἁμαρτῆσαι ἔχον, ἐπὰν ὑποβληθῇ τῷ παθεῖν εὐεργετεῖταί τε, πολλὰ κερδαῖνον δύσκολα· οὕτωσὶ δὴ κἂν τέλειος μηδὲν ἡμαρτηκὼς ἔργῳ τύχῃ, πάσχῃ δὲ καὶ πάθῃ, ταὐτὸ ἔπαθεν ἔμφερῶς τῷ νηπίῳ, ἔχων μὲν ἐν ἑαυτῷ τὸ
25ἁμαρτητικόν, ἀφορμὴν δὲ πρὸς τὸ ἡμαρτηκέναι μὴ λαβὼν οὐχ ἡμάρτανεν. ὥστ' οὐχ αὐτῷ τὸ μὴ ἁμαρτῆσαι λογιστέον. ὡς γὰρ ὁ μοιχεῦσαι θέλων μοιχός ἐστι κἂν τοῦ μοιχεῦσαι μὴ ἐπιτύχῃ, καὶ ὁ ποιῆσαι φόνον θέλων ἀνθρωφόνος ἐστὶ κἂν μὴ δύνηται φο-
30νεῦσαι, οὕτωσὶ δὲ καὶ τὸν ἀναμάρτητον ὃν λέγω ἐὰν ἕτω πάσχοντα κἂν μηδὲν ἢ κακὸν πεπραγὼς κακὸν ἔρῳ τὸ θέλειν ἁμαρτάνειν. πάντ' ἐρῶ γὰρ μᾶλλον ἢ κακὸν τὸ προνοοῦν ἐρῶ".

*) Sapient. 3, 2.

§. 85. *Εἶθ' ὑποβὰς καὶ περὶ τοῦ κυρίου ἀντικρυς ὡς περὶ ἀνθρώπου λέγει· ἐὰν μέντοι παραλιπὼν τούτους ἅπαντας τοὺς λόγους ἔλθῃς ἐπὶ τὸ δυσωπεῖν με διὰ προσώπων τινῶν, εἰ τύχοι, λέγων, ὁ δεῖνα οὖν ἥμαρτεν, ἔπαθεν γὰρ ὁ δεῖνα, ἐὰν μὲν ἐπιτρέπῃς ἐρῶ, οὐχ ἥμαρτεν μέν, ὁμοιός τε ἦν τῷ πάσχοντι νηπίῳ, εἰ μέντοι σφοδρότερον ἐκβιάσαιο τὸν λόγον, ἐρῶ, ἄνθρωπον ὄντινʼ ἂν ὀνομάσῃς ἄνθρωπον εἶναι, δίκαιον δὲ τὸν θεόν.* „*παθαρὸς γὰρ οὐδεὶς*", *ὥσπερ εἴπέ τις,* „*ἀπὸ ῥύπου*" *). *ἀλλὰ τῷ Βασιλείδῃ ἡ ὑπόθεσις προαμαρτήσασάν φησι τὴν ψυχὴν ἐν ἑτέρῳ βίῳ τὴν κόλασιν ὑπομένειν ἐνταῦθα, τὴν μὲν ἐκλεκτὴν ἐπιτίμως διὰ μαρτυρίου, τὴν ἄλλην δὲ καθαιρομένην οἰκείᾳ κολάσει. καὶ πῶς τοῦτο ἀληθὲς ἐφʼ ἡμῖν κειμένου τοῦ ὁμολογῆσαι καὶ κολασθῆναι ἢ μή; λύεται γὰρ ἐπὶ τοῦ ἀρνησομένου ἢ κατὰ τὸν Βασιλείδην πρόνοια.* P. 601.

§. 86. *Ἐρῶ τοίνυν αὐτὸν ἐπὶ τοῦ κρατηθέν-* Pott.
τος ὁμολογητοῦ, πότερον μαρτυρήσει καὶ κολασθήσεται κατὰ τὴν πρόνοιαν ἢ οὔ. ἀρνούμενος γὰρ οὐ κολασθήσεται. εἰ δὲ καὶ τῆς ἀποβάσεως καὶ τοῦ μὴ δεῖν κολασθῆναι τοῦτον φήσει τὴν ἀπώλειαν τῶν ἀρνησομένων ἐκ προνοίας ἄκων προσμαρτυρήσει. πῶς δὲ ἔτι μισθὸς ὁ ἐνδοξότατος ἐν οὐρανῷ ἀπόκειται τῷ μαρτυρήσαντι διὰ τὸ μαρτυρῆσαι; εἰ δὲ τῶν ἁμαρτητικὸν οὐκ εἴασεν ἡ πρόνοια ἐπὶ τὸ ἁμαρτεῖν ἐλθεῖν, ἄδικος γίνεται κατʼ ἄμφω, καὶ τὸν διὰ δικαιοσύνην εἰς κόλασιν ἐλκόμενον μὴ ῥυομένη, καὶ τὸν ἀδικεῖν ἐθελήσαντα ῥυσαμένη, τοῦ μὲν ποιήσαντος δὲ ὧν ἐβουλήθη, τῆς δὲ κωλυσάσης τὸ ἔργον καὶ μὴ δικαίως περιέποντος τὸν ἁμαρτητικόν.

§. 87. *Πῶς δὲ οὐκ ἄθεος θειάζων μὲν τὸν διάβολον, ἄνθρωπον δὲ ἁμαρτητικὸν τολμήσας εἰπεῖν τὸν κύριον; πειράζων γὰρ ὁ διάβολος εἰδὼς μὲν ὅ*

*) Iob. 14, 4.

ἐσμεν, οὐκ εἰδὼς δὲ εἰ ὑπομενοῦμεν, ἀλλὰ ἀποσείσαι τῆς πίστεως ἡμᾶς βούλόμενος καὶ ὑπάγεσθαι ἑαυτῷ πειράζει, ὅπερ καὶ μόνον ἐπιτέτραπται αὐτῷ διά τε τὸ ἡμᾶς ἐξ ἑαυτῶν σώζεσθαι δεῖν ἀφορμὰς παρὰ τῆς ἐντολῆς εἰληφότας διά τε τὸν καταισχυμμὸν τοῦ πειράσαντος καὶ ἀποτυγχάντος διά τε τὴν ἰσχυροποίησιν τῶν κατὰ τὴν ἐκκλησίαν διά τε τὴν συνείδησιν τῶν θαυμασάντων τὴν ὑπομονήν. εἰ δὲ τὸ μαρτύριον ἀνταπόδοσις διὰ κολάσεως καὶ ἡ πίστις καὶ ἡ διδασκαλία δι' ἃς τὸ μαρτύριον, συνεργοὶ ἄρα αὖται κολάσεως ἢ τίς ἂν ἄλλη μείζων ἀπέμφασις γένοιτο; ἀλλὰ πρὸς μὲν τὰ δόγματα ἐκεῖνα, εἰ μετενσωματοῦται ἡ ψυχὴ καὶ περὶ τοῦ διαβόλου κατὰ τοὺς οἰκείους λεχθήσεται καιροὺς, νυνὶ δὲ τοῖς εἰρημένοις καὶ ταῦτα προσθῶμεν· ποῦ ἔτι ἡ πίστις κατὰ ἀνταπόδοσιν τῶν προημαρτημένων τοῦ μαρτυρίου γινομένου, ποῦ δὲ ἡ ἀγάπη ἡ πρὸς τὸν Θεὸν διὰ τὴν ἀλήθειαν διωκομένη καὶ ὑπομένουσα, ποῦ δὲ ἔπαινος ὁμολογήσαντος ἢ ψόγος ἀρνησαμένου, εἰς τί δὲ ἔτι χρησίμη ἡ πολιτεία ἡ ὀρθὴ τὸ νεκρῶσαι τὰς ἐπιθυμίας καὶ μηδὲν τῶν κτισμάτων μισεῖν.

§. 88. *Εἰ δὲ ὡς αὐτός φησιν ὁ Βασιλείδης ἓν μέρος ἐκ τοῦ λεγομένου θελήματος τοῦ Θεοῦ ὑπειλήφαμεν, τὸ ἠγαπηκέναι ἅπαντα ὅτι λόγον ἀποσώζουσι πρὸς τὸ πᾶν ἅπαντα, ἕτερον δὲ τὸ μηδενὸς* P. 602. *ἐπιθυμεῖν, καὶ τρίτον μισεῖν μηδὲν, θελήματι τοῦ Θεοῦ καὶ κολάσεις ἔσονται· ὅπερ ἀσεβὲς ἐννοεῖν.* Pott. *οὔτε γὰρ ὁ κύριος θελήματι ἔπαθεν τοῦ πατρὸς οὔθ' οἱ διωκόμενοι βουλήσει τοῦ Θεοῦ διώκονται, ἐπεὶ δυεῖν θάτερον ἢ καλόν τι ἔσται διωγμὸς διὰ τὴν βούλησιν τοῦ Θεοῦ, ἢ ἀθῷοι οἱ διωκθέντες καὶ θλίβοντες. ἀλλὰ μὴν οὐδὲν ἄνευ θελήματος τοῦ κυρίου τῶν ὅλων. λείπεται δὴ συντόμως φάναι τὰ τοιαῦτα συμβαίνειν μὴ κωλύσαντος τοῦ Θεοῦ, τοῦτο γὰρ μόνον σώζει καὶ τὴν πρόνοιαν καὶ τὴν ἀγαθότητα τοῦ Θεοῦ.*

§. 89. *Οὐ τὸ ἐνεργεῖν τοίνυν αὐτὸν τὰς θλίψεις οἴεσθαι χρὴ, μὴ γὰρ εἴη τοῦτο ἐντρεῖν, ἀλλὰ μὴ κωλύειν τοὺς ἐνεργοῦντας παιδεῖσθαι προσῆκεν, καταχρῆσθαί τε εἰς καλὸν τοῖς τῶν ἐναντίων τολμήμασιν. „καθελῶ γοῦν φησὶ τὸν τοῖχον καὶ ἔσται εἰς* P. *καταπάτημα“ *) παιδευτικῆς τέχνης τῆς τοιάδε αὐ-*218 *τῆς οὔσης προνοίας ἐπὶ μὲν τῶν ἄλλων διὰ τὰς* 3yl*οἰκείας ἑκάστου ἁμαρτίας, ἐπὶ δὲ τοῦ κυρίου καὶ τῶν ἀποστόλων διὰ τὰς ἡμῶν. αὐτίκα ὁ Θεῖος ἀπο-*10*στολος· „τοῦτο γάρ ἐστι τὸ θέλημα τοῦ θεοῦ“, φησὶν, „ὁ ἁγιασμὸς ὑμῶν ἀπέχεσθαι ὑμᾶς ἀπὸ τῆς πορνείας, εἰδέναι ἕκαστον ὑμῶν τὸ ἑαυτοῦ σκεῦος κτᾶσθαι ἐν ἁγιασμῷ καὶ τιμῇ μὴ ἐν πάθει ἐπιθυμίας καθάπερ καὶ τὰ ἔθνη τὰ μὴ εἰδότα τὸν*15*κύριον, τὸ μὴ ὑπερβαίνειν καὶ πλεονεκτεῖν ἐν τῷ πράγματι τὸν ἀδελφὸν αὐτοῦ διότι ἔκδικος ὁ κύριος περὶ πάντων τούτων καθὼς καὶ προείπομεν ὑμῖν καὶ διεμαρτυράμεθα, οὐ γὰρ ἐκάλεσεν ἡμᾶς ὁ θεὸς ἐπὶ ἀκαθαρσίᾳ, ἀλλ' ἐν ἁγιασμῷ τοιγαροῦν ὁ ἀθετῶν*20*οὐκ ἄνθρωπον ἀθετεῖ, ἀλλὰ τὸν θεὸν τὸν καὶ δόντα τὸ πνεῦμα αὐτοῦ τὸ ἅγιον εἰς ὑμᾶς“ **). διὰ τοῦτο οὖν τὸν ἁγιασμὸν ἡμῶν οὐκ ἐκωλύθη παθεῖν ὁ κύριος.*

§. 90. *Εἰ τοίνυν ἀπολογούμενός τις αὐτῶν λέγοι κολάζεσθαι μὲν τὸν μάρτυρα διὰ τὰς πρὸ τῆσδε*25*τῆς ἐνσωματώσεως ἁμαρτίας, τὸν κάρπον δὲ τῆς κατὰ τόνδε τὸν βίον πολιτείας αὖθις ἀπολήψεσθαι, οὕτω γὰρ διατετάχθαι τὴν διοίκησιν, πευσόμεθα αὐτοῦ εἰ ἐκ προνοίας γίνεται ἡ ἀνταπόδοσις. εἰ μὲν γὰρ μὴ εἴη τῆς θείας διοικήσεως οἰκεῖα ἡ οἰκονο-*30*μία τῶν καθαρσίων καὶ πέπτωκεν ἡ ὑπόθεσις αὐτοῖς, εἰ δὲ ἐκ προνοίας τὰ καθάρσια ἐκ προνοίας καὶ αἱ κολάσεις. ἡ πρόνοια δὲ εἰ καὶ ἀπὸ τοῦ ἄρχοντος, ὡς φάναι, κινεῖσθαι ἄρχεται, ἀλλ' ἐγκατεσπάρη ταῖς οὐσίαις σὺν καὶ τῇ τῶν οὐσιῶν γενέσει πρὸς τοῦ τῶν*

*) Iesai. 5, 5. **) Thessal. 4, 3 — 8.

ὅλων Θεοῦ. ἐὰν οὕτως ἐχόντων ἀνάγκη ὁμολογεῖν αὐτοὺς ἢ τὴν κόλασιν μὴ εἶναι ἄδικον καὶ δικαιοπραγοῦσιν οἱ καταδικάζοντες καὶ διώκοντες τοὺς μάρτυρας, ἢ ἐκ θελήματος ἐνεργεῖσθαι τοῦ Θεοῦ καὶ τοὺς διωγμούς. οὐκέτι οὖν ὁ πόνος καὶ ὁ φόβος ὡς αὐτοὶ λέγουσιν ἐπισυμβαίνει τοῖς πράγμασιν ὡς ὁ ἵδρως τῷ σιδήρῳ, ἀλλ' ἐκ βουλήσεως ἰδίας προσέρχεται τῇ ψυχῇ.

P 603

Cap. XIII.

§. 91. Καὶ περὶ μὲν τούτων πολὺς ὁ λόγος ὅσον ἐν ὑστέρῳ σκοπεῖν ἀποκείσεται κατὰ καιρὸν διαλαμβάνουσιν. Οὐαλεντῖνος δὲ ἔν τινι ὁμιλίᾳ κατὰ λέξιν γράφει· „ἀπ' ἀρχῆς ἀθάνατοί ἐστε καὶ τέκνα ζωῆς ἐστὲ αἰωνίας, καὶ τὸν θάνατον ἠθέλετε μερίσασθαι εἰς ἑαυτοὺς ἵνα δαπανήσητε αὐτὸν καὶ ἀναλώσητε καὶ ἀποθάνῃ ὁ θάνατος ἐν ὑμῖν καὶ δι' ὑμῶν. ὅταν γὰρ τὸν μὲν κόσμον λύητε, ὑμεῖς δὲ μὴ καταλύησθε, κυριεύετε τῆς κτίσεως καὶ τῆς φθορᾶς ἁπάσης. φύσει γὰρ σωζόμενον γένος ὑποτίθεται καὶ αὐτὸς ἐμφερῶς τῷ Βασιλείδῃ, ἄνωθεν δὲ ἡμῖν δεῦρο τοῦτο δὴ τὸ διάφορον γένος ἐπὶ τὴν τοῦ θανάτου καθαίρεσιν ἥκειν, θανάτου δὲ γένεσιν ἔργον εἶναι τοῦ κτίσαντος τὸν κόσμον. διὸ καὶ τὴν γραφὴν ἐκείνην οὕτως ἐκδέχεται, „οὐδεὶς ὄψεται τὸ πρόσωπον τοῦ Θεοῦ καὶ ζήσεται" *)· ὡς θανάτου αἰτίου. περὶ τούτου τοῦ Θεοῦ ἐκεῖνα αἰνίττεται γράφων αὐταῖς λέξεσιν, „ὁπόσον ἐλάττων ἡ εἰκὼν τοῦ ζῶντος προσώπου, τοσοῦτον ἧσσων ὁ κόσμος τοῦ ζῶντος αἰῶνος.

§. 92. Τίς οὖν αἰτία τῆς εἰκόνος; μεγαλωσύνη τοῦ προσώπου παρεσχημένου τῷ ζωγράφῳ τὸν τύπον, ἵνα τιμηθῇ δὲ ἀνόμοιος αὐτοῦ, οὐ γὰρ αὐθεντικῶς εὑρέθη μορφή, ἀλλὰ τὸ ὄνομα ἐπλήρωσαν τὸ ὑστε-

*) Exod. 33, 20.

ρῆσαν ἐν πλάσει. συνεργεῖ δὲ καὶ τὸ τοῦ Θεοῦ ἀόρατον εἰς πίστιν τοῦ πεπλασμένου· τὸν μὲν γὰρ δημιουργὸν ὡς θεὸν καὶ πατέρα κληθέντα εἰκότως τοῦ ἀληθινοῦ θεοῦ καὶ προφήτην προσεῖπεν, ζωγράφον δὲ τὴν σοφίαν ἧς τὸ πλάσμα ἡ εἰκών, εἰς δόξαν τοῦ ἀοράτου, ἐπεὶ ὅσα ἐκ συζυγίας προέρχεται πληρώματά ἐστιν, ὅσα δὲ ἀπὸ ἑνὸς εἰκόνες. ἐπεὶ δὲ τὸ φαινόμενον αὐτοῦ οὐκ ἔστιν ἡ ἐκ μεσότητος ψυχὴ ἔρχεται τὸ διαφέρον, καὶ τοῦτ' ἔστι τὸ ἐμφύσημα τοῦ διαφέροντος πνεύματος καὶ καθ' ὅλου ὃ ἐμπνεῖται τῇ ψυχῇ τῇ εἰκόνι τοῦ πνεύματος, καὶ καθόλου τὰ ἐπὶ τοῦ δημιουργοῦ λεγόμενα τοῦ κατ' εἰκόνα γενομένου, ταῦτ' ἐκ εἰκόνος αἰσθητῆς μοίρα ἐν τῇ γενέσει περὶ τὴν ἀνθρωπογονίαν προπεφητεῦσθαι λέγουσι. καὶ δὴ μετάγουσι τὴν ὁμοιότητα καὶ ἐφ' ἑαυτοὺς ἄγνωστον τῷ δημιουργῷ τὴν τοῦ διαφέροντος ἐπενθεσιν πνεύματος γεγενῆσθαι παραδιδόντες.

P. 604. Pott.

§. 93. Ὅταν μὲν οὖν περὶ τοῦ ἕνα εἶναι τὸν θεὸν τὸν διὰ νόμου καὶ προφητῶν καὶ εὐαγγελίου κηρυσσόμενον διαλαμβάνωμεν καὶ πρὸς τοῦτο διαλεξόμεθα, ἀρχικὸς γὰρ ὁ λόγος, πρὸς δὲ τὸ κατεπεῖγον ἀπαντητέον. εἰ ἐπὶ τὸ καταλῦσαι θάνατον ἀφικνεῖται τὸ διαφέρον γένος, οὐχ ὁ Χριστὸς τὸν θάνατον κατήργησεν, εἰ μὴ καὶ αὐτὸς αὐτοῖς ὁμοούσιος ἐλεχθείη, εἰ δ' εἰς τοῦτο κατήργησεν ὡς μὴ τοῦ διαφέροντος ἅπτεσθαι γένους, οὐκ οὗτοι τὸν θάνατον καταργοῦσιν οἱ ἀντίμιμοι τοῦ δημιουργοῦ οἱ τῆς ἐκ μεσότητος ψυχῆς τῇ σφετέρᾳ εἰκόνι ἐμφυσῶντες τὴν ζωὴν τὴν ἄνωθεν κατὰ τὴν τοῦ δόγματος αἵρεσιν, κἂν διὰ τῆς μητρὸς τοῦτο συμβαίνειν λέγωσιν, ἀλλὰ κἂν εἰ σὺν Χριστῷ καταστρατεύεσθαι τοῦ θανάτου λέγοιεν ὁμολογούντων τὸ δόγμα τὸ κεκρυμμένον, ὡς τῆς θείας τοῦ δημιουργοῦ κατατρέχειν τολμῶσι δυνάμεως, τὴν κτίσιν τὴν αὐτοῦ ὡς κρείττους ἐπανορθούμενοι, πειρώμενοι σώζειν τὴν ψυχικὴν εἰκόνα, ἣν αὐτὸς ῥύσασθαι τῆς φθορᾶς οὐ κατίσχυσεν. εἴη δ' ἂν

καὶ ὁ κύριος ἀμείνων τοῦ δημιουργοῦ θεοῦ, οὐ γὰρ ἄν πότε ὁ υἱὸς τῷ πατρὶ διαφιλονεικοίη καὶ ταῦτα ἐν θεοῖς.

§. 94. Ὅτι δὲ οὗτός ἐστιν ὁ τοῦ υἱοῦ πατὴρ ὁ δημιουργὸς τῶν συμπάντων ὁ παντοκράτωρ κύριος, εἰς ἐκείνων ἀνεβαλόμεθα τὴν σκέψιν καθ' ἣν πρὸς τὰς αἱρέσεις ὑπεσχήμεθα διαλέξασθαι, τοῦτον εἶναι μόνον δεικνύντες τὸν ὑπ' αὐτοῦ κεκηρυγμένον. ἀλλ' ἡμῖν γε ὁ ἀπόστολος εἰς τὴν τῶν θλίψεων ὑπομονὴν γράφων, „καὶ τοῦτο", φησίν, „ἀπὸ θεοῦ, ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν· τὸν αὐτὸν ἀγῶνα ἔχοντες, οἷον εἴδετε ἐν ἐμοί, καὶ νῦν ἀκούετε ἐν ἐμοί. εἴ τις οὖν παράκλησις ἐν Χριστῷ, εἴ τι παραμύθιον ἀγάπης, εἴ τις κοινωνία πνεύματος, εἴ τινα σπλάγχνα καὶ οἰκτιρμοί, πληρώσατέ μου τὴν χαράν· ἵνα τὸ αὐτὸ φρονῆτε, τὴν αὐτὴν ἀγάπην ἔχοντες, σύμψυχοι, τὸ ἓν φρονοῦντες. εἰ δὲ σπένδεται ἐπὶ τῇ θυσίᾳ καὶ τῇ λειτουργίᾳ τῆς πίστεως χαίρων καὶ συγχαίρων" *), πρὸς οὓς ὁ λόγος τῷ ἀποστόλῳ, τοὺς Φιλιππησίους „συμμετόχους τῆς χάριτος" καλῶν, πῶς αὐτοὺς „συμψύχους" **) καὶ ψυχικοὺς λέγει; ὁμοίως καὶ περὶ Τιμοθέου καὶ ἑαυτοῦ γράφων· „οὐδένα γὰρ ἔχω", φησὶν „ἰσόψυχον, ὅστις γνησίως περὶ τὰ ὑμῶν μεριμνήσει· οἱ πάντες γὰρ τὰ ἑαυτῶν ζητοῦσιν, οὐ τὰ Ἰησοῦ Χριστοῦ" ***).

§. 95. Μὴ τοίνυν ψυχικοὺς ἐν ὀνείδους μέρει λεγόντων ἡμᾶς οἱ προειρημένοι, ἀλλὰ καὶ οἱ Φρύγες· ἤδη γὰρ καὶ οὗτοι τοὺς τῇ νέᾳ προφητείᾳ μὴ προσέχοντας ψυχικοὺς καλοῦσιν, πρὸς οὓς ἐν τοῖς περὶ προφητείας διαλεξόμεθα. ἀγάπην οὖν ἀσκεῖν τὸν τέλειον χρή, κἀνθένδε ἐπὶ τὴν θείαν φιλίαν

*) Philipp. 1, 29. 30. 2, 1 sq. 17. **) Ibid. 1, 7. ***) Ibid. 2, 20 sq.

σπεύδειν δὲ ἀγάπην ἐκτελοῦντα τὰς ἐντολάς. τὸ δὲ ἀγαπᾶν τοὺς ἐχθροὺς οὐκ ἀγαπᾶν τὸ κακὸν λέγει οὐδὲ ἀσέβειαν ἢ μοιχείαν ἢ κλοπήν, ἀλλὰ τὸν κλέπτην καὶ τὸν ἀσεβῆ καὶ τὸν μοιχὸν, οὗ καθὸ ἁμαρτάνει καὶ ᾗ ποιᾷ ἐνεργείᾳ μολύνει τὴν ἀνθρώπου προσηγορίαν, καθὸ δὲ ἄνθρωπός ἐστι καὶ ἔργον Θεοῦ· ἀμέλει τὸ ἁμαρτάνειν ἐνεργείᾳ κεῖται οὐκ οὐσίᾳ, διὸ οὐδὲ ἔργον Θεοῦ.

§. 96. Ἐχθροὶ δὲ οἱ ἁμαρτάνοντες εἰρηνται Θεοῦ· οἱ ἐχθροὶ δὴ τῶν ἐντολῶν αἷς μηδὲ ὑπακηκόασι γενόμενοι· ὥσπερ φίλοι οἱ ὑπακηκοότες οἱ μὲν διὰ τὴν ἀπαλλοτρίωσιν τὴν ἐκ προαιρέσεως προσαγορευθέντες, οὐθὲν γὰρ ἡ ἔχθρα οὐδ' ἡ ἁμαρτία ἄνευ τοῦ ἐχθροῦ καὶ τοῦ ἁμαρτάνοντος, καὶ τὸ μηδενὸς ἐπιθυμεῖν, οὐχ ὡς ἀλλοτρίων τῶν ἐπιθυμητῶν ὄντων, πόθον μὴ ἔχειν διδάσκει, καθάπερ ὑπειλήφασιν οἱ τὸν κτίστην ἄλλον εἶναι παρὰ τὸν πρῶτον θεὸν δογματίζοντες, οὔθ' ὡς ἐβδελυγμένης καὶ κακῆς οὔσης τῆς γενέσεως, ἄθεοι γὰρ αἱ δόξαι αὗται· ἀλλότρια δὲ ἡμεῖς φαμὲν τὰ τοῦ κόσμου οὐχ ὡς ἄτοπα, οὐδ' ὡς οὐχὶ τοῦ Θεοῦ τοῦ πάντων κυρίου· ἀλλ' ἐπειδὴ μὴ καταμένομεν ἐν αὐτοῖς τὸν πάντα αἰῶνα, κτήσει ὄντα ἀλλότρια καὶ τῶν κατὰ διαδοχὴν ὑπάρχοντα, χρήσει δὲ ἑκάστου ἡμῶν ἴδια δι' οὓς καὶ ἐγένετο, πλὴν ἐφ' ὅσον γε αὐτοῖς ἀναγκαῖον συμπαρεῖναι. κατὰ φυσικὴν τοίνυν ὄρεξιν χρηστέον τοῖς κεκωλυμένοις καλῶς, πᾶσαν ὑπερέκπτωσιν καὶ συμπάθειαν παραιτουμένους.

Cap. XIV.

§. 97. Ὅσῃ καὶ χρηστότητι, „ἀγαπᾶτε τοὺς ἐχθροὺς ὑμῶν", λέγει, „εὐλογεῖτε τοὺς καταρωμένους ὑμᾶς. καὶ προσεύχεσθε ὑπὲρ τῶν ἐπηρεαζόντων ὑμῖν" *) καὶ τὰ ὅμοια· οἷς προστίθησιν, „ἵνα γένησθε υἱοὶ τοῦ

*) Matth. 5, 44 sq.

πατρὸς ὑμῶν τοῦ ἐν τοῖς οὐρανοῖς", τὴν ἐξομοίωσιν τὴν πρὸς Θεὸν αἰνισσόμενος. πάλιν δ' αὖ φησὶν, „ἴσθι εὐνοῶν τῷ ἀντιδίκῳ σου ταχὺ, ἕως ὅτου εἶ ἐν τῇ ὁδῷ μετ' αὐτοῦ" *). ἀντίδικος δὲ οὐ τὸ σῶμα ὡς τινες βούλονται, ἀλλ' ὁ διάβολος καὶ οἱ τούτῳ ἐξομοιούμενοι, ὁ συνοδεύων ἡμῖν δι' ἀνθρώπων τῶν ζηλούντων τὰ ἔργα αὐτοῦ ἐν τῷ ἐπιγείῳ τῷδε βίῳ. οὐχ οἷόν τε οὖν μὴ παθεῖν τὰ ἔσχατα τοὺς ὁμολογοῦντας μὲν ἑαυτοὺς εἶναι τοῖς τοῦ Χριστοῦ, ἐν δὲ τοῖς τοῦ διαβόλου καταγινομένους ἔργοις· γέγραπται γάρ, „μή ποτε παραδῷ σε τῷ κριτῇ, ὁ κριτὴς δὲ τῷ ὑπηρέτῃ", τῆς ἀρχῆς τοῦ διαβόλου.

§. 98. „Πέπεισμαι γὰρ ὅτι οὔτε θάνατος", ὁ κατ' ἐπιφορὰν τῶν διωκόντων, „οὔτε ζωὴ", ἡ κατὰ τὸν βίον τοῦτον, „οὔτε ἄγγελοι", οἱ ἀποστάται, „οὔτε ἀρχαὶ", ἀρχὴ δὲ τῷ Σατανᾷ ὁ βίος ὃν εἵλετο, τοιαῦται γὰρ αἱ κατ' αὐτὸν ἀρχαί τε καὶ ἐξουσίαι τοῦ σκότους, „οὔτε τὰ ἐνεστῶτα", ἐν οἷς ἐσμὲν κατὰ τὸν τοῦ βίου χρόνον ὧς τοῦ μὲν στρατιώτου ἡ ἐλπὶς, τοῦ ἐμπόρου δὲ τὸ κέρδος, „οὔτε ὕψωμα οὔτε βάθμοι, οὔτε τις κτίσις ἑτέρα", κατ' ἐνέργειαν τὴν οἰκείαν ἀνθρώπῳ ἀντιπράττειν τῇ πίστει τοῦ προαιρουμένου, κτίσις δὲ συνωνύμως καὶ ἐνέργεια λέγεται ἔργον ἡμέτερον οὖσα· ἡ τοιάδε ἐνέργεια „οὐ δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Θεοῦ, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν" **). ἔχεις συγκεφαλαίωσιν γνωστικοῦ μάρτυρος.

Cap. XV.

§. 99. „Οἴδαμεν δὲ ὅτι πάντες γνῶσιν ἔχομεν" τὴν κοινὴν ἐν τοῖς κοινοῖς καὶ τὴν ὅτι εἷς Θεὸς, πρὸς πιστοὺς γὰρ ἐπέστελλεν· ὅθεν ἐπιφέρει, „ἀλλ' οὐκ ἐν

*) Matth. 5, 24. **) Roman. 8, 38 sq.

πᾶσαν ἡ γνῶσις" ἐν ὀλίγοις παραδιδομένη. εἰσὶ δὲ οἳ φασι τὴν περὶ τῶν εἰδωλοθύτων γνῶσιν οὐκ ἐν πᾶσι φέρειν, „μή πως ἡ ἐξουσία ἡμῶν πρόσκομμα τοῖς ἀσθενέσι γένηται, ἀπόλλυται" γάρ „ὁ ἀσθενῶν τῇ σῇ γνώσει" *). καὶν φάσκωσι, „πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἀγοράζειν δεῖ" **), κατὰ πᾶσαν ἀπαγορεύοντες τὸ „μηδὲν ἀνακρίνοντες", ἐπ' ἴσης τῷ ἀνακρίνοντες γελοίαν ἐξήγησιν παραθήσονται. ὁ γὰρ ἀπόστολος, „πάντα", φησὶ „τὰ ἄλλα ὠνεῖσθε ἐκ μακέλλου μηδὲν ἀνακρίνοντες", καθ' ὑπεξαίρεσιν τῶν δηλουμένων κατὰ τὴν ἐπιστολὴν τὴν καθολικὴν τῶν ἀποστόλων ἁπάντων, „σὺν τῇ εὐδοκίᾳ τοῦ ἁγίου πνεύματος" ***), τῇ γεγραμμένῃ μὲν ἐν ταῖς πράξεσι τῶν ἀποστόλων, διακομισθείσῃ δὲ εἰς τοὺς πιστοὺς διὰ αὐτοῦ διακονοῦντος τοῦ Παύλου· ἐμήνυσαν γὰρ „ἐπάναγκες" ἀπέχεσθαι θεὸν „εἰδωλοθύτων καὶ αἵματος καὶ πνικτῶν καὶ πορνείας, ἐξ ὧν διατηροῦντας ἑαυτοὺς εὖ πράξειν". ἕτερον οὖν ἐστὶ τὸ εἰρημένον πρὸς τοῦ ἀποστόλου· „μὴ οὐκ ἔχομεν ἐξουσίαν φαγεῖν καὶ πιεῖν; μὴ οὐκ ἔχομεν ἐξουσίαν ἀδελφὴν γυναῖκα περιάγειν ὡς καὶ οἱ λοιποὶ ἀπόστολοι καὶ οἱ ἀδελφοὶ τοῦ κυρίου καὶ Κηφᾶς; ἀλλ' οὐκ ἐχρησάμεθα τῇ ἐξουσίᾳ ταύτῃ", φησίν· „ἀλλὰ πάντα στέγομεν, ἵνα μὴ ἐγκοπὴν δῶμεν τῷ εὐαγγελίῳ τοῦ Χριστοῦ" †)· ἤτοι φορτία περιάγοντες δέον εὐλύτους εἰς πάντας εἶναι, ἢ ὑπόδειγμα τοῖς θέλουσιν ἐγκρατεύεσθαι γινόμενοι, μὴ οἰκοδομούμενοι εἰς τὸ ἀηδῶς τὰ παρατιθέμενα ἐσθίειν καὶ ὡς ἔτυχεν ὁμιλεῖν τῇ γυναικί, μάλιστα δὲ τοὺς τηλικαύτην οἰκονομίαν πεπεισμένους ὑπόδειγμα τοῖς μανθάνουσιν ἄχραντον ἐκεῖσθαι προσήκει.

§. 100. „Ἐλεύθερος γὰρ ὢν ἐκ πάντων πᾶσιν ἐμαυτὸν ἐδούλωσα", φησὶν, „ἵνα τοὺς πάντας κερ-

*) 1 Corinth. 8, 1. 7. 9. 11. **) Ibid. 10, 25. ***) Actor. 15, 24 sq. †) 1 Corinth. 9. 4 sq. 12. 19. 25.

δήσω, καὶ πᾶς δὲ ὁ ἀγωνιζόμενος πάντα ἐγκρατεύεται" ἀλλὰ τοῦ κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς" *). διὰ τὴν συνείδησιν οὖν ἀφεκτέον ὧν ἀφεκτέον. „συνείδησιν δὲ λέγω, οὐχὶ τὴν ἑαυτοῦ" ἀγνωστικὴ γὰρ, ἀλλὰ τὴν τοῦ ἑτέρου ἵνα μὴ κακῶς οἰκοδομηθῇ ἀμαθίᾳ μιμούμενος ὃ μὴ γινώσκει καταφρονητὴς ἀντὶ μεγαλόφρονος γινόμενος. „ἵνα τί γὰρ ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; εἰ ἐγὼ χάριτι μετέχω τί βλασφημοῦμαι ὑπὲρ οὗ ἐγὼ εὐχαριστῶ; πάντα οὖν ὅσα ποιεῖτε εἰς δόξαν θεοῦ ποιεῖτε" ὅσα ὑπὸ τὸν κανόνα τῆς πίστεως ποιεῖν ἐπιτέτραπται.

Cap. XVI.

§. 101. „Καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν". λέγει γοῦν ἡ γραφή, „πᾶς ὁ πιστεύων ἐπ' αὐτῷ, οὐ καταισχυνθήσεται", τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν, ὅτι ἐὰν ὁμολογήσῃς τὰ ῥήματα τῷ στόματί σου ὅτι κύριος Ἰησοῦς καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου ὅτι ὁ θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν σωθήσῃ" **). ἀντικρυς τελείαν δικαιοσύνην ὑπογράφει, ἔργῳ τε καὶ θεωρίᾳ πεπληρωμένην. „εὐλογητέον οὖν τοὺς διώκοντας· εὐλογεῖτε καὶ μὴ καταρᾶσθε" ***)· „ἡ γὰρ καύχησις ἡμῶν, αὕτη ἐστὶ τὸ μαρτύριον τῆς συνειδήσεως ἡμῶν ὅτι ἐν ἁγιότητι καὶ εἰλικρινείᾳ θεοῦ ἐγνώμεν" †), δι' ὀλίγης ταύτης προφάσεως τὸ τῆς ἀγάπης ἔργον ἐνδεικνύμενοι, ὅτι „οὐκ ἐν σοφίᾳ σαρκικῇ ἀλλ' ἐν χάριτι θεοῦ ἀνεστρέφημεν ἐν τῷ κόσμῳ".

§. 102. Ταῦτα μὲν περὶ τῆς γνώσεως ὁ ἀπόστολος· τὴν δὲ καινὴν διδασκαλίαν τῆς πίστεως.

*) 1. Corinth. 10, 28 — 31. **) Roman. 10, 10 sq. 8 sq. ***) Ibid. 12, 14. †) 2. Corinth. 1, 12.

„δομὴν γνώσεως" *) εἴρηκεν ἐν τῇ δευτέρᾳ πρὸς P.
Κορινθίους. „ἄχρι γὰρ τῆς σήμερον ἡμέρας τὸ 608.
αὐτὸ κάλυμμα τοῖς πολλοῖς ἐπὶ τῇ ἀναγνώσει τῆς Pott.
παλαιᾶς διαθήκης μένει" **), μὴ ἀνακαλυπτόμενον κατὰ
στὴν πρὸς τὸν κύριον ἐπιστροφήν. διὰ τοῦτο καὶ ἀνά-
στασιν ἔδειξε τοῖς διορᾶν δυναμένοις τὴν ἔτι ἐν
σαρκὶ τοῦ βίου ζῶσαν ἐπὶ κοιλίαν. ἔνθεν καὶ „γεν-
νήματα ἐχιδνῶν" ***) τοὺς τοιούτους ἐκάλεσεν τοὺς
φιληδάνους, τοὺς γαστρὶ καὶ αἰδρίοις δουλεύοντας,
καὶ τὰς ἀλλήλων διὰ τὰς κοσμικὰς ἐπιθυμίας ἀπο-
τέμνοντας κεφαλάς. „τεκνία, μὴ ἀγαπῶμεν λόγῳ,
μηδὲ γλώσσῃ", Ἰωάννης τελείους εἶναι διδάσκων,
„ἀλλ' ἐν ἔργῳ καὶ ἀληθείᾳ, ἐν τούτῳ γνωσόμεθα ὅτι
ἐκ τῆς ἀληθείας ἐσμέν" ****). εἰ δὲ „ἀγάπη ὁ θεὸς",
καὶ ἡ θεοσέβεια, „φόβος οὐκ ἔστιν ἐν τῇ
ἀγάπῃ, ἀλλ' ἡ τελεία ἀγάπη ἔξω βάλλει τὸν φό-
βον" †). „αὕτη ἐστὶν ἡ ἀγάπη τοῦ θεοῦ ἵνα τὰς
ἐντολὰς αὐτοῦ τηρῶμεν" ††). πάλιν τε αὖ τῷ γνω-
στικῷ ποθοῦντι γενέσθαι γέγραπται, „ἀλλὰ τύπος
γίνου τῶν πιστῶν, ἐν λόγῳ, ἐν ἀναστροφῇ, ἐν ἀγάπῃ,
ἐν πίστει, ἐν ἁγνείᾳ" †††)· πίστεως γάρ, οἶμαι, τελειό-
της πρὸς τὴν κοινὴν διαστέλλεται πίστιν.

§. 103. *Καὶ δὴ γνωστικοῦ κανόνα ὁ θεῖος*
ἀπόστολος διὰ τοσῶνδε παρίστησιν, τοῦτο μὲν γρά-
φων· „ἐγὼ γὰρ ἔμαθον ἐν οἷς εἰμὶ αὐτάρκης εἶναι·
οἶδα καὶ ταπεινοῦσθαι, οἶδα καὶ περισσεύειν, ἐν
παντὶ καὶ ἐν πᾶσι μεμύημαι, καὶ χορτάζεσθαι καὶ
πεινᾶν καὶ περισσεύειν καὶ ὑστερεῖσθαι· πάντα ἰσχύω
ἐν τῷ ἐνδυναμοῦντί με" ††††). τοῦτο δὲ καὶ πρὸς ἐν-
τροπὴν ἄλλοις διαλεγόμενος οὐκ ὀκνεῖ λέγειν· „ἀνα-
μιμνήσκεσθε δὲ τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτι-
σθέντες πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων·

---

*) 2 Corinth. 2, 14. **) Ibid. 3, 14. ***) Matth. 3, 7.
****) 1 Ioann. 3, 18. 19. †) Ibid. 4, 16. 18. ††) Ibid.
5, 3. †††) 1 Timoth. 4, 12. ††††) Philipp. 4, 11—13.

τοῦτο μὲν ὀνειδισμοῖς τε καὶ θλίψεσι θεατριζόμενοι, τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες. καὶ γὰρ τοῖς δεσμοῖς μοὺ συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε γινώσκοντες ἔχειν ἑαυτοὺς κρείττονα ὕπαρξιν καὶ μένουσαν. μὴ ἀποβάλητε οὖν τὴν παρρησίαν ὑμῶν ἥτις ἔχει μεγάλην μισθαποδοσίαν, ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ θεοῦ ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν· ἔτι γὰρ μικρὸν ὅσον ὅσον ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονιεῖ. ὁ δὲ δίκαιός μου ἐκ πίστεως ζήσεται. καὶ ἐὰν ὑποστείληται οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ· ἡμεῖς P.
δὲ οὐκ ἐσμὲν ὑποστολῆς εἰς ἀπώλειαν, ἀλλὰ πίστεως 609.
εἰς περιποίησιν" *) ψυχῆς. Pou.

§. 104. Εἶτά σοι σμῆνος ὑποδειγμάτων θείων παρίστησιν. „ἦ γὰρ οὐ πίστει", φησὶ, „δι' ὑπομονῆς κατώρθωσαν οἱ ἐμπαιγμῶν καὶ μαστίγων πεῖραν λαβόντες, ἔτι δὲ δεσμῶν καὶ φυλακῆς; ἐλιθάσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος, ἐν ἐρημίαις πλανώμενοι καὶ ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς. καὶ πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν τοῦ θεοῦ". ἀπολείπεται νοεῖν τὸ κατὰ παρασιώπησιν εἰρημένον „μόνοι".

P. §. 105. Ἐπιφέρει γοῦν, „περὶ ἡμῶν κρεῖττόν
221. τι προειδομένου τοῦ θεοῦ, ἀγαθὸς γὰρ ἦν, ἵνα μὴ
Sylb. χωρὶς ἡμῶν τελειωθῶσι. τοιγαροῦν καὶ ἡμεῖς τοσοῦτον ἔχοντες περικείμενον ἡμῖν νέφος ἅγιον καὶ διειδὲς μαρτύρων ὄγκον ἀποθέμενοι πάντα καὶ τὴν εὐπερίστατον ἁμαρτίαν δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν" **). ὅτι μὲν

*) Hebr. 10, 32 — 39. **) Ibid. 11, 36 — 40. 12, 1 sq.

οὖν μίαν σωτηρίαν λέγει ἐν Χριστῷ τῶν ἀνθρώπων καὶ ἡμῶν σωφρόνως μὲν εἴρηκεν πρότερον, οὐδὲν δὲ ἧττον καὶ περὶ Μωϋσέως λέγων ἐπιφέρει· „μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν· πίστει κατέλιπεν Αἴγυπτον, μὴ φοβηθεὶς τὸν θυμὸν τοῦ βασιλέως, τὸν γὰρ ἀόρατον ὡς ὁρῶν ἐκαρτέρησεν" *). ἡ θεία σοφία περὶ τῶν μαρτύρων λέγει· „ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι· καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσιν ἐν εἰρήνῃ, καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης" **).

§. 106. Εἶτα ἐπάγει κάθαρσιν ἔνδοξον τὸ μαρτύριον διδάσκουσα, „καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται, ὅτι ὁ θεὸς ἐπείρασεν αὐτούς", τουτέστιν εἰς δοκίμιον καὶ δυσωπίαν τοῦ πειράζοντος, εἴασεν αὐτὸς πειρασθῆναι, „καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ", υἱοὺς κληθῆναι θέλοντι, „ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς, καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται, κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν κύριος εἰς τοὺς αἰῶνας" ***).

Cap. XVII.

§. 107. Ναὶ μὴν ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ ὁ ἀπόστολος Κλήμης καὶ αὐτὸς ἡμῖν τύπον τινὰ τοῦ γνωστικοῦ ὑπογράφων λέγει· „τίς γὰρ παρεπιδημήσας πρὸς ὑμᾶς τὴν πανύστατον καὶ βεβαίαν πίστιν ὑμῶν οὐκ ἐδοκίμασεν, τὴν τε σώφρονα καὶ ἐπιεικῆ ἐν Χριστῷ εὐσέβειαν οὐκ ἐθαύμασεν, καὶ

P. 610. Pott.

*) Hebr. 11, 26 sq. **) Sapient. 3, 2—4. ***) Ibid. v. 5—8.

τὰ μεγαλοπρεπὲς τῆς φιλοξενίας ὑμῶν ἦθος οὐκ ἐκήρυξεν, καὶ τὴν τελείων καὶ ἀσφαλῆ γνῶσιν οὐκ ἐμακάρισεν; ἀπροσωπολήπτως γὰρ πάντα ἐποιεῖτε, καὶ ἐν τοῖς νομίμοις τοῦ θεοῦ ἐπορεύεσθε καὶ τὰ ἑξῆς. εἶτ' ἐμφανέστερον· ἀτενίσωμεν οὖν εἰς τοὺς τελείως λειτουργήσαντας αὐτοῦ τῇ μεγαλοπρεπεῖ δόξῃ, λάβωμεν Ἐνὼχ ὃς ἐν ὑπακοῇ δίκαιος εὑρεθεὶς μετετέθη, καὶ Νῶε ὃς πιστεύσας διεσώθη, καὶ Ἀβραὰμ ὃς διὰ πίστιν καὶ φιλοξενίαν „φίλος θεοῦ" *), πατὴρ δὲ τοῦ Ἰσαὰκ προσηγορεύθη. διὰ φιλοξενίαν καὶ εὐσέβειαν Λὼτ ἐσώθη ἐκ Σοδόμων, διὰ πίστιν καὶ φιλοξενίαν ἐσώθη Ῥαὰβ ἡ πόρνη, δι' ὑπομονὴν καὶ πίστιν ἐν δέρμασιν αἰγείοις καὶ μηλωταῖς καὶ τριχῶν καμηλείων πλέγμασιν περιεπάτησαν κηρύσσοντες τὴν βασιλείαν τοῦ Χριστοῦ, λέγομεν δὲ Ἠλίαν καὶ Ἐλισσαῖον, Ἰεζεκιήλ τε καὶ Ἰωάννην, τοὺς προφήτας. P. 611 Po:

§. 108. Ὁ γάρ τοι „φίλος θεοῦ" διὰ πίστιν ἐλευθέραν κληθεὶς Ἀβραὰμ οὐκ ἐπήρθη τῇ δόξῃ, μετριοπαθῶν δὲ ἔλεγεν, „ἐγὼ δέ εἰμι γῆ καὶ σποδός" **). περί τε τοῦ Ἰὼβ οὕτως γέγραπται· „Ἰὼβ δὲ ἦν δίκαιος καὶ ἄμεμπτος, ἀληθινὸς καὶ θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ" ***), οὗτος ὁ νικήσας δι' ὑπομονῆς τὸν πειράσαντα καὶ μαρτυρήσας ἅμα καὶ μαρτυρηθεὶς ὑπὸ τοῦ θεοῦ ὃς ταπεινοφροσύνης ἀντέχεται καὶ λέγει· „οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' εἰ μιᾶς ἡμέρας ἡ ζωὴ αὐτοῦ" †). Μωϋσῆς „ὁ πιστὸς θεράπων ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ" ††), πρὸς τὸν χρηματίζοντα ἐκ τῆς βάτου, εἶπεν, „τίς εἰμι ἐγώ, ὅτι με πέμπεις; ἐγὼ δὲ εἰμι ἰσχνόφωνος καὶ βραδύγλωσσος" φωνὴν κυρίου διὰ γλώσσης ἀνθρωπίνης διακονῆσαι. καὶ πάλιν. „ἐγὼ δέ εἰμι ἀτμὶς ἀπὸ χύτρας" †††). „Θεὸς γὰρ

*) Iacob. 2, 23. **) Genes. 18, 27. ***) Iob. 1, 1. †) Ibid. 14, 4 sq. ††) Hebr. 3, 5. †††) Exod. 3, 11. 4, 10.

ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν" *).

§. 109. Ναὶ μὴν καὶ Δαβὶδ, ἐφ' οὗ μαρτυρῶν ὁ κύριος λέγει, "εὗρον ἄνδρα κατὰ τὴν καρδίαν μου, Δαβὶδ, τὸν τοῦ Ἰεσσαὶ, ἐν ἐλαίῳ ἁγίῳ ἔχρισα αὐτὸν" **), ἀλλὰ καὶ αὐτὸς λέγει πρὸς τὸν Θεὸν, "ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, ἐπιπλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με, ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός". ἔπειτα τὴν οὐχ ὑποπίπτουσαν νόμῳ αἰνιττόμενος ἁμαρτίαν γνωστικῶς μετριοπαθῶν ἐπιφέρει· "σοὶ μόνῳ ἥμαρτον καὶ τὸν πονηρὸν ἐνώπιόν σου ἐποίησα" ***). λέγει γάρ που ἡ γραφή· "πνεῦμα κυρίου, λύχνος, ἐρευνῶν τὰ ταμεῖα τῆς γαστρός" †). καὶ ὅσῳ τις δικαιοπραγῶν γνωστικώτερος γίνεται, προσεχέστερον τούτῳ τὸ πνεῦμα τὸ φωτεινόν. οὕτως ἐγγίζει τοῖς δικαίοις ὁ κύριος καὶ οὐδὲν λέληθεν αὐτὸν τῶν ἐννοιῶν καὶ τῶν διαλογισμῶν ὧν ποιούμεθα· τὸν κύριον Ἰησοῦν λέγω, τὸν τῷ παντοκρατορικῷ θελήματι ἐπίσκοπον τῆς καρδίας ἡμῶν· οὗ τὸ αἷμα ὑπὲρ ἡμῶν ἡγιάσθη.

§. 110. Ἐντραπῶμεν οὖν τοὺς προηγουμένους ἡμῶν καὶ αἰδεσθῶμεν τοὺς πρεσβυτέρους, τιμήσω- μεν τοὺς νέους, παιδεύσωμεν τὴν παιδείαν τοῦ Θεοῦ. μακάριος γὰρ ὃς ἂν διδάσκῃ καὶ ποιῇ τὰ τοῦ κυρίου κατ' ἀξίαν· μεγαλόφρονος δὲ ἐννοίας ἐστὶν καὶ θεωρητικῆς τῆς ἀληθείας. τὰς γυναῖκας ἡμῶν ἐπὶ τὸ ἀγαθὸν διορθωσώμεθα, τὸ ἀξιαγάπητον ἦθος τῆς ἁγνείας, φησὶν, ἐνδειξάσθωσαν· τὸ ἀκέραιον τῆς πραΰτητος αὐτῶν βούλημα ἀποδειξάτωσαν· τὸ ἐπιεικὲς τῆς γλώσσης αὐτῶν διὰ τῆς σιγῆς φανερὸν ποιησά- P. 612. Pott.

*) Iacob. 4, 6. 1 Petr. 5, 5. **) Psalm. 89, 21. ***) Ibid. 51, 1—4. †) Prouerb. 20, 27.

P. τωσαν; τὴν ἀγάπην αὐτῶν μὴ κατὰ προσκλίσεις, ἀλλὰ
222. πᾶσι τοῖς φοβουμένοις τὸν Θεὸν ὁσίως ἴσην παρε-
Syb. χέτωσαν. τὰ τέκνα ἡμῶν τῆς ἐν Χριστῷ παιδείας
μεταλαβέτωσαν, μαθέτωσαν τί ταπεινοφροσύνη παρὰ
5Θεῷ ἰσχύει, τί ἀγάπη ἁγνὴ παρὰ Θεῷ δύναται, πῶς
ὁ φόβος τοῦ κυρίου καλὸς καὶ μέγας, σώζων πάντας
τοὺς ἐν αὐτῷ ὁσίως ἀναστρεφομένους ἐν καθαρᾷ καρ-
δίᾳ, ἐρευνητὴς γὰρ ἐννοιῶν καὶ ἐνθυμημάτων· οὗ
ἡ πνοὴ αὐτοῦ ἐν ἡμῖν ἐστι, καὶ ὅταν θέλῃ, ἀνέλει
10αὐτήν.

§. 111. *Ταῦτα δὲ πάντα βεβαιοῖ ἡ ἐν Χριστῷ*
πίστις „*δεῦτε τέκνα*", *ὁ κύριος λέγει·* „*ἀκούσα-*
τέ μου, φόβον κυρίου διδάξω ὑμᾶς. τίς ἐστιν ἄν-
θρωπος ὁ θέλων ζωὴν ἀγαπῶν ἡμέρας ἰδεῖν ἀγα-
15*θάς*"; *εἶτα ἑβδομάδος καὶ ὀγδοάδος μυστήριον γνω-*
στικὸν ἐπιφέρει· „*παῦσον τὴν γλῶσσάν σου ἀπὸ*
κακοῦ καὶ χεῖλη σοῦ τοῦ μὴ λαλῆσαι δόλον, ἔκκλινον
ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθὸν, ζήτησον εἰρήνην
καὶ δίωξον αὐτήν". *γνῶσιν γὰρ αἰνίττεται διὰ τού-*
20*των μετά τε ἀποχῆς κακῶν μετά τε ἐνεργείας ἀγα-*
θῶν ἔργῳ τε καὶ λόγῳ τελειοῦσθαι διδάσκων. „*ὀφθαλ-*
μοὶ κυρίου ἐπὶ δικαίους καὶ ὦτα αὐτοῦ εἰς δέησιν
αὐτῶν, πρόσωπον δὲ κυρίου ἐπὶ ποιοῦντας κακὰ τοῦ
ἐξολοθρεῦσαι ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν".

25 §. 112. „*Ἐκέκραξεν δὲ ὁ κύριος καὶ ἐσήκουσε,*
καὶ ἐκ πασῶν τῶν θλίψεων ἐρύσατο αὐτόν" *).
„*πολλαὶ μὲν γὰρ μάστιγες τῶν ἁμαρτωλῶν, τοὺς δὲ*
ἐλπίζοντας ἐπὶ κύριον ἔλεος κυκλώσει" **). *πλήθους*613
ἐλέου περιέχεσθαι τὸν ἐλπίζοντα γνησίως λέγει· ὅτι Pe.
30ὃ *ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ γέγραπται, διὰ*
Ἰησοῦ Χριστοῦ ἡ ἀσύνετος καὶ ἐσκοτισμένη διάνοια
ἡμῶν ἀναθάλλει εἰς τὸ φῶς· διὰ τούτου ἠθέλησεν
ὁ δεσπότης τῆς ἀθανάτου γνώσεως ἡμᾶς γεύσασθαι
ῥητότερον καὶ τὸ τῆς γνώσεως ἰδίωμα ἐμφαίνων

*) Psalm. 34, 12—19. **) Ibid. 32, 10.

ἐπήγαγεν. προδήλων οὖν ὄντων ἡμῖν τούτων καὶ ἐκκεκυφότες εἰς τὰ βάθη τῆς θείας γνώσεως πάντα τάξει ποιεῖν ὀφείλομεν, ὅσα ὁ δεσπότης ἐπιτελεῖν ἐκέλευσεν, κατὰ καιροὺς τεταγμένους. ὁ σοφὸς τοίνυν ἐνδεικνύσθω τὴν σοφίαν αὐτοῦ μὴ λόγοις μόνον, ἀλλ' ἐν ἔργοις ἀγαθοῖς· ὁ ταπεινόφρων μαρτυρείτω μὴ ἑαυτῷ, ἀλλ' ἐν τῷ ὑφ' ἑτέρου αὐτὸν μαρτυρεῖσθαι· ὁ ἁγνὸς τῇ σαρκὶ μὴ ἀλαζονευέσθω, γινώσκων ὅτι ἕτερός ἐστιν ὁ ἐπιχορηγῶν αὐτῷ τὴν ἐγκράτειαν. ὁρᾶτε ἀδελφοί, ὅσῳ πλείονες κατηξιώθημεν γνώσεως, τοσούτῳ ὑποκείμεθα μᾶλλον κινδύνῳ.

Cap. XVIII.

§. 113. Ἡ σεμνὴ οὖν τῆς φιλανθρωπίας ἡμῶν καὶ ἄγνὴ ἀγωγὴ κατὰ τὸν Κλήμεντα τὸ κοινωφελὲς ζητεῖ· ἐάν τε μαρτυρῇ ἐάν τε καὶ παιδεύῃ ἔργῳ τε καὶ λόγῳ, διττῷ δὲ τούτῳ, ἀγράφῳ τε καὶ ἐγγράφῳ. αὕτη ἐστὶν ἡ ἀγάπη, τὸ ἀγαπᾶν τὸν Θεὸν καὶ τὸν πλησίον, αὕτη εἰς τὸ ἀνεκδιήγητον ὕψος ἀνάγει· „ἀγάπη καλύπτει πλῆθος ἁμαρτιῶν" *). ἀγάπη, πάντα ἀνέχεται, πάντα μακροθυμεῖ, ἀγάπη κολλᾷ ἡμᾶς τῷ Θεῷ, πάντα ποιεῖ ἐν ὁμονοίᾳ· ἐν τῇ ἀγάπῃ ἐτελειώθησαν πάντες οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ· δίχα ἀγάπης οὐδὲν εὐάρεστον τῷ Θεῷ· τῆς τελειότητος αὐτῆς οὐκ ἔστιν ἐξήγησις, φησί. τίς ἱκανὸς ἐν αὐτῇ εὑρεθῆναι, εἰ μὴ οὓς ἂν αὐτὸς καταξιώσῃ ὁ Θεός; αὐτίκα ὁ ἀπόστολος Παῦλος, P. 614. „ἐὰν τὸ σῶμά μου ἐπιδῶ", φησὶν, „ἀγάπην δὲ μὴ Potter. ἔχω, χαλκὸς εἰμι ἠχῶν καὶ κύμβαλον ἀλαλάζον" **). ἦν μὲν ἐκ διαθέσεως ἐκλεκτῆς, δι' ἀγάπης γνωστικῆς μαρτυρήσω, λέγει, φόβῳ δέ.

§. 114. Εἴπερ οὖν καὶ μισθῷ προσδοκωμένῳ ἐπικροτῶν τὰ χείλη εἰς μαρτυρίαν κυρίου, ὁμολο-

*) Iac. 5, 20. 1 Petr. 4, 8. **) 1 Corinth. 13, 1. 3.

γήσω κύριον, κοινός εἰμι ἄνθρωπος, οὐ γινώσκων. ἔστι γὰρ καὶ ὁ λαὸς ὁ τοῖς χείλεσιν ἀγαπῶν, ἔστι καὶ ἄλλος παραδιδοὺς τὸ σῶμα, ἵνα καυθήσεται. „κἂν ψωμίσω πάντα τὰ ὑπάρχοντά μου" *), φησὶν, οὐ κατὰ τὸν τῆς κοινωνίας τῆς ἀγαπητικῆς λόγον, ἀλλὰ κατὰ τὸν τῆς ἀνταποδόσεως ἢ παρὰ τοῦ εὐεργετουμένου ἀνθρώπου ἢ παρὰ τοῦ ἐπηγγελμένου κυρίου· „κἂν ἔχω πᾶσαν τὴν πίστιν ὥστε ὄρη μεθιστάναι" καὶ τὰ ἐπισκοτοῦντα ἀποβαλεῖν πάθη· „μὴ δὲ ἀγάπην δὲ" πιστωθῶ τῷ κυρίῳ, „οὐθέν εἰμι" **), ὡς πρὸς σύγκρισιν τοῦ γνωστικῶς μαρτυροῦντος εἰς πλῆθος καὶ τὸ μηδὲν διαφέρον λογιζόμενος. αἱ γενεαὶ δὲ πᾶσαι ἀπὸ Ἀδὰμ ἕως τῆσδε τῆς ἡμέρας παρῆλθον· ἀλλ' οἱ ἐν ἀγάπῃ τελειωθέντες κατὰ τὴν τοῦ Θεοῦ χάριν ἔχουσι χώραν εὐσεβῶν, οἳ φανερωθήσονται ἐν τῇ ἐπισκοπῇ τῆς βασιλείας τοῦ Χριστοῦ.

§. 115. Ἡ ἀγάπη ἁμαρτάνειν οὐκ ἐᾷ, ἣν δὲ καὶ περιπέσῃ ἄκων τοιαύτῃ τινὶ περιστάσει διὰ τὰς παρεμπτώσεις τοῦ ἀντικειμένου, μιμησάμενος τὸν Δαβὶδ ψαλεῖ· „ἐξομολογήσομαι τῷ κυρίῳ, καὶ ἀρέσει αὐτῷ ὑπὲρ μόσχον νέον, φέροντα κέρατα καὶ ὁπλάς. ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν" ***). λέγει γάρ· „θῦσον τῷ θεῷ θυσίαν αἰνέσεως καὶ ἀπόδος τῷ κυρίῳ τὰς εὐχάς σου καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεώς σου· καὶ ἐξελοῦμαί σε καὶ δοξάσεις με" ****). „θυσία γὰρ τῷ θεῷ πνεῦμα συντετριμμένον" †). ἀγάπη „τοίνυν καὶ „ὁ θεὸς" ††) εἴρηται, ἀγαθὸς ὤν. οὗ „ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται" †††), μήτε ἀδικοῦσα μήτε ἀνταδικοῦσά ποτε, ἀγαθοποιοῦσα δὲ πρὸς πάντας ἁπαξαπλῶς κατ' εἰκόνα θεοῦ. „πλήρωμα οὖν νόμου ἡ ἀγάπη" καθάπερ ††††) ὁ Χριστὸς, τουτέστιν ἡ παρουσία τοῦ ἀγαπῶν-

*) 1 Corinth. 13, 3. **) Ibid. v. 2. ***) Psalm. 69, 30—32. ****) Ibid. 50, 14 sq. †) Ibid. 51, 17. ††) Ioh. 4, 8. 16. †††) Roman. 13, 14. ††††) Ibidem.

τος ἡμᾶς κυρίου, καὶ ἡ κατὰ Χριστὸν ἀγαπητικὴ ἡμῶν διδασκαλία τε καὶ πολιτεία. ἀγάπη γοῦν τὸ μὴ μοι- P.
χεῦσαι καὶ τὸ μὴ ἐπιθυμῆσαι τῆς τοῦ πλησίον τε- 615.
λειοῦται, φόβῳ πρότερον κεκωλυμένον. τὸ αὐτὸ Pott.
5γοῦν ἔργον διαφορὰν ἴσχει, ἢ διὰ φόβον γενόμενον, ἢ δὲ ἀγάπην τέλεσθὲν καὶ ἤτοι διὰ πίστεως ἢ καὶ γνωστικῶς ἐνεργούμενον.

P. §. 116. Εἰκότως γοῦν καὶ τούτων διάφορα, τῷ
16. μὲν γνωστικῷ ἡτοίμασται, „ἃ ὀφθαλμὸς οὐκ εἶδεν,
ylb. οὐδὲ οὖς ἤκουσεν οὐδὲ ἐπὶ καρδίαν ἀνθρώπου
10ἀνέβη" *)· τῷ δὲ ἁπλῶς πεπιστευκότι μαρτυρεῖ „ἑκατονταπλασίονα" **) ὧν ἀπολέλοιπεν, ἣν ἐπαγγελίαν εἰς σύνεσιν ἀνθρώπων πίπτειν συμβέβηκεν. ἐνταῦθα γενόμενος ἀνεμνήσθην τινὸς φάσκοντος ἑαυτὸν γνωστικόν. ἐξηγούμενος γὰρ τὸ „ἐγὼ δὲ λέγω,
15ὃ ἐμβλέψας τῇ γυναικὶ πρὸς ἐπιθυμίαν ἤδη μεμοίχευκεν" ***), οὐ ψιλὴν τὴν ἐπιθυμίαν ἠξίου κρίνεσθαι, ἀλλὰ ἐὰν τῇ ἐπιθυμίᾳ τὸ κατ' αὐτὴν ἔργον περαιτέρω τῆς ἐπιθυμίας χωροῦν ἐν ἑαυτῇ ἐκτελῆται· ἢ γὰρ ὄναρ τῇ φαντασίᾳ συγκαταχρῆται ἤδη
20καὶ τῷ σώματι.

§. 117. Λέγουσιν οὖν οἱ τὰς ἱστορίας συνταξάμενοι Βοχχόριδος τοῦ δικαίου κρίσιν τοιάνδε. ἐρῶν ἑταίρας νεανίας πείθει μισθῷ τινὶ ὡρισμένῳ τὴν παῖδα ἀφικέσθαι τῇ ὑστεραίᾳ πρὸς αὐτόν. προλα-
25βούσης ὄναρ τῆς ἐπιθυμίας τὴν παῖδα παρ' ἐλπίδα κορεσθεῖς ἤκουσαν τὴν ἐρωμένην κατὰ τὸ τεταγμένον εἴργει τῆς εἰσόδου, ἡ δὲ ἐκμαθοῦσα τὸ γεγονὸς ἀπῄτει τὸν μισθὸν καὶ τῇδέ πως αὐτὴ τὴν ἐπιθυμίαν τῷ ἐραστῇ πεπληρωκέναι λέγουσα. ἦκον οὖν
30ἐπὶ τὸν κριτήν. τὸ βαλάντιον οὗτος τοῦ μισθώματος τὸν νεανίσκον προτείνειν κελεύσας, ἐν ἡλίῳ δὲ, τὴν ἑταίραν λαβέσθαι προσέταξεν τῆς σκιᾶς· χαριέν-

*) 1 Corinth. 2, 9. Iesai. 64, 4. **) Matth. 19, 29. Marc. 10, 29 sq. ***) Matth. 5, 28.

ιως εἴδωλον μισθώματος ἀποδιδόναι κελεύσας εἰδώ- P.
λου συμπλοκῆς. 616

§. 118. Ὀνειρώττει μὲν οὖν τις συγκαθεμένης Ro.
τῇ φαντασίᾳ τῆς ψυχῆς, ὅπαρ δὲ ὀνειρώττει ὁ πρὸς ἐπιθυμίαν βλέπων, οὐ μόνον ὡς ἐκεῖνος ἔλεγεν ὁ δῆθεν γνωστικὸς, ἐὰν ἅμα τῇ ὄψει τῆς γυναικὸς συλλάβῃ κατ᾽ ἔννοιαν τὴν ὁμιλίαν, τοῦτο γὰρ ἤδη ἔργον ἐστὶν ἐπιθυμίας ὡς ἐπιθυμίας, ἀλλ᾽ ἐὰν εἰς κάλλος σώματος βλέψῃ τις, ὁ λόγος φησὶ, καὶ αὐτῷ ἡ σὰρξ εἶναι κατ᾽ ἐπιθυμίαν δόξῃ καλῇ, σαρκικῶς ἰδὼν καὶ ἁμαρτητικῶς δι᾽ οὗ τεθαύμακεν κρίνεται· ἔμπαλιν γὰρ ὁ δι᾽ ἀγάπην τὴν ἁγνὴν προσβλέπων τὸ κάλλος οὐ τὴν σάρκα ἡγεῖται, ἀλλὰ τὴν ψυχὴν καλὴν, τὸ σῶμα οἶμαι ὡς ἀνδριάντα θαυμάσας, δι᾽ οὗ κάλλους ἐπὶ τὸν τεχνίτην καὶ τὸ ὄντως καλὸν αὐτὸς αὑτὸν παραπέμπει, σύμβολον ἅγιον τὸν χαρακτῆρα τῆς δικαιοσύνης τὸν φωτεινὸν ἐπιδεικνύμενος τοῖς ἐφεστῶσι τῇ ἀνόδῳ ἀγγέλοις, τὸ χρῖσμα τῆς εὐαρεστήσεως λέγω, τὴν ποιότητα τῆς διαθέσεως τὴν ἐπικειμένην τῇ ψυχῇ κατ᾽ ἐπιχώρησιν τοῦ ἁγίου πνεύματος γεγενομένῃ.

§. 119. Ταύτην τὴν δόξαν τὴν ἐκλάμψασαν ἐπὶ τοῦ προσώπου Μωϋσέως *) ὁ λαὸς οὐχ οἷός τε ἦν προσβλέπειν, διὸ καὶ κάλυμμα ἐλάμβανε τῆς δόξης πρὸς τοὺς σαρκικῶς θεωμένους. τοὺς μὲν γὰρ ἐπαγομένους τινὰ τῶν κοσμικῶν κατέχουσιν οἱ τὸ τέλος ἀπαιτοῦντες τοῖς σφετέροις βαρουμένους πάθεσι, τὸν δὲ γνωμὸν μὲν τῶν ὑποπιπτόντων τῷ τέλει, πλήρη δὲ γνώσεως καὶ τῆς ἐξ ἔργων δικαιοσύνης συνεχόμενοι παραπέμποῦσι τὸν ἄνδρα, σὺν καὶ τῷ ἔργῳ μακαρίσαντες· „καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται", τοῦ ζωτικοῦ ξύλου, „τοῦ κατὰ τὰς διεξόδους τῶν ὑδάτων τεθραμμένου" **)· καρποφόρους δὲ ὁ δίκαιος ἀπεικάζεται δένδροις, οὐ μόνον τοῖς κατὰ

*) Exod. 34, 29 sq. **) Psalm. 1, 3.

τὴν τῶν μεταρσίων θυσίαν· ἦσαν δὲ κἂν ταῖς P.
τῶν θυσιῶν προσαγωγαῖς παρὰ τῷ νόμῳ οἱ τῶν 617.
ἱερείων μωμοσκόποι. ὄρεξιν οὖν ἐπιθυμίας διακρί- Pott.
νουσιν οἱ περὶ ταῦτα δεινοί, καὶ τὴν μὲν ἐπὶ ἡδοναῖς
καὶ ἀκολασίᾳ τάττουσιν ἄλογον οὖσαν, τὴν δὲ ὄρε-
ξιν ἐπὶ τῶν κατὰ φύσιν ἀναγκαίων λογικὴν ὑπάρ-
χουσαν κίνησιν.

Cap. XIX.

§. 120. *Ταύτης τοι τῆς τελειότητος ἔξεστιν ἐπ' ἴσης μὲν ἀνδρὶ, ἐπ' ἴσης δὲ καὶ γυναικὶ μεταλαβεῖν. αὐτίκα οὐχ ὁ Μωϋσῆς μόνος ἀκούσας παρὰ τοῦ Θεοῦ, „λελάληκα πρὸς σὲ ἅπαξ καὶ δὶς λέγων· ἑώρακα τὸν λαὸν τοῦτον, καὶ ἰδού ἐστι σκληροτράχηλος, ἔασόν με ἐξολοθρεῦσαι αὐτοὺς καὶ ἐξαλείψω τὸ ὄνομα αὐτῶν ὑποκάτωθεν τοῦ οὐρανοῦ καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ θαυμαστὸν καὶ πολὺ μᾶλλον ἢ τοῦτο"*)· ἀποκρίνεται δεόμενος μὴ τὸ ἑαυτοῦ σκοπῶν, ἀλλὰ τὴν κοινὴν σωτηρίαν· „μηδαμῶς κύριε, ἄφες τὴν ἁμαρτίαν τῷ λαῷ τούτῳ ἢ κἀμὲ ἐξάλειψον ἐκ βίβλου ζώντων"**). ὅση τελειότης τοῦ συναποθανεῖν ἐθελήσαντος τῷ λαῷ ἢ σώζεσθαι μόνος. ἀλλὰ καὶ Ἰουδὶθ ἡ ἐν γυναιξὶ τελειωθεῖσα ἐν συγκλεισμῷ τῆς πόλεως γενομένης δεηθεῖσα τῶν πρεσβυτέρων εἰς μὲν τὴν παρεμβολὴν τῶν ἀλλοφύλων ἐξέρχεται, τοῦ παντὸς καταφρονήσασα κινδύνου ὑπὲρ τῆς πατρίδος, ἑαυτὴν ἐπιδοῦσα τοῖς πολεμίοις ἐν πίστει Θεοῦ· λαμβάνει δ' εὐθὺς τἀπίχειρα τῆς πίστεως ἀριστεύσασα γυνὴ κατὰ τοῦ πολεμίου τῆς πίστεως, κυρία τῆς Ὀλοφέρνου γενομένη κεφαλῆς.*

§. 121. *Πάλιν τε αὖ ἡ τελεία κατὰ πίστιν Ἐσθὴρ ῥυομένη τὸν Ἰσραὴλ τυραννικῆς ἐξουσίας καὶ*

*) Deuteron. 11, 13 sq. **) Exod. 32, 32.

τῆς τοῦ σατράπου ὠμότητος, μόνη γυνὴ νηστείαις τεθλιμμέναις πρὸς μυρίας ὁπλισαμένας ἀντετάξατο δεξιὰς τυραννικὸν διὰ πίστεως ἀναλύουσα δόγμα· καὶ δὴ τὸν μὲν ἐτιθάσσευσεν, ἀνέστειλεν δὲ τὸν Ἄμὰν καὶ τὸν Ἰσραὴλ τῇ θελείᾳ πρὸς τὸν θεὸν δεήσει ἀπαθῆ διεφύλαξεν. σιωπῶ γὰρ Σουσάνναν καὶ τὴν Μωϋσέως ἀδελφήν, ὡς ἡ μὲν συνεστρατήγησεν τῷ προφήτῃ πασῶν ἐξάρχουσα τῶν κατὰ σοφίαν παρ' Ἑβραίοις εὐδοκίμων γυναικῶν, ἡ δὲ σεμνότητος ὑπερβολῇ καὶ μέχρι θανάτου χωροῦσα πρὸς τῶν ἀκολάστων ἐραστῶν κατακρινομένη μάρτυς ἁγνείας ἔμεινεν ἀρρεπής.

§. 122. Ναὶ μὴν Λίων ὁ φιλόσοφος Λυσιδίκην τινὰ γυναῖκα ἱστορεῖ δι' ὑπερβολὴν αἰδοῦς αὐτῷ χιτῶνι λούεσθαι, Φιλωτέραν δὲ ὁπότε μέλλοι εἰσιέναι τὴν πύελον, ἡσυχῇ ἐπαναστέλλεσθαι τὸν χιτῶνα καθόσον τὰ γυμνὰ τὸ ὕδωρ ἔσκεπεν· εἶτα κατ' ὀλίγον αὖθις ἀνιοῦσαν ἐπενδύσασθαι. ἢ γὰρ οὐχὶ καὶ βασάνους ἤνεγκεν ἀνδρείως Λέαινα ἡ Ἀττικὴ συνειδυῖα αὐτῇ τοῖς ἀμφὶ τὸν Ἁρμόδιον καὶ Ἀριστογείτονα τὴν κατὰ Ἱππάρχου ἐπιβουλήν; οὐδ' ὅπως τι οὖν ἐξεῖπεν εὖ μάλα στρεβλουμένη. φασὶ δὲ καὶ τὰς Ἀργολικὰς ἡγουμένης αὐτῶν Τελεσίλλης τῆς ποιητρίας Σπαρτιάτας τοὺς ἀλκίμους τὰ πολέμια φανείσας μόνον τρέψασθαι καὶ ἐκείναις τὸ ἀδεὲς τοῦ θανάτου περιποιήσασθαι. τὰ ὅμοια λέγει καὶ ὁ τὴν Δαναΐδα πεποιηκὼς ἐπὶ τῶν Δαναοῦ θυγατέρων ὧδε·

καὶ τότ' ἄρ' ὡπλίζοντο θοῶς Δαναοῖο θύγατρες,
πρόσθεν ἐϋρρεῖος ποταμοῦ Νείλοιο ἄνακτος,

καὶ τὰ ἑξῆς.

§. 123. Ἄιδουσι δὲ οἱ λοιποὶ τῶν ποιητῶν τὴν Ἀταλάντης ἐν θήρᾳ ὠκύτητα καὶ τὴν Ἀντικλείας φιλοστοργίαν καὶ τὴν Ἀλκήστιδος φιλανδρίαν καὶ τὴν Μακαιρίας καὶ τῶν Ὑακινθίδων εὐψυχίαν. τί

δαί; οὐχὶ Θεανὼ μὲν ἡ Πυθαγορικὴ εἰς τοσοῦτον ἦκεν φιλοσοφίας ὡς πρὸς τὸν περιέργως ἀπιδόντα καὶ εἰπόν- P.
τα καλὸς ὁ πῆχυς, ἀλλ' οὐ δημόσιος, ἀποκρί- 619.
νασθαι. τῆς αὐτῆς φέρεται σεμνότητος κἀκεῖνο τὸ Pott.
ἀπόφθεγμα· ἐρωτηθεῖσα γὰρ ποσταία γυνὴ ἀπὸ ἀν-
δρὸς εἰς τὸ θεσμοφόριον κάτεισιν; ἀπὸ μὲν ἰδίου καὶ
παραχρῆμα ἔφη, ἀπὸ δὲ τοῦ ἀλλοτρίου οὐδεπώποτε.
ναὶ μὴν καὶ Θεμιστὼ ἡ Ζωΐλου ἡ Λαμψακηνὴ ἡ
Λεοντέως γυνὴ τοῦ Λαμψακηνοῦ τὰ Ἐπικούρεια
φιλοσόφει καθάπερ Μυῖα ἡ Θεανοῦς θυγάτηρ τὰ
Πυθαγόρεια καὶ Ἀριγνώτη ἡ τὰ περὶ Διονυσίου
γραψαμένη· αἱ γὰρ Διοδώρου τοῦ Κρόνου ἐπικλη-
θέντος θυγατέρες πᾶσαι διαλεκτικαὶ γεγόνασιν, ὥς
φησι Φίλων ὁ διαλεκτικὸς ἐν τῷ Μενεξένῳ, ὧν τὰ
ὀνόματα παρατίθεται τάδε· Μενεξένη, Ἀργεία, Θεό-
γνις, Ἀρτεμισία, Παντάκλεια, μέμνημαι καὶ Κυνικῆς
τινὸς, Ἱππαρχία δὲ ἐκαλεῖτο ἡ Μαρωνῖτις, ἡ Κράτη-
τος γυνή, ἐφ' ᾗ καὶ τὰ γυνογάμεια ἐν τῇ ποικίλῃ
ἐτέλεστο.

§. 124. Ἀρήτη δὲ ἡ Ἀριστίππου Κυρηναϊκὴ
τὸν μητροδίδακτον ἐπικληθέντα ἐπαίδευσεν Ἀρίστιπ-
πον. παρὰ Πλάτωνί τε ἐφιλοσόφουν Λασθένεια ἡ
Ἀρκαδία καὶ Ἀξιοθέα ἡ Φλιασία, Ἀσπασίας γὰρ τῆς
Μιλησίας περὶ ἧς καὶ οἱ κωμικοὶ πολλὰ δὴ κατα-
γράφουσιν Σωκράτης μὲν ἀπέλαυσεν εἰς φιλοσοφίαν,
Περικλῆς δὲ εἰς ῥητορικήν. παραπέμπομαι τοίνυν
τὰς ἄλλας διὰ τὸ μῆκος τοῦ λόγου, μήτε τὰς ποιη-
τρίας καταλέγων Κόριννάν καὶ Τελέσιλλαν, Μυῖάν P.
τε καὶ Σαπφὼ, ἢ τὰς ζωγράφους καθάπερ Εἰρήνην 620.
τὴν Κρατίνου θυγατέρα καὶ Ἀναξάνδραν τὴν Νεάλ- Pott.
κους, ὡς φησι Δίδυμος ἐν συμποσιακοῖς.

§. 125. Ἡ δὲ Κλεοβούλου θυγάτηρ τοῦ σοφοῦ
καὶ Λινδίων μοναρχοῦντος τῶν ξένων τῶν πατρώων
οὐκ ἠδεῖτο ἀπονίπτειν τοὺς πόδας, ἐπεὶ καὶ ἡ τοῦ
Ἀβραὰμ γυνὴ Σάρρα ἡ μακαρία αὐτὴ τοὺς ἐγκρυ-

φίας" *) παρεσκεύασε τοῖς ἀγγέλοις, καὶ βασιλικὰ κόρεα παρὰ τοῖς Ἑβραίοις τὰ πρόβατα ἔνεμον, ὅθεν καὶ ἡ παρ' Ὁμήρῳ Ναυσικάα ἐπὶ τοὺς πλυνοὺς ἦει. Πλοιτ' ἂν οὖν ἡ σώφρων πρῶτον μὲν πείθειν τὸν ἄνδρα κοινωνὸν αὐτῇ γίνεσθαι τῶν πρὸς εὐδαιμονίαν φερόντων, εἰ δὲ ἀδυνάτως ἔχοι, μόνη σπευδέτω ἐπ' ἀρετὴν, πάντα μὲν τῷ ἀνδρὶ πειθομένη ὡς μηδὲν ἄκοντος ἐκείνου πρᾶξαί ποτέ πλὴν ὅσα εἰς ἀρετήν τε καὶ σωτηρίαν διαφέρειν νομίζεται, ἀλλὰ καὶ εἰ καί τις εἴργοι τῆς τοιαύτης διαθέσεως ἀνυποκρίτως ὁρμῶσαν, ἤτοι γυναῖκα ἢ καὶ θεράπαιναν οὐκ ἄλλο τι φαίνεται τὸ γηνικάδε ὁρῶν ὁ τοιοῦτος, ἢ δικαιοσύνης μὲν καὶ σωφροσύνης ἀπάγειν προηρημένος, ἄδικον δὲ ἅμα καὶ ἀκόλαστον παρασκευάζειν βεβουλημένος τὸν οἶκον τὸν ἑαυτοῦ.

§. 126. Οὐχ οἷόν τε οὖν ἐστὶν ἄνδρα ἢ γυναῖκα ἐν σοφοῖν ἐλλόγιμον γενέσθαι μὴ μαθήσει μήτε μελέτῃ τε καὶ ἀσκήσει προσχρησαμένους, τὴν δὲ ἀρετὴν οὐκ ἐπ' ἄλλοις τισὶν εἶναι φαμὲν ἢ πάντων μάλιστα ἐφ' ἡμῖν. τὰ μὲν οὖν ἄλλα εἴργειν δύναταί τις προσπολεμῶν, τὸ δ' ἐφ' ἡμῖν οὐδαμῶς, οὐδ' ἂν μάλιστα ἐνίσταιτο, θεόσδοτον γὰρ τὸ δῶρον καὶ οὐχ ὑποπῖπτον ἄλλῳ τινί. ὅθεν ἀκολασία μὲν οὐκ ἄλλου τινὸς ἂν δοξάζοιτο εἶναι κακὸν ἢ τοῦ ἀκολασταίνοντος, σωφροσύνη δὲ ἀγαθὸν αὖ τοῦ τὸ σωφρονεῖν δυναμένου.

Cap. XX.

§. 127. Φίλανδρον μετὰ σεμνότητος ὑπογράφει γυναῖκα Εὐριπίδης παραινῶν·

εὐλογεῖν δ' ὅταν τι λέξῃ χρὴ δοκεῖν κἂν μὴ λέγῃ. κἀκπῆνεῖν ἂν τῷ ξυνόντι πρὸς χάριν μέλλῃ λέγειν. καὶ αὖθις που τοὐτέοις τὰ ὅμοια· P. 621. Pott.

*) Genes. 18, 6.

ἡδὺ δ' ἦν κακόν τι πράξῃ συσκυθρωπάζειν πόσει
ἄλοχον ἐν κοινῷ τε λύπης ἡδονῆς τ' ἔχειν μέρος.
τό τε πρᾶον καὶ φιλόστοργον ὧδέ πως ὑποδεικνύειν
κἂν ταῖς συμφοραῖς ἐπιφέρει·
σοὶ δ' ἔγωγε κἀὶ νοσοῦντι συννοσοῦσ' ἀνέξομαι
καὶ κακῶν τῶν σῶν συνοίσω. κοὐδέν ἐστί μοι πικρόν·

μετὰ γὰρ τῶν φίλων εὐτυχεῖν τε χρή. τί γὰρ δὴ τὸ φίλον ἄλλο πλὴν τόδε;

§. 128. „Ἁγιάζεται" γοῦν καὶ γάμος „κατὰ λόγον" τελειούμενος, ἐὰν ἡ συζυγία ὑποπίπτῃ τῷ θεῷ καὶ διοικῆται μετὰ „ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως ἠγνισμένων τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς καὶ λελουμένων τὸ σῶμα ὕδατι καθαρῷ καὶ
P. ἐχόντων τὴν ὁμολογίαν τῆς ἐλπίδος, πιστὸς γὰρ ὁ
225. ἐπαγγειλάμενος" *). χρὴ δὲ τὸν εὐδαίμονα γάμον
Syb. οὔτε πλούτῳ ποτὲ οὔτε κάλλει κρίνεσθαι, ἀλλ' ἀρετῇ. οὐδεμίαν,

φησὶν ἡ τραγῳδία,

ὤνησε κάλλος εἰς πόσιν ξυνάορον,
ἀρετὴ δ' ὤνησε πολλάς· πᾶσα γὰρ ἀγαθὴ γυνὴ
ᾗ τις ἀνδρὶ συντέτηκε, σωφρονεῖν ἐπίσταται.

εἶτα οἷον παραινέσεις διδοῦσά φησι·

πρῶτα μέν γε τοῦθ' ὑπάρχει κἂν ἄμορφος ᾖ πόσις
χρὴ δοκεῖν εὔμορφον εἶναι τῇ γε νοῦν κεκτημένῃ.
οὐ γὰρ ὀφθαλμὸς τὸ κρῖνόν ἐστιν, ἀλλὰ νοῦς, P.
καὶ τὰ ἐπὶ τούτοις. πάνυ γὰρ κυρίως ἡ γραφὴ 622.
„βοηθὸν" **) εἶπεν τὴν γυναῖκα δεδόσθαι τἀνδρὶ Pott.
παρὰ τοῦ θεοῦ.

§. 129. Δῆλον οὖν οἶμαι ὡς ἕκαστον τῶν προσπιπτόντων λυπηρῶν πρὸς τἀνδρὸς κατὰ τὴν οἰκουρίαν

*) 1 Timoth. 4, 5. Hebr. 10, 22 sq. **) Genes. 2, 20.

λόγῳ θεραπεύειν μετὰ πειθοῦς προαιρήσεται, εἰ δὲ μὴ ὑπακούοι τότε ἤδη πειράσεται καθόσον οἷόν τέ ἐστιν ἀνθρωπίνῃ φύσει ἀναμάρτητον διεξάγειν βίον, ἐάν τε ἀποθνήσκειν δέῃ μετὰ τοῦ λόγου ἐάν τε ζῆν, συλλήπτορα καὶ κοινωνὸν τῆς τοιαύτης πράξεως τὸν θεὸν εἶναι νομίζουσα, τὸν τῷ ὄντι παραστάτην καὶ σωτῆρα εἴς τε τὸ παρὸν εἴς τε τὸ μέλλον, στρατηγόν τε καὶ ἡγεμόνα πάσης πράξεως ἐκεῖνον πεποιημένη, σωφροσύνην μὲν καὶ δικαιοσύνην ἔργον ἡγουμένη, τὸ θεοφιλὲς δὲ ποιουμένη τέλος.

§. 130. *Χαριέντως* γοῦν ἐν τῇ πρὸς *Τίτον* ἐπιστολῇ ὁ ἀπόστολος δεῖν εἶναί φησι „τὰς πρεσβύτιδας ἐν καταστήματι ἱεροπρεπεῖ μὴ διαβόλους μὴ οἴνῳ πολλῷ δεδουλωμένας, ἵνα σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους, σώφρονας, ἁγνὰς, οἰκουρούς, ἀγαθὰς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ θεοῦ βλασφημῆται" *), „μᾶλλον δὲ" φησὶν „εἰρήνην διώκετε μετὰ πάντων καὶ τὸν ἁγιασμὸν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν κύριον, ἐπισκοποῦντες μή τις πόρνος ἢ βέβηλος, ὡς Ἡσαῦ ὃς ἀντὶ βρώσεως μιᾶς ἀπέδοτο τὰ πρωτοτόκια, καὶ μή τις ῥίζα πικρίας ἄνω φύουσα ἐνοχλῇ καὶ δι' αὐτῆς μιανθῶσιν οἱ πολλοί" **).

§. 131. Εἶθ' οἷον κολοφῶνα ἐπιθεὶς τῷ περὶ γάμου ζητήματι ἐπιφέρει, „τίμιος ὁ γάμος ἐν πᾶσι καὶ ἡ κοίτη ἀμίαντος, πόρνους δὲ καὶ μοιχοὺς κρινεῖ ὁ θεός" ***). ἑνὸς δὴ σκοποῦ καὶ ἑνὸς δὴ τέλους ἀνδρὶ καὶ γυναικὶ δεδειγμένου, τὸν τέλειον ὁ *Πέτρος* ἐν τῇ ἐπιστολῇ φησὶ, „ὀλίγον ἄρτι εἰ δέον λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς ἵνα τὸ δοκίμιον τῆς πίστεως ὑμῶν πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου καὶ διὰ πυρὸς δεδοκιμασμένου εὑρεθῇ εἰς ἔπαι-

*) Tit. 2, 2—5. **) Hebr. 12, 13—17. ***) Ibid. 13 4.

νον καὶ δόξαν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ· ὃν οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δὲ ἀγαλλιᾶσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως σωτηρίαν ψυχῶν" *). *διὸ καὶ Παῦλος καυχᾶται διὰ Χριστὸν γεγονέναι „ἐν κόποις περισσοτέρως ἐν πληγαῖς ὑπερβαλλόντως ἐν θανάτοις πολλάκις"* **).

Cap. XXI.

§. 132. *Ἐνταῦθα τὸ τέλειον εὑρίσκω πολλαχῶς ἐκλαμβανόμενον κατὰ τὸν ἐν ἑκάστῃ κατορθοῦντα ἀρετῇ. τελειοῦται γοῦν τις καὶ ὡς εὐλαβὴς καὶ ὡς ὑπομονητικὸς καὶ ὡς ἐγκρατὴς καὶ ὡς ἐργάτης καὶ ὡς μάρτυς καὶ ὡς γνωστικός· πάντα δὲ ὁμοῦ* P. *τέλειος οὐκ οἶδ' εἴ τις ἀνθρώπων ἔτι ἄνθρωπος* 623. *ὢν, πλὴν μόνον ὁ δὲ ἡμῖς ἄνθρωπον ἐνδυσάμενος·* Pott. *καί τοι κατὰ νόμον ψιλόν. τίς οὖν εἴη τέλειος; ὃς ἀποχὴν κακῶν ἐπαγγέλλεται, ὁδὸς δέ ἐστιν αὕτη ἐπί τε τὸ εὐαγγέλιον ἐπί τε τὴν εὐποιίαν. ἀλλὰ νομικοῦ μὲν τελείωσις γνωστικὴ εὐαγγελίου πρόσληψις ἵνα γένηται ὁ κατὰ νόμον τέλειος, οὕτω γὰρ προεθέσπισεν ὁ κατὰ νόμον Μωϋσῆς ἀκοῦσαι δεῖν ἵνα ἐκδεξώμεθα κατὰ τὸν ἀπόστολον πλήρωμα νόμου τὸν Χριστόν. ἐν εὐαγγελίῳ δὲ ἤδη προκόπτει ὁ γνωστικὸς σὺ βαθμῷ χρησάμενος τῷ νόμῳ μόνον, συνιεὶς δὲ αὐτὸν καὶ νοήσας ὡς παρέδωκε τοῖς ἀποστόλοις ὁ τὰς διαθήκας δεδωκὼς κύριος. εἰ δὲ καὶ πολιτεύσαιτο ὀρθῶς, ὥσπερ οὖν ἀδύνατον δυσεργείᾳ γνῶσιν ἐπακολουθεῖν, μάρτυς τε ἐπὶ τοῖσδε ὀρθότατά ὁμολογήσας δὲ ἀγάπην γένοιτο πλείονα τὴν ἀξίαν ὡς ἐν ἀνθρώποις λαμβάνων· οὐδ' οὕτως φθάσει τέλειος ἐν σαρκὶ κληθεὶς, ἐπεὶ τὴν προσηγορίαν ταύτην προείληφεν ἡ συμπεραίωσις τοῦ βίου φθάσαντος ἤδη τοῦ γνωστικοῦ*

*) 1 Petr. 1, 6—9. **) 2 Corinth. 11, 23.

μάρτυρος τὸ τέλειον ἔργον ἐνδείξασθαι καὶ παραστῆσαι κυρίως δὲ ἀγάπης γνωστικῆς εὐχαρισθέντος ἄμματος, παρωπεμπομένου τὸ πνεῦμα.

§. 133. Μακάριος δ' ἔνθεν ἂν εἴη τέλειός τε ἐν δίκῃ κηρυχθείη, "ἵνα ἡ ὑπερβολὴ τῆς δυνάμεως ᾖ τοῦ θεοῦ καὶ μὴ ἐξ ἡμῶν", ὡς φησιν ὁ ἀπόστολος· μόνον τὸ προαιρετικὸν καὶ τὴν ἀγάπην σώζωμεν, "ἐν παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι, ἀπορούμενοι, ἀλλ' οὐκ ἐξαπορούμενοι, διωκόμενοι, ἀλλ' οὐκ ἐγκαταλειπόμενοι, καταβαλλόμενοι, ἀλλ' οὐκ ἀπολλύμενοι" *). χρὴ γὰρ τοὺς σπεύδοντας εἰς συντελείωσιν κατὰ τὸν αὐτὸν ἀπόστολον "μηδεμίαν ἐν μηδενὶ διδόναι προσκοπὴν ἀλλ' ἐν παντὶ συνιστάνειν ἑαυτοὺς οὐκ ἀνθρώποις, ἀλλὰ τῷ θεῷ". ἔστω δὲ κατεπακολούθημα πείθεσθαι καὶ τοῖς ἀνθρώποις, καὶ γὰρ τούτοις εὔλογον διὰ τὰς ἐπηρεαζούσας βλασφημίας. ἡ δὲ διασύστασις "ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς, ἐν ἀκαταστασίαις, ἐν κόποις, ἐν ἀγρυπνίαις, ἐν νηστείαις, ἐν ἁγνότητι, ἐν γνώσει, ἐν μακροθυμίᾳ, ἐν χρηστότητι, P. 624. ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ" **), "ἵνα ὦμεν ναοὶ Rom. θεοῦ καθαρισθέντες ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς P. καὶ πνεύματος· κἀγώ", φησίν, "εἰσδέξομαι ὑμᾶς καὶ 226. ἔσομαι ὑμῖν εἰς πατέρα, καὶ ὑμεῖς ἔσεσθέ μοι εἰς Sylb. υἱοὺς καὶ θυγατέρας, λέγει κύριος παντοκράτωρ" ***).

"ἐπιτελοῦμεν οὖν", φησὶν "ἁγιωσύνην ἐν φόβῳ θεοῦ". εἰ γὰρ καὶ λύπην ὁ φόβος γεννᾷ, "χαίρω", λέγει "οὐχ ὅτι ἐλυπήθητε, ἀλλ' ὅτι ἐλυπήθητε εἰς μετάνοιαν, ἐλυπήθητε γὰρ κατὰ θεὸν ἵνα ἐν μηδενὶ ζημιωθῆτε ἐξ ἡμῶν, ἡ γὰρ κατὰ θεὸν λύπη μετάνοιαν εἰς σωτηρίαν ἀμεταμέλητον ἐργάζεται, ἡ δὲ τοῦ κόσμου

*) 2 Corinth. 4, 7—9. **) Ibid. 6, 3—7. ***) Ibid. 7, 1. 6, 16 sq. 19.

λύπη θάνατον κατεργάζεται. ἰδοὺ γὰρ αὐτὸ τοῦτο τὸ κατὰ θεὸν λυπηθῆναι ὑμᾶς πόσην κατειργάσατο ὑμῖν σπουδήν; ἀλλὰ ἀπολογίαν, ἀλλὰ ἀγανάκτησιν, ἀλλὰ φόβον, ἀλλὰ ἐπιπόθησιν, ἀλλὰ ζῆλον, ἀλλὰ ἐκδίκησιν· ἐν παντὶ συνεστήσατε ἑαυτοὺς ἁγνοὺς εἶναι τῷ πράγματι" *).

§. 134. *Ταῦτα γνωστικῆς ἀσκήσεως προγυμνάσματα. ἐπεὶ δὲ ὁ παντοκράτωρ θεὸς αὐτὸς "ἔδωκεν τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστὰς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ μέχρι καταντήσομεν πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ υἱοῦ τοῦ θεοῦ εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ" **), σπευστέον ἀπανδροῦσθαι γνωστικῶς καὶ τελειοῦσθαι ὡς ὅτι μάλιστα ἔτι ἐν σαρκὶ κατωμένοντας ἐκ τῆς τελείας ἐνθένδε ὁμοφροσύνης μελετήσαντας συνδραμεῖν τῷ θελήματι τοῦ θεοῦ εἰς τὴν ἀποκατάστασιν τῆς ὄντι τελείας εὐγενείας τε καὶ συγγενείας εἰς τὸ πλήρωμα τοῦ Χριστοῦ τὸ ἐκ καταρτισμοῦ τελείως ἀπηρτισμένον. ἤδη συνορῶμεν ὅπῃ καὶ ὅπως καὶ ὁπότε ὁ θεῖος ἀπόστολος τὸν τέλειον λέγει καὶ ὡς τελείων ἐμφαίνει διαφοράς. πάλιν τε αὖ ἑκάστῳ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον· ᾧ μὲν γὰρ δίδοται διὰ τοῦ πνεύματος λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ πίστις ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ προφητεία, ἄλλῳ διάκρισις πνευμάτων, ἑτέρῳ γένη γλωσσῶν, ἄλλῳ δὲ ἑρμηνεία γλωσσῶν· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται" ***).*

Pott.

*) 2 Corinth. 7, 1. 9—11. **) Ephes. 4, 11—13. ***) 1 Corinth. 12, 7—11.

§. 135. Ὧν οὕτως ἐχόντων οἱ μὲν προφῆται ἐν προφητείᾳ τέλειοι, οἱ δίκαιοι δὲ ἐν δικαιοσύνῃ καὶ οἱ μάρτυρες ἐν ὁμολογίᾳ, ἄλλοι δὲ ἐν κηρύγματι οὐκ ἀμέτοχοι μὲν τῶν κοινῶν ἀρετῶν, κατορθοῦντες δὲ ἐν οἷς ἐτάχθησαν, ἐπεὶ τίς ἂν εὖ φρονῶν ἄποι τὸν προφήτην οὐ δίκαιον; τί γάρ; οὐχὶ καὶ οἱ δίκαιοι ὥσπερ Ἀβραὰμ προεφήτευσεν;

ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήια ἔργα,
ἄλλῳ δ' ὀρχηστύν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν.

Ὁμηρὸς λέγει. „ἀλλ' ἕκαστος ἴδιον ἔχει χάρισμα ἀπὸ θεοῦ, ὁ μὲν οὕτως, ὁ δὲ οὕτως" *), οἱ ἀπόστολοι δὲ ἐν πᾶσι πεπληρωμένοι.

§. 136. Εὑρήσεις γοῦν ἂν θελήσῃς ἐκ τῶν πράξεων καὶ τῶν συγγραμμάτων αὐτῶν τὴν γνῶσιν, τὸν βίον, τὸ κήρυγμα, τὴν δικαιοσύνην, τὴν ἁγνείαν, τὴν προφητείαν. ἰστέον μέντοι, ὅτι εἰ καὶ ὁ Παῦλος τοῖς χρόνοις νεάζει εὐθέως μετὰ τὴν τοῦ κυρίου ἀνάληψιν ἀκμάσας, ἀλλ' οὖν ἡ γραφὴ αὐτῷ ἐκ τῆς παλαιᾶς ἤρτηται διαθήκης ἐκεῖθεν ἀναπνέουσα καὶ λαλοῦσα· ἡ γὰρ εἰς Χριστὸν πίστις καὶ ἡ τοῦ εὐαγγελίου γνῶσις ἐξήγησίς ἐστι καὶ τοῦ νόμου πλήρωσις. καὶ διὰ τοῦτο εἴρηται τοῖς Ἑβραίοις, „ἐὰν μὴ πιστεύσητε οὐ μὴ συνῆτε" **), τουτέστιν ἐὰν μὴ πιστεύσητε τῷ διὰ νόμου προφητευθέντι καὶ ὑπὸ νόμου θεσπισθέντι, οὐ συνήσετε τὴν διαθήκην τὴν παλαιὰν ἣν αὐτὸς κατὰ τὴν ἰδίαν ἐξηγήσατο παρουσίαν.

Cap. XII.

§. 137. Ὁ δὴ συνιὼν καὶ διορατικὸς οὗτός ἐστιν ὁ γνωστικός. ἔργον δὲ αὐτοῦ οὐχ ἡ ἀποχὴ τῶν κακῶν, ἐπιβάθρα γὰρ αὕτη προκοπῆς μεγίστης, οὐδὲ μὴν ποιεῖν τι ἀγαθὸν ἤτοι διὰ φόβον, γέγραπται

*) 1 Corinth. 7, 7. **) Iesai. 7, 9.

γάρ· „ποῦ φύγω καὶ ποῦ κρυβήσομαι ἀπὸ προσώπου σού; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ, ἐὰν ἀπέλθω εἰς τὰ ἔσχατα τῆς θαλάσσης ἐκεῖ ἡ δεξιά σου, ἐὰν καταβῶ εἰς ἀβύσσους, ἐκεῖ τὸ πνεῦμά σου" *)· ἀλλ' οὐδὲ δι' ἐλπίδα τιμῆς ἐπηγγελμένης, εἴρηται γάρ, „ἰδοὺ κύριος καὶ ὁ μισθὸς αὐτοῦ, ἀπὸ προσώπου αὐτοῦ, ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ" **)· „ἃ ὀφθαλμὸς οὐκ εἶδεν καὶ οὖς οὐκ ἤκουσεν καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν" ***)· μόνη δ' ἡ δι' ἀγάπην εὐποιία ἡ δι' αὐτὸ τὸ καλὸν αἱρετὴ τῷ γνωστικῷ.

§. 138. Αὐτίκα ἐκ προσώπου τοῦ θεοῦ τῷ κυρίῳ λέλεκται, „αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι τὴν κληρονομίαν σου" †), αἴτημα τὸ βασιλικώτατον διδάσκων αἰτεῖσθαι τὴν τῶν ἀνθρώπων σωτηρίαν ἀμισθὶ, ἵνα δὴ ἡμεῖς κληρονομήσωμεν καὶ κτησώμεθα τὸν κύριον. ἔμπαλιν γὰρ χρείας τινὸς ἕτεκεν, ἵνα μοὶ τόδε γένηται καὶ τόδε μὴ γένηται, τῆς ἐπιστήμης ἐφιέσθαι τῆς περὶ τὸν θεὸν οὐκ ἴδιον γνωστικοῦ, ἀπόχρη δ' αὐτῷ αἰτία τῆς θεωρίας ἡ γνῶσις αὕτη. τολμήσας γὰρ εἴποιμ' ἄν, οὐ διὰ τὸ σώζεσθαι βούλεσθαι τὴν γνῶσιν αἱρήσεται ὁ δι' αὐτὴν τὴν θείαν ἐπιστήμην μεθέπων τὴν γνῶσιν· τὸ μὲν γὰρ νοεῖν ἐκ συνασκήσεως εἰς τὸ ἀεὶ νοεῖν ἐκτείνεται, τὸ δὴ ἀεὶ νοεῖν οὐσία τοῦ γινώσκοντος κατὰ ἀνάκρασιν ἀδιάστατον γενομένη καὶ ἀΐδιος θεωρία ζῶσα ὑπόστασις μένει. εἰ γοῦν τις καθ' ὑπόθεσιν προθείη τῷ γνωστικῷ πότερον ἑλέσθαι βούλοιτο, τὴν γνῶσιν τοῦ θεοῦ ἢ τὴν σωτηρίαν τὴν αἰώνιον, εἰη δὲ ταῦτα κεχωρισμένα παντὸς μᾶλλον ἐν ταυτότητι ὄντα, οὐδὲ καθοτιοῦν διστάσας ἕλοιτ' ἂν τὴν γνῶσιν τοῦ θεοῦ, δι' αὐτὴν αἱρετὴν κρίνας εἶναι τὴν

P. 626. Pott.

lb.

*) Psalm. 139, 7—10. **) Iesai. 40, 10. 62, 11. Psalm. 62, 12. Apocalyps. 22, 12. Roman. 2, 6. ***) 1 Corinth. 2, 9. †) Psalm. 2, 8.

ἐπαναβεβηκυῖαν τῆς πίστεως δι' ἀγάπην εἰς γνῶσιν ἰδιότητα.

§. 139. Αὕτη τοίνυν ἡ πρώτη ἀγαθοποιία τοῦ τελείου, ὅταν μὴ διά τι χρειῶδες τῶν εἰς αὐτὸν συντεινόντων γίνηται, κρίναντος δ' ὅτι καλὸν τὸ ἀγαθὸν ποιεῖν ἐκτενῶς ἡ ἐνέργεια φερομένη ἐν πᾶσι πράξει ἀγαθύνηται, οὐκ ἐφ' ὧν μὲν, ἐφ' ὧν δ' οὔ· ἀλλ' ἐν ἕξει εὐποιίας καταστᾶσα μήτε διὰ δόξαν ἔτι ἢ ὡς φασιν οἱ φιλόσοφοι τὴν εὔκλειαν μήτε διὰ μισθὸν εἴτε παρὰ ἀνθρώπων εἴτε ἐκ θεοῦ· κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν τοῦ κυρίου τὸν βίον ἐκτελοίη. κἂν πως ἀγαθοεργοῦντι αὐτῷ ἐναντίον τι ἀπαντήσῃ, ὡς ἀγαθὴν τὴν ἀντιμισθίαν ἀμνησικάκως προήσεται, ἐπὶ „δικαίους καὶ ἀδίκους" *) δίκαιος καὶ ἀγαθὸς γινόμενος. τοιούτοις τισὶν ὁ κύριος λέγει, „γίνεσθε ὡς ὁ πατὴρ ὑμῶν τέλειος" **). τούτῳ τέθνηκεν ἡ σαρξ, ζῇ δὲ αὐτὸς μόνος ἀφιερώσας τὸν τάφον εἰς ναὸν ἅγιον κυρίῳ, τὴν παλαιὰν ἁμαρτητικὴν ψυχὴν ἐπιστρέψας πρὸς θεόν.

§, 140. Οὐκ ἐγκρατὴς οὗτος ἔτι, ἀλλ' ἐν ἕξει γέγονεν ἀπαθείας σχῆμα θεῖον ἐπενδύσασθαι ἀναμένων. „ἐὰν ποιήσῃς", φησὶν, „ἐλεημοσύνην μηδεὶς γινωσκέτω, καὶ ἐὰν νηστεύσῃς ἄλειψαι, ἵνα ὁ θεὸς μόνος γινώσκῃ" ***), ἀνθρώπων δὲ οὐδὲ εἷς. ἀλλ' οὐδὲ αὐτὸς ὁ ἐλεῶν ὅτι ἐλεεῖ γινώσκειν ὀφείλει· ἔσται γὰρ οὕτω ποτὲ μὲν οἰκτίρμων, ἄλλοτε δὲ οὔ. ἐπὰν δὲ ἐν ἕξει ποιήσῃ τὸ εὐεργετητικὸν, φύσιν ἀγαθοῦ μιμήσεται· ἡ δὲ διάθεσις καὶ φύσις ἔσται καὶ συνάσκησις. οὐ δεῖ δὲ ἀρθέντας μετατεθῆναι, ἀλλὰ βαδίζοντας ἀφικέσθαι οἷ δεῖ. τοῦτο γάρ ἐστι „τὸ ἑλκυσθῆναι ὑπὸ τοῦ πατρὸς" †) διὰ πάσης τῆς στενῆς διελθόντας ὁδοῦ, τὸ ἄξιον γενέσθαι τὴν δύναμιν τῆς χάριτος παρὰ τοῦ θεοῦ λαβεῖν, ἀκωλύτως ἀναδρα-

*) Matth. 5, 45. **) Ibid. v. 48. ***) Ibid. 6, 1 sq.
†) Ioann. 6, 44. Matth. 7, 13 sq.

μεῖν· κἂν μισῶσι τὸν ἐκλεκτόν τινες, οἶδεν οὗτος τὴν ἄγνοιαν αὐτῶν οἰκτείρων τῆς ἀμαθίας τὴν γνώμην αὐτῶν.

§. 141. Εἰκότως οὖν ἡ γνῶσις αὕτη ἀγαπᾷ καὶ στοῦς ἀγνοοῦντας διδάσκει τε καὶ παιδεύει τὴν πᾶσαν κτίσιν τοῦ παντοκράτορος θεοῦ τιμᾶν. εἴ γε ἀγαπᾶν μεμάθηκε τὸν θεὸν, οὐχ ἕξει τὴν ἀρετὴν ἀπόβλητον οὔτος οὐδαμῶς οὔτε ὕπαρ οὔτε ὄναρ οὐδὲ κατὰ φαντασίαν τινά· ἐπεὶ μηδ' ἐξίσταταί ποθ' ἑαυτῆς ἡ ἕξις ἀποπεσοῦσα τοῦ ἕξις εἶναι· εἴτ' οὖν ἕξις ἡ γνῶσις εἴτε διάθεσις εἶναι λέγοιτο, τῷ γὰρ μὴ παρεσιέναι ποτὲ ἐννοίας διαφόρους ἀναλλοίωτον τὸ ἡγεμονικὸν μένον οὐ προσλαμβάνει τινὰ ἑτεροίωσιν φαντασιῶν, τὰς ἐκ τῶν μεθημερινῶν πινήσεων ἀνειδωλοποιίας ὀνειρώττον· διὰ τοῦτό τοι καὶ ὁ κύριος „γρηγορεῖναι" *) παραγγέλλει, ὥστε μηδὲ ὄναρ ἡμῶν παθαίνεσθαί ποτε τὴν ψυχὴν, ἀλλὰ καὶ τῆς νυκτὸς τὴν πολιτείαν ὡς ἐν ἡμέρᾳ ἐνεργουμένην καθαρὰν καὶ ἀκηλίδωτον διαφυλάττειν προστάττει· αὕτη γὰρ ἡ κατὰ δύναμιν ἐξομοίωσις πρὸς θεὸν τὸ φυλάττειν τὸν νοῦν ἐν τῇ κατὰ τὰ αὐτὰ σχέσει· αὕτη δὲ νοῦ σχέσις ὡς νοῦ, ἡ δὲ ποικίλη διάθεσις γίνεται τῇ πρὸς τὰ ὑλικὰ προσπαθείᾳ.

§. 142. Ἡ μοὶ δοκοῦσιν εὐφρόνην κεκληκέναι στὴν νύκτα, ἐπειδὴ τηνικάδε ἡ ψυχὴ πεπαυμένη τῶν αἰσθήσεων συννεύει πρὸς αὐτὴν καὶ μᾶλλον μετέχει τῆς φρονήσεως. διὰ ταῦτ' οὖν καὶ αἱ τελεταὶ γίνονται νυκτὸς μάλιστα, σημαίνουσαι τὴν ἐν νυκτὶ τῆς ψυχῆς συστολὴν ἀπὸ τοῦ σώματος. „ἄρ' οὖν μὴ καθεύδωμεν ὡς οἱ λοιποὶ, ἀλλὰ γρηγορῶμεν καὶ νήφωμεν· οἱ γὰρ καθεύδοντες νυκτὸς καθεύδουσι καὶ οἱ μεθυσκόμενοι νυκτὸς μεθύουσι, ἡμεῖς δὲ ἡμέρας ὄντες νήφωμεν ἐνδυσάμενοι θώρακα πίστεως καὶ ἀγάπης καὶ περικεφαλαίαν ἐλπίδα σωτηρίου" **).

P. 628. Pott.

*) Matth. 24, 42. **) 1 Thessal. 5, 6—8.

§. 143. Ὅσα δ' αὖ περὶ ὕπνου λέγουσι τὰ αὐτὰ χρὴ καὶ περὶ θανάτου ἐξακούειν. ἑκάτερος γὰρ δηλοῖ τὴν ἀπόστασιν τῆς ψυχῆς ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον, ὅπερ ἐστὶ καὶ παρὰ Ἡρακλείτου λαβεῖν ἄνθρωπος ἐν εὐφροσύνῃ φάος ἅπτεται ἑαυτῷ ἀποθανὼν ἀποσβεσθείς, ζῶν δέ, ἅπτεται τεθνεῶτος εὕδων ἀποσβεσθεὶς ὄψεις, ἐγρηγορὼς ἅπτεται εὕδοντος'. „μακάριοι γὰρ οἱ εἰδότες τὸν κύριον" κατὰ τὸν ἀπόστολον „ὅτι ὥρα ὑμᾶς ἤδη ἐξ ὕπνου ἐγερθῆναι· νῦν γὰρ ἐγγύτερον ἡμῶν ἡ σωτηρία ἢ ὅτε ἐπιστεύσαμεν, ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν. ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, ἐνδυσώμεθα δὲ τὰ ὅπλα τοῦ φωτός" *). ἡμέραν δὲ τὸν υἱὸν ἀλληγορεῖ καὶ φῶς, τάς τε αὖ παραγγελίας ὅπλα φωτὸς μεταφορικῶς. ταύτῃ τοι λελουμένους φασὶ δεῖν ἐπὶ τὰς ἱεροπαιίας καὶ τὰς εὐχὰς ἰέναι καθαροὺς καὶ λαμπρούς.

§. 144. Καὶ τοῦτο μὲν συμβόλου χάριν γίνεσθαι τὸ ἔξωθεν κεκοσμῆσθαί τε καὶ ἠγνίσθαι, ἁγνεία δέ ἐστι φρονεῖν ὅσια καὶ δὴ καὶ ἡ εἰκὼν τοῦ βαπτίσματος εἴη ἂν καὶ ἡ ἐκ Μωϋσέως παραδεδομένη τοῖς ποιηταῖς ὧδέ πως·

ἣ δ' ὑδρηναμένη καθαρὰ χροΐ εἵματ' ἔχουσα **)·
ἡ Πηνελόπη ἐπὶ τὴν εὐχὴν ἔρχεται· Τηλέμαχος δέ, χεῖρας νιψάμενος πολιῆς ἁλὸς εὖχετ' Ἀθήνῃ ***).

ἔθος τοῦτο Ἰουδαίων, ὡς καὶ τὸ πολλάκις ἐπὶ κοίτῃ βαπτίζεσθαι. εὖ γοῦν κἀκεῖνο εἴρηται, ἵσθι μὴ λουτρῷ, ἀλλὰ νόῳ καθαρός. ἁγνεία γὰρ οἶμαι τελεία ἡ τοῦ νοῦ καὶ τῶν ἔργων καὶ τῶν διανοημάτων, πρὸς δὲ καὶ τῶν λόγων εἰλικρίνεια καὶ τελευταῖα ἡ κατὰ τὰ ἐνύπνια ἀναμαρτησία. P. 628. Pott.

§. 145. Ἱκανὴ δὲ οἶμαι ἀνθρώπῳ κάθαρσις, μετάνοια ἀκριβὴς καὶ βεβαία, εἴ γε κατεγνωκότες ἑαυτῶν ἐπὶ ταῖς προγενομέναις πράξεσι προΐεμεν εἰς

*) Roman. 13, 11 sq. **) Odyss. δ. 750. ***) Odyss. β. 261.

τὸ πρόσθεν μετὰ ταῦτα νοήσαντες καὶ τὸν νοῦν ἐξα-
P. ναδύντες τῶν τε κατ' αἴσθησιν τερπόντων καὶ τῶν
28. πρόσθεν πλημμελημάτων. εἰ γοῦν τὴν ἐπιστήμην
yb. ἐτυμολογεῖν χρὴ καὶ ἀπὸ τῆς στάσεως τὴν ἐπιβο-
5λὴν αὐτῆς ληπτέον, ὅτι ἵστησιν ἡμῶν ἐν τοῖς πρά-
γμασι τὴν ψυχὴν ἄλλοτε ἄλλως πρότερον φερομέ-
νην. ὡς αὕτως καὶ τὴν πίστιν ἐτυμολογητέον τὴν
περὶ τὸ ὂν στάσιν τῆς ψυχῆς ἡμῶν, ἡμεῖς δὲ τὸν
ἀεὶ καὶ ἐν πᾶσι δίκαιον ποθοῦμεν μαθεῖν, ὃς μήτε τὴν
10ἐκ τοῦ νόμου δεδιὼς κόλασιν μήτε τὴν τῶν συνόντων
καὶ ἐπεξιόντων τοῖς πλημμεληθεῖσι μισοπονηρίαν εὐ-
λαβούμενος μήτε τὸν ἐξ αὐτῶν τῶν ἀδικουμένων κίν-
δυνον ὑφορώμενος διαμένει δίκαιος, ὃ γὰρ διὰ ταῦ-
τα τοῦ πράττειν τι τῶν ἀδίκων ἀπεχόμενος οὐχ
15ἑκὼν χρηστὸς, φόβῳ δὲ ἀγαθός. καὶ ὅ γε Ἐπίκουρος
ἀδικεῖν ἐπὶ κέρδει τινὶ βούλεσθαί φησι τὸν κατ' αὐ-
τὸν σοφόν· πίστιν γὰρ λαβεῖν περὶ τοῦ λαθεῖν οὐ
δύνασθαι. ὥστε εἰ πιστήσεται λήσειν ἀδικήσει κατ'
αὐτόν.

20 §. 146. *Καὶ τοιαῦτα μὲν τὰ σκοτεινὰ δόγματα,*
εἰ δὲ καὶ ἐλπίδι τῆς ἐπὶ δικαίοις παρὰ τοῦ Θεοῦ ἀ-
μοιβῆς ἀφέξεταί τις τοῦ ἀδικεῖν οὐδ' οὕτως ἑκὼν
χρηστεύεται, ὡς γὰρ ἐκεῖνον ὁ φόβος οὕτω τοῦτον
ὁ μισθὸς δικαιοῖ, μᾶλλον δὲ δίκαιον εἶναι δοκεῖν δεί-
25*κνυσι. τὴν δὲ ἐλπίδα τὴν μετὰ θάνατον οὐ μόνον*
οἱ τὴν βάρβαρον σοφίαν μετιόντες ἴσασι τοῖς μὲν
ἀγαθοῖς καλὴν, τοῖς δὲ φαύλοις ἔμπαλιν, ἀλλὰ καὶ
οἱ Πυθαγόρειοι· τέλος γὰρ κἀκεῖνοι τὴν ἐλπίδα ὑπη-
γόρευον τοῖς φιλοσοφοῦσιν, ὅπου γε καὶ ὁ Σωκράτης
30*ἐν Φαίδωνι μετὰ ἀγαθῆς ἐλπίδος φησὶ τὰς καλὰς ψυχὰς* P.
ἐνθένδε ἀπιέναι, καὶ πάλιν τοὺς πονηροὺς κακίζων 630.
ἀντιτίθησι· ζῶσι γὰρ μετὰ κακῆς ἐλπίδος λέγων. Pott.
συνάδειν τούτῳ καὶ ὁ Ἡράκλειτος φαίνεται δι' ὧν
φησὶ περὶ τῶν ἀνθρώπων διαλεγόμενος, ἀνθρώπους
35*μένει ἀποθανόντας ἅσσα οὐκ ἔλπονται οὐδὲ δοκέου-*
σιν.

§. 147. Θείως οὖν ὁ Παῦλος Ῥωμαίοις ἄντικρυς ἐπιστέλλει, „ἡ θλῖψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμήν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει" *). δι' ἐλπίδα μὲν γὰρ τὴν μέλλουσαν ἡ ὑπομονή· ἐλπὶς δὲ ὁμωνύμως καὶ ἡ τῆς ἐλπίδος ἀπόδοσίς τε καὶ ἀποκατάστασις, ἣ καὶ οὐ καταισχύνει μὴ ὀνειδιζομένη ἔτι. ὁ δὲ ψιλῇ κλήσει καθὸ κέκληται ὑπακούων οὔτε διὰ φόβον οὔτε διὰ ἡδονὰς ἐπὶ τὴν γνῶσιν ἴεται, οὐ γὰρ περισκέπτεται εἴ τι λυσιτελὲς ἔξωθεν ἕπεται κέρδος ἢ ἀπόλαυσις αὐτῷ, ἀγάπῃ δὲ τοῦ ὄντος ἐραστοῦ ἑλκόμενος καὶ πρὸς τὸ δέον ἀγόμενος θεοσεβεῖ.

§. 148. Ὅθεν οὐδ' εἰ καθ' ὑπόθεσιν ἐξουσίαν λάβοι παρὰ τοῦ θεοῦ πράττειν τὰ ἀπηγορευμένα ἀτιμώρητός τε ὤν, οὐδ' εἰ καὶ μισθὸν τὰ μακάρων ἀγαθὰ λήψεσθαι ἐπὶ τοῖσδε ἐπαγγελίαν προσλάβοι, ἀλλ' εἰ καὶ λήσεσθαι τὸν θεὸν ἐφ' οἷς πράττει πειαθείη, ὅπερ ἀδύνατον, πρᾶξαί τι παρὰ τὸν λόγον τὸν ὀρθὸν ἐθελήσαι ποτ' ἂν τὸ ὄντως καλὸν καὶ αἱρετὸν ἐξ ἑαυτοῦ καὶ ταύτῃ ἀγαπητὸν εἶναι ἅπαξ ἑλόμενος· οὐ γὰρ ἐν γαστρὸς βορᾷ τὸ χρηστὸν εἶναι διειλήφαμεν. ἀκήκοεν δ' ἐκεῖνος ὡς „βρῶμα ἡμᾶς οὐ παραστήσει" **), οὐδὲ μὴν γάμος, ἀλλ' οὐδὲ ἀποχὴ γάμου ἐν ἀγνωσίᾳ, ἀλλὰ τὸ κατ' ἀρετὴν ἔργον τὸ ἀγνωστικόν, ἐπεὶ καὶ ὁ κύων τὸ ζῶον τὸ ἄλογον ἐγκρατὲς λεγέσθω τὸν ἐπαιρόμενον τὴν βακτηρίαν δεδιὸς καὶ διὰ τοῦτο τοῦ ὄψου ἀπεχόμενον. τῶν τοιούτων εὖ ἴσθι ὅτι περιαιρεθεῖσα ἡ ὑπόσχεσις ἡ προεπηγγελμένη καὶ ὁ φόβος περιγραφεὶς ὁ ἐπηπειλημένος καὶ χωρισθεὶς ὁ κίνδυνος ὁ ἐπηρτημένος τὴν πρόθεσιν ἐλέγχει.

---

*) Roman. 5, 3—5. **) 1 Corinth. 8, 8.

Cap. XXIII.

§. 149. Οὐ γὰρ αὐτῇ τῇ φύσει ταῦ πράγματος οἰκειοῦται ὡς τῷ ὄντι γνωστικῶς καταλαβέσθαι, καλὰ μὲν εἶναι πάντα ὅσα εἰς χρῆσιν ἡμῶν ἐκτίσθη ὡς γάμον φέρε εἰπεῖν καὶ παιδοποιίαν μετὰ σωφροσύνης παρειλημμένα, καλοῦ δὲ εἶναι ἄμεινόν τὴν πρὸς τὸ θεῖον ἐξομοίωσιν ἁπαθῆ καὶ ἐνάρετον γενέσθαι. τοῖς δὲ ἔξωθεν εὐχρήστοις ἢ δυσχρήστοις προσαγομένοις τῶν μὲν ἀπέχονται, τῶν δ' οὔ· ἀλλὰ καὶ ὧν ἀφίστανται μυσαττόμενοι, ταῦτα φαίνονται τὴν κτίσιν καὶ τὸν δημιουργὸν διαβάλλοντες, κἂν τῷ δοκεῖν πιστῶς ἀναστρέφοντα τὴν κρίσιν ἔχουσιν ἀνόσιον, τὸ δὲ οὐκ ἐπιθυμήσεις οὔτε ἀνάγκης τῆς ἐκ φόβου δεῖται τῆς βιαζομένης ἀπέχεσθαι τῶν ἡδέων, οὔτε μισθοῦ τοῦ δι' ἐπαγγελίας ἀναπειθοντος ἀνακόπτειν τὰς ὁρμάς. οὔτε τὴν ὑπακοὴν διὰ τὴν ἐντολήν, διὰ δὲ τὴν ἐπαγγελίαν αἱροῦνται οἱ διὰ τῆς ἐπαγγελίας ὑπακηκοότες τῷ θεῷ δελέατι ἡδονῆς ἠρημένοι.

Pet. P. 631.

§. 150. Οὐδὲ μὴν ἡ τῶν αἰσθητῶν ἀποστροφὴ τὴν πρὸς τὰ νοητὰ οἰκείωσιν ἀκολούθως ποιοίη ἄν, ἔμπαλιν δὲ ἡ πρὸς τὰ νοητὰ οἰκείωσις κατὰ φύσιν περιαγωγὴ τῷ γνωστικῷ ἀπὸ τῶν αἰσθητῶν γίνεται κατ' ἐκλογὴν τῶν καλῶν τἀγαθὸν ἑλομένῳ γνωστικῶς, θαυμάζοντι μὲν τὴν γένεσιν καὶ ἀγιάζοντι τὸν ποιητήν, ἀγιάζοντι δὲ τὴν πρὸς τὸ θεῖον ἐξομοίωσιν· ἀτὰρ ἐγὼν ἐμὲ λύσομαι τῆς ἐπιθυμίας, φήσαι, διὰ τὴν πρὸς σὲ οἰκείωσιν, κύριε. καλὴ γὰρ ἡ κτισθεῖσα δὴ οἰκονομία καὶ πάντα εὖ διοικεῖται, οὐδὲν ἀναιτίως γίνεται, ἐν τοῖς σοῖς εἶναί με δεῖ, παντοκράτορ, κἂν ἐνταῦθα ὦ παρὰ σοί εἰμι· ἀδεὴς δ' εἶναι θέλω ἵνα σοὶ συνεγγίζειν δυνηθῶ, ὀλίγοις καὶ ἀρκεῖσθαι μελετῶν τὴν ἐκλογὴν τὴν δικαίαν τῶν καλῶν ἀπὸ τῶν ὁμοίων.

§. 151. *Μυστικώτατα καὶ ὁσιώτατα ὁ ἀπόστολος διδάσκων ἡμᾶς τὴν ἀληθῶς εὐχάριστον ἐκλογὴν οὐ κατὰ ἀπεκλογὴν τῶν ἑτέρων ὡς φαύλων, ἀλλ' ὡς καλῶν καλλίονα ποιεῖσθαι μεμήνυκεν εἰπών· „ὥστε καὶ ὁ γα-*
5 *μίζων τὴν παρθένον αὐτοῦ καλῶς ποιεῖ, καὶ ὁ μὴ* P. *γαμίζων κρεῖσσον ποιεῖ πρὸς τὸ εὔσχημον καὶ εὐ-* 229. *πάρεδρον τῷ κυρίῳ ἀπερισπάστως" *). ἴσμεν δὲ* 8 *τὰ μὲν δυσπόριστα οὐκ ἀναγκαῖα, τὰ δὲ ἀναγκαῖα* yl. *εὐπόριστα γεγενῆσθαι φιλαγαθῶς παρὰ τοῦ Θεοῦ.*
10 *διόπερ ὁ Δημόκριτος εὖ λέγει, ὡς ἡ φύσις τε καὶ διδαχὴ παραπλήσιόν ἐστι καὶ τὴν αἰτίαν συντόμως προσαποδεδώκαμεν, καὶ γὰρ ἡ διδαχὴ μεταρρυθμίζει τὸν ἄνθρωπον, μεταρρυθμοῦσα δὲ φυσιοποιεῖ, καὶ διή-*
15 *νεγκεν οὐδὲν ἧττον ἡ φύσει πλασθῆναι τοιόνδε, ἢ χρόνῳ καὶ μαθήσει μετατυπωθῆναι. ἄμφω δὲ ὁ κύριος* P. *παρέσχηται, τὸ μὲν κατὰ τὴν δημιουργίαν, τὸ δὲ* 632. *κατὰ τὴν ἐκ τῆς διαθήκης ἀνάκτισίν τε καὶ ἀνανέω-*
20 *σιν. τὸ δὲ συμφέρον τῷ κυριωτέρῳ τοῦτο αἱρετώ-* Petr. *τερον, κυριώτατον δὲ πάντων ἡ διάνοια. οὕτω τοί-*
νυν τῷ ὄντι καλὰ φαίνεται ἥδιστα, παρ' αὐτοῦ πο-
ρίζεται ὃν ποθεῖ καρπὸν τὴν τῆς ψυχῆς εὐστάθειαν.
„ὁ δὲ ἐμοῦ ἀκούων", φησὶν, „ἀναπαύσεται ἐπ' εἰρή-
νῃ πεποιθὼς καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κα-
*κοῦ" **). „ἴσθι πεποιθὼς ἐν ὅλῃ καρδίᾳ σοὺ καὶ τῇ*
25 *διανοίᾳ σου ἐπὶ τῷ Θεῷ" ***). τοῦτῳ δυνατὸν τῷ*
τρόπῳ τὸν γνωστικὸν ἤδη γενέσθαι Θεόν· „ἐγὼ εἶπα
Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου" †).

§. 152. *Φησὶ δὲ καὶ ὁ Ἐμπεδοκλῆς τῶν σοφῶν*
τὰς ψυχὰς θεοὺς γίνεσθαι ὧδέ πως γράφων·
30 *εἰς δὲ τέλος μάντεις τε καὶ ὑμνοπόλοι καὶ ἰητροὶ,*
καὶ πρόμοι ἀνθρώποισιν ἐπιχθονίοισι πέλονται·
ἔνθεν ἀναβλαστοῦσι θεοὶ τιμῆσι φέριστοι.

---

*) 1 Corinth. 7, 38. 35. **) Proverb. 1. 33. ***) Ibid. 3, 5. †) Psalm. 102, 6.

ὁ μὲν οὖν ἄνθρωπος ἁπλῶς οὕτως κατ' ἰδέαν πλάσσεται τοῦ συμφυοῦς πνεύματος, οὐδὲ γὰρ ἀνείδεος οὐδ' ἀσχημάτιστος ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ δημιουργεῖται, ἔνθα μυστικῶς ἀνθρώπου ἐκτελεῖται γένεσις κοινῆς οὔσης καὶ τῆς τέχνης καὶ τῆς οὐσίας, ὁ δέ τις ἄνθρωπος κατὰ τύπωσιν τὴν ἐγχινομένην τῇ ψυχῇ ὧν ἂν αἱρήσηται χαρακτηρίζεται. ἢ καὶ τὸν Ἀδὰμ τέλειον μὲν ὡς πρὸς τὴν πλάσιν γεγονέναι φαμὲν, οὐδὲν γὰρ τῶν χαρακτηριζόντων τὴν ἀνθρώπου ἰδέαν ὑστερεῖ καὶ μορφὴν ἐνεδέησεν αὐτῷ. ὃ δὲ ἐν τῷ γίνεσθαι τὴν τελείωσιν ἐλάμβανεν καὶ δι' ὑπακοῆς ἐδικαιοῦτο τοῦτο ἦν ἀπανδρούμενον τὸ ἐπ' αὐτῷ κείμενον, αἰτία δὲ ἑλομένου καὶ ἔτι μᾶλλον τὸ κωλυθὲν ἑλομένου, ὁ Θεὸς ἀναίτιος· διττὴ γὰρ ἡ γένεσις, ἡ μὲν τῶν γεννωμένων, ἡ δὲ τῶν γινομένων.

§. 153. Καὶ ἡ μὲν τοῦ ἀνθρώπου ἀνδρεία ἐμπαθοῦς ὄντος φασὶ κατὰ τὴν οὐσίαν ἄφοβον καὶ ἀήττητον τὸν μετέχοντα αὐτῆς ποιεῖ καί ἐστι δορυφόρος τοῦ νοῦ ὁ θυμὸς ἐν ὑπομονῇ καὶ καρτερίᾳ καὶ τοῖς ὁμοίοις, ἐπὶ δὲ τῇ ἐπιθυμίᾳ τάττεται καὶ ἡ σωφροσύνη καὶ ἡ σωτήριος φρόνησις, Θεὸς δὲ ἀπαθὴς ἄθυμός τε καὶ ἀνεπιθύμητος· καὶ οὐ ταύτῃ ἄφοβος ἢ τὰ δεινὰ ἐκκλίνει, οὐδὲ μὴν σώφρων ἢ τῶν ἐπιθυμιῶν ἄρχει, οὔτε γὰρ ἂν περιπέσοι τινὶ δεινῷ P. 633. ἡ τοῦ Θεοῦ φύσις, οὔτε φεύγει ὁ Θεὸς δειλίαν, ὥσ- Pott. περ οὐδὲ ἐπιθυμήσει ἵνα καὶ ἄρξῃ ἐπιθυμίας. μυστικῶς οὖν ἐφ' ἡμῶν καὶ τὸ Πυθαγόρειον ἐλέγετο ἕνα γενέσθαι καὶ τὸν ἄνθρωπον δεῖν, ἐπεὶ καὶ αὐτὸς ὁ ἀρχιερεὺς εἷς ἐνὸς ὄντος τοῦ Θεοῦ κατὰ τὴν ἀμετάτρεπτον τοῦ ἀεὶ θεῖν τὰ ἀγαθὰ ἕξιν.

§. 154. Αὐτίκα ὁ σωτὴρ διὰ τῆς ἐπιθυμίας συναγήρει καὶ τὸν θυμὸν τιμωρίας ὄντα ἐπιθυμίαν, καθόλου γὰρ τὸ παθητικὸν παντὶ γένει ἐπιθυμίας. εἰς δὲ τὴν ἀπάθειαν θεούμενος ἄνθρωπος ἀχράντως μοναδικὸς γίνεται. καθάπερ οὖν οἱ ἐν θαλάττῃ ἀπὸ ἀγκύρας τονούμενοι ἕλκουσι μὲν τὴν ἄγκυραν, οὐχ

ἐκείνην δὲ ἐπισπῶνται, ἀλλ' ἑαυτοὺς ἐπὶ τὴν ἄγκυραν, οὕτως οἱ κατὰ τὸν γνωστικὸν βίον ἐπισπώμενοι τὸν Θεὸν ἑαυτοὺς ἔλαθον προσαγόμενοι πρὸς τὸν Θεόν, Θεὸν γὰρ ὁ θεραπεύων ἑαυτὸν θεραπεύει. ἐν οὖν τῷ θεωρητικῷ βίῳ ἑαυτοῦ τις ἐπιμελεῖται θρησκεύων τὸν Θεὸν καὶ διὰ τῆς ἰδίας εἰλικρινοῦς καθάρσεως ἐποπτεύει τὸν Θεὸν ἅγιον ἁγίως, ἡ γὰρ σωφροσύνη ἐν παραστάσει γενομένη ἑαυτὴν ἐπισκοποῦσα καὶ θεωροῦσα ἀδιαλείπτως ἐξομοιοῦται κατὰ δύναμιν Θεῷ.

Cap. XXIV.

§. 155. *Αὐτίκα τὸ ἐφ' ἡμῖν ἐστὶν οὗπερ ἐπ' ἴσης αὐτοῦ τε κύριοί ἐσμεν καὶ τοῦ ἀντικειμένου αὐτῷ, ὡς τὸ φιλοσοφεῖν ἢ μή, καὶ τὸ πιστεύειν ἢ ἀπιστεῖν. διὰ γοῦν τὸ ἑκατέρου τῶν ἀντικειμένων ἐπ' ἴσης εἶναι ἡμᾶς κυρίους δυνατὸν εὑρίσκεται τὸ ἐφ' ἡμῖν. καὶ δὴ αἱ ἐντολαὶ οἷαί τε γενέσθαι καὶ μὴ γενέσθαι ὑφ' ἡμῶν, οἷς εὐλόγως ἕπεται ἔπαινός τε καὶ ψόγος, οἵ τ' αὖ κολαζόμενοι ἕνεκεν τῶν γενομένων αὐτοῖς ἁμαρτημάτων ἐπ' αὐτοῖς μόνοις κολάζονται, παρῆλθε γὰρ τὰ γενόμενα οὐδὲ ἀγένητον γένοιτ' ἄν ποτε τὸ γενόμενον. ἀφίενται γοῦν πρὸς τοῦ κυρίου αἱ πρὸ τῆς πίστεως οὐχ ἵνα μὴ ὦσι γενόμεναι, ἀλλ' ὡς μὴ γενόμεναι. πλὴν οὐδὲ πάσας ὁ Βασιλείδης φησὶ, μόνας δὲ τὰς ἀκουσίους καὶ κατὰ ἄγνοιαν ἁ-*634 *φίεσθαι, καθάπερ ἀνθρώπου τινὸς, ἀλλ' οὐ θεοῦ τοσαύτην παρεχομένου δωρεάν. τούτῳ φησὶν ἡ γραφὴ, „ὑπέλαβες ἄνομε ὅτι ἔσομαί σοι ὅμοιος“ *). ἀλλ' εἰ καὶ ἐπὶ ταῖς ἑκουσίοις κολαζόμεθα οὐχ ἵνα μὴ γένωνται γενόμεναι, ἀλλ' ὅτι ἐγένοντο τιμωρούμεθα. κόλασις δὲ τὸν ἁμαρτήσαντα, οὐκ ὠφελεῖ εἰς τὸ μὴ πεποιηκέναι, ἀλλ' εἰς τὸ μηκέτι ἁμαρτάνειν μηδὲ μὴν ἄλλον τινὰ τοῖς ὁμοίοις περιπεσεῖν.*

*) Psalm. 50, 21.

§. 156. Ἐνταῦθα οὖν ὁ ἀγαθὸς θεὸς διὰ τρεῖς ταύτας παιδεύει αἰτίας· πρῶτον μὲν ἵν' αὐτὸς ἀμείνων αὐτοῦ γένηται ὁ παιδευόμενος, εἰς ἔπειτα ὅπως οἱ δὲ ὑποδειγμάτων σωθῆναι δυνάμενοι προανακρούωνται δνουθετούμενοι, καὶ τρίτον ὡς μὴ ὁ ἀδικούμενος εὐκαταφρόνητος ᾖ καὶ ἐπιτήδειος ἀδικεῖσθαι. δύο δὲ καὶ P. τρόποι τῆς ἐπανορθώσεως, ὁ μὲν διδασκαλικὸς, ὁ δὲ 230. κολαστικὸς ὢν καὶ παιδευτικὸν εἰρήκαμεν· ἰστέον μέν- Sylb. τοι τοὺς μετὰ τὸ λοιπὸν τοῖς ἁμαρτήμασι περιπί- 10 πτοντας τούτους εἶναι τοὺς παιδευομένους, τὰ μὲν γὰρ προενεργηθέντα ἀφεῖθη, τὰ δὲ ἐπιγινόμενα ἐκκαθαίρεται. περὶ τῶν ἀπίστων εἴρηται, „λελογίσθαι τούτους ὡς χνοῦν ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς καὶ σταγόνα τὴν ἀπὸ κάδου" *).

15

Cap. XXV.

§. 157. Ὄλβιος ὅστις τῆς ἱστορίας
ἔσχε μάθησιν· μήτε πολιτῶν
ἐπὶ πημοσύνῃ μήτ' εἰς ἀδίκους
πράξεις ὁρμῶν,
20 ἀλλ' ἀθανάτου καθορῶν φύσεως
κόσμον ἀγήρω πῆ τε συνέστη
καὶ ὅπη καὶ ὅπως.
τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν
ἔργων μελέτημα προσίζει.

25 εἰκότως οὖν καὶ Πλάτων τὸν τῶν ἰδεῶν θεωρητικὸν θεὸν ἐν ἀνθρώποις ζήσεσθαί φησι, νοῦς δὲ χώρα ἰδεῶν, νοῦς δὲ ὁ θεός. τὸν ἀοράτου θεοῦ θεωρητικὸν θεὸν ἐν ἀνθρώποις ζῶντα εἴρηκεν. καὶ ἐν τῷ σοφιστῇ δὲ τὸν Ἐλεάτην ξένον διαλεκτικὸν ὄντα ὁ 30 Σωκράτης θεὸν ὠνόμασεν, οἵους τοὺς θεοὺς ξείνοισιν ἐοικότας ἀλλοδαποῖσιν ἐπιστρωφῶντας τοῖς ἄστεσιν **).

*) Cf. Homer. Odyss. ρ. v. 485 sq. **) Psalm. 1. 4. Iesai. 40, 15.

ὅταν γὰρ ψυχὴ γενέσεως ὑπεξαναβᾶσα καθ' ἑαυτήν γε P.
ᾖ καὶ ὁμιλῇ τοῖς εἴδεσιν, οἷός ἐστιν ὁ ἐν τῷ Θεαι- 635.
τήτῳ κορυφαῖος, οἷον ἄγγελος ἤδη γενόμενος σὺν Vat.
Χριστῷ τε ἔσται θεωρητικὸς ὢν ἀεὶ τὸ βούλημα τοῦ
θεοῦ σκοπῶν, τῷ ὄντι

οἷος πεπνυμένος, τοὶ δ' ὡς σκιαὶ ἀΐσσουσιν *)·

νεκροὶ γὰρ τοὺς ἑαυτῶν θάπτουσι νεκρούς. ὅθεν Ἱε-
ρεμίας λέγει· „πληρώσω αὐτὴν νεκρῶν γηγενῶν οὓς
ἔπαισεν ἡ ὀργή μου" **).

§. 158. Ὁ μὲν οὖν θεὸς ἀναπόδεικτος ὢν οὐκ ἔστιν ἐπιστημονικὸς, ὁ δὲ υἱὸς σοφία τέ ἐστι καὶ ἐπιστήμη καὶ ἀλήθεια καὶ ὅσα ἄλλα τούτῳ συγγενῆ, καὶ δὴ καὶ ἀπόδειξιν ἔχει καὶ διέξοδον, πᾶσαι δὲ αἱ δυνάμεις τοῦ πνεύματος συλλήβδην μὲν ἓν τι πρᾶγμα γενόμεναι συντελοῦσιν εἰς τὸ αὐτὸ τὸν υἱὸν, ἀπαρέμφατος δέ ἐστι τῆς περὶ ἑκάστης αὐτοῦ τῶν δυνάμεων ἐννοίας. καὶ δὴ οὐ γίνεται ἀτεχνῶς ἓν ὡς ἕν, οὐδὲ πολλὰ ὡς μέρη ὁ υἱὸς, ἀλλ' ὡς πάντα ἕν. ἔνθεν καὶ πάντα, κύκλος γὰρ ὁ αὐτὸς πασῶν τῶν δυνάμεων εἰς ἓν εἱλουμένων καὶ ἑνουμένων.

§. 159. Διὰ τοῦτο „ἄλφα καὶ ὦ" ***) ὁ λόγος εἴρηται, οὗ μόνου τὸ τέλος ἀρχὴ γίνεται καὶ τελευτᾷ πάλιν ἐπὶ τὴν ἄνωθεν ἀρχὴν οὐδαμοῦ διάστασιν λαβών. διὸ δὴ καὶ τὸ εἰς αὐτὸν καὶ τὸ δι' αὐτοῦ πιστεῦσαι μοναδικόν ἐστι γενέσθαι ἀπερισπάστως ἑνούμενον ἐν αὐτῷ, τὸ δὲ ἀπιστῆσαι διστάσαι ἐστὶ καὶ διστῆναι καὶ μερισθῆναι. „διὰ τοῦτο τάδε λέγει κύριος· πᾶς υἱὸς ἀλλογενὴς ἀπερίτμητος καρδίᾳ καὶ ἀπερίτμητός ἐστι σαρκὶ", τουτέστιν ἀκάθαρτος σώματί τε καὶ πνεύματι, „οὐκ εἰσελεύσεται εἰς τὰ ἅγια ἀπὸ τῶν ἀλλογενῶν ἐν μέσῳ οἴκου Ἰσραὴλ, ἀλλ' ἢ οἱ Λευῖται" †). ἀλλογενεῖς δὲ εἴρηκεν τοὺς μὴ πιστεῦσαι βουληθέντας, ἀλλ' ἀπιστεῖν ἐθέλοντας.

*) Odyss. x. v. 495. **) Ierem. 33, 5. ***) Apocalyps. 1, 8 sq. †) Ezech. 44, 9 sq.

§. 160. *Μόνοι τοίνυν οἱ καθαρῶς βιοῦντες ἱερεῖς ὄντως τοῦ Θεοῦ. διὰ τοῦτο πασῶν περιτεμνομένων τῶν φυλῶν ἁγιώτεραι ἐλογίσθησαν αἱ εἰς ἀρχιερεῖς τε καὶ βασιλεῖς καὶ προφήτας χρίουσαι. ὅθεν* 5 *μηδὲ ἅπτεσθαι νεκρῶν αὐτοῖς κελεύει μηδ' ἐπεισιέ-* P. *ναι κατοιχομένοις, οὐχ ὡς μιαροῦ τοῦ σώματος ὄν-* 636. *τος, ἀλλ' ὡς τῆς ἁμαρτίας καὶ ἀπειθείας σαρκικῆς* Pott. *τε οὔσης καὶ ἐνσωμάτου καὶ νεκρᾶς καὶ διὰ τοῦτο βδελυκτῆς. μόνῳ οὖν πατρὶ καὶ μητέρι, υἱῷ τε καὶ* 10 *θυγατρὶ τελευτήσαντι ἐπιτέτραπται ἐπεισιέναι τὸν* 1 *ἱερέα, ὅτι συγγενεῖς οὗτοι σαρκὸς καὶ σπέρματος μόνοι, παρ' ὧν τὴν προσεχῆ αἰτίαν τῆς εἰς τὸν βίον παρόδου καὶ ὁ ἱερεὺς εἴληφεν. καθαρίζονται δὲ καὶ οὗτοι ἡμέραις ἑπτὰ δι' ὅσων ἡ γένεσις τελειοῦται,* 15 *τῇ ἑβδόμῃ γὰρ ἡ ἀνάπαυσις θρησκεύεται, τῇ δὲ* 1 *ὀγδόῃ „ἱλασμὸν προαφέρει" **), ὡς ἐν τῷ Ἰεζεκιὴλ γέγραπται, καθ' ὃν ἱλασμὸν τὸ λαβεῖν ἐστὶ τὴν ἐπαγγελίαν.*

§. 161. *Τέλειος δ' οἶμαι καθαρισμὸς ἡ διὰ* 2 *νόμου καὶ προφητῶν εἰς τὸ εὐαγγέλιον πίστις ἵλεως* 2 *καὶ ἡ δι' ὑπακοῆς πάσης ἄγνεια σὺν καὶ τῇ ἀποθέ-* 2 *σει τῶν κοσμικῶν εἰς τὴν ἐκ τῆς ἀπολαύσεως τῆς ψυχῆς εὐχάριστον τοῦ σκήνους ἀπόδοσιν. εἴτ' οὖν ὁ χρόνος εἴη ὁ διὰ τῶν ἑπτὰ περιόδων τῶν ἀριθμουμένων εἰς τὴν ἀκροτάτην ἀνάπαυσιν ἀποκαθιστὰς εἴτε ἑπτὰ οὐρανοὶ οὓς τινες ἀριθμοῦσι κατ' ἐπανάβασιν εἴτε καὶ ἡ ἁπλανὴς χώρα ἡ πλησιάζουσα τῷ νοητῷ κόσμῳ ὀγδοὰς λέγοιτο, πλὴν ἐξαναδῦναι γενέσεως τε καὶ ἁμαρτίας χρῆναι λέγει τὸν γνωστικόν. ἐπὶ γοῦν ταῖς ἑπτὰ ἡμέραις τὸ ἱερεῖα ὑπὲρ ἁμαρτιῶν θύεται, ἔτι γὰρ τροπῆς εὐλάβεια, καὶ τῆς ἑβδόμης ἅπτεται περιφορᾶς.

§. 162. *Ἰὼβ δὲ ὁ δίκαιος, „αὐτὸς", φησὶ, γυμνὸς ἐξῆλθον ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ*

*) Ezech. v. 27.

ἀπελεύσομαι ἐκεῖ" *), οὐ κτημάτων γυμνὸς, τοῦτο μὲν γὰρ μικρόν τε καὶ κοινὸν, ἀλλ' ὡς δίκαιος γυμνὸς ἄπεισι κακίας τε καὶ ἁμαρτίας καὶ τοῦ ἑπομένου τοῖς ἀδίκως βιώσασιν ἀειδοῦς εἰδώλου, τοῦτο γὰρ ἦν ὃ τὸ εἰρημένον, „ἐὰν μὴ στραφέντες γένησθε ὡς τὰ παιδία" **), καθαροὶ μὲν τὴν σάρκα, ἅγιοι δὲ τὴν ψυχὴν κατὰ ἀποχὴν κακῶν ἔργων δεικνύοντες ὅτι τοιούτους ἡμᾶς εἶναι βούλεται, οἵους καὶ γεγέννηκεν ἐκ μήτρας ὕδατος· γένεσις γὰρ γένεσιν διαδεχομένη κατὰ προκοπὴν ἀπαθανατίζειν βούλεται, „τῶν δὲ ἀσεβῶν ὁ λύχνος σβεσθήσεται" ***).

P. 637 Pott.

§. 163. *Ναὶ μὴν τὴν κατά τε σῶμα κατά τε ψυχὴν ἁγνείαν ἣν μέτεισιν ὁ γνωστικὸς ὁ πάνσοφος Μωϋσῆς ἐκπρεπῶς τῇ ἐπαναλήψει χρησάμενος ἐμήνυσεν τὸ ἀδιάφθορον τοῦ τε σώματος τῆς τε ψυχῆς διαγράφων ἐπὶ τῆς Ῥεβέκκας ὧδέ πως. „ἡ δὲ παρθένος ἦν καλὴ, ἀνὴρ οὐκ ἔγνω αὐτήν" †). Ῥεβέκκα δὲ ἑρμηνεύεται Θεοῦ δόξα, Θεοῦ δὲ δόξα ἀφθαρσία.* P. 231. Sylb. *αὕτη ἡ τῷ ὄντι δικαιοσύνη μὴ πλεονεκτεῖν θατέρῳ, ὅλον δὲ εἶναι ἡγιασμένον νεῶν τοῦ κυρίου. δικαιοσύνη οὖν ἐστὶν εἰρήνη βίου καὶ εὐστάθεια, ἐφ' ἣν ὁ κύριος ἀπέλυε λέγων, „ἄπελθε εἰς εἰρήνην" ††)· Σαλὴμ γὰρ ἑρμηνεύεται εἰρήνη, ἧς ὁ σωτὴρ ἡμῶν ἀναγράφεται βασιλεὺς ὢν φησι Μωϋσῆς „Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ὁ ἱερεὺς τοῦ θεοῦ τοῦ ὑψίστου", ὃ „τὸν οἶνον καὶ τὸν ἄρτον" †††) τὴν ἡγιασμένην διδοὺς τροφὴν εἰς τύπον εὐχαριστίας. καὶ δὴ ἑρμηνεύεται ὁ Μελχισεδὲκ βασιλεὺς δίκαιος, συνωνυμία δέ ἐστι δικαιοσύνης καὶ εἰρήνης.*

§. 164. *Βασιλείδης δὲ ὑποστάτας, δικαιοσύνην δὲ καὶ τὴν θυγατέρα αὐτῆς τὴν εἰρήνην, ὑπολαμβά-*

*) Iob. 1, 21. **) Matth. 18, 3. ***) Iob. 21, 17.
†) Genes. 24, 16. ††) Marc. 5, 34. †††) Genes. 14, 18. Hebr. 7, 1 sq.

νει ἐν ὀγδοάδι μένειν ἐνδιατεταγμένας. μετιτέον δὴ ἀπὸ τῶν φυσικωτέρων ἐπὶ τὰ προφανέστερα ἠθικά· ὁ γὰρ περὶ ἐκείνων λόγος μετὰ τὴν ἐν χερσὶ πραγματείαν ἕψεται. αὐτὸς οὖν ἡμᾶς ὁ σωτὴρ ἀτεχνῶς κατὰ τὴν τραγῳδίαν μυσταγωγεῖ,

ὁρῶν ὁρῶντας καὶ δίδωσιν ὄργια. P.

καὶν πύθῃ, 638.

τὰ δ' ὄργ' ἐστὶ τίν' ἰδέαν ἔχοντά σοι; Pott.

ἄκουσῃ πάλιν·

ἄρρητ' ἀβακχεύτοισιν εἰδέναι βροτῶν.

καὶν πολυπραγμονῇ τις ὁποῖα εἴη αὖθις ἀκουσάτω,

οὐ θέμις ἀκοῦσαί σ', ἔστι δ' ἄξι' εἰδέναι·

ἀσέβειαν ἀσκοῦντ' ὄργ' ἐχθαίρει θεοῦ·

ὁ θεὸς δὲ ἄναρχος ἀρχὴ τῶν ὅλων παντελὴς ἀρχῆς ποιητικός. ἧ μὲν οὖν ἐστὶν οὐσία ἀρχὴ τοῦ ποιητικοῦ τόπου, καθόσον ἐστὶν ἀγαθὸν τοῦ ἠθικοῦ· ἡ δ' αὖ ἐστὶ νοῦς τοῦ λογικοῦ καὶ κριτικοῦ τόπου, ὅθεν καὶ διδάσκαλος μόνος ὁ μόνος ὑψίστου ἀγνοῦ πατρὸς ὁ παιδεύων τὸν ἄνθρωπον.

Cap. XXVI.

§. 165. Οὔκουν εὐλόγως οἱ κατατρέχοντες τῆς πλάσεως καὶ κακίζοντες τὸ σῶμα, οὐ συνορῶντες τὴν κατασκευὴν τοῦ ἀνθρώπου ὀρθὴν πρὸς τὴν οὐρανοῦ θέαν γενομένην καὶ τὴν τῶν αἰσθήσεων ὀργανοποίαν πρὸς γνῶσιν συντείνουσαν τά τε μέλη καὶ μέρη πρὸς τὸ καλόν, οὐ πρὸς ἡδονὴν εὖθετα. ὅθεν ἐπιδεκτικὸν γίνεται τῆς τιμιωτάτης τῷ θεῷ ψυχῆς τὸ οἰκητήριον τοῦτο, καὶ πνεύματος ἁγίου κατὰ τὸν τῆς ψυχῆς τε καὶ σώματος ἁγιασμὸν καταξιοῦται τῷ τοῦ σωτῆρος καταρτισμῷ τελειούμενον. καὶ δὴ ἡ ἀντακολουθία τῶν τριῶν ἀρετῶν περὶ τὸν ἄνθρωπον εὑρίσκεται τὸν γνωστικὸν ἠθικῶς τε καὶ φυσικῶς καὶ λογικῶς περὶ τὸ θεῖον πραγματευόμενον. σοφία μὲν γὰρ ἐπι-

στήμη τῶν θείων καὶ τῶν ἀνθρωπίνων, δικαιοσύνη δὲ συμφωνία τῶν τῆς ψυχῆς μερῶν, ὁσιότης δὲ θεραπεία τοῦ θεοῦ. εἰ δέ τις διαβάλλεσθαι τὴν σάρκα καὶ δι' αὐτῆς τὴν γένεσιν φάσκοι παραθεὶς Ἡσαΐαν λέγοντα, „πᾶσα σὰρξ χόρτος καὶ πᾶσα δόξα ἀνθρώπου ὡς ἄνθος χόρτου, ἐξηράνθη ὁ χόρτος καὶ τὸ ἄνθος ἐξέπεσεν· τὸ δὲ ῥῆμα κυρίου μένει εἰς τὸν αἰῶνα" *), ἀκουσάτω ἑρμηνεύοντος τὸ ζητούμενον διὰ Ἱερεμίου τοῦ πνεύματος, „καὶ διέσπειρα αὐτοὺς ὡς φρύγανα πετώμενα ὑπὸ ἀνέμου εἰς ἔρημον."

P. 639. Pott. 10

§. 166. Οὗτος ὁ κλῆρος καὶ μερὶς τοῦ ἀπειθεῖν ὑμᾶς λέγει κύριος „ὡς ἐπελάθου μοῦ καὶ ἤλπισας ἐπὶ ψεύδεσι, κἀγὼ ἀποκαλύψω τὰ ὀπίσω σου ἐπὶ πρόσωπόν σου, καὶ ὀφθήσεται ἡ ἀτιμία σου, μοιχεία σου καὶ χρεμετισμός σου" **) καὶ τὰ ἑξῆς. τοῦτο γὰρ „τὸ ἄνθος τοῦ χόρτου" ***), καὶ τὸ „κατὰ σάρκα περιπατεῖν" †) καὶ „σαρκικοὺς εἶναι" ††) κατὰ τὸν ἀπόστολον ἐν ἁμαρτίαις ὄντας. κρεῖττον μὲν τοῦ ἀνθρώπου ὠμολόγηται ἡ ψυχή, ἧττον δὲ τὸ σῶμα, ἀλλ' οὔτε ἀγαθὸν ἡ ψυχὴ φύσει οὔτε αὖ κακὸν φύσει τὸ σῶμα, οὐδὲ μὴν ὃ μή ἐστιν ἀγαθὸν τοῦτο εὐθέως κακόν. εἰσὶ γὰρ οὖν καὶ μεσότητές τινες καὶ προηγμένα καὶ ἀποπροηγμένα ἐν τοῖς μέσοις. ἐχρῆν δὴ οὖν τὴν σύνθεσιν τοῦ ἀνθρώπου ἐν αἰσθητοῖς γενομένην ἐκ διαφόρων συνεστάναι, ἀλλ' οὐκ ἐξ ἐναντίων σώματός τε καὶ ψυχῆς.

§. 167. Ἀεὶ τοίνυν αἱ ἀγαθαὶ πράξεις ὡς ἀμείνους τῷ κρείττονι τῷ πνεύματι κυρίῳ προσάπτονται, αἱ δὲ φιλήδονοι καὶ ἁμαρτητικαὶ τῷ ἥττονι τῷ ἁμαρτητικῷ περιτίθενται. αὐτίκα ἡ τοῦ σοφοῦ τε καὶ γνωστικοῦ ψυχὴ οἷον ἐπιξενουμένη τῷ σώματι σε-

*) Iesai. 40, 6. 8. **) Ierem. 13, 24—27. ***) Iacob. 1, 10. 1 Petr. 1, 24. †) 2 Corinth. 10, 2. ††) 1 Corinth. 3, 3.

μνῶς αὐτῷ καὶ τιμητικῶς προσφέρεται οὐ προσπαθῶς ὅσον οὐδέπω ἐὰν ὁ καιρὸς τῆς ἀποδημίας καλῇ ἀπολείπουσα τὸ σκῆνος. „πάροικος", φησὶν, „ἐν τῇ γῇ καὶ παρεπίδημος ἐγώ εἰμι μεθ' ὑμῶν" *). καὶ ἐντεῦθεν ξένην τὴν ἐκλογὴν τοῦ κόσμου ὁ Βασιλείδης εἴληφε λέγειν ὡς ἂν ὑπερκόσμιον φύσει οὖσαν. τὸ δ' οὐχ οὕτως ἔχει. ἑνὸς γὰρ τὰ πάντα θεοῦ καὶ οὐκ ἄν τις εἴη φύσει τοῦ κόσμου ξένος, μιᾶς μὲν τῆς οὐσίας οὔσης, ἑνὸς δὲ τοῦ θεοῦ, ἀλλ' ὁ ἐκλεκτὸς ὡς ξένος πολιτεύεται κτητά τε καὶ ἀπόκτητα εἰδὼς πάντα.

§. 168. Ὅσα δὲ τριττὰ εἶναι ἀγαθὰ οἱ Περιπατητικοὶ θέλουσι χρῆται αὐτοῖς, ἀλλὰ καὶ τῷ σώματι ὥς τις μακρὰν στελλόμενος ἀποδημίαν παντοχείοις καὶ ταῖς παρ' ὁδὸν οἰκήσεσιν· ἐπιμελούμενος μὲν καὶ κοσμικῶν τὸν τόπον ἔνθα καταλύει, ἀπολιπὼν δὲ τὴν οἴκησιν καὶ τὴν κτῆσιν καθάπερ καὶ τὴν χρῆσιν ἀπροσπαθῶς προθύμως τῷ ἀπάγοντι τοῦ βίου συνεπόμενος οὐδαμῶς ὀπίσω κατ' οὐδεμίαν ἀφορμὴν ἐπιστρεφόμενος, εὐχαριστήσας μὲν ἐπὶ τῇ παροικίᾳ, εὐλογῶν δὲ ἐπὶ τῇ ἐξόδῳ τὴν μονὴν ἀσπαζόμενος τὴν ἐν οὐρανῷ. „οἴδαμεν γὰρ ὅτι ἐὰν ἡ ἐπίγειος ἡμῶν οἰκία τοῦ σκήνους καταλυθῇ, οἰκοδομὴν ἐκ θεοῦ ἔχομεν οἰκίαν ἀχειροποίητον αἰώνιον ἐν τοῖς οὐρανοῖς· καὶ γὰρ ἐν τούτῳ στενάζομεν τὸ οἰκητήριον ἡμῶν τὸ ἐξ οὐρανοῦ ἐπενδύσασθαι ἐπιποθοῦντες, εἴ γε καὶ ἐνδυσάμενοι οὐ γυμνοὶ εὑρεθησόμεθα· διὰ πίστεως γὰρ περιπατοῦμεν οὐ διὰ εἴδους", ὡς ὁ ἀπόστολός φησιν. „εὐδοκοῦμεν δὲ μᾶλλον ἐκδημῆσαι ἐκ τοῦ σώματος καὶ ἐνδημῆσαι πρὸς τὸν θεόν". ἐν συγκρίσει δὲ τὸ „μᾶλλον", ἡ δὲ σύγκρισις ἐπὶ τῶν καθ' ὁμοίωσιν ὑποπιπτόντων, ὡς ὁ ἀνδρειότερος ἀνδρείων ἀνδρειότερος, δειλῶν δὲ ἀνδρειότατος.

P. 640. Pott. 232. Sylb.

*) Genes. 23, 4. Psalm. 39, 12.

§. 169. Ὅθεν ἐπήγαγεν· „διὸ φιλοτιμούμεθα εἴτε ἐκδημοῦντες εἴτε ἐνδημοῦντες εὐάρεστοι εἶναι αὐτῷ *), τῷ ἑνὶ δηλονότι θεῷ, οὗ τὰ πάντα ἔργον τε καὶ κτίσις, ὅ τε κόσμος καὶ τὰ ὑπερκόσμια. ἄγαμαι τὸν Ἐπίχαρμον σαφῶς λέγοντα,

εὐσεβὴς [ἂν] νῷ πεφυκὼς οὐ πάθοις γ' οὐδὲν κακὸν
κατθανών, ἄνω τὸ πνεῦμα διαμένει κατ' οὐρανόν·

καὶ τὸν μελοποιὸν ᾄδοντα

ψυχαὶ δ' ἀσεβέων ὑπουράνιοι
γαῖα πωτῶνται ἐν ἄλγεσι φονίοις
ὑπὸ ζεύγλαις ἀφύκτοις κακῶν,
εὐσεβέων δ' ἐπουράνιοι νάοισι
μολπαῖς μάκαρα μέγαν ἄεἰδοντ' ἐν ὕμνοις·

οὔκουν οὐρανόθεν καταπέμπεται δεῦρο ἐπὶ τὰ ἧττω ψυχή, ὁ θεὸς γὰρ ἐπὶ τὰ ἀμείνω πάντα ἐργάζεται, ἀλλ' ἡ τὸν ἄριστον ἑλομένη βίον ἐκ θεοῦ καὶ δικαιοσύνης γῆς οὐρανὸν ἀνταλλάσσεται.

§. 170. Εἰκότως οὖν γνώσεως ἐπίβολος ὁ Ἰὼβ γενόμενος, „νῦν οἶδα, εἶπεν, ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐθέν, τίς γὰρ ἀπαγγέλλει μοι ἃ οὐκ ἤδειν, μεγάλα καὶ θαυμαστὰ ἃ οὐκ ἠπιστάμην; ἐγὼ δὲ ἐφαύλισα ἐμαυτὸν ἡγησάμενος ἐμαυτὸν εἶναι γῆν καὶ σποδόν" **). ὁ γὰρ ἐν ἀγνοίᾳ ὢν ἁμαρτητικός τέ ἐστι καὶ γῆ καὶ σποδός, ὁ δ' ἐν γνώσει κατθεστὼς ἐξομοιούμενος θεῷ εἰς ὅσον δύναται ἤδη πνευματικὸς καὶ διὰ τοῦτο ἐκλεκτός. ὅτι δὲ τοὺς ἀνοήτους καὶ ἀπαθεῖς γῆν καλεῖ ἡ γραφὴ σαφὲς ποιήσει Ἱερεμίας ὁ προφήτης κατὰ Ἰωακεὶμ καὶ τῶν ἀδελφῶν αὐτοῦ λέγων, „γῆ, γῆ, ἄκουε λόγον κυρίου, γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον ἄνθρωπον" ***).

*) 2 Corinth. 5, 1—3. 7—9. **) Iob. 42, 2 sq. 6.
***) Ierem. 22, 29 sq.

§. 171. Ἄλλος δ' αὖ προφήτης φησὶν, „ἄκουε P.
οὐρανὲ καὶ ἐνωτίζου γῆ" **), τὴν σύνεσιν ἀκοὴν 641.
εἰπὼν, καὶ οὐρανὸν τὴν τοῦ γνωστικοῦ ψυχὴν, τὴν Pott.
οὐρανοῦ καὶ τῶν θείων θέαν ἐπανῃρημένου, καὶ
ταύτῃ Ἰσραηλίτην γεγονέναι· ἔμπαλιν γὰρ αὐτὸν ἑλόμενον τὴν ἀμαθίαν καὶ τὴν σκληροκαρδίαν γῆν εἴρηκεν καὶ τὸ „ἐνωτίζου" ἀπὸ τῶν ὀργάνων τῆς ἀκοῆς τῶν ὤτων προσηγόρευσεν, τὰ σαρκικὰ τοῖς προσανέχουσι τοῖς αἰσθητοῖς ἀπονείμας. οὗτοί εἰσι περὶ ὧν Μιχαίας ὁ προφήτης λέγει, „ἀκούσατε λαοὶ λόγον κυρίου οἱ συνοικοῦντες ὀδύναις" ***). καὶ ὁ Ἀβραὰμ, „μηδαμῶς εἶπεν κύριος ὁ κρίνων τὴν γῆν" †), ἐπεὶ „ὁ ἀπιστήσας" κατὰ τὴν σωτήριον φωνὴν „ἤδη κέκριται" ††).

§. 172. Γέγραπται δὲ κἀν ταῖς Βασιλείαις ἡ κρίσις καὶ ἡ ἀπόφασις τοῦ κυρίου ὧδε ἔχουσα· „δικαίων εἰσακούει ὁ θεὸς, ἀσεβεῖς δὲ οὐ σώζει παρὰ τὸ μὴ βούλεσθαι εἰδέναι αὐτοὺς τὸν θεὸν, ἄτοπα γὰρ οὐ συντελέσει ὁ παντοκράτωρ" †††). τί πρὸς ταύτην ἔτι φθέγγονται τὴν φωνὴν αἱ αἱρέσεις ἀγαθὸν θεὸν τὸν παντοκράτορα κηρυττούσης τῆς γραφῆς καὶ ἀναίτιον κακίας τε καὶ ἀδικίας, εἴ γε ἡ μὲν ἄγνοια διὰ τὸ μὴ γινώσκειν φύεται, ὁ θεὸς δὲ οὐδὲν ἄτοπον ποιεῖ. οὗτος γάρ ἐστι", φησὶν, „ὁ θεὸς ἡμῶν καὶ οὐκ ἔστι πλὴν αὐτοῦ σώζων" †††), „οὐδὲ γάρ ἐστιν ἀδικία παρὰ τῷ θεῷ" ††††), κατὰ τὸν ἀπόστολον. σαφῶς δὲ ἔτι ὁ προφήτης τὴν βουλὴν τοῦ θεοῦ καὶ τὴν προκοπὴν τὴν γνωστικὴν διὰ τούτων διδάσκει, „καὶ νῦν Ἰσραὴλ τί κυρίος ὁ θεός σου αἰτεῖται παρὰ σοῦ, ἀλλ' ἢ φοβεῖσθαι κύριον τὸν θεόν σου καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ

*) Iesai. 1, 2. **) Mich. 1, 2. ***) Genes. 18, 25. †) Ioann. 3, 18. ††) Iob. 36, 7. 10. 12. 34, 12. †††) Iesai. 45, 21. ††††) Roman. 9, 4.

ἀγαπᾶν αὐτὸν καὶ λατρεύειν αὐτῷ μόνῳ" *) αἰτεῖται παρὰ σοῦ, τοῦ τὴν ἐξουσίαν ἔχοντος ἑλέσθαι τὴν σωτηρίαν.

§. 173. Τί τοίνυν οἱ Πυθαγόρειοι βουλόμενοι μετὰ φωνῆς εὔχεσθαι κελεύουσιν; ἐμοὶ δοκεῖ οὐχ ὅτι τὸ θεῖον ᾤοντο μὴ δύνασθαι τῶν ἡσυχῇ φθεγγομένων ἐπαΐειν, ἀλλ' ὅτι δικαίας ἐβούλοντο εἶναι τὰς εὐχὰς ἃς οὐκ ἄν τις αἰδεσθείη ποιεῖσθαι πολλῶν συνειδότων. ἡμεῖς δὲ περὶ μὲν τῆς εὐχῆς κατὰ καιρὸν προϊόντος τοῦ λόγου διαληψόμεθα, τὰ δὲ ἔργα κεκραγότα ἔχειν ὀφείλομεν, „ὡς ἐν ἡμέρᾳ περιπατοῦντες" **), „λαμψάτω γάρ σου τὰ ἔργα" ***), „καὶ ἰδοὺ ἄνθρωπος καὶ τὰ ἔργα αὐτοῦ πρὸ προσώπου αὐτοῦ. ἰδοὺ γὰρ ὁ θεὸς καὶ τὰ ἔργα αὐτοῦ" †). θεὸν χρὴ μιμεῖσθαι εἰς ὅσον δύναμις τῷ γνωστικῷ. ἐμοὶ δὲ καὶ οἱ ποιηταὶ τοὺς ἐκλεκτοὺς παρὰ σφίσι θεοειδέας προσαγορεύειν δοκοῦσι καὶ δίους καὶ ἀντιθέους καὶ Διὶ μῆτιν ἀταλάντους, καὶ θεοῖς ἐναλίγκια μήδε' ἔχοντας καὶ θεοεικέλους τὸ „κατ' εἰκόνα καὶ ὁμοίωσιν" ††) περιτρώγοντες.

P. 642. Pott.

§. 174. Ὁ μὲν οὖν Εὐριπίδης

χρύσεαι δή μοι πτέρυγες περὶ νώτῳ,

φησίν,

καὶ τὰ Σειρήνων ἐρόεντα πέδιλα
ἁρμόζεται,
βάσομαί τ' ἐς αἰθέρα πολὺν
ἀερθεὶς Ζηνὶ προσμίξων.

ἐγὼ δὲ ἂν εὐξαίμην τὸ πνεῦμα τοῦ Χριστοῦ πτερῶσαί με εἰς τὴν Ἱερουσαλὴμ τὴν ἐμὴν, λέγουσι γὰρ καὶ οἱ Στωϊκοὶ τὸν μὲν οὐρανὸν κυρίως πόλιν, τὰ δὲ ἐπὶ γῆς ἐνταῦθα οὐκ ἔτι πόλεις, λέγεσθαι μὲν γὰρ, οὐκ εἶναι δέ· σπουδαῖον γὰρ ἡ πόλις

*) Deuteron. 10, 12. **) Roman. 13, 13. ***) Matth. 5, 16. †) Iesai. 62, 11. ††) Genes. 1, 26.

καὶ ὁ δῆμος ἀστεῖόν τι σύστημα καὶ πλῆθος ἀνθρώπων ὑπὸ νόμου διοικούμενον καθάπερ ἡ ἐκκλησία ὑπὸ λόγου ἀπολιόρκητος ἀτυράννητος πόλις ἐπὶ γῆς, θέλημα θεῖον ἐπὶ γῆς, ὡς ἐν οὐρανῷ. εἰκόνας στῆσδε τῆς πόλεως καὶ οἱ ποιηταὶ κτίζουσι γράφοντες, αἱ γὰρ Ὑπερβόρειοι καὶ Ἀριμάσπιοι πόλεις καὶ τὰ Ἠλύσια πεδία δικαίων πολιτεύματα· ἴσμεν δὲ καὶ τὴν Πλάτωνος πόλιν παράδειγμα ἐν οὐρανῷ κειμένην.

LIPSIAE,
EX OFFICINA I. B. HIRSCHFELDI.

Von der

Bibliotheca sacra patrum ecclesiae Graecorum etc.

sind bis jetzt erschienen:

Pars I. enthält: Flav. Iosephi Iudaei opera omnia. 6. Vol. auf Druckpapier 5 Thlr. 6 gr.
auf Schreibpapier 6 Thlr. 6 gr.

Pars II. enthält: Philonis Iudaei opera omnia. 8. Vol. auf Druckpapier 6 Thlr. 8 gr.
auf Schreibpapier 8 Thlr. 4 gr.

Pars III. enthält: T. Flau. Clementis Alexandrini opera omnia. Vol. 1. auf Druckpapier 21 gr.
auf Schreibpapier 1 Thlr. 4 gr.

In demselben Verlage sind erschienen:

Ciceronis, M. Tulli Laelius siue de amicitia dialogus. Mit erklärenden Anmerkungen für Schulen und Gymnasien bearbeitet. Dritte, [von R. Klotz] nach den vorhandenen Hilfsmitteln durchgängig verbesserte Auflage. 8. 1829. 8 gr.

Ciceronis, M. Tulli, Cato Maior siue de senectute dialogus. Recens. R. Klotz. Accedunt annotationes criticae. 8. 1831. 12 gr.

Herodoti Halicarnassei Historiarum libri IX. codicem Sancrofti manus criptum denuo contulit nec non reliquam lectionis varietatem commodius digessit Thom. Gaisford. IV Tomi. 8. mai. 1824 — 1826. 7 Thlr. 16 gr.

Klotz, R., quaestiones Tullianae. Liber primus. 8. 1830. 9 gr.

— — quaestiones criticae. Liber primus. 8 mai. 1831. 14 gr.

Lucian's Göttergespräche, griechisch. Mit erklärenden Anmerkungen und griechisch-deutschem Wortregister. 3te durchaus berichtigte Ausgabe von Dr. E. F. Poppo. 8. 1825. 12 gr.

Lucian's Todtengespräche, griechisch. Mit erklärenden und kritischen Anmerkungen und griechisch-deutschem Wortregister, herausgegeb. von J. C. Bremer. Zweite Ausgabe, besorgt von A. Voigtländer. 8. 1824. 18 gr.

Ovidii, P. Nasonis, Libri Tristium. Zum Schulgebrauch herausgegeben, und mit erklärenden Anmerkungen und einem Namen-Register versehen. Zweite, ganz neu gearbeitete Auflage. 8 mai. 1829. 16 gr.

Platonis Phaedrus recensuit Hermiae scholiis e Cod. Monac. XI. suisque commentariis illustravit F. Astius. 8 mai. 1810. 1 Thlr. 12 gr.

— Politia siue de re publica libri X. necensuit atque explicavit Fr. Astius. Accedunt additamenta ad commentarium in Platonis Phaedrum. 8. mai. 1814. 2 Thlr. 16 gr.

ΠΛΑΤΩΝΟΣ ΣΥΜΠΟΣΙΟΝ, Platons Gastmahl, ein Dialog. Hin und wieder verbessert und mit kritischen und erklärenden Anmerkungen, herausgegeben von F. A. Wolf. Neue nach den vorhandenen Hülfsmitteln durchgängig verbesserte Ausgabe. gr. 8. 1828. 18 gr.

Plauti, M. Acci, Rudens, edidit F. V. Reiz. Editio nova. 8 mai. 1826. 7 gr.

Xenophontis Cyri disciplina, ad fidem maxime codicis Guelferbitani, cum selectis virorum doctorum suisque animadversionibus et indice verborum in usum juvenum liberalioris ingenii edidit E. Poppo. 8 mai. 1821. 2 Thlr. 6 gr.

— Expeditio Cyri, ad fidem optimorum librorum cum selectis virorum doctorum suisque adnotationibus et indice verborum in usum scholarum edidit E. Poppo. 8 mai. 1827. 2 Thlr. 20 gr.

The borrower must return this item on or before the last date stamped below. If another user places a recall for this item, the borrower will be notified of the need for an earlier return.

Non-receipt of overdue notices does ***not*** *exempt the borrower from overdue fines.*

Andover-Harvard Theological Library
Cambridge, MA 02138 617-495-5788

Please handl
Thank you for he
library collecti